Professor Thomsen.

# CORPORIS

# HAERESEOLOGICI

## TOMUS SECUNDUS

CONTINENS

S. EPIPHANII EPISCOPI CONSTANTIENSIS

PANARIORUM

LIBRUM PRIMUM ET SECUNDUM.

EDIDIT

FRANCISCUS OEHLER.

BEROLINI
APUD A. ASHER ET SOCIOS.
MDCCCLIX.

# S. EPIPHANII

## EPISCOPI CONSTANTIENSIS

# PANARIA

## EORUMQUE ANACEPHALAEOSIS.

AD VETERES LIBROS RECENSUIT ET CUM LATINA
DION. PETAVII INTERPRETATIONE ET INTEGRIS
EIUS ANIMADVERSIONIBUS

EDIDIT

**FRANCISCUS OEHLER.**

TOMI PRIORIS

PARS PRIOR.

BEROLINI
APUD A. ASHER ET SOCIOS.
MDCCCLIX.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΕΠΙΦΑΝΙΟΥ ΚΩΝΣΤΑΝΤΕΙΑΣ ΕΠΙΣΚΟΠΟΥ

## ΠΑΝΑΡΙΑ.

SANCTI PATRIS NOSTRI

# EPIPHANII CONSTANTIAE EPISCOPI

## PANARIA.

# ΕΠΙΣΤΟΛΗ

γραφεῖσα ἐν τῷ ἐνενηκοστῷ δευτερῷ ἔτει [1] τῆς Διοκλητιανοῦ βασιλείας, Οὐαλεντινιανοῦ καὶ Οὐάλέντος ἔτους δωδεκάτου, καὶ Γρατιανοῦ ἔτους ὀγδόου, πρὸς Ἐπιφάνιον Παλαιστινὸν Ἐλευθεροπολίτην, γενόμενον πατέρα μοναστηρίου ἐν τῇ τῆς αὐτῆς Ἐλευθεροπόλεως [2] περιοικίᾳ, ἐπίσκοπον ὄντα [3] νυνὶ πόλεως Κωνσταντείας, ἐπαρχίας Κύπρου, παρὰ Ἀκακίου καὶ Παύλου πρεσβυτέρων [4] ἀρχιμανδριτῶν, [5] τουτέστι πατέρων μοναστηρίων μερῶν [6] Χαλκίδος καὶ [7] Βεροίας τῆς Κοίλης Συρίας, περὶ τοῦ κατὰ αἱρέσεων πασῶν γράψαι, οὐ μὴν ἀλλὰ καὶ πολλῶν προτρεψαμένων καὶ, ὡς εἰπεῖν, ἀναγκασάντων αὐτὸν εἰς τοῦτο ἥκειν.

*Τῷ κυρίῳ [8] ἡμῶν καὶ τιμιωτάτῳ κατὰ πάντα εὐλαβεστάτῳ πατρὶ Ἐπιφανίῳ, ἐπισκόπῳ, Ἀκάκιος πρεσβύτερος καὶ Παῦλος πρεσβύτερος, ἀρχιμανδρῖται, ἐν κυρίῳ χαίρειν.*

*Ἤρκει μὲν ἡ θεία τῆς σῆς θεοσεβείας, πάτερ, ἐμπλήσασα πνευματικῶν ῥημάτων, καὶ ἐμφυτεύσασα τὸν τοσοῦτον πρὸς ἡμᾶς πόθον, γεγονότα τῆς σῆς αὐτοψίας μεταλαβοῦσιν· ἀλλ' ἐπειδὴ πρόδρομος φήμη μαθητοῦ τοῦ σωτῆρος κηρύττει τὴν τῆς εὐωδίας τῶν ῥημάτων καὶ πράξεων ὁρμήν, [9] ἄγχει καὶ λέξεων καὶ νοῦ κορεσθῆναι. Ἔδει μὲν αὐτοψίᾳ ἐλθόντας μεταλαβεῖν τῆς ἐκ θεοῦ [10] δοθείσης σοι χάριτος ὡς τοῖς ἀποστόλοις· ἀλλ' [11] ἐπεὶ ἡ ὁδὸς ἐπεσχέθη ὑπὸ τῆς ἀῤῥωστίας τῆς σωματικῆς καὶ [12] ταλαιπωρίας, οὐκ ἰσχύσαμεν αὐτοὶ γενόμενοι πρὸς τοὺς [13] πόδας σου προκαλινδούμενοι ἀκοῦσαί τε καὶ μαθεῖν τὰ ἐκπορευόμενα πνευματικὰ ἅγια ῥήματα ἐκ τοῦ [14] σοῦ στόματος. Πε-*

1. τῆς *omittit cod. Venetus.*
2. παροικίᾳ *volebat Ios. Scaliger.*
3. νῦν *cod. Venet.*
4. καὶ ἀρχιμανδριτῶν *cod. Rhedig. et edd.*
5. τοῦτ' ἔστιν *cod. Venet.*
6. Χαλκίδος *cod. Venet.* Καρχηδόνος *cod. Rhedigeranus, ed. princ. et ed. Petav.*
7. Βεροίας *cod. Venet.* Βεῤῥοίας *cod. Rhedig. et edd. libri.*

# EPISTOLA

**anno Diocletiani XCII., Valentiniani et Valentis XII., Gratiani VIII., ad Epiphanium Palaestinum Eleutheropolitanum scripta, qui cum olim monasterii quod in Eleutheropolitano agro situm est pater fuisset, hoc tempore Constantiae, quae urbs est provinciae Cypri, episcopus est, ab Acacio et Paulo presbyteris et archimandritis, hoc est monasteriorum praepositis, in regione Carchedonis et Beroeae Coeles Syriae, qua postulant ut adversus haereses scriberet, cum iam a multis insuper rogatus ut hoc susciperet, atque, ut ita dicam, coactus fuisset.**

Domino meo honoratissimo atque in omnibus religiosissimo patri Epiphanio, episcopo, Acacius et Paulus presbyteri, archimandritae, in domino salutem.

Pietatis quidem tuae, pater, aspectus ipse satis esse poterat, qui nos spiritalibus sermonibus implevit, ac tam vehemens nobis tui desiderium indidit, postquam tuo semel frui conspectu licuit. Verum quoniam praevia discipuli Christi fama verborum eius factorumque fragrantiam ubique praedicat, angit nos et sollicitat ut illius nos sermonibus ac sensis explere studeamus. Coram igitur adeuntes par erat eius quae in te perinde atque in apostolis est gratiae communione perfundi. Sed cum iter illud nobis corporis aegritudo et languor intercluserit, minime ipsi potuimus ad pedes tuos provoluti spiritales sanctosque sermones ex ore tuo manantes audire ac discere.

8. ἡμῶν *cod. Venet.* μοῦ *cod. Rhedig. et edd.*
9. ἄχρι *Ios. Scaliger. In seqq. vulgo distinguunt* χορεσθῆναι, ἔδει *cett.*
10. σοι δοθείσης *cod. Venet.*
11. ἐπειδὴ *cod. Venet.*
12. τῆς ταλαιπωρίας *cod. Venet.*
13. σοὺς πόδας *cod. Venet.*
14. στόματος σοῦ *cod. Venet.*

*στεύομεν γὰρ ὅτι, εἰ ἦμεν ἄξιοι, ἀνελθόντες τε καὶ ἀκούσαντες, ἐστηριζόμεθα τὴν πολιτείαν, ἣν προβεβλήμεθα, εἴ ἴσμεν ἄξιοι τὸ τέρμα ταύτης καταλαβεῖν. Τῆς οὖν ἀῤῥωστίας καταλαβούσης, δεόμεθα τῆς τοσαύτης σου θεοσεβείας, μὴ φθονήσῃς μεταδοῦναι [15] ἀπὸ τῶν δεδωρημένων σοι ἀληθῶς ὑπὸ τοῦ σωτῆρος. Ὁμολογοῦμεν γὰρ οὐ μόνον ἡμεῖς, ἀλλὰ καὶ πάντες οἱ ἀκούοντες, ὅτι ἐν ταύτῃ τῇ γενεᾷ νέον σε ἀπόστολον ἤγειρεν ἡμῖν καὶ κήρυκα ὁ [16] Χριστὸς, Ἰωάννην νέον, καὶ κηρύσσειν τὰ ὀφειλόμενα [17] φυλάσσεσθαι ὑπὸ τῶν τὸν δρόμον τοῦτον προβαλλομένων. Τοῦ οὖν κοινοῦ ἀδελφοῦ Μαρκέλλου ἐπὶ τῇ τοσαύτῃ φήμῃ ἀγχομένου καὶ ἑλκομένου τῇ ποθήσει τῆς σῆς θεοσεβείας, ὄντος τε καὶ τῆς ἡμετέρας μάνδρας, αὐτόν τε ὑπηρέτην ἐσχηκότες τῆς τοσαύτης ὁδοῦ, καὶ νεοκατηχήτου ὄντος, ἐπετρέψαμεν τὴν τοσαύτην ἡμῶν τόλμαν τῶν ἁμαρτωλῶν πρὸς τὸν μαθητήν σε τοῦ σωτῆρος. Ὃ δὲ ἀξιοῦμεν, τῶν ῥηθέντων σοι πρός τινας ἀδελφοὺς εἰς παιδείαν δωρήσασθαι, ὅπερ σοὶ μὲν τῷ δικαίῳ ἀβαρὲς, ἡμῖν δὲ τοῖς ἁμαρτωλοῖς μεταλαβοῦσιν εὐφρανθῆναι ἐν κυρίῳ. Ἐμπλησθέντες γάρ σου τῶν πνευματικῶν ῥημάτων ἐπικουφιζόμεθα τῶν ἀνομιῶν ἡμῶν. Ἠκούσαμεν δὲ ἐπικληθέντα ὀνόματα ὑπὸ τῆς σῆς τιμιότητος ταῖς αἱρέσεσιν, ὧν ἑκάστης θρησκείας ἀξιοῦμεν τὴν σὴν θεοσέβειαν διαῤῥήδην ἡμῖν δηλῶσαι τὴν αἵρεσιν· ἴση γὰρ ἁπάντων ἡ δωρεά. Καί σε ἀξιοῦμεν εὐχὴν ποιήσασθαι, σὲ τὸν δίκαιον τῷ κυρίῳ, ὑπὲρ πάντων τῶν [18] σε ποθούντων καὶ ἐκδεχομένων τὴν παρὰ σοῦ δωρεάν. Ἐν νηστείᾳ καὶ εὐχῇ ἴσμεν τὸν κοινὸν ἡμῶν ἀδελφὸν δεχθέντα ὑπὸ τῆς σῆς τιμιότητος ἀσμένως καὶ κομίσαι τὴν ὑπὸ σοῦ δεδωρημένην δωρεὰν καὶ οὕτως ἀναπέμψαι τὰς ἐξ ἔθους [19] εὐχὰς πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. Πάντες ἐλπίζουσιν οἱ ἀδελφοὶ τῇ ὑπὸ σοῦ εὐχῇ ὑπὲρ αὐτῶν γιγνομένῃ στηριχθῆναι. Παρακαλοῦμεν μὴ ὀκνῆσαι μεταδοῦναι χάριν θεϊκὴν ἐσχηκότα ἀποστόλων. Πάντες οἱ μικροὶ ἐν ταῖς μάνδραις ὄντες εὐχὴν τῷ κρείττονι ἀναπέμπουσι, μεταλαβεῖν ἀπὸ τῆς σῆς θεοσεβείας πνευματικὴν δωρεάν. Ἐῤῥωμένος ἐν κυρίῳ καὶ εὔθυμος ἐν Χριστῷ διατελοίης καὶ ἐν ἁγίῳ πνεύματι τὸν [20] δοθέντα σοι θρόνον καὶ τὴν θεϊκὴν δωρεὰν, μέχρι τοῦ σε ἐκδεχομένου στεφάνου.*

15. ἡμῖν ἀπὸ *cod. Venet.*
16. σωτὴρ *cod. Venet.*
17. φυλάττεσθαι *cod. Venet.*
18. σε *non habet Venet. liber.*
19. „et sic consuetas preces patri et filio et spiritui sancto transmittat“ *vertit Cornarius.*
20. *Ita libri omnes. Aliquid excidisse suspicabatur Petavius, retractans nempe ne accusativos* τὸν δοθέντα θρόνον *ab ipso verbo* διατελεῖν *aptos haberet.*

---

Hoc enim persuasum habemus, si quidem essemus digni, venientes ad te et audientes nos in eo sanctioris vitae genere quod arripuimus confirmatum iri, dummodo extremum illius ac summum mereamur assequi. Quandoquidem igitur adversa valetudine premimur, pietatem tuam vehementer oramus, ut eorum nobis communionem ne invideas quae in te revera sunt a salvatore collata. Etenim non nos ipsi solum, sed et universi, qui audierunt, novum te apostolum praeconemque confitentur a Christo nobis hac aetate productum, velut alterum quendam Ioannem, ut ea praeciperes quae ab iis servanda sunt qui sese in illud curriculum commiserint. Quamobrem cum Marcellus communis nostrum omnium frater tantae famae magnitudine stimulatus ad te pietatis tuae desiderio traheretur, idemque monasterio nostro esset adscriptus, hominem nacti qui longinquitate tanta itineris nostra vice fungeretur, rudem adhuc et tironem, huic ipsi peccatorum, omnium videlicet nostrum, postulationem ad te Christi discipulum perferendam, paulo eam quidem audaciorem, mandavimus. Petitionis porro nostrae summa haec est, ut quae nonnullis fratribus dixisti, ea ad nostram institutionem impertiri non graveris. Quod ut tibi homini iusto molestum non erit, ita nobis peccatoribus, si impetrare potuerimus, ingentem in domino laetitiam ac voluptatem adferet. Cum enim spiritalibus tuis sermonibus satiamur, iniquitatum nostrarum onere sublevamur. Ac nomina quidem ipsa, quae a te sunt haeresibus imposita, iam audivimus. Nunc uniuscuiusque sectae dogma perspicue declarari a tua pietate cupimus. Hoc enim commune ex aequo donum est omnibus futurum. Tum illud enixe rogamus, ut pro universis, qui tui desiderio tenentur, quique illud a te munus expectant, tu, qui iustus es, dominum preceris. Interim nos in ieiunio et oratione ad illud obtinendum persistimus ut frater ille noster benigne a te susceptus acceptum illud munus ad nos reportet, atque ita deo, patri, filio ac spiritui sancto solitas preces offeramus. Omnes nostri fratres valde confidunt fusis a te pro ipsis precibus sese magnopere confirmatum iri. Oramus te ut qui divinam apostolorum gratiam consecutus es, quod petimus ne tribuere cuncteris. Pusilli omnes, qui in monasteriis degunt, deum precantur, ut a te spiritale donum illud obtineant. Valere te in domino ac laetum assidue degere optamus plurimum, et commissum tibi thronum in spiritu sancto, divinumque tueri munus, donec eam quae te manet coronam in coelo consequaris.

---

# Η ΑΝΤΙΓΡΑΦΕΙΣΑ

## πρὸς τοὺς περὶ Ἀκάκιον καὶ Παῦλον πρεσβυτέρους ὑπὸ αὐτοῦ Ἐπιφανίου, πρὸς τὰ ὑπ᾽ αὐτῶν αὐτῷ γραφέντα, περὶ τοῦ κατὰ αἱρέσεων γράψαι αὐτόν.

*Κυρίοις τιμιωτάτοις ἀδελφοῖς καὶ συμπρεσβυτέροις Ἀκακίῳ καὶ Παύλῳ Ἐπιφάνιος ἐν κυρίῳ χαίρειν.*

*Προοίμιον, εἴτ᾽ οὖν λαλιὰν, [1] ἐπιγραφὴν ὥςπερ διαγράφοντες παλαιοὶ συγγραφεῖς διὰ τοῦ αἰνίγματος ὑπόφασιν ἐδείκνυον πάσης ὑποκειμένης πραγματείας. Ὅθεν καὶ αὐτοὶ τῷ αὐτῷ κεχρημένοι χαρακτῆρι προοιμιαζόμεθα ὑμῖν, ἀγαπητοὶ, [2] τὰ τῆς κατὰ αἱρέσεων αἰτήσεως ὑμῶν, ἐν ὀλίγῳ τὴν δύναμιν ἀνακεφαλαιούμενοι. Ἐπειδὴ γὰρ μέλλομεν ὑμῖν τά τε ὀνόματα τῶν αἱρέσεων δηλοῦν, τάς τε παρ᾽ αὐτοῖς ἀθεμίτους πράξεις ἀνακαλύπτειν, ὥςπερ ἰοὺς καὶ δηλητήρια ὄντα, σὺν αὐτοῖς δὲ ἅμα καὶ ἀντιδότους ἐφαρμοσάμενοι, ἀλεξητήρια τῶν δεδηγμένων καὶ προκαταληπτικὰ τῶν μελλόντων εἰς τοῦτο ἐμπίπτειν, τοῖς φιλοκάλοις διαγράφομεν αὐτὸ τοῦτο τὸ [3] προοίμιον, Πανάριον, εἴτ᾽ οὖν κιβώτιον ἰατρικὸν καὶ θηριοδηκτικὸν, ἑρμηνεύοντες, ὅπερ ἐστὶ διὰ βιβλίων τριῶν αἱρέσεις ὀγδοήκοντα, αἵτινές εἰσι θηρίων, εἴτ᾽ οὖν ἑρπετῶν, [4] αἰνίγματα. Μία δὲ μετὰ τὰς ὀγδοήκοντα ἡ τῆς ἀληθείας βάσις ἅμα καὶ διδασκαλία, καὶ σωτήριος πραγματεία, καὶ Χριστοῦ νύμφη ἁγία ἐκκλησία, οὖσα μὲν ἀπ᾽ αἰῶνος, διὰ δὲ τῆς ἐνσάρκου Χριστοῦ παρουσίας κατὰ τὴν διαδοχὴν τοῦ χρόνου μέσον τῶν προειρημένων ἀποκαλυφθεῖσα, καὶ ὑφ᾽ ἡμῶν ἐν ὑπομνήσει διὰ τοῦ κηρύγματος Χριστοῦ ταχθεῖσα, καὶ πάλιν μετὰ πάσας τὰς τῶν αἱρέσεων τούτων μοχθηρίας εἰς ἀναψυχὴν τῶν τὸν κάματον τῶν αἱρέσεων διὰ τῆς ἀναγνώσεως διελθόντων ὑφ᾽ ἡμῶν μετ᾽ ἐπιτομῆς τοῦ λόγου, κατὰ τὴν τῶν ἀποστόλων διδασκαλίαν, σαφῶς ἀπαγγελθεῖσα.*

Κεφ. α΄. *Παρακλήθητε δὲ πάντες οἱ φιλοκάλως ἐντυγχάνοντες τῷ τε προοιμίῳ καὶ ταῖς μετέπειτα αἱρέσεσι, καὶ τῇ περὶ ἀληθείας ἀπολογίᾳ τε καὶ διδασκαλίᾳ τῆς ἀληθείας, καὶ πίστει τῆς ἁγίας καθολικῆς ἐκ-*

1. *In editis distinctum est ita:* Προοίμιον, εἴτ᾽ οὖν λαλιὰν ἐπιγραφὴν, ὥσπερ διαγράφοντες *cett. Cornarius convertit:* „Prooemium sive praefationem veteres scriptores, velut inscriptionem ac titulum describentes, per aenigma totius subiectae tractationis indicium praebuerunt: unde“ *cett.*

2. *Cornarius:* „— praefamur ad vos, carissimi, ea quae ad petitionem vestram contra haereses scripsimus, omnem rem in brevem summam colligentes. Quandoquidem enim declaraturi sumus vobis et nomina sectarum, et nefarias apud ipsos actiones revelaturi, quae velut venena ac toxica existunt: cum ipsis sane etiam antidotos adaptantes, auxiliaria commorsorum medicamenta et praeoccupativa eorum qui forte illapsuri sint, bonarum rerum studiosis describimus, hoc ipsum prooemium Panarium, sive Capsulam medicam, et adversus bestia-

# EPIPHANII EPISCOPI EPISTOLA

## quam ad Acacium et Paulum presbyteros ad ea rescripsit quae illi de lucubratione illa contra haereses significaverant.

Dominis venerabilibus ac fratribus et collegis Acacio et Paulo Epiphanius in Christo salutem.

Quemadmodum antiqui scriptores consueverant in praefationibus ac proloquiis et inscriptionibus totius operis propositi speciem adumbratione quadam informatam ostendere, ita et nos eodem orationis usi genere prooemium hoc instituimus, ut, quae postulatio vestra fuit, eorum quae adversus haereses disputanda sunt summa paucis complectamur. Quoniam enim haereseon omnium nomina declaranda vobis hoc in libro suscepimus, nec non execranda ac nefaria illarum flagitia sic tanquam praesentissima quaedam venena patefacere volumus, atque his velut antidota quaedam opponentes, quae vel iis qui morsu petiti sunt remedio esse possint, vel eos quibus ne incidant periculum est praemuniant ac conservent, honestarum rerum studiosis conscribere, Panarium, sive Arculam Medicam, ad eorum qui a serpentibus icti sunt remedium iure opus illud ac librum interpretabimur, qui in tres partes divisus haereses octoginta complectitur, quae serpentum ac reptilium similes sunt. Secundum quas veritatis firmamentum et salutaris doctrina fideique formula subiecta est, ac Christi sponsa, sancta videlicet ecclesia declarata. Quae cum iam tum ab orbe condito esse coeperit, postea tamen per Christi domini incarnationem temporum successione ante commemoratas omnes haereses vulgata atque patefacta, eademque a nobis in commentarios ex Christi praedicatione relata, ac rursum post explicatam omnem istarum haereseon improbitatem ex apostolorum disciplina accurate ac perspicue brevi quodam est compendio subiecta, uti ea re illorum recreentur ac reficiantur animi qui hunc haereseon percurrendarum laborem susceperint.

Porro vos omnes, honestarum rerum studiosi lectores, rogatos Cap. I. volumus, ut et prooemium ipsum et insequentium haereseon expositionem ac veritatis professionem et doctrinam ac sanctae et catholi-

rum morsus Arculam appellantes; hoc est per libros tres" cett.

3. *Voc.* προοίμιον *uncinis notavit Petavius.*

4. *Ita libri omnes;* αἴνιγμα *est figura, similitudo, ut plerumque apud sacros scriptores. Quare non erat cur Petavius* δήγματα *reponendum esse censeret.*

*κλησίας, συγγνῶναι ἡμῖν ἀνθρώποις οὖσι, καὶ μετὰ πόνου καὶ ζήλου θεϊκοῦ φιλοτιμουμένοις ὑπὲρ θεοσεβείας ἀπολογεῖσθαι* [1] *Ἰησοῦ, εἴ τι ὑπέρογκον εἰς αὐτὸ τὸ πανάγιον καὶ πανσεβάσμιον ὄνομα θελήσομεν κατὰ τὴν* [2] *ἰδίαν δύναμιν ὑπεραπολογεῖσθαι, τοῦ θεοῦ συγχωροῦντος τὰ ὑπὲρ δύναμιν ἡμῖν ἐκζητοῦσιν. Ἐπειδὴ δι' ἀλήθειαν ἡμῖν ὁ λόγος, καὶ δι' εὐσέβειαν ἡ πραγματεία. Καὶ ἔτι παρακλήθητε* [3] *ἐᾶν εἴ που εὕροιτε, καίτοι γε μὴ ἐν ἔθει ὄντας ἐπισκήπτειν τινὰς ἢ ἐπισκωμματίζειν, διὰ δὲ τὸν πρὸς τὰς αἱρέσεις ζῆλον, καὶ εἰς ἀποτροπὴν τῶν ἐντυγχανόντων, εἴ που παροξυνόμενοι λέξομεν, ἢ ἀπατεῶνάς τινας καλοῦντες, ἢ ἀγύρτας, ἢ ἀθλίους. Αὐτὴ γὰρ ἡ ἀνάγκη ἡ πρὸς τοὺς λόγους τοῦ ἀγῶνος παρασκευάζει ἡμῖν τὸν τοιοῦτον ἱδρῶτα, δι' ἀποτροπὴν τῶν ἐντυγχανόντων, καὶ ὅπως δείξομεν παντελῶς ἀπηγορευμένας τοῦ ἡμετέρου φρονήματος τὰς ἐκείνων ἐργασίας καὶ μυστήρια καὶ διδασκαλίας, ἵν' ἀπὸ τῶν λογων καὶ τῆς* [4] *ὀξύτητος τῆς ἀντιλογίας καὶ τὸ ἡμέτερον ἐλευθέριον ἀποδείξωμεν, καί τινας ἀπὸ τῶν αὐτῶν ἐκκλίνωμεν καὶ διὰ τῶν δοκούντων βαρυτέρων λόγων.*

Κεφ. β'. *Καὶ ἔστιν ἐν τῇ πάσῃ πραγματείᾳ διὰ τῶν προειρημένων τριῶν βιβλίων, πρώτου καὶ δευτέρου καὶ τρίτου, ἅτινα τρία βιβλία εἰς ἑπτὰ τόμους διείλομεν. Ἐν δὲ ἑκάστῳ τόμῳ ἀριθμός τις αἱρέσεων καὶ σχισμάτων ἔγκειται· ὁμοῦ δὲ αἱ πᾶσαί εἰσιν ὀγδοήκοντα, ὧν αἱ ὀνομασίαι καὶ αἱ προφάσεις αὗται. Πρώτη Βαρβαρισμὸς, δευτέρα Σκυθισμὸς, τρίτη Ἑλληνισμὸς, τετάρτη Ἰουδαϊσμὸς, πέμπτη Σαμαρειτισμός. Ἐκ τούτων αἱ καθεξῆς. Πρὸ Χριστοῦ μὲν μετὰ Βαρβαρισμὸν καὶ τὴν Σκυθικὴν δεισιδαιμονίαν αἱ ἀπὸ τοῦ Ἑλληνισμοῦ* [1] *φύσασαι αὗται·* [2] *ἕκτη Πυθαγόρειοι, εἴτ' οὖν Περιπατητικοὶ, διὰ τῶν περὶ Ἀριστοτέλην διαιρεθεῖσα, ἑβδόμη Πλατωνικοὶ, ὀγδόη Στωϊκοὶ, ἐνάτη Ἐπικούρειοι. Εἶτα Σαμαρειτικὴ αἵρεσις, οὖσα ἐκ τοῦ Ἰουδαϊσμοῦ, καὶ ταύτης τέσσαρα ἔθνη, δεκάτη* [3] *Γοροθηνοὶ, ἑνδεκάτη Σεβουαῖοι, δωδεκάτη Ἐσσηνοὶ, τρισκαιδεκάτη Δοσίθεοι. Εἶτα ὁ αὐτὸς προειρημένος Ἰουδαϊσμὸς, ἀπὸ τοῦ Ἀβραὰμ τὸν χαρακτῆρα εἰληφὼς καὶ διὰ τοῦ δοθέντος νόμου τῷ Μωϋσῇ πλατυνθεὶς, καὶ ἀπὸ τοῦ Ἰούδα υἱοῦ Ἰακὼβ, τοῦ καὶ Ἰσραὴλ διὰ Δαβὶδ, τοῦ καὶ βασιλεύσαντος ἐκ τῆς τούτου φυλῆς τὸ ἐπώνυμον τοῦ Ἰουδαϊσμοῦ κληρωθείς. Καὶ ἀπ' αὐτοῦ τοῦ Ἰουδαϊσμοῦ ἑπτὰ αἱρέσεις αὗται· τεσσαρεσκαιδεκάτη Γραμματέων, πεντεκαιδεκάτη Φαρισαίων, ἑξκαιδεκάτη Σαδδουκαίων,*

Cap. I. — 1. *Reposui* Ἰησοῦ *pro* εἰς ὃ, *quod Petavius delendum indicavit cum uncinis includeret.*

2. ἰδίαν *cod. Ven. Vulgo* ἁγίαν.

3. *Rescripsi mei ingenii periculo* ἐᾶν εἴ που. *Libri habent* ἵν' εἴ που. *At istud* ἵνα *quocum struatur verbo caret.*

cae ecclesiae fidem a nobis expressam percurrentes condonare velitis, utpote hominibus, et ita potissimum affectis, ut cum labore ac divino zelo pietatis partes propugnare conemur, illud, inquam, ignoscatis, si quid paulo amplius ac praestantius ad sanctissimi et omni veneratione dignissimi patrocinium nominis usurpare divinis freti viribus ausi fuerimus, id ipsum concedente deo, quandoquidem ea quae facultatem nostram superant inquirimus. Nam et pro veritate oratio ista, et pro pietate lucubratio suscipitur. Ad haec vehementer a vobis postulo, ut si quid forte reperiatis — quamquam non illud adeo moris est nobis, vellicare quempiam, aut in eum dicta iacere; — verum si pro ardentissimo nostro adversus haereses studio, et ut lectores ab iis deterreamus, concitatius aliquid dixerimus, utputa si impostores, circulatores, aut miseros appellemus, id velitis ignoscere. Nam et ipsa certaminis ac disputationis necessitas eiusmodi laborem nobis imposuít, quo ab illis lectores avocarentur, utique illorum functiones mysteria ac dogmata ab instituto nostro aliena esse atque interdicta constaret, atque ut ex oratione ipsa et acumine disputationis libertatis ingenuae specimen ederemus, tum ut denique maiori illa verborum asperitate aliquos saltem ab illorum contagione revocare possemus.

Quae quidem omnia hoc in opere comprehensa tribus libris explicantur, primo, secundo ac tertio. Iidem porro libri septem in tomos distributi sunt, quorum singuli certum haereseon ac schismatum numerum continent, quae simul collecta LXXX conficiunt. Quorum appellationes hac sunt ac dogmata: I. Barbarismus, II. Scythismus, III. Hellenismus, IV. Iudaismus, V. Samaritismus. Ab iis deinceps reliquae sectae profluxerunt. Nam ante Christi salvatoris adventum post barbaram et Scythicam superstitionem e Graeca istae prodierunt: VI. Pythagoreorum, qui et Peripatetici, auctore divisionis Aristotele, VII. Platonicorum, VIII. Stoicorum, IX. Epicureorum. Tum Samaritana secta, quae ex Iudaica pullulavit. Ea porro quatuor in factiones abiit, X. Gorthenorum, XI. Sebuaeorum, XII. Essenorum, XIII. Dositheorum. Sequitur Iudaismus, de quo dictum est, qui propriam ab Abraamo figuram ac notam accepit. Deinde per Moysis legem collatatus ab Iuda Iacobi filio, qui Israel appellatus est, per Davidem populi istius ex eadem illa tribu regem Iudaismi appellationem obtinuit. Ab hoc septem hae prodierunt haereses: XIV. Scribarum, XV. Pharisaeorum, XVI. Saddu- Cap. II.

4. per vehementiam *rectius vertit Cornarius.*

Cap. II. — 1. *Cogitabam* φῦσαι. *Sed* φύσασαι *intransitive usurpatum invenio etiam Ancorat. cap.* 12. *in loco gemello.*

2. *Vulgo* ἓξ.

3. *Vulgo* Γορθηνοί.

ἑπτακαιδεκάτη Ἡμεροβαπτιστῶν, ὀκτωκαιδεκάτη Ὀσσαίων, ἐννεακαιδεκάτη [4] Νασαραίων, εἰκοστὴ Ἡρωδιανῶν.

Ἐκ τούτων τῶν αἱρέσεων, καὶ μετέπειτα κατὰ διαδοχὴν τῶν χρόνων, ἐπεφάνη ἡ σωτήριος Χριστοῦ τοῦ κυρίου ἡμῶν ἔνσαρκος παρουσία, καὶ εὐαγγελικὴ διδασκαλία τε καὶ κήρυγμα βασιλείας, ἥτις μόνη ἐστὶ πηγὴ σωτηρίας καὶ πίστις ἀληθείας τῆς καθολικῆς καὶ ἀποστολικῆς καὶ ὀρθοδόξου ἐκκλησίας. Ἐκ δὲ ταύτης [5] περιεκλάσθησάν τε καὶ ἐσχίσθησαν ὄνομα μόνον Χριστοῦ ἔχουσαι, ἀλλὰ οὐχὶ τὴν πίστιν, αἱρέσεις αὗται· πρώτη Σιμωνιανοὶ, δευτέρα Μενανδριανοὶ, τρίτη Σατορνιλιανοὶ, τετάρτη [6] Βασιλιδιανοὶ, πέμπτη Νικολαῗται, ἕκτη Γνωστικοὶ, οἱ καὶ Στρατιωτικοὶ, οἱ αὐτοὶ [7] Φιβιωνῖται, παρὰ δέ τισι Σεκουνδιανοὶ, παρὰ ἄλλοις δὲ Σωκρατῖται, παρ' ἑτέροις δὲ Ζακχαῖοι, παρὰ δέ τισι Κοδδιανοὶ καλούμενοι, καὶ Βορβορῖται, καὶ Βαρβηλῖται· ἑβδόμη Καρποκρατῖται, ὀγδόη Κηρινθιανοὶ, οἱ καὶ Μηρινθιανοὶ, ἐννάτη Ναζωραῖοι, δεκάτη Ἐβιωναῖοι, ἑνδεκάτη [8] Οὐαλεντινιανοὶ, δωδεκάτη Σεκουνδιανοὶ, οἷς συνάπτεται Ἐπιφανὴς καὶ Ἰσίδωρος· τρισκαιδεκάτη [9] Πτολεμαῖοι, τεσσαρεσκαιδεκάτη [10] Μαρκώσιοι, πεντεκαιδεκάτη Κολορβάσιοι, ἑξκαιδεκάτη Ἡρακλεωνῖται, ἑπτακαιδεκάτη Ὀφῖται, ὀκτωκαιδεκάτη [11] Καϊανοὶ, ἐννεακαιδεκάτη Σηθιανοὶ, εἰκοστὴ Ἀρχοντικοὶ, εἰκοστὴ πρώτη Κερδωνιανοὶ, εἰκοστὴ δευτέρα [12] Μαρκιωνισταὶ, εἰκοστὴ τρίτη Λουκιανισταὶ, εἰκοστὴ τετάρτη [13] Ἀπελληϊανοὶ, εἰκοστὴ πέμπτη Σευηριανοὶ, εἰκοστὴ ἕκτη Τατιανοὶ, εἰκοστὴ ἑβδόμη [14] Ἐγκρατῖται, εἰκοστὴ ὀγδόη [15] κατὰ Φρύγας τῶν καὶ Μοντανιστῶν καὶ [16] Τασκοδρουγιτῶν· οὗτοι δὲ πάλιν οἱ Τασκοδρουγῖται διηρέθησαν εἰς ἑαυτούς· εἰκοστὴ ἐννάτη Πεπουζιανοὶ, οἱ καὶ Πρισκιλλιανοὶ καὶ Κυϊντιλλιανοὶ, οἷς συνάπτονται Ἀρτοτυρῖται· τριακοστὴ Τεσσαρεσκαιδεκατῖται, οἱ τὸ Πάσχα μίαν ἡμέραν τοῦ ἔτους ποιοῦντες, τριακοστὴ πρώτη Ἄλογοι, οἱ τὸ εὐαγγέλιον καὶ τὴν Ἀποκάλυψιν Ἰωάννου μὴ δεχόμενοι, τριακοστὴ δευτέρα Ἀδαμιανοὶ, τριακοστὴ τρίτη Σαμψαῖοι, οἱ καὶ Ἑλκεσαῖοι, τριακοστὴ τετάρτη Θεοδοτιανοὶ, τριακοστὴ πέμπτη Μελχισεδεκιανοὶ, τριακοστὴ ἕκτη Βαρδησιανισταὶ, τριακοστὴ ἑβδόμη Νοητιανοὶ, τριακοστὴ ὀγδόη Οὐαλήσιοι, τριακοστὴ ἐννάτη Καθαροὶ, οἱ καὶ [17] Ναυατιανοὶ, τεσσαρακοστὴ Ἀγγελικοὶ, τεσσαρακοστὴ πρώτη Ἀποστολικοὶ, οἱ καὶ Ἀποτακτικοὶ, τεσσαρακοστὴ δευτέρα Σαβελλιανοὶ, τεσσαρακοστὴ τρίτη Ὠριγένειοι, οἱ αἰσχροποιοὶ, τεσσαρακοστὴ τετάρτη

4. ναζαραίων *cod. Rhedig. In Ancorato cap.* 12. *et Anaceph. p.* 127. *vulgo extat* Νασσαραίων.

5. *Cogitabam* περιεβλάστησαν. *Sed* περιεκλάσθησαν *legitur etiam Anaceph. l. l.*

6. *Sic cod. Venet. Neque aliter extat in Anaceph. et in Ancorato. Vulgo* Βασιλειδιανοὶ, *ut etiam infra.*

7. *Recepi scripturam quae reperitur infra haer.* 26, 3. *et in Ancor. et in Anaceph. et in Indic. lib. I, tom. II,* 6. *Vulgo* Φιβιονῖται.

8. *Sic cod. Venet. Vulgo* Οὐαλεντῖνοι, *qui error haud rarus in his libris.*

9. Πτολεμαιονῖται *reperitur in Ancorato,* Πτολεμαῖται *infra in inscriptione*

caeorum, XVII. Hemerobaptistarum, XVIII. Ossaeorum, XIX. Nasaraeorum, XX. Herodianorum.

Secundum has sectas successione temporum domini nostri Iesu Christi incarnatio toti orbi salutaris illuxit, et cum hac evangelii doctrina coelestisque regni praedicatio. Qui quidem unicus est fons salutis et catholicae apostolicaeque ecclesiae vera fides. A qua insequentes omnes sectae, quae solum Christi nomen, non fidem praeferunt, amputatae sunt et avulsae: I. Simoniani, II. Menandriani, III. Saturniliani, IV. Basilidiani, V. Nicolaitae, VI. Gnostici, qui et Stratiotici, et Phibionitae, a quibusdam Secundiani, ab aliis Socratitae, vel Zacchaei, ab aliis vero Coddiani appellantur, ac Borboriani, vel Barbelitae, VII. Carpocratitae, VIII. Cerinthiani, qui et Merinthiani, IX. Nazoraei, X. Ebionaei, XI. Valentini, XII. Secundiani. Quibus accedit Epiphanes et Isidorus. XIII. Ptolemaei, XIV. Marcosii, XV. Colorbasii, XVI. Heracleonitae, XVII. Ophitae, XVIII. Caiani, XIX. Sethiani, XX. Archontici, XXI. Cerdoniani, XXII. Marciones, XXIII. Lucinianistae, XXIV. Appelleiani, XXV. Severiani, XXVI. Tatiani, XXVII. Encratitae, XXVIII. Cataphryges, qui et Montanistae et Tascodrugitae, qui et ipsi divisi sunt, XXIX. Pepuziani, qui et Priscilliani, ac Quintiliani. Quibus adiiciuntur Artotyritae, XXX. Tessarescaedecatitae, qui Paschatis celebritati unam quotannis diem praefiniunt, XXXI. Alogi, qui evangelium et Apocalypsin Ioannis reiiciunt, XXXII. Adamiani, XXXIII. Sampsaei, qui et Helcesaei, XXXIV. Theodotiani, XXXV. Melchisedeciani, XXXVI. Bardesianistae, XXXVII. Noëtiani, XXXVIII. Valesii, XXXIX. Cathari, qui et Novatiani, XL. Angelici, XLI. Apostolici, qui et Apotactici, XLII. Sabelliani, XLIII. Origenistae, foeditatis aucto-

*haer.* 33. *Ceteris in locis appellantur ubique* Πτολεμαῖοι.

10. *Ita scriptum fere ubique hoc nomen in Epiphanii libris. At passim etiam* Μαρκόσιοι, *uti extat in Ancorati cap.* 13. *tam in editis quam in codd. mss. Ienensi et Rhedig.*

11. *Ita omnes libri.*

12. *Edidi* Μαρκιωνισταὶ *ex haer.* 42. *et ex Ancorato. Vulgo extat* Μαρκίωνες, *quod vitium repetitum est infra et in Anacephalaeosi.*

13. Ἀπελλῆϊανοὶ *cod. Ven., et sic infra quoque haer.* 44., *et Ancor. l. l. Vulgo hic, ut alibi,* Ἀπελλῆανοί.

14. Ἐγκρατῖται, *quod libri omnes retinent, pro* Ἐγκρατηταί. *Etiam alibi plerumque invenitur* Ἐγκρατῖται. *Genuinam contra formam vocabuli deprehendi etiam in cod. ms. Baluziano (reg.* 1234.), *qui continet Nicetae Thesaurum Orthodoxae Fidei.*

15. *Libri habent* κατὰ Φρυγαστῶν καὶ Μοντανιστῶν. *Quod vitium paene ubique irrepsit. Vera scriptura reperitur Anacephal. p.* 144. *et pag.* 123., *atque Ancorat. cap.* 13. *Firmatur ea etiam codicis Baluziani, Parisini, auctoritate, in quo cap.* 20. *libri IV. Thesauri Orthod. Fidei Nicetae Choniatae inscriptum legitur* Περὶ τῶν κατὰ Φρύγας, τῶν καὶ μοντανιστῶν καλουμένων καὶ τασκοδρουγιτῶν.

16. Τασκοδουργιτῶν *cod. Rhedig.* Τασκοδρουγιστῶν *cod. Venet.*

17. *Vulgo* Ναυᾶτοι. — *In seqq. pro* Ὠριγένειοι *cod. Venet. habet* Ὠριγένιοι.

*Ὠριγένειοι, τοῦ καὶ Ἀδαμαντίου, τεσσαρακοστὴ πέμπτη Παύλου τοῦ Σαμοσατέως, τεσσαρακοστὴ ἕκτη Μανιχαῖοι, οἱ καὶ Ἀκουανῖται, τεσσαρακοστὴ ἑβδόμη Ἱερακῖται, τεσσαρακοστὴ ὀγδόη [18] Μελητιανοὶ, οἱ κατ' Αἴγυπτον σχίσμα ὄντες, τεσσαρακοστὴ ἐννάτη Ἀρειανοὶ, οἱ καὶ Ἀρειομανῖται, πεντηκοστὴ Αὐδιανῶν τὸ σχίσμα, πεντηκοστὴ πρώτη [19] Φωτεινιανοὶ, πεντηκοστὴ δευτέρα [20] Μαρκελλιανοὶ, πεντηκοστὴ τρίτη Ἡμιάρειοι, πεντηκοστὴ τετάρτη Πνευματομάχοι, οἱ καὶ Μακεδονιανοὶ, καὶ [21] Ἐλευσίου μαθηταὶ, οἱ τὸ ἅγιον τοῦ θεοῦ πνεῦμα βλασφημοῦντες, πεντηκοστὴ πέμπτη [22] Ἀεριανοὶ, πεντηκοστὴ ἕκτη Ἀετιανοὶ, οἱ καὶ [23] Ἀνόμοιοι, οἷς συνάπτεται Εὐνόμιος, μᾶλλον δὲ ὁ [24] Ἄνομος· πεντηκοστὴ ἑβδόμη Διμοιρῖται, οἱ μὴ τελείαν [25] Χριστοῦ τὴν ἐνανθρώπησιν ὁμολογοῦντες, οἱ καὶ [26] Ἀπολλιναρῖται, πεντηκοστὴ ὀγδόη καὶ οἱ τὴν ἁγίαν Μαρίαν [27] τὴν ἀεὶ παρθένον λέγοντες μετὰ τὸ τὸν σωτῆρα γεγεννηκέναι τῷ Ἰωσὴφ συνῆφθαι, οὕςτινας ἐκαλέσαμεν Ἀντιδικομαριανίτας, πεντηκοστὴ ἐννάτη [28] καὶ οἱ εἰς ὄνομα τῆς αὐτῆς Μαρίας κολλυρίδα προςφέροντες, οἳ καλοῦνται [29] Κολλυριδιανοὶ, ἑξηκοστὴ Μασσαλιανοὶ, οἷς συνάπτονται Μαρτυριανοὶ, οἱ ἀπὸ Ἑλλήνων καὶ Εὐφημῖται καὶ Σατανιανοί.*

*Ἐπανιὼν δὲ αὖθις καὶ διελὼν ταύτας κατὰ [30] βίβλον ὑποδείξω ἐν ταύτῃ μου τῇ ἀνακεφαλαιώσει πόσαι τούτων τῶν ὀγδοήκοντα αἱρέσεων ἐν τῷ πρώτῳ βιβλίῳ, καὶ καθεξῆς ἐν τῷ δευτέρῳ, ἕως [31] τοῦ τρίτου· ἀλλὰ καὶ καθ' ἕκαστον τῶν ἑπτὰ τόμων, τῶν ἐν τοῖς τρισὶ βιβλίοις συντεταγμένων, πόσαι εἰσὶν αἱ ἐν αὐτῷ χωρηθεῖσαι αἱρέσεις. Καὶ ἔστιν οὕτως· ἐν μὲν [32] τῷ πρώτῳ βιβλίῳ τόμοι τρεῖς, αἱρέσεις δὲ τεσσαρακονταὲξ, σὺν ταῖς ὀνομασίαις τούτων, φημὶ δὲ Βαρβαρισμοῦ, καὶ Σκυθισμοῦ, καὶ Ἑλληνισμοῦ, καὶ Ἰουδαϊσμοῦ καὶ Σαμαρειτισμοῦ· ἐν δὲ τῷ δευτέρῳ βιβλίῳ τόμοι δύο, αἱρέσεις εἰκοσιτρεῖς· ἐν δὲ τῷ τρίτῳ βιβλίῳ τόμοι δύο, αἱρέσεις ἕνδεκα. Ἐν τῷ οὖν πρώτῳ βιβλίῳ πρώτου τόμου αἱρέσεις εἴκοσι, αἵ εἰσιν αἵδε· Βαρβαρισμὸς, Σκυθισμὸς, Ἑλληνισμὸς, Ἰουδαϊσμός· Ἑλλήνων διαφοραὶ, [33] Πυθαγόρειοι, εἴτ' οὖν Περιπατητικοὶ, Πλατωνικοὶ, Στωϊκοὶ, [34] Ἐπικούρειοι. Σαμαρειτικὴ, οὖσα ἐκ τοῦ Ἰουδαϊσμοῦ. Σαμαρειτῶν ἔθνη τέσσαρα οὕτως· [35] Γοροθηνοὶ, Σεβουαῖοι, Ἐσσηνοὶ, [36] Δοσίθεοι. Ἰουδαίων αἱρέσεις ἑπτὰ οὕτως· Γραμματεῖς, Φαρισαῖοι, Σαδδουκαῖοι, Ἡμεροβαπτισταὶ, [37] Ὀσσαῖοι, Νασαραῖοι, Ἡρωδιανοί. Ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ πρώτου βιβλίου ὡςαύτως αἱρέσεις δεκατρεῖς οὕτως· Σι-*

18. Μελιτιανοὶ *cod. Rhedig., fere ubique.*
19. *In Ancorato extat* Φωτινιανοί.
20. Μαρκελλησιανοί *cod. Venet.*
21. *De hoc cf. Nicetae Choniatae Thes. Orthod. Fid. lib. V, cap. 16.*
22. *Post voc.* Ἀεριανοὶ *in libris vulgo repetitum est* καὶ Ἐλευσίου μαθηταί, *quae verba, iam a Petavio uncinis inclusa et pro spuriis iudicata, eieci de auctoritate cod. Veneti.*

res, XLIV. Origenistae, ab Origene, qui etiam Adamantius appellatur. XLV. Pauli Samosatensis, XLVI. Manichaei, qui et Acuanitae, XLVII. Hieracitae, XLVIII. Meletiani, qui in Aegypto schisma conflarunt, XLIX. Ariani, qui et Ariomanitae, L. Audianorum secta, LI. Photiniani, LII. Marcelliani, LIII. Semiariani, LIV. Pneumatomachi sive Macedoniani, et Eleusii discipuli, qui in sanctum dei spiritum contumeliosi sunt, LV. Aëriani, LVI. Aëtiani, qui et Anomoei, quibus adiungitur Eunomius, LVII. Dimoeritae, qui perfectam Christi incarnationem minime confitentur, qui et Apollinaristae nominantur, LVIII. eorum qui Mariam semper virginem, postquam Salvatorem genuit, cum Iosepho consuevisse dicunt, quos Antidicomarianitas appellamus, LIX. eorum qui in nomen eiusdem Mariae collyridem offerunt, et Collyridiani vocantur, LX. Massaliani, ad quos adiunguntur Martyriani, e gentilium secta, et Euphemitae, ac Satanici.

Nunc repetita narratione et in singulos libros distributis haeresibus hoc in brevi compendio declarabo quotnam ex illis haeresibus in priore libro, quot in secundo ac tertio contineantur. Tum in reliquis omnibus caeterorum librorum tomis quot unicuique haereses attributae sunt. Harum itaque omnium series est eiusmodi. In primo libro tomi tres sunt, haereses XLVI suis nominibus conceptae, Barbarismus videlicet, ac Scythismus, Hellenismus, Iudaismus, ac Samaritismus. In secundo libro tomi duo sunt, haereses XXIII. In tertio libro tomi duo, haereses XI. In prioris itaque libri tomo primo haereses XX sunt, Barbarismus, Scythismus, Graecismus, Iudaismus. Graecorum porro discrimina ista sunt: Pythagorei, sive Peripatetici, Stoici, Epicurei. Samaritica haeresis, quae a Iudaismo manavit. Samaritani quatuor in partes tribuuntur, Gorthenos, Sebuaeos, Essenos, Dositheos. Iudaeorum haereses septem: Scribae, Pharisaei, Sadducaei, Hemerobaptistae, Ossaei, Nassaraei, Herodiani. In secundo tomo libri primi haereses XIII

23. *Vulgo* Ἄνομοι. *Cod. Venet.* Ἀνόμιοι.
24. *Ita etiam Ancor. cap.* 13.
25. τὴν ἐνανθρώπησιν Χριστοῦ *cod. Venet.*
26. Ἀπολιναρῖται *cod. Rhedig., pro more. Et sic infra.*
27. *Auget cod. Venet.* τὴν θεοτόκον καὶ ἀεὶ παρθένον.
28. οἱ καὶ *cod. Ven.*
29. Κολλουριδιανοὶ *cod. Venet.*
30. βιβλίον *cod. Venet.*
31. τοῦ *om. cod. Venet.*
32. τῷ *om. cod. Venet.*
33. Πυθαγόριοι *cod. Venet.*
34. Ἐπικούριοι *cod. Ven.*
35. Γοροθηνοὶ *scripturam, non* Γορθηνοὶ, *uti vulgo editum est, cod. Venet. fere ubique tuetur, cum quo conspirant passim et caeteri codd. mss.* Γοροθηνοὶ *appellantur etiam in cod. Baluz. Parisino qui Nicetae Choniatae Thesaurum continet.*
36. Δωσίθεοι *cod. Venet, fere ubique.*
37. ὀσαῖοι *cod. Rhedig.*

*μωνιανοί, Μενανδριανοί, [38]Σατορνιλιανοί, Βασιλειδιανοί, Νικολαΐται, Γνωστικοί, οἱ καὶ Στρατιωτικοὶ καὶ Φιβιωνῖται, [39]οἱ αὐτοὶ δὲ παρά τισι Σεκουνδιανοί, παρὰ δὲ ἄλλοις [40]Σωκρατῖται, παρὰ δὲ ἑτέροις Ζακχαῖοι, οἱ καλούμενοι καὶ Κοδδιανοὶ καὶ Βορβορῖται καὶ Βαρβηλῖται, [41]Καρποκρατῖται, Κηρινθιανοί, [42]οἱ καὶ Μηρινθιανοί, Ναζωραῖοι, Ἐβιωναῖοι, [43]Οὐαλεντινιανοί, Σεκουνδιανοί, οἷς συνάπτονται [44]Ἐπιφανὴς καὶ Ἰσίδωρος, Πτολεμαῖοι. Ἐν δὲ τῷ τρίτῳ τόμῳ τοῦ αὐτοῦ πρώτου βιβλίου αἱρέσεις δεκατρεῖς οὕτως· Μαρκώσιοι, Κολορβάσιοι, Ἡρακλεωνῖται, Ὀφῖται, Καϊανοί, Σηθιανοί, Ἀρχοντικοί, Κερδωνιανοί, [45]Μαρκιωνισταί, Λουκιανισταί, [46]Ἀπελληϊανοί, Σευηριανοί, Τατιανοί. Αὕτη ἡ ἀνακεφαλαίωσις τοῦ πρώτου βιβλίου τῶν τριῶν τόμων. Τοῦ δὲ δευτέρου βιβλίου τόμοι δύο. Ἐν πρώτῳ μὲν τόμῳ τοῦ δευτέρου βιβλίου, τετάρτῳ δὲ ὄντι κατὰ τὴν ἀπ' ἀρχῆς ἀκολουθίαν τοῦ ἀριθμοῦ, αἱρέσεις δεκαοκτὼ οὕτως· Ἐγκρατῖται, κατὰ [47]Φρύγας τῶν καὶ Μοντανιστῶν καὶ Τασκοδρουγιτῶν· οἱ δὲ Τασκοδρουγῖται διῃρέθησαν ἀπὸ τῶν προειρημένων· Πεπουζιανοί, καὶ [48]Κυϊντιλλιανοί, οἷς συνάπτονται Ἀρτοτυρῖται· Τεσσαρεσκαιδεκατῖται, οἱ τὸ Πάσχα μίαν ἡμέραν τοῦ ἔτους ποιοῦντες· Ἄλογοι, οἱ τὸ εὐαγγέλιον Ἰωάννου καὶ τὴν Ἀποκάλυψιν μὴ δεχόμενοι· Ἀδαμιανοί, Σαμψαῖοι, οἱ καὶ Ἐλκεσαῖοι, Θεοδοτιανοί, Μελχισεδεκιανοί, Βαρδησιανισταί, Νοητιανοί, Οὐαλήσιοι, Καθαροί, Ἀγγελικοί, Ἀποστολικοί, οἱ καὶ Ἀποτακτικοί, οἷς συνάπτονται οἱ καλούμενοι Σακκοφόροι· Σαβελλιανοί, Ὠριγενιανοί, οἱ αἰσχροποιοί, Ὠριγενιανοί, οἱ τοῦ Ἀδαμαντίου. Ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ αὐτοῦ δευτέρου βιβλίου, πέμπτῳ τε ὄντι [49]κατὰ τὸν ἀριθμὸν τὸν προειρημένον, αἱρέσεις πέντε οὕτως· [50]Παύλου τοῦ Σαμοσατέως, Μανιχαῖοι, οἱ καὶ Ἀκουανῖται, Ἱερακῖται, Μελητιανοί, [51]τῶν ἐν τῇ Αἰγύπτῳ σχίσμα, Ἀρειανοί. Αὕτη καὶ ἡ τοῦ δευτέρου βιβλίου τῶν τόμων ἀνακεφαλαίωσις. Ὁμοίως καὶ ἐν τῷ τρίτῳ βιβλίῳ εἰσὶ τόμοι δύο· ἐν μὲν τῷ πρώτῳ τόμῳ τοῦ τρίτου βιβλίου, ἕκτου δὲ τόμου καθ' ὃν ἀριθμὸν [52]προείπομεν, αἱρέσεις ἑπτὰ [53]οὕτως· Αὐδιανοί, σχίσμα ὄντες, Φωτεινιανοί, Μαρκελλιανοί, Ἡμιάρειοι, Πνευματομάχοι, οἱ τὸ πνεῦμα τοῦ θεοῦ τὸ ἅγιον βλασφημοῦντες, Ἀεριανοί, [54]Ἀετιανοί, ἀπὸ Ἀετίου τοῦ Ἀνομοίου, ᾧ συνήφθη Εὐνόμιος, ὁ καὶ Ἀνόμοιος. Ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ αὐτοῦ τρίτου βιβλίου, ἑβδόμῳ δὲ τόμῳ ὄντι, καθ' ἣν εἴπομεν τῶν τόμων τοῦ ἀριθμοῦ διαίρεσιν, ὅς ἐστι τόμος ἕβδομος καὶ τέλος τῆς πραγματείας, αἱρέσεις τέσσαρες [55]οὕτω· Διμοιρῖται, οἱ μὴ τελείαν τὴν*

38. Σαρτορνιλιανοὶ *cod. Rhedig. Et ita etiam supra.*

39. *Sic cod. Venet. Vulgo extat* οἱ αὐτοί, παρὰ δέ τισι.

40. *Verba* Σωκρατῖται (*cod.* Σωκρατεῖται), παρὰ δὲ ἑτέροις, *quae vulgo absunt, reposui ex auctoritate cod. Veneti.*

41. καὶ Καρποκρατῖται *cod. Ven.*

sunt: Simoniani, Menandriani, Saturniliani, Basilidiani, Nicolaitae, Gnostici, qui et Stratiotici, ac Phibionitae, ab aliis vero Secundiani, ab aliis Zacchaei, nec non Coddiani et Borboritae ac Barbelytae dicuntur, Carpocratitae, Cerinthiani, qui et Merinthiani, Nazoraei, Ebionaei, Valentini, Secundiani, quibus accedunt Epiphanes et Isidorus, Ptolemaei. In tertio autem tomo prioris libri haereses itidem XIII sunt: Marcosii, Colorbasii, Heracleonitae, Ophitae, Caiani, Sethiani, Archontici, Cerdoniani, Marciones, Lucianistae, Appelleiani, Severiani, Tatiani. Haec est summa tomorum trium primi libri. Secundi vero libri tomi duo sunt, cuius in priore tomo, qui quartus est, si tomos deinceps ab initio numeres, haereses XVIII continentur hoc modo: Encratitae, Cataphryges, qui et Montanistae ac Tascodrugitae, Pepuziani, qui et Quintiliani, quibus adiunguntur Artotyritae, Tessarescaedecatitae, qui Pascha in eandem anni diem coniiciunt, Alogi, qui et Evangelium et Apocalypsin Ioannis repudiant, Adamiani, Sampsaei, qui et Helcesaei, Theodotiani, Melchisedeciani, Bardesianistae, Noëtiani, Valesii, Cathari, Angelici, Apostolici, qui etiam Apotactici, quibus annexi sunt Saccophori, Sabelliani, Origenistae, foeditatis auctores, Origenistae ab Origine Adamantio. In secundo autem tomo eiusdem libri, qui priore illa numerandi ratione quintus est, haereses quinque sunt: Pauli Samosatensis, Manichaei, qui et Acuanitae, Hieracitae, Meletiani, qui in Aegypto schisma fecerunt, Ariani. Atque haec est tomorum libri secundi summa. Similiter et in tertio libro tomi duo sunt. In primo tomo tertii libri, sexto autem eo quem diximus ordine, haereses VII sunt: Audiani, Photiniani, Marcelliani, Semiariani, Pneumatomachi, qui spiritui sancto contumeliose detrahunt, Aëriani, Aëtiani, ab Aëtio Anomoeo, quibus accedit et Eunomius Anomoeus. In secundo vero tomo eiusdem tertii libri, septimo autem ex divisione illa quam diximus, quique operis totius postremus est, haereses quatuor sunt: Dimoeritae,

42. οἱ καὶ *cod. Ven. Vulgo* οἳ καὶ.

43. Οὐαλεντινοὶ *cod. Ven. Vulgo* Οὐαλεντῖνοι.

44. ἐπιφάνης καὶ ἠσίδωρος *cod. Ven.*

45. *Libri omnes* Μαρκίωνες, *uti supra.*

46. *Ita cod. Rhedig. et libri editi.* Ἀπελλιανοὶ *cod. Venet.*

47. *Vulgo* κατὰ Φρυγαστῶν Μοντανιστῶν. *Cf. supra quae annotavimus. Cod. Venet. habet* κατὰφρυγαστων καὶ Μοντανιστῶν. *Repono* κατὰ Φρύγας, οἱ καὶ Μοντανισταὶ καὶ Τασκοδρουγῖται.

48. Κυϊντιλιανοὶ *cod. Venet.*

49. κατὰ *adieci ex cod. Veneto.*

50. Παύλου τοῦ Σαμοσατέως *cod. Venet. Vulgo* Παυλιανισταί.

51. τῶν ἐν τῇ Αἰγύπτῳ σχίσμα *cod. Venet. Vulgo* σχίσμα ἐν Αἰγύπτῳ.

52. προείπαμεν *cod. Venet.*

53. *Sic cod. Ven. Vulgo* οὕτω.

54. Ἀετιανοὶ ἀπὸ *om. cod. Venet.*

55. οὕτως *cod. Venet.*

*Χριστοῦ ἐνανθρώπησιν ὁμολογοῦντες, οἱ καὶ Ἀπολιναρῖται,* [56] *καὶ οἱ τὴν ἁγίαν τὴν ἀειπάρθενον μετὰ τὸ τὸν σωτῆρα γεγεννηκέναι τῷ Ἰωσὴφ συνῆφθαι λέγοντες, οὓς ἐκαλέσαμεν Ἀντιδικομαριανίτας· καὶ οἱ εἰς ὄνομα τῆς* [57] *αὐτῆς Μαρίας* [58] *κολλυρίδα προσφέροντες, οἵτινες καλοῦνται* [59] *Κολλυριδιανοί, Μασσαλιανοί, καὶ περὶ τῆς ὀρθῆς πίστεως καὶ ἀληθείας ἀπολογία μετ' ἐπιτομῆς τοῦ λόγου, ἥτις ἐστὶν ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.*

*Αὕτη ἡ ἀνακεφαλαίωσις καὶ ἐπιγραφὴ τῆς πάσης κατὰ αἱρέσεων ὀγδοήκοντα πραγματείας, καὶ* [60] *μιᾶς τῆς ὑπὲρ ἀληθείας ἀπολογίας τῆς μόνης, τουτέστι τῆς καθολικῆς καὶ ὀρθοδόξου ἐκκλησίας, ἐν τρισὶ μὲν βιβλίοις ὑποκειμένοις* [61] *συντεταγμένης, ἐν ἑπτὰ δὲ τόμοις διαιρεθείσης.*

## [62] Τάδε ἔνεστιν Ἀνακεφαλαίωσις πρώτου τόμου τοῦ πρώτου βιβλίου, τοῦ κατὰ τῶν εἴκοσι αἱρέσεων ἐλέγχου οὕτω·

*Πρῶτον μὲν αἱ τῶν αἱρέσεων πασῶν μητέρες τε καὶ πρωτότυποι καὶ ὀνομασίαι, ἐξ ὧν μητέρες πέντε αἱ ἄλλαι ἐφύησαν, καὶ εἰσὶν αὗται πρῶται τέσσαρες.*

α΄. *Πρώτη Βαρβαρισμός, ἥτις καθ' ἑαυτήν ἐστι, διαρκέσασα ἀφ' ἡμερῶν τοῦ Ἀδὰμ ἐπὶ δέκα γενεάς, ἕως τοῦ Νῶε. Βαρβαρισμὸς δὲ κέκληται ἀπὸ τοῦ μὴ τοὺς τότε ἀνθρώπους ἀρχηγόν τινα ἔχειν, ἢ μίαν συμφωνίαν, ἀλλ' ὅτι πᾶς τις ἑαυτῷ ἐστοίχει, καὶ νόμος ἑαυτῷ κατὰ τὴν προτίμησιν τοῦ ἰδίου βουλήματος ἐγίνετο.*

β΄. *Δευτέρα Σκυθισμός, ἀπὸ τῶν ἡμερῶν τοῦ Νῶε, καὶ μετέπειτα, ἄχρι τῆς τοῦ πύργου οἰκοδομῆς καὶ Βαβυλῶνος, καὶ μετὰ τὸν τοῦ πύργου χρόνον ἐπὶ ὀλίγοις ἔτεσι, τουτέστι Φαλὲκ καὶ Ῥαγαοῦ, οἵτινες ἐπὶ τὸ τῆς Εὐρώπης κλῖμα νενευκότες τῷ τῆς Σκυθίας μέρει καὶ τοῖς αὐτῶν* [63] *ἔθνεσι προσεκρίθησαν, ἀπὸ τῆς τοῦ Θήρας ἡλικίας, καὶ ἐπέκεινα, ἐξ οὗπερ οἱ Θρᾷκες γεγόνασι.*

γ΄. *Τρίτη Ἑλληνισμός, ἀπὸ τῶν χρόνων τοῦ Σερούχ ἐναρξάμενος διά* [64] *τοι τῆς εἰδωλολατρίας, καὶ ὡς ἐστοίχουν τὸ τηνικαῦτα ἕκαστος κατά τινα δεισιδαιμονίαν, ἐπὶ τὸ μᾶλλον πολιτικώτερον καὶ ἐπὶ ἔθη* [65] *καὶ θεσμοὺς εἰδώλων μέν τοί γε ἐναρξάμενα τάττεσθαι τὰ τῶν ἀνθρώπων γένη· οἷς τότε στοιχήσαντες* [66] *ἐθεοποίουν, διὰ μὲν χρωμάτων διαγράφοντες τὴν ἀρχήν, καὶ ἀπεικονίζοντες τοὺς πάλαι παρ'*

56. καὶ οἱ cod. *Venet.*, *et sic legitur etiam supra. Vulgo* οἱ καί.
57. αὐτῆς *om. cod. Venet.*
58. κολλουρίδα *cod. Venet.*
59. Κολλουριδιανοὶ *cod. Venet. Cf. supra.*
60. μιᾶς *rescripsi Cornarium secutus, qui unius reddidit. Libri habent* μία.
61. συντεταγμένης — — διαιρεθείσης *reposui, cum libros praebere viderem* συντεταγμένη — — διαιρεθεῖσα. *Sententia enim postulat ut haec participia referantur ad* πραγματείας, *non ad* ἀνακεφαλαίωσις καὶ ἐπιγραφή. *Nisi malueris distinguere ita atque corrigere:* ἐκκλησίας. Ἐν τρισὶ μὲν — — συντεταγμένα — — διαιρεθεῖσα τάδε ἔνεστιν.

qui non perfectam Christi incarnationem confitentur, qui etiam Apollinaritae nominantur, tum qui sanctam Mariam semper virginem, postquam salvatorem genuit, cum Iosepho consuevisse dicunt, quos Antidicomarianitas nominamus, et qui in nomen eiusdem Mariae collyridas offerunt, qui vocantur Collyridiani, Massaliani, quibus adiuncta postremo est catholicae fidei ac veritatis compendiaria defensio. In qua sancta, catholica et apostolica ecclesia consistit.

Eiusmodi est summa comprehensio ac totius operis adversus octoginta haereses inscriptio, cum unica ac singulari defensione veritatis, hoc est unius ecclesiae atque catholicae. Quod opus distributum in partes tres tomos septem complectitur.

## Nunc aliam deinceps tomi I libri I summam ac compendium instituemus, quo quidem in libro viginti haereses continentur.

Imprimis enim haereseon omnium matres ac primariae appellationes, a quibus caeterae dimanarunt, sunt eiusmodi:

I. Primus est Barbarismus, qui per seipsum ab Adamo ad decem generationes et Noëmi tempora perseveravit. Qui Barbarismus propterea dicitur quod vetustissimi illi mortalium neque certum aliquem auctorem habebant, nec inter se consentiebant, sed unusquisque pro sua voluntate vitam instituebat, ac pro lege suum quisque nutum atque arbitrium sibi proponebat.

II. Scythismus a Noëmi temporibus ad usque turris et Babylonis exaedificationem, ac post turrim paucis adhuc annis obtinuit, Luc. 3, 35.
hoc est usque ad Phalac et Rhagau, qui ad Europam transeuntes in Scythiam ac nationes eiusmodi penetrarunt ab Thare temporibus et vita, a quo Thraces oriundi sunt.

III. Hellenismus coepit a Seruchi temporibus. Unde idolorum cultus initium habuit. Cumque tunc temporis falsa quisque superstitione duceretur, deinceps civiliorem ad usum et ad certas leges simulacrorumque ritus homines sese transtulerunt. Quorum ex praescripto sibi deos finxerunt. Ac primum eos quos in honore

62. *Vulgo* τὰ δὲ ἔνεστιν. *Placeret* Τάδε δὲ ἔνεστιν.

63. *Correxi* ἔθνεσι *pro* ἔτεσι, *quod vulgo legitur. Illud iam ante Petavium suspicatus erat Cornarius, cum verteret,* et ipsorum gentibus adiudicati sunt.

64. *Pro* τοι *est* τὸ *in loco gemello Anacephalaeoseos.*

65. *Vulgata distinctio, quae sententiam per se impeditam obscurat, est:* ἔθη καὶ θεσμούς. εἰδώλων *cett. Sed recte interpretatus est Petavius; etsi verba* διά τοι τῆς εἰδωλολατρίας *non satis accurate reddiderit. Participium* ἐναρξάμενα *parum commode sibi indulsit scriptor pro finito. Paris autem licentiae exempla in eo non rara.*

66. ἐθεοποιοῦντο *legitur in Anacephalaeosi. Ita etiam infra I, 7. in loco gemello* ἐθεοποιήσαντο.

αὐτοῖς τετιμημένους, ἢ τυράννους, ἢ γόητας, ἤ τινάς τι δράσαντας ἐν τῷ βίῳ, μνήμης τι δοκοῦν ἄξιον, δι' ἄλκης [67] τι, ἢ σωμάτων εὐρωστίας, ἔπειτα δὲ ἀπὸ τῶν χρόνων τοῦ Θάῤῥα, τοῦ πατρὸς Ἀβραὰμ, καὶ δι' ἀγαλμάτων τὴν πλάνην τῆς εἰδωλολατρίας εἰςηγησάμενοι, τοὺς ἑαυτῶν προπάτορας δι' ἀπεικονισμῶν τετιμηκότες, καὶ τοὺς πρὸ αὐτῶν τετελευτηκότας τεχνησάμενοι, ἐκ [68] κεραμικῆς ἐπιστήμης τὸ πρῶτον, ἔπειτα ἑκάστης τέχνης μιμησαμένης, οἰκοδόμοι μὲν λίθον ξέσαντες, ἀργυροκόποι δὲ καὶ χρυσοχόοι διὰ τῆς ἰδίας ὕλης τεκτηνάμενοι, οὕτω καὶ τέκτονες, καὶ οἱ καθεξῆς. Αἰγύπτιοι δὲ ὁμοῦ καὶ Βαβυλώνιοι, καὶ Φρύγες, καὶ Φοίνικες ταυτησὶ τῆς θρησκείας πρῶτοι εἰςηγηταὶ γεγόνασιν, ἀγαλματοποιΐας τε καὶ μυστηρίων, ἀφ' ὧν τὰ πλεῖστα εἰς Ἕλληνας μετηνέχθη ἀπὸ τῆς Κέκροπος ἡλικίας, καὶ καθεξῆς· μετέπειτα δὲ καὶ ὑστέρῳ πολὺ τοὺς περὶ Κρόνον καὶ Ῥέαν, Δία τε καὶ Ἀπόλλωνα, καὶ καθεξῆς θεοὺς, ἀναγορεύσαντες.

Ἕλληνες δὲ κέκληνται ἀπὸ Ἕλληνός τινος ἀνδρὸς τῶν ἐν τῇ Ἑλλάδι κατῳκηκότων, ὡς δὲ ἕτεροί φασιν, ἀπὸ τῆς ἐλαίας τῆς ἐν Ἀθήναις βλαστησάσης. Ἴωνες δὲ τούτων ἀρχηγοὶ γεγόνασιν, ὡς ἔχει ἡ ἀκρίβεια, ἀπὸ τοῦ [69] Ἰωϋὰν, ἑνὸς ἀνδρὸς τῶν τὸν πύργον οἰκοδομησάντων, ὅτε αἱ γλῶσσαι διεμερίσθησαν τῶν πάντων. Δι' ἣν αἰτίαν καὶ Μέροπες πάντες κέκληνται, διὰ τὴν μεμερισμένην φωνήν. Ὕστερον δὲ ὁ Ἑλληνισμὸς εἰς αἱρέσεις κατέστη κατωτέρῳ τῷ χρόνῳ, φημὶ δὲ Πυθαγορείων, καὶ Στωϊκῶν, καὶ Πλατωνικῶν, καὶ Ἐπικουρείων, καὶ λοιπῶν. Θεοσεβείας δὲ χαρακτὴρ ὑπῆρχεν ἅμα καὶ ὁ κατὰ φύσιν νόμος, πολιτευόμενος ἀπὸ τούτων τῶν ἐθνῶν, ἑαυτὸν ἀφορίζων ἀπὸ τῆς τοῦ κόσμου καταβολῆς καὶ δεῦρο, μέσος τυγχάνων Βαρβαρισμοῦ, καὶ Σκυθισμοῦ, καὶ Ἑλληνισμοῦ, ἕως ὅτου συνήφθη τῇ τοῦ Ἀβραὰμ θεοσεβείᾳ.

δ'. Καὶ μετέπειτα Ἰουδαϊσμὸς, ἀπὸ τῶν χρόνων Ἀβραὰμ τὸν χαρακτῆρα εἰληφὼς καὶ ἐν Μωϋσῇ, ἑβδόμῳ ἀπὸ Ἀβραὰμ, διὰ τοῦ αὐτῷ δοθέντος νόμου ὑπὸ τοῦ θεοῦ πλατυνθεὶς, ἀπὸ δὲ τοῦ Ἰούδα, τετάρτου υἱοῦ τοῦ Ἰακὼβ, τοῦ ἐπικληθέντος Ἰσραὴλ, διὰ Δαβὶδ τοῦ πρώτου βασιλεύσαντος ἀπὸ τῆς τοῦ αὐτοῦ Ἰούδα φυλῆς τὸ τέλειον τοῦ Ἰουδαϊσμοῦ ὄνομα κεκληρωμένος. Σαφῶς γὰρ περὶ τούτων τῶν τεσσάρων αἱρέσεων ὁ ἀπόστολος ἐπιτεμὼν ἔφη, Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐ Βάρβαρος, οὐ Σκύθης, οὐχ Ἕλλην, οὐκ Ἰουδαῖος, ἀλλὰ καινὴ κτίσις.

Ἑλλήνων διαφοραί·

ε'. Πυθαγόρειοι, εἴτ' οὖν Περιπατητικοί. Τὴν μονάδα καὶ πρό-

67. Rescripsi δι' ἄλκης τι pro δι' ἄλκης τε, quod libri et h. l. et in Anacephalaeosi praebent.

quondam habuissent, sive tyrannos, aut praestigiatores, qui memorabile quiddam in vita fecerant ac fortitudinis et roboris illustre specimen ediderant, depingere coloribus et assimilare solebant. Postea vero ab Thare patris Abraami tempore simulacris ac statuis eundem errorem idololatriae propagarunt. Quippe majores suos simulacris honestantes ac mortuos primum arte figlina statuas effinxerunt, tum ad omnes artes imitandi pervenit industria. Nam et architecti sectis lapidibus, argentarii et aurifices, nec non fabri sua quique materia, ac reliqui deinceps effigies moliti sunt. Primi omnium Aegyptii ac Babylonii, nec non Phryges, ac Phoenices superstitiosi cultus et simulacrorum ac mysteriorum auctores extiterunt. A quibus pleraque sunt ad Graecos translata, iam tum ab aetate Cecropis, et deinceps. Postea vero longo demum intervallo Saturnum, Rheam, Iovem, Apollinem, ac reliquos deos celebrare coeperunt.

Graeci nomen ab Hellene quodam sortiti sunt, qui in Graecia degens ei regioni appellationem indidit. Sunt qui ab elaea, hoc est oliva, quae Athenis exorta est, nuncupatos esse velint. Huius generis auctores ac conditores Iones fuerunt, ut ex accuratiore historia constat, qui ab Iavan quodam appellati sunt, uno ex iis qui tur- Luc. 3, 30.
rim extruxerunt. Quam ob caussam Meropes omnes vocati sunt ab divisione linguarum. Postea vero recentioribus temporibus Graeca superstitio certas in haereses ac sectas abiit, utputa Pythagoreorum, Stoicorum, Platonicorum, Epicureorum etc. Eodem porro tempore propria forma ac nota verae pietatis et religionis extitit, una cum lege naturae, quae ab origine mundi sese ab illis nationibus perpetuo segregavit, ad hanc usque diem, inter barbaram, Scythicam Graecamque superstitionem interiecta, donec cum Abraami pietate coaluit.

IV. Tum vero Iudaismus ab Abraami temporibus propriam formam adeptus, ac per Moysen, ab Abraamo septimum, ac legem a deo traditam amplificatus, et ab Iuda, quarto Iacobi filio, qui et Israël nominatus est, per Davidem, qui primus e tribu Iuda regnum assecutus est, perfectum Iudaismi nomen obtinuit. Perspicue enim apostolus de IV illis haeresibus summatim loquens ista dixit: *In* Col. 3, 11.
*Christo enim Iesu neque barbarus, neque Scytha, neque Graecus, neque Iudaeus, sed nova creatura.*

Graecorum porro ista sunt discrimina:

V. Pythagorei, sive Peripatetici, monadem et providentiam as-

68. χεραμιχῆς *cod. Rhedig. et edit. princ.* χεραμειχῆς *edit. Petav. In Anaceph. extat* Ἴωνος. *Apud Pseudo-Origenem pag.* 333. *ed. Mill.* Ἰωύαν.
69. Ἰωΰνᾶν *cod. Rhedig. et edit. princ.*

*πρόνοιαν καὶ τὸ κωλύειν θύεσθαι, τοῖς δῆθεν θεοῖς, Πυθαγόρας ἐδογμάτισεν, ἐμψύχων τε μὴ μεταλαμβάνειν, ἀπὸ οἴνου δὲ ἐγκρατεύεσθαι. Διώριζε δὲ ἅμα τὰ ἀπὸ σελήνης καὶ τὰ ἄνω ἀθάνατα λέγων, τὰ δὲ ὑποκάτω θνητὰ, μεταγγισμούς τε ψυχῶν ἀπὸ σωμάτων εἰς σώματα, ἄχρι ζώων καὶ κνωδάλων. Σιωπὴν δὲ ἅμα ἀσκεῖν ἐπὶ χρόνον πέντε ἐτῶν ἐδίδασκε· τὸ τελευταῖον δὲ ἑαυτὸν θεὸν ὠνόμασε.*

*ς΄. Πλατωνικοὶ θεὸν, καὶ ὕλην, καὶ εἶδος, καὶ τὸν κόσμον γεννητὸν καὶ φθαρτὸν* [70] *ὑπάρχον, τὴν ψυχὴν δὲ ἀγέννητον καὶ ἀθάνατον καὶ θείαν· εἶναι δὲ αὐτῆς τρία μέρη, λογικὸν, θυμικὸν, ἐπιθυμητικόν· τὰς δὲ γυναῖκας κοινὰς τοῖς πᾶσι γίνεσθαι, καὶ μηδένα μίαν ἔχειν γαμετὴν ἰδίαν, ἀλλὰ τοὺς θέλοντας ταῖς βουλομέναις συνεῖναι· μεταγγισμὸν δὲ ὡςαύτως ψυχῶν εἰς σώματα διάφορα, ἄχρι κνωδάλων, ὁμοῦ δὲ καὶ θεοὺς ἐκ τοῦ ἑνὸς πολλοὺς ἐδογμάτισε.*

*ζ΄. Στωϊκοὶ σῶμα τὸ πᾶν δογματίζοντες, καὶ τὸν αἰσθητὸν τοῦτον κόσμον θεὸν νομίζοντες. Τινὲς δὲ ἐκ τῆς τοῦ πυρὸς οὐσίας τὴν φύσιν ἔχειν αὐτὸν ἀπεφήναντο. Καὶ τὸν μὲν θεὸν νοῦν ὁρίζουσι, καὶ ὡς ψυχὴν παντὸς τοῦ ὄντος κύτους, οὐρανοῦ καὶ γῆς, σῶμα δὲ αὐτοῦ τὸ πᾶν, ὡς ἔφην, καὶ ὀφθαλμοὺς τοὺς φωστῆρας· τὴν δὲ σάρκα πάντων ἀπόλλυσθαι, καὶ τὴν ψυχὴν πάντων μεταγγίζεσθαι ἀπὸ σώματος εἰς σῶμα.*

*η΄. Ἐπικούρειοι ἄτομα καὶ ἀμερῆ σώματα, ὁμοιομερῆ τε καὶ ἄπειρα τὴν ἀρχὴν εἶναι τῶν πάντων ὑπεστήσαντο, καὶ τέλος εἶναι εὐδαιμονίας τὴν ἡδονὴν ἐδογμάτισαν, καὶ μήτε θεὸν μήτε πρόνοιαν τὰ πράγματα διοικεῖν.*

*θ΄. Σαμαρειτισμὸς, καὶ οἱ ἀπ' αὐτοῦ Σαμαρεῖται· ὅς ἐστιν ἀπὸ Ἰουδαϊσμοῦ, πρὸ μὲν τοῦ καταστῆναι αἱρέσεις εἰς Ἕλληνας καὶ πρὸ τοῦ συστῆναι αὐτῶν τὰ δόγματα,* [71] *μετὰ δὲ τοῦ εἶναι Ἑλλήνων τὴν θρησκείαν καὶ μέσον τοῦ Ἰουδαϊσμοῦ τὴν πρόφασιν εἰληφὼς, ἀπὸ τῶν χρόνων Ναβουχοδονόσορ καὶ τῆς τῶν Ἰουδαίων αἰχμαλωσίας. Μέτοικοι δὲ ὄντες ἀπὸ Ἀσσυρίων εἰς τὴν Ἰουδαίαν, καὶ λαβόντες τὴν Πεντάτευχον μόνην Μωϋσέως, τοῦ βασιλέως αὐτοῖς ἀποστείλαντος ἀπὸ Βαβυλῶνος διὰ ἱερέως Ἔσδρα καλουμένου, τὰ πάντα ἔχοντες* [72] *ἴσα Ἰουδαίων, πλὴν τοῦ βδελύττεσθαι τὰ ἔθνη, καὶ μήτε προςψαύειν τινῶν, καὶ πλὴν τοῦ ἀρνεῖσθαι νεκρῶν ἀνάστασιν, καὶ τὰς ἄλλας προφητείας τὰς μετὰ* [73] *Μωϋσέα. Σαμαρειτῶν* [74] *δὲ ἔθνη τέσσαρα.*

70. ὑπάρχειν *legitur in Anacephal.*

71. *Male haec verba interpretatus est Petavius. Dicit enim Epiphanius Samaritismum ortum esse ante quam Graecorum haereses philosophicae diffusae et varia earum placita constituta sint, sed eo-*

seruerunt, diis qui vulgo habentur sacrificare, animatis vesci, ac vino uti prohibuit Pythagoras. Idem quae ab luna sursum patent, immortalia, quae inferiora sunt, mortalia dicebat. Animas e corporibus in alia corpora, etiam animalium ac bestiarum, transfundi. Ad haec quinquennale interim silentium observari praecepit, ac postremo deum haberi se voluit.

VI. Platonici deum, et materiam, ac formam constituerunt. Mundum genitum ac corruptioni obnoxium, animam ingenitam et immortalem, ac divinam arbitrati sunt. Huius tres esse partes, unam ratione praeditam, alteram qua irascimur, tertiam qua concupiscimus. Communes omnibus uxores esse voluit, nemo ut privatam obtineret ac praecipuam, sed ut quilibet quarum vellet copiam haberet. Iidem animarum in varia corpora, etiam bestiarum, transitus affirmabat. Deos denique complures ab uno esse productos.

VII. Stoici corpus universum esse definiunt, et aspectabilem hunc mundum deum esse statuunt. Nonnulli etiam ex igne naturam illius constare defendunt. Deum quippe mentem esse putant, ac vastissimáe totius molis, coeli terraeque videlicet, animam. Cuius corpus, ut dixi, totum hoc sit universum, oculi vero sidera. Omnium interire carnem, et animam in diversa transire corpora sibi persuadent.

VIII. Epicurei atomos et individua corpora similibus constantia partibus, et infinita, rerum omnium principium ac finem esse docuerunt. Summum bonum in voluptate posuerunt, deum ac providentiam ab rerum administratione sustulerunt.

IX. Samaritismus et Samaritae. Huius ab Iudaismo origo deducitur, quae sectarum apud Graecos divortiis et earum decretis ac dogmatibus antiquior est. Graecorum porro superstitionem complexa, et cum Iudaicis dogmatibus aliqua ex parte miscens illa secta circa Nabuchodonozori et Iudaicae captivitatis tempora prodiit. Primi sectae conditores ex Assyriis in Iudaeam transportati quinque duntaxat Moysis libros acceperunt, quos per Esdram sacerdotem rex ad illos Babylone submiserat. Itaque caetera habent cum Iudaeis communia, si hoc unum excipias quod et gentes abominentur, neque quemquam contingere velint, quodque mortuorum resurrectionem, ac caeteras post Moysen prophetias reiiciunt. Samaritanorum est factio divisa in partes quatuor.

*dem tempore ortum esse quo deorum apud Graecos cultus institui sit coeptus, ex sinu ipsius Iudaismi ortum, ab aevo Nabuchodonozori et Iudaicae captivitatis.*

72. *ἴσα restitui ex Anacephalaeosi. Vulgo extat* εἴσιν, *minus commode.*

73. μωσέα *cod. Venet.*

74. δὲ *om. cod. Venet., et Anacephal.*

ι'. [75] *Γοροθηνοί, οἱ [76] ἐν ἄλλοις καιροῖς τὰς ἑορτὰς ἄγοντες παρὰ τοὺς [77] Σεβουαίους.*

ια'. [78] *Σεβουαῖοι, οἱ διὰ τὴν αὐτὴν αἰτίαν τῶν ἑορτῶν πρὸς τοὺς [79] Γοροθηνοὺς διαφερόμενοι.*

ιβ'. *Ἐσσηνοί, μηδ' ὁποτέροις ἐναντιούμενοι, τοῖς δὲ παρατυγχάνουσι συνεορτάζοντες ἀδιαφόρως.*

ιγ'. *Δοσίθεοι, τοῖς αὐτοῖς ἔθεσιν, οἷα δὴ Σαμαρεῖται, ἐμπολιτευόμενοι, περιτομῇ τε καὶ σαββάτῳ καὶ τοῖς ἄλλοις, χρώμενοί τε τῇ Πεντατεύχῳ, περιττότερον δὲ τῶν ἄλλων φυλάττοντες τὸ ἀπέχεσθαι ἐμψύχων, καὶ ἐν νηστείαις [80] δὲ συνεχέστατα βιοῦν· ἔχουσι δὲ καὶ παρθενίαν τινὲς αὐτῶν, ἐγκρατεύονται δὲ ἄλλοι· πιστεύουσι [81] δὲ νεκρῶν ἀνάστασιν, ὅπερ ξένον ἐστὶ Σαμαρείταις.*

*Ἰουδαίων αἱρέσεις ἑπτά·*

ιδ'. *Γραμματεῖς, οἵτινες νομικοὶ μὲν ἦσαν, καὶ δευτερωταὶ παραδόσεων τῶν παρ' αὐτοῖς πρεσβυτέρων, τῇ περιττοτέρᾳ ἐθελοθρησκείᾳ ἔθη φυλάττοντες, ἃ οὐ διὰ τοῦ νόμου μεμαθήκασιν, ἀλλ' ἑαυτοῖς ἐτύπωσαν σεβάσματα δικαιώματος τῆς νομοθεσίας.*

ιε'. *Φαρισαῖοι, ἑρμηνευόμενοι Ἀφωρισμένοι, οἱ τὸ ἀκρότατον βιοῦντες, καὶ δῆθεν τῶν ἄλλων δοκιμώτεροι· παρ' οἷς καὶ νεκρῶν ἀνάστασις, ὡς καὶ παρὰ τοῖς Γραμματεῦσι, καὶ ἡ περὶ ἀγγέλων καὶ πνεύματος ἁγίου, ὅτι ἔστι, συγκατάθεσις, πολιτεία τε διάφορος, ἐγκράτεια ἕως χρόνου, καὶ παρθενία, νηστεία δὲ [82] διὰ τοῦ σαββάτου, ξεστῶν καθαρισμοί, καὶ πινάκων καὶ ποτηρίων, ὡς καὶ οἱ Γραμματεῖς, ἀποδεκατώσεις, καὶ ἀπαρχαί, καὶ ἐνδελεχεῖς εὐχαί, καὶ σχήματα ἐθελοθρησκευτικὰ τῆς ἐνδυμενίας, διά τοι τῆς ἀμπεχόνης καὶ τῶν δαλματικῶν, ἢ τῶν κολοβίων, καὶ πλατυσμοῦ τῶν φυλακτηρίων, τουτέστι σημάτων τῆς πορφύρας καὶ κρασπέδων καὶ ῥοΐσκων ἐπὶ τὰ πτερύγια τῆς ἀμπεχόνης, ἅτινα [83] ταῦτα ἐτύγχανε σημεῖα τῆς παρ' αὐτοῖς ἕως καιροῦ ἐγκρατείας· οἳ καὶ παρεισέφερον γένεσιν καὶ εἱμαρμένην.*

ιϛ'. *Σαδδουκαῖοι, οἱ ἑρμηνευόμενοι Δικαιότατοι, οἳ ἐκ γένους μὲν ἦσαν Σαμαρειτῶν ὁμοῦ καὶ ἱερέως Σαδοὺκ ὀνόματος, νεκρῶν μὲν ἀνάστασιν ἀρνούμενοι, καὶ μὴ παραδεχόμενοι ἄγγελον, μήτε πνεῦμα, τὰ δὲ πάντα ὄντες Ἰουδαῖοι.*

ιζ'. *Ἡμεροβαπτισταί· οὗτοι μὲν κατὰ πάντα Ἰουδαῖοι ἦσαν, ἔφα-*

75. Γορθηνοὶ *cod. Rhedig. et editi libri.*
76. ἐν *om. cod. Venet., et Anacephal.*
77. Σεβουαίους *cod. Venet., et Anacephal. Vulgo* Ἰουδαίους.
78. Σεβουαῖοι διὰ τὴν αὐτὴν *cod. Venet., et Anacephal.* Σεβουαῖοι οἱ διὰ αὐτὴν *cod. Rhedig., et editi libri.*
79. Γορθηνοὺς *cod. Rhedig. et editi libri.*
80. τε *cod. Venet.*

X. Primi sunt Gortheni, qui festos dies aliis quam Hebraei temporibus indicunt.

XI. Alii Sebuaei, qui ob eandem festorum dierum occasionem a Gorthenis dissentiunt.

XII. Tertii sunt Esseni, qui neutri parti repugnant, sed cum iis in quos inciderint sine ullo discrimine festa peragunt.

XIII. Postremi sunt Dosithei, qui iisdem quibus Samaritani institutis utuntur, circumcisionem, sabbatum, ac caetera, itidemque Pentateuchum adhibent. Praecipue vero, ac prae reliquis omnibus, sibi ab animatis temperant, ac perpetuo fere ieiunant. Sunt inter illos qui virginitatem colunt, alii continentiam. Resurrecturos esse mortuos credunt; quod a Samaritanorum dogmate abhorret.

Iudaeorum sectae numero VII:

XIV. Ac primo Scribae, legis periti et traditionum, quas a maioribus acceperant (δευτερώσεις vocabant), observatores fuere, ac ritus omnes superstitiosius caeteris diligentiusque tenuerunt; quos non e lege didicerant, sed sibimetipsis tanquam iustitiae legis singulares cultus ac ceremonias indixerant.

XV. Pharisaei, quos Segregatos interpretari possis, qui sanctissimam vitae rationem professi probitate caeteris antecellere videbantur. Mortuorum apud illos resurrectio, ut et apud Scribas, defenditur. Iidem angelos ac spiritum sanctum esse non negant. Vitae eximium institutum prae se ferunt. Continentiam certum ad tempus, ac virginitatem quoque suscipiunt. Bis hebdomada quaque Luc. 18, 12.
ieiunare, urceos ac discos et pocula saepius eluere, ut et Scribae, soliti. Ad haec decimas et primitias offerre, assidue precari, certos cultus ac superstitiosa vestimentorum genera curiosius affectare; cuiusmodi sunt dalmaticae, ac colobia, et latiora quaedam phylacteria, hoc est segmenta, fimbriaeque purpureae, ac malogranata ad vestium oras appensa, quae temporariae illius continentiae signa praeferebant. Iidem postremo geneses ac fatum introducebant.

XVI. Sadducaeis ab exactissima iustitia nomen est. Qui e Samaritanorum genere a sacerdote quodam Sadoc ortum habuerunt. Mortuorum resurrectionem damnant. Angelum ac spiritum funditus negant, caetera Iudaeorum similes.

XVII. Hemerobaptistae nihil ab Iudaeis praeterquam hoc uno

81. δὲ *cod. Ven., et Anaceph. Vulgo* τε.
82. διὰ *Anacephal., et cod. Ven. Vulgo* δὶς. *Neque id recte convertit Petavius.*
83. ταῦτα *legitur etiam in Anacephalaeosi. Vix dubito quin sit reponendum* πάντα, *quae vocabula haud raro in vett. membranis a librariis confusa deprehenduntur.*

σκον δὲ μηδένα ζωῆς τυγχάνειν αἰωνίου, εἰ μή τι ἂν καθ' ἑκάστην βαπτίζοιτο.

ιη΄. Οσσηνοὶ, οἳ δὴ Ἰταμώτατοι ἑρμηνεύονται. Ἦσαν δὲ οὗτοι τὰ πάντα κατὰ νόμον τελοῦντες, ἐχρῶντο δὲ καὶ γραφαῖς ἑτέραις μετὰ τὸν νόμον, τοὺς δὲ πλείοις τῶν μετέπειτα προφητῶν ἀπεβάλλοντε.

ιθ΄. Νασαραῖοι, ἑρμηνευόμενοι [84] Ἀφηνιασταὶ, πᾶσαν σαρκοφαγίαν ἀπαγορεύουσιν, ἐμψύχων οὐδ' ὅλως μεταλαμβάνουσιν, ἄχρι δὲ Μωϋσέως καὶ Ἰησοῦ τοῦ Ναυῆ τοῖς ἐν τῇ Πεντατεύχῳ ἁγίοις ὀνόμασι πατριαρχῶν κεχρημένοι τε καὶ πιστεύοντες, φημὶ δὲ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τῶν ἀνωτάτω, καὶ αὐτοῦ Μωϋσέως, καὶ Ἀαρὼν, καὶ Ἰησοῦ· τὰς δὲ τῆς Πεντατεύχου γραφὰς οὐκ εἶναι Μωϋσέως δογματίζουσιν, ἄλλας δὲ παρ' αὐτὰς ἔχειν διαβεβαιοῦνται.

κ΄. Ἡρωδιανοὶ, [85] οἳ Ἰουδαῖοι μὲν ἦσαν κατὰ πάντα, Ἡρώδην δὲ Χριστὸν προςεδόκων, καὶ τούτῳ τὸ τοῦ Χριστοῦ ἀπεδίδοσαν γέρας καὶ ὄνομα.

Οὗτος ὁ πρῶτος τόμος, περιέχων [86] κατὰ πασῶν τῶν εἴκοσι τούτων αἱρέσεων. Ἐν αὐτῷ δὲ καὶ ἡ περὶ τῆς Χριστοῦ ἐνδημίας ὑπόθεσις, καὶ ἡ τῆς ἀληθείας ὁμολογία.

84. ἀφηνιασταὶ cod. Venet. et Anacephal. ἀφανισταὶ vulgo extat.

discreparunt, quod neminem aeternae vitae compotem esse posse dicerent nisi quotidio lavaret.

XVIII. Osseni, quorum nomen procacissimos significat. Qui ex praescripto legis omnia faciebant, sed praeterea scripturas adhibebant, et ex posterioribus prophetis plerosque reiiciebant.

XIX. Nassaraeos Extinctores interpretari possis, qui carnis usu prorsus interdicunt. Ab animatis abstinent, patriarchas omnes qui in Pentateucho ad Moysis et Iesu filii Nave tempora continentur adsciscunt, et iis fidem adhibent, cuiusmodi sunt Abraam, Isaac et Iacob, iisque superiores omnes, nec non Moyses ipse cum Aarone, atque Iesu. Caeterum quinque illa volumina Moysis esse non putant, et alia ab iis diversa penes se esse jactitant.

XX. Herodiani, cum Iudaeos in omnibus sese praestarent, Herodem Christum esse profitebantur, eique Christi dignitatem ac nomen affingebant.

Primus iste tomus est, qui haereses XX continet. In eodem de incarnatione Christi ac veritatis professione postremo loco disseritur.

85. *Vulgo* οἱ.

86. *Corrigo* περιέχων τὰ κατὰ *cett.*

pag. 1. ed. Petav.

# * ΕΠΙΦΑΝΙΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΕΙΑΣ ΤΗΣ ΚΥΠΡΟΥ

## *ΚΑΤΑ ΑΙΡΕΣΕΩΝ ΟΓΔΟΗΚΟΝΤΑ ΤΟ ΕΠΙΚΛΗΘΕΝ*

# ΠΑΝΑΡΙΟΝ

## ΕΙΤΟΥΝ ΚΙΒΩΤΙΟΝ.

Κεφ. α'. *Ἀρχόμενος πίστιν τε καὶ ἀπιστίαν, εὐδοξίαν τε καὶ ἑτεροδοξίαν ἀναγγέλλειν τε καὶ λέγειν, μνησθήσομαι τῆς ἀρχῆς τῆς τοῦ κόσμου καταβολῆς καὶ ἀκολουθίας, οὐ διὰ τῆς [1] ἐμαυτοῦ δυνάμεως, οὐδὲ [2] ὑπὸ ἰδίων λογισμῶν ὁρμώμενος, ἀλλ' ὡς ὁ θεὸς ὁ πάντων δεσπότης καὶ ἐλεήμων ἀπεκάλυψε τοῖς ἑαυτοῦ προφήταις, καὶ δι' αὐτῶν ἡμᾶς τῆς τοῦ παντὸς γνώσεως κατὰ τὸ ἐγχωροῦν ἀνθρωπείᾳ φύσει κατηξίωσε. Καὶ ἀρχόμενος περὶ τούτων εὐθὺς διασκοπεῖν πρῶτον μὲν οὐκ ἐν μικρῷ ἀγῶνι καθίσταμαι, ἀλλὰ καὶ σφόδρα δέδια ἐπιβαλλόμενος ἔργῳ οὐ τῷ τυχόντι, καὶ ἐπικαλοῦμαι αὐτὸν τὸν ἅγιον [3] θεὸν*
pag. 2. *καὶ τὸν μονογενῆ αὐτοῦ [4] υἱὸν Ἰησοῦν Χριστὸν, καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα, ὅπως καταυγάσῃ τῆς ἡμετέρας εὐτελείας τὸν νοῦν πρὸς φωτισμὸν τῆς [5] περὶ τούτων γνώσεως. Οἱ μὲν γὰρ τῶν Ἑλλήνων συγγραφεῖς, ποιηταί τε καὶ λογογράφοι, ἐπιβαλλόμενοί τινι μυθώδει συγγράμματι Μοῦσάν τινα ἐπεκαλοῦντο· οὐ γὰρ θεόν. Δαιμονιώδης γὰρ παρ' [6] αὐτοῖς ἡ σοφία καὶ ἐπίγειος, καὶ οὐκ ἄνωθεν κατερχομένη, κατὰ τὸ γεγραμμένον. Ἡμεῖς δὲ ἐπικαλούμεθα τὸν τῶν ὅλων ἅγιον δεσπότην ἀντιλαβέσθαι τῆς ἡμῶν πτωχείας καὶ ἐμπνεῦσαι τὸ ἅγιον αὐτοῦ πνεῦμα, εἰς τὸ μηδὲν παραπεποιημένον εἰς τὴν τῆς ἐπαγγελίας γραφὴν συντάξαι, καὶ αὐτὸ τοῦτο αἰτησάμενοι, τὴν ἑαυτῶν ἀνικανότητα γινώσκοντες, κατὰ [7] τὸ μέτρον τῆς πίστεως καὶ κατὰ ἀναλογίαν δωρήσασθαι τὸν αὐτὸν ἡμῖν παρακαλοῦμεν.*

* *Cod. Venetus titulum habet hunc:* Ἐπιφανίου ἐπισκόπου κατὰ αἱρέσεων τὸ ἐπικληθὲν πανάριον εἴτουν κιβώτιον. *At supra in operis initio ei inscriptum legitur* Τὰ Πανάρια.

Cap. I. — 1. ἐμαυτοῦ, *quam scripturam ex vetere aliquo libro annotatum etiam in marg. edit. Petav. invenio, edidi ex cod. Veneto. Vulgo* ἑαυτοῦ.

2. *Sic codd. Ven. Rhedig. et editi libri. Petavius suspicabatur* ἀπὸ.

# S. EPIPHANII

CONSTANTIAE QUAE IN CYPRO EST EPISCOPI

## ADVERSUS LXXX HAERESES OPUS QUOD

## PANARIUM

SIVE ARCULA INSCRIBITUR.

Instituenti mihi de fide pariter et infidelitate, deque rectis ac perversis dogmatibus sermonem ingredi omnium primo de mundi procreatione, deque iis quae deinceps sunt consecuta, facienda mentio est. Idque ego non meis viribus aut privatis ratiocinationibus fretus aggrediar, sed quatenus quidem dominus omnium ac misericors deus prophetis suis aperuit, eorumque nobis beneficio universarum rerum notitiam, quantum hominum natura fert, impertire dignatus est. Me vero iam tum ipso disputationis initio angit haud mediocriter atque terret suscepti operis magnitudo. Quare sanctissimum illum deum, eiusque filium unicum Iesum Christum, nec non et sanctum eius spiritum appello, ut ad huiusce rei illustrandam cognitionem mentem nostram divina luce perfundat. Ut enim gentiles scriptores, tam poetae quam alterius generis, solent, cum fabulosum aliquod opus instituunt, Musarum implorare quampiam — neque enim deum invocant ii quorum omnis ex daemonum afflatu progressa sapientia est, eademque terrena, nec e superioribus, ut scriptum est, descendens, — ita nos rerum omnium moderatorem ac dominum rogamus ut adesse tenuitati nostrae velit, ac sanctum nobis spiritum immittere, ne quid in opere proposito contexendo falsum et adulterinum misceamus. Quem nos spiritum imbecillitatis nostrae conscii pro fidei modo ac ratione donari nobis magnopere precamur.

Cap. I. — Iac. 3, 15.

3. *Θεόν, quod vulgo desideratur, restitui ex cod. Veneto.*
4. υἱὸν *cod. Ven.* παῖδα *reliqui libri.*
5. περὶ τούτων *cod. Ven.,* τούτου *reliqui libri.*
6. αὐτοῖς *codd. Venet. et Rhediger. Vulgo* αὐτῆς.
7. τὸ *adieci ex cod. Ven.*

Κεφ. β'. *Ἔστω δὲ ὁ σκοπὸς [1] παντὶ τῷ ἐντυγχάνοντι περὶ παντὸς τοῦ ζητήματος, [2] ὡς τῶν καιρῶν ἐστι καὶ χρόνων τὰ [3] ἐφευρήματα ὅσα ἠδυνήθη ὁ [4] μικρὸς ἡμῶν νοῦς ἐξασκηθεὶς καταλαβέσθαι, καὶ οὐ πάντως που ἐπαγγελλόμεθα πάντων τῶν ἐν τῷ κόσμῳ. Ἄφατα γάρ ἐστι καὶ φατά, ἀμύθητά τε καὶ ἐν ἀριθμῷ [5] μὴ [6] καθιστάμενα, καὶ, ὅσον μὲν εἰς ἀνθρώπους ἧκεν, ἀνέφικτα, μόνῳ δὲ τῷ τῶν ὅλων δεσπότῃ γινωσκόμενα. Τὸ δὲ ἐπάγγελμα ἔχει περὶ διαφορᾶς δοξῶν τε καὶ γνώσεων, ἐπαγγελμάτων τε πίστεως [7] ἐκ θεοῦ καὶ ἀπιστίας, αἱρέσεών τε καὶ κακοδόξου γνώμης ἀνθρωπείας ὑπὸ πεπλανημένων ανδρῶν ἐν κόσμῳ ἐσπαρμένης, ἐξότε ἄνθρωπος ἐπὶ γῆς πέπλασται ἄχρι τοῦ ἡμετέρου χρόνου, τουτέστι βασιλείας [8] Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος ἑνδεκάτου ἔτους, καὶ Γρατιανοῦ. Τῶν δὲ ὑφ' ἡμῶν μελλόντων εἰς γνῶσιν τῶν ἐντυγχανόντων ἥκειν αἱρέσεών τε καὶ τῶν ἀνωτάτω τὰ μὲν ἐκ φιλομαθείας ἴσμεν, τὰ δὲ ἐξ ἀκοῆς κατειλήφαμεν, τοῖς δέ τισιν ἰδίοις ὠσὶ καὶ ὀφθαλμοῖς παρετύχομεν, καὶ τῶν μὲν τὰς ῥίζας καὶ τὰ διδάγματα ἐξ ἀκριβοῦς ἐπαγγελίας ἀποδοῦναι πεπιστεύκαμεν, τῶν δὲ μέρος τι τῶν [9] παρ' αὐταῖς [10] γινομένων· ἐξ ὧν τοῦτο μὲν διὰ συνταγμάτων παλαιῶν συγγραφέων, τοῦτο δὲ δι' ἀκοῆς ἀνθρώπων ἀκρι-
pag. 3. βῶς πιστωσαμένων τὴν ἡμῶν ἔννοιαν ἔγνωμεν. Τοῦτο δὲ τὸ πᾶν συνηγάγομεν φρόντισμα, οὐ δι' ἑαυτῶν ἐπιβαλλόμενοι, οὐκ ἐπεντριβέντες ἐπαγγελίαις ὑπερβαινούσαις τὴν ἡμῶν βραχυλογίαν. Καὶ γὰρ καὶ αὐτὸν τοῦτον τὸν λόγον, ὃν συνθεῖναι ηὐδοκήσαμεν θεοῦ βουλήσει, ἐξ ἀνδρῶν [11] φιλοκάλων, ἄλλοθι [12] ἄλλως καὶ ἄλλοτε ἄλλως νυξάντων τὴν ἡμῶν ἀσθένειαν, καὶ βιασαμένων ἡμᾶς, ὡς εἰπεῖν, παρελθεῖν εἰς τοῦτο, ὡς ἡ ὑμῶν τιμιότης γράφουσα διὰ [13] προσρητικῶν γραμμάτων ᾔτησεν, ὦ τιμιώτατοί μου ἀδελφοὶ καὶ [14] φιλοκαλώτατοι Ἀκάκιε καὶ Παῦλε συμπρεσβύτεροι· ἐπεὶ οὖν πανταχόθεν οὐκ ἀθεεὶ [15] διασκοπήσας τὰς ψήφους τῶν αἰτήσεων διὰ τὴν ὑπερβάλλουσαν τῶν τοῦ θεοῦ δούλων ἀγάπην [16] εἴσω παρελθεῖν κατηξίωμαι, οὐ δι' εὐεπείας λόγων, οὐ στωμύλοις τισὶ φθογγαῖς, ἀλλ' ἁπλῇ τῇ διαλέκτῳ, ἁπλῷ τῷ λόγῳ, ἀκριβείᾳ δὲ τῶν ἐν τῷ λόγῳ δηλουμένων, ἄρξομαι τοῦ λέγειν.*

Κεφ. γ'. *Καὶ Νίκανδρος μὲν ὁ συγγραφεὺς θηρῶν τε καὶ ἑρπετῶν ἐποιήσατο τῶν φύσεων τὴν γνῶσιν, ἄλλοι δὲ συγγραφεῖς ῥιζῶν τε καὶ*

Cap. II. — 1. παντὶ *om. cod. Venet.*
2. ὅτι *cod. Ven.*
3. ἐφευρήματα *cod. Venet. Vulgo* ὑφευρήματα.
4. σμικρὸς *cod. Ven.*
5. μὴ *non habet cod. Ven.*
6. καθεστάμενα *cod. Rhedig.*
7. τε θεοῦ καὶ ἀπιστείας *cod. Ven.*
8. *IIa cod. Ven. Vulgo* Οὐαλεντινοῦ.
9. παρ' αὐταῖς *correxi cod. Veneti inprimis secutus scripturam, in quo extat* παρ' αὐτοῖς. *Vulgo legitur* ἀπ' αὐτῆς, *quod nihili est.*
10. γιγνομένων *cod. Ven.*
11. φιλοκάλων *cod. Venet. Vulgo* φιλοσόφων.
12. ἄλλων *volebat Petavius.*
13. προςρητικῶν *cod. Ven.* προςφω-

Caeterum qui haec nostra cuiuscumque quaestionis gratia legent, id ante oculos habeant velim, pro temporum occasionumque copia inventa haec esse a nobis omnia, quaecumque pro huius ingenioli facultate investigare potuimus, neque omnium quae in mundo sunt tractationem hoc in opere profiteri. Nam neque percenseri dicendo, neque numero comprehendi possunt, atque ut humanarum virium captum exuperant, ita soli omnium domino perspecta sunt et cognita. Sed ea demum instituti nostri ratio est, ut opiniones cognitionesque varias, ac tam fidei quam infidelitatis professiones, haereses item ac prava dogmata complectar, quae errore circumventi homines toto orbe disseminarunt; ex quo primum humanum genus in terra conditum est ad hodiernum usque tempus, qui est Valentiniani et Valentis annus XI., Gratiani VII. Atque illa quidem, quae de haeresibus aut haeresi omni superioribus institutis disserere ac lectoribus proponere aggredimur, sunt a nobis partim doctrina ac lectione cognita, partim auditione percepta, partim etiam auribus ipsis oculisque subiecta. Ad haec nonnullarum sectarum origines, cum dogmatibus ipsis accurate ita uti professi sumus, traditurus nos esse confidimus; in aliis partem eorum duntaxat attingemus quae ab illis ipsis exorta sunt, quantum quidem vel ex monumentis veterum, vel ex hominum narratione qui plenissimam nobis fidem fecerant haurire potuimus. Sed in eam totam lucubrationem sic incubuimus, non ut per nos ipsos sponte capesseremus, aut in ea nos argumenta perperam immitteremus, quae virium nostrarum exiguitatem superant: neque enim aliunde opus illud, quod prae manibus est, aggressi sumus, quam quod volente deo variis locis ac temporibus nostra ad id agendum sollicitata a sapientibus viris imbecillitas est, imo etiam propemodum coacta. Quorum e numero vos ipsi quoque, Acaci ac Paule, venerandi fratres et honestissimi sacerdotii collegae, idem a me propheticis literis postulastis. Igitur quoniam non sine divino numine ex immensa dei servorum caritate tot in unum video collata petitionum suffragia, quod a me tam enixe flagitatum est, nullo neque orationis cultu neque vocum lenociniis, sed simplicibus verbis rudique sermone, certissima tamen omnium quae proponenda sunt fide, initium dicendi faciam. Cap. II.

Ac Nicander quidem poeta de serpentium ac reptilium natura disseruit. Alii vero scriptores de radicum herbarumque viribus Cap. III.

νητικῶν *coniecit Petavius, et Ios. Scaliger. Vulgo extat* προφητικῶν.

14. *Ita cod. Ven. Vulgo* φιλοχαλότατοι.

15. διασκοπήσας τὰς *dedi ex cod. Veneto. Reliqui libri* διασκοπήσαντας *habent. Ios. Scaligero placuit* διεσκόπησα τάς.

16. εἴσω *cod. Venet.* εἰς ὃ *vulgo extat.*

βοτανῶν τὰς ὕλας, ὡς Διοσκουρίδης μὲν ὁ ὑλοτόμος, Πάμφιλός τε καὶ Μιθριδάτης ὁ βασιλεὺς, Καλλισθένης τε καὶ Φίλων, Ἰόλαός τε ὁ Βιθυνὸς καὶ [1] Ἡρακλείδης ὁ [2] Ταραντινὸς, [3] Κρατεύας ὁ ῥιζοτόμος, Ἀνδρέας τε καὶ Βᾶσσος ὁ Τύλιος, Νικήρατος, καὶ Πετρώνιος Νίγερ, καὶ Διόδοτος, καὶ ἄλλοι τινές. Τῷ δὲ αὐτῷ τρόπῳ καὶ ἡμεῖς τὰς τῶν αἱρέσεων ῥίζας τε καὶ γνώμας πειρώμενοι ἀποκαλύπτειν, οὐ βλάβης [4] ἕνεκεν τοῖς ἐντυγχάνουσιν, ἀλλὰ καθάπερ τοῖς προειρημένοις συγγραφεῦσι διὰ σπουδῆς ἐγένετο οὐ τὸ κακὸν σημᾶναι, ἀλλὰ πρὸς φόβον καὶ ἀσφάλειαν τῆς ἀνθρωπείας φύσεως, εἰς τὸ γινώσκειν τὰ δεινὰ καὶ ὀλετήρια, καὶ προασφαλίζεσθαι, καὶ διαδιδράσκειν σὺν τῇ τοῦ Θεοῦ δυνάμει, διὰ τοῦ προσέχειν καὶ μὴ [5] συναμιλλᾶσθαι, τοῖς δὲ καὶ τοιούτοις περιτυχοῦσι καὶ ὑπὸ τῶν τοιούτων ἐπιβουλευθεῖσιν, ἢ δι' ἐμφυσήματος, ἢ δήγματος, ἢ θεωρίας, οἱ αὐτοὶ [6] ταῦτα μεριμνήσαντες καὶ ἀλεξητήρια ῥιζῶν τε καὶ βοτανῶν προετύπωσαν πρὸς ἀθέτησιν τῆς τῶν προειρημένων ἑρπετῶν μοχθηρίας, οὕτω καὶ ἡμῖν τὸ πόνημα διὰ τῆς τῶν προειρημένων [7] ἀποτροπῆς καὶ [8] ὑμῶν, ποθεινότατοι, εἰς τὸ
pag. 4. ἀποκαλύψαι τῶν δεινῶν ἑρπετῶν καὶ θηρίων μορφάς [9] τε ἀνιαρὰς καὶ δήγματα ὀλετήρια· πρὸς ἀντίθεσιν δὲ τούτων ὅσαπερ δυνάμεθα ἐν συντόμῳ, [10] εἶπου ἓν ἢ δύο ῥήματα, εἰς τὸ ἀνακρούσασθαι μὲν αὐτῶν τὸν ἰὸν, σῶσαι δὲ τὸν βουλόμενον μετὰ τὸν κύριον καὶ [11] κατὰ ἑκουσίαν γνώμην καὶ ἀκουσίαν εἰς τὰ αὐτὰ ἑρπετώδη τῶν αἱρέσεων διδάγματα παραπεπτωκότα, ἀντιδότων δίκην παραθησόμεθα.

Κεφ. δ'. Καὶ γὰρ ἀπαρχῆς Ἀδὰμ τῇ ἕκτῃ ἡμέρᾳ πλασθεὶς ἀπὸ γῆς καὶ λαβὼν τὸ ἐμφύσημα ἐζωογονήθη· οὐ γὰρ, ὥς τινες οἴονται, ἀπὸ πέμπτης ἤρξατο, καὶ ἐν τῇ ἕκτῃ ἐπλάσθη. Ἔσφαλται γὰρ ἡ τῶν λεγόντων τοῦτο διάνοια. [1] Ἁπλοῦς τε ἦν καὶ ἄκακος, οὐκ ὄνομά τι κεκτημένος ἕτερον, οὐ δόξης, οὐ γνώμης, οὐ βίου διακρίσεως ἐπίκλησιν κεκτημένος, ἢ Ἀδὰμ μόνον κληθεὶς, τὸ ἑρμηνευόμενον ἄνθρωπος. Τούτῳ πλάσσεται ἐξ αὐτοῦ ὁμοία αὐτῷ γυνὴ, ἐκ τοῦ αὐτοῦ σώματος [2] καὶ τοῦ αὐτοῦ ἐμφυσήματος· παῖδες δὲ γεννῶνται τούτῳ ἄῤῥενές [3] τε καὶ θήλειαι. Καὶ βιώσας ἔτη ἐννακόσια τριάκοντα τὸ χρέων ἀπέδωκε. Τούτου παῖς Σὴθ, υἱὸς δὲ τούτου [4] Ἐνὼς, καὶ κατὰ διαδοχὴν Καϊνὰν, [5] Μαλελεὴλ, Ἰάρεδ. [6] Ὡς δὲ ἡ παράδοσις ἡ εἰς ἡμᾶς ἐλθοῦσα, ἐντεῦθεν ἤρξατο ἡ κακομηχανία ἐν κόσμῳ γίνε-

Cap. III. — 1. Ἡρακλείδας cod. Ven.

2. *Ita cod. Ven., et editi libri. In cod. Rhedig. extat* Ταραιγινὸς, *quam scripturam in marg. edit. Petav. quoque ex cod. ms. nescio quo annotatam invenio.*

3. κρατεύσας *cod. Rhedig.*

4. ἕνεκα τοῖς ἐντυγχάνειν ἐθέλουσιν *cod. Venet.*

5. συναμιλλᾶσθαι, τοῖς δηλητηρίοις τοιούτοις *cod. Venet. Quod mutandum videtur in* συναμιλλᾶσθαι, τοῖς δὲ δηλητηρίοις, *vel* συναμ., τοῖς δ' ὀλετηρίοις.

6. τὰ αὐτὰ *cod. Ven.*

7. ἀποτροπῆς *cod. Venet.* προτροπῆς *vulgata est scriptura.*

8. ὑμῶν *cod. Venet. Vulgo* ἡμῶν.

commentarios ediderunt, ut Dioscorides herbarius, et Pamphilus, ac Mithridates rex, et Callisthenes, ac Philo, nec non et Iolans Bithynus et Heraclides Tarantinus, et Crateus herbarius, et Andreas ac Bassus Tylius, et Niceratus, ac Petronius Niger, et Diodotus, aliique nonnulli. Quorum exemplo nos haereseon radices et opiniones patefacere conabimur, non ut fraudi lectoribus ista sint, sed quemadmodum quos proxime commemoravi scriptores, non ut malum indicarent ista tradiderunt, sed ut humanum sibi genus caveret ac securitati suae consuleret, dum iis quae perniciosa ac letalia forent cognitis opitulante deo adversus haec munire se ac declinare possent, sibique providerent ipsi, nec cum noxiis illis rebus experiri vellent. Atque ut omnium in gratiam qui in serpentes incurrissent, aut quoquomodo perniciem ab iis contraxissent, sive pestifero quodam afflatu, sive morsu, sive aspectu denique ipso vitiati, iidem illi qui in eiusmodi lucubrationes incubuerant contra illarum virus quaedam ex radicibus atque herbis remedia compararunt, sic nos eiusdem instituti opus istud cum eorum quos ante dixi, tum vestro, fratres carissimi, hortatu suscepimus, ut exitialium serpentum ac bestiarum molestas species ac letiferos morsus explicaremus. In quo quidem hoc una praestabimus, ut adversus illa quicquid in nobis situm erit, paucis, uno scilicet atque altero verbo, velut antidotum opponamus, quo et illorum venena propulsemus et, secundum deum, quemlibet qui vel sponte vel invitus in haeretica illa dogmata velut serpentum virus inciderit, si quidem velit ipse, liberare possimus.

Etenim Adamus initio rerum omnium VI. die de terra formatus, afflatu dei vitali spiritu perfusus est. Neque enim, ut nonnullis placet, quinta die inchoatus sexta demum absolutus est, quod qui asserunt magnopere falluntur. Tum vero simplex atque integer erat, neque altero quopiam nomine aut opinione ac sententia, aut disparis vitae appellatione censebatur; nec aliud quam Adami vocabulum ei impositum erat, quod hominem interpretamur. Ex ipsomet porro similis ei mulier, eodem, inquam, e corpore atque ex eodem afflatu procreata, liberi utriusque sexus geniti sunt. Cumque annos vixisset DCCCCXXX, ex hac vita discessit. Adami filius Sethus extitit, huius Enos, ac deinceps Cainanus, Malaleelus et Iaredus. Hinc, ut a maioribus accepimus, fraus ac scelus in orbem terrarum

Cap. IV.

Gen. 5.

9. τε καὶ ἰοὺς καὶ δήγματα *cod. Venet.*
10. ἤπου *cod. Venet.*
11. καθ' ἐχουσίαν *cod. Ven.*
Cap. IV. — 1. *In marg. edit. Petav. scripturam invenio* ἁπλοῦς οὖν.
2. καὶ *om. cod. Ven.*
3. τε *om. cod. Venet.*
4. *Ita cod. Venet. Vulgo* Ἑνός.
5. *Ita cod. Venet. Vulgo* Μαλαλεήλ.
6. *Citat hunc locum auctor Chronici Pasch. p.* 39 *sq. ed. Bonn.*

σθαι, καὶ ἀπ' ἀρχῆς μὲν διὰ τῆς τοῦ Ἀδὰμ παρακοῆς, ἔπειτα [7] δὲ διὰ τῆς τοῦ Κάϊν ἀδελφοκτονίας, νῦν δὲ, ἐν χρόνοις τοῦ Ἰάρεδ καὶ ἐπέκεινα, φαρμακεία [8] καὶ μαγεία, [9] ἀσέλγεια, μοιχεία [10] τε καὶ ἀδικία. Οὐ γνώμη τις ἑτέρα, οὐ δόξα μετηλλαγμένη, ἀλλὰ μία [11] γλῶσσα καὶ γένος ἓν ἐπὶ γῆς κατ' ἐκεῖνο καιροῦ ἐσπαρμένον. Τούτῳ δὲ τῷ Ἰάρεδ γίνεται παῖς τοὔνομα Ἐνὼχ, ὃς εὐηρέστησε τῷ Θεῷ, καὶ οὐχ ηὑρίσκετο. Μετέθηκε γὰρ αὐτὸν ὁ Θεὸς, καὶ οὐκ εἶδε θάνατον. Ἐνὼχ δὲ γεννᾷ τὸν Μαθουσάλα, Μαθουσάλα τὸν Λάμεχ, Λάμεχ τὸν Νῶε. Καὶ ἡ τοῦ Θεοῦ δικαιοκρισία κατακλυσμὸν ὕδατος ἐπενέγκασα τῇ οἰκουμένῃ πᾶσαν σάρκα ἀνθρώπων τε καὶ τῶν ἄλλων ἐξήλειψεν, ἐφύλαξε [12] δὲ ἐν λάρνακι διὰ προστάγματος τὸν Νῶε, εὐαρεστήσαντα ἐνώπιον αὐτοῦ, καὶ εὑρόντα χάριν, αὐτόν [13] τε τὸν προδεδηλωμένον Νῶε καὶ τοὺς
pag. 5. τρεῖς υἱοὺς αὐτοῦ, Σὴμ, Χὰμ, Ἰάφεθ, τήν τε ἰδίαν σύζυγον καὶ τῶν τριῶν υἱῶν τὰς τρεῖς γυναῖκας, ὥστε ἀνθρώπων ψυχὰς ὀκτὼ ἐν τῇ τότε λάρνακι διασώσασθαι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ, καὶ ἀπὸ παντὸς γένους [14] θηρῶν τε καὶ ζώων, κτηνῶν τε καὶ τῶν ἄλλων τῶν ἐπὶ γῆς, πρὸς σύστασιν πάλιν τῆς ἐν κόσμῳ πάντων ὑποστάσεως, [15] ἀπό τινων μὲν δύο δύο, ἀπὸ δὲ ἄλλων ἑπτὰ ἑπτά. Καὶ οὕτω παρῆλθε δεκάτη γενεὰ [16] δι' ἐτῶν δισχιλίων διακοσίων ἑξηκονταδύο. Καὶ ὁ κατακλυσμὸς πέπαυται, καὶ Νῶε καὶ ὁ αὐτοῦ οἶκος λείψανον τῷ κόσμῳ [17] γεγένηται. Οὔπω δὲ [18] ἑτεροδοξία, οὐκ ἔθνος τι διαφερόμενον, οὐκ ὄνομα αἱρέσεως, ἀλλ' [19] οὐδὲ εἰδωλολατρεία. Ἐπειδὴ δὲ ἕκαστος ἀνθρώπων ἰδίᾳ γνώμῃ ἐστοίχει (νόμος γὰρ [20] εἰς οὐδαμοῦ ἐτύγχανεν, ἕκαστος γὰρ ἑαυτῷ νόμος ἐγίνετο, καὶ τῇ ἰδίᾳ γνώμῃ ἐστοίχει), [21] καθὼς παρὰ τῷ ἀποστόλῳ ἡ χρῆσις, οὐ μόνον Βαρβαρισμοῦ, ἀλλὰ καὶ τῶν ἄλλων, φησὶ γὰρ, [22] Ἐν Χριστῷ Ἰησοῦ οὐ βάρβαρος, οὐ Σκύθης, οὐχ Ἕλλην, οὐκ Ἰουδαῖος, — Βαρβαρισμὸς τότε ἐκαλεῖτο ἐν ταῖς δέκα γενεαῖς τοῦ χρόνου τὸ ἐπώνυμον. Μετὰ δὲ τὸν κατακλυσμὸν ἐπιστάσης τῆς λάρνακος τοῦ Νῶε ἐν τοῖς ὄρεσι τοῖς Ἀραρὰτ ἀνὰ μέσον Ἀρμενίων καὶ [23] Καρδυέων ἐν τῷ [24] Λουβὰρ ὄρει καλουμένῳ, ἐκεῖσε [25] πρῶτον κατοίκησις γίνεται μετὰ τὸν κατακλυσμὸν τῶν ἀνθρώπων, κἀκεῖ φυτεύει ἀμπελῶνα Νῶε ὁ προφήτης, οἰκιστής τε γίνεται τοῦ τόπου. Γίνονται δὲ τοῖς αὐτοῦ παισὶν (οὐ γὰρ ἔτι αὐτὸν ἐμφαίνει γεγεννηκέναι) παῖδες καὶ παίδων παῖδες, ἕως πέμπτης γενεᾶς ἐτῶν ἑξακοσίων πεντηκονταεννέα, πάρεξ τοῦ Σήμ.

7. δὲ *om. cod. Venet.*
8. καὶ *om. cod. Venet.*
9. ἀσέλγεια *om. cod. Venet.*
10. τε *om. cod. Venet. — Fortasse reponendum est* φαρμακείᾳ καὶ μαγείᾳ, ἀσελγείᾳ, μοιχείᾳ τε καὶ ἀδικίᾳ.
11. γλῶττα *cod. Venet.*
12. δὲ *cod. Venet. Vulgo* τε.
13. τε *cod. Venet. Vulgo* δέ.
14. θηρίων *cod. Venet.*
15. ἀπὸ πετεινῶν μὲν *cod. Venet.*
16. δι' *om. cod. Ven.*
17. *Suspicor in cod. Ven. extare* γεγένηνται.

grassari coepit, quod primum ab Adami contumacia natum, inde Caini parricidio corroboratum fuerat. Iaredi vero tempore ac deinceps postea veneficia, malae artes, petulantia, adulteria atque improbitas omnis erupit. Nec dum tamen diversa ulla erat opinio, neque dogma contrarium, sed una duntaxat lingua, perinde ac genus unum sub idem tempus in terra dissipatum. Post haec Iaredus Enochum filium habuit, qui deo gratus fuit; neque inventus est. Hunc enim transtulit deus, nec mortem obiit. Enochi filius Mathusalas fuit, qui Lamechum genuit, Lamechus Noëmum. Sub quo divina tandem iustitia eluvione aquarum in mundum immissa genus animantium omne funditus extinxit. Unus in arca Noëmus dei iussu servatus est, utpote eidem acceptus et cumprimis apud illum gratiosus. Hic inquam cum tribus liberis, Semo, Chamo, ac Iapheto, nec non et uxore tam sua quam filiorum ereptus est, adeo ut octo non amplius capita ab hoc diluvio in arca servata fuerint, itemque ex omni bestiarum et animantium genere, velut pecudum et aliorum eiusmodi, ad restituenda postmodum in integrum omnia, ex nonnullis duo, ex aliis septena liberata sint. Hoc modo decima transacta generatio est anno ab orbe condito MMCCLXII. Inde cessante diluvio penes Noëmum cum familia sua resederunt generis hu- Gen. 7.
mani reliquiae, cum nulla adhuc esset dogmatum varietas, nec ulla gens ab alia discreparet, nullum haeresis nomen, idololatria nulla uspiam esset. Et quoniam suo quisque arbitrio vitam instituebat (neque enim una lex omnibus adhuc praescripta fuerat, sed unusquisque legis sibi vicem praestabat atque ex voluntate sua degebat, pro eo ac Barbarismi aliorumque eiusmodi appellationibus usus est apostolus cum ita loquitur: *In Christo Iesu neque barbarus, neque* Coloss. 3, 11.
*Scytha, neque Graecus, neque Iudaeus est*), illorum temporum status, qui sub decem generationibus fuit, Barbarismi voce cognominatus est. Post diluvium cum in Ararati montibus, Armeniam inter et Cardyeos in Lubare colle Noëmi arca constitisset, illic prima homi- Gen. 8.
num secundum diluvium habitatio fuit. Ibidemque Noëmus propheta vitem consevit, ac domicilium constituit. Cuius liberis (hunc enim ipsum generare desiisse sacrae literae significant) filii ac nepotes ad quintam usque generationem nati sunt, ad annos scilicet DCLIX

18. οὐχ ἑτεροδοξία *cod. Venet.*
19. οὔπω *cod. Venet.*
20. οὐδὲ εἷς *cod. Venet.*
21. καθὼς *desideratur in cod. Ven. Parenthesin Cornarius et Petavius cluserunt demum post verba* οὐχ Ἰουδαῖος.
22. Ἐν Χριστῷ *cod. Ven. Vulgo* Ἐν γὰρ Χριστῷ.
23. Καυκασίων *cod. Venet.* — Καρδυέα *terra enumeratur infra haer.* 66, 83. *Caspiam inter et Mediam. Cf. etiam haer.* 18, 3.
24. Δουβὲρ *cod. Venet. h. l. pariter et infra cap.* 5.
25. πρώτως *cod. Ven.*

[26] *Κατ' ἀκολουθίαν δὲ τοῦ [27] ἑνὸς υἱοῦ διέξειμι τὴν γενεαλογίαν. Σὴμ τοίνυν γενεᾷ τὸν [28] Ἀρφαξὰδ, Ἀρφαξὰδ τὸν Κηνᾶ, Κηνᾶ τὸν Σαλᾶ, Σαλᾶ τὸν Ἔβερ, εὐλαβῆ καὶ θεοσεβῆ, Ἔβερ τὸν Φαλέκ.*

Κεφ. ε'. *Καὶ οὐδὲν ἦν ἐπὶ τῆς γῆς, οὐχ αἵρεσις, οὐ γνώμη ἑτέρα καὶ ἑτέρα, ἀλλ' ἢ μόνον ἄνθρωποι ἐκαλοῦντο, ἑνὸς χείλους [1] καὶ μιᾶς γλώττης. Ἦν δὲ μόνον ἀσέβεια καὶ εὐσέβεια ὁ κατὰ φύσιν νόμος, καὶ ἡ [2] κατὰ φύσιν ἑνὸς ἑκάστου προαίρεσις τοῦ θελήματος, καὶ οὐκ ἀπὸ διδασκαλίας, οὔτε ἀπὸ συγγραμμάτων συγγραφέων πλάνη, οὐκ Ἰουδαϊσμὸς, [3] οὐχ αἵρεσίς τις ἑτέρα, ἀλλ', ὡς εἰπεῖν, ἡ νῦν πίστις*
pag. 6. *ἐμπολιτευομένη ἐν τῇ ἄρτι ἁγίᾳ τοῦ θεοῦ καθολικῇ ἐκκλησίᾳ, ἀπ' ἀρχῆς οὖσα, καὶ ὕστερον πάλιν ἀποκαλυφθεῖσα. Τῷ γὰρ βουλομένῳ φιλαλήθως ἰδεῖν ἀρχὴ πάντων ἐστὶν ἡ καθολικὴ καὶ ἁγία ἐκκλησία, ἐξ αὐτοῦ τοῦ σκοποῦ. Ἀδὰμ γὰρ πρωτόπλαστος πέπλασται, οὐκ ἐμπερίτομος, ἀλλ' ἀκροβύστης μὲν τῇ σαρκί· οὐκ εἰδωλολάτρης δὲ ἦν, καὶ ᾔδει πατέρα θεὸν καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, προφήτης γὰρ ἦν. Οὐκ ἔχων τοίνυν περιτομὴν οὐκ ἦν Ἰουδαῖος, ξόανα δὲ μὴ προςκυνῶν, ἢ ἄλλο τι, οὐκ ἦν εἰδωλολάτρης· προφήτης γὰρ ὁ Ἀδὰμ, καὶ ᾔδει ὅτι ὁ πατὴρ εἶπε τῷ υἱῷ, Ποιήσωμεν ἄνθρωπον. Τί οὖν ἦν μήτε περιτομὴν ἔχων, μήτε εἴδωλα σέβων; [4] ἀλλὰ τοῦ Χριστιανισμοῦ τὸν χαρακτῆρα [5] ὑποφαίνων. Οὕτω καὶ ἐπὶ τοῦ Ἄβελ, καὶ ἐπὶ τοῦ Σὴθ, καὶ ἐπὶ τοῦ Ἐνὼς, καὶ ἐπὶ τοῦ Ἐνὼχ, καὶ ἐπὶ τοῦ Μαθουσάλα, καὶ ἐπὶ τοῦ Νῶε, καὶ ἐπὶ τοῦ Ἔβερ, ἄχρι τοῦ Ἀβραὰμ διαληπτέον. Ἐνήργει δὲ τότε εὐσέβειά τε καὶ ἀσέβεια, πίστις καὶ ἀπιστία· πίστις μὲν ἐπέχουσα τοῦ Χριστιανισμοῦ τὴν εἰκόνα, ἀπιστία δὲ ἐπέχουσα ἀσεβείας τὸν χαρακτῆρα καὶ παρανομίας, ἐναντία τοῦ κατὰ φύσιν νόμου, ἕως [6] τούτου τοῦ προδεδηλωμένου χρόνου. [7] Πέμπτῃ τοίνυν γενεᾷ μετὰ τὸν κατακλυσμὸν, πληθυνόντων ἄρτι τῶν ἀνθρώπων ἀπὸ τῶν τριῶν υἱῶν τοῦ Νῶε, κατὰ διαδοχὴν [8] παίδων παῖδες καὶ τούτων παῖδες [9] γεγόνασιν ἑβδομηκονταδύο τὸν ἀριθμὸν ἐν κόσμῳ ἀρχηγέται καὶ κεφαλαιῶται. Ἐπεκτεινόμενοι δὲ καὶ πρόσω βαίνοντες ἀπὸ τοῦ [10] Λουβὰρ ὄρους καὶ ὁρίων τῆς Ἀρμενίας, τουτέστιν Ἀραρὰτ τῆς χώρας, γίνονται ἐν πεδίῳ Σενaὰρ, ἔνθα που ἐπελέξαντο. Κεῖται δὲ αὕτη ἡ Σενaὰρ νυνὶ ἐν χώρᾳ τῇ [11] Περσικῇ· ἦν δὲ τοῦτο πάλαι Ἀσσυρίων. Ἐκεῖσε τοίνυν [12] συνδοιάσαντες συμβούλιον λαμβάνουσι*

26. κατὰ *cod. Ven.*
27. ἑνὸς υἱοῦ διέξειμι τὴν γενεαλογίαν *cod. Ven.* λόγου, ἔξειμι τὴν γενεαλογίαν τοῦ ἑνὸς υἱοῦ *vulgata est scriptura, quam tuetur etiam cod. Rhedig.*
28. ἀρφαδὰξ *cod. Rhedig. bis.*
Cap. V. — 1. καὶ *om. cod. Ven.*
2. *Placet scriptura cod. Veneti:* ἡ κατὰ φύσιν ἑκάστου θελήματος οὐκ ἀπὸ διδασκαλίας, οὔτε συγγραμμάτων συγγραφέων πλάνη.
3. *Auget cod. Venetus* οὐχ Ἑλληνισμός, οὐχ αἵρεσις ἑτέρα τις.
4. ἀλλ' ὅτι τοῦ *cod. Ven.*
5. ὑποφαίνων ἐδείκνυτο. οὕτω *cod. Ven.*
6. τούτου *om. cod. Venet.*
7. *Citat hunc locum auctor Chron. Paschalis pag. 45. ed. Bonn.*
8. παίδων παῖδες καὶ τούτων παῖδες

praeter Semum. Cuius unius prolem deinceps commemorabimus. Igitur Semus Arphaxadum genuit. Iste Cainam, Cainas Salam, Salas Eberum, hic Phalerum.

Nulla per id tempus in terris haeresis, opinionum nulla dissensio, cum universi sola hominis appellatione censerentur, labio uno unaque lingua praediti. Pietas porro atque impietas sola erat naturae lege, aut uniuscuiusque ad naturam accommodata voluntate definita, nec dum error emerserat sive disciplina comparatus, sive monumentis scriptorum traditus. Neque igitur Iudaismus, neque alia ulla secta prodierat, sed, ut ita dicam, illa eadem obtinebat quae hodie in sancta dei ecclesia ac catholica perseverat fides, quae cum ab ipsis rerum primordiis viguisset, rursus est postea patefacta. Etenim si quis ista solo veritatis studio impulsus velit expendere, non dubitabit sanctam atque catholicam ecclesiam primam omnium extitisse, dummodo scopum ipsum consideret. Adam enim hominum princeps a deo conditus non circumcisus, sed praeputio praeditus fuit. Neque tamen idola propterea coluit, et deum patrem cum filio, ac spiritu sancto, utpote propheta, cognovit. Quamobrem quod circumcisione caruit, Iudaeus esse non potuit; idololatra vero minime fuit, cum neque simulacra neque alia id genus adoraret. Fuit enim ille propheta, et hoc filio a patre dictum esse sciebat: *Faciamus hominem.* Quidnam igitur erat? Omnino neque circumcisus, neque idolis addictus Christianae religionis imaginem referebat. Par idemque de Abelo, Setho, Enos, Enoch, Mathusala, Noëmo, Hebere ad Abraham usque iudicium esse debet. Tum enim religio perinde atque impietas, fides item et infidelitas hominum genus occupabat. Quarum fides Christianae sectae speciem adumbrabat; infidelitas impietatis ac sceleris erat notis insignita, eademque naturae lege dissidebat. Atque hic rerum status ad illud usque tempus, quod modo significavimus, deinceps perductus est. Caeterum quinta post diluvium aetate, cum a tribus Noëmi filiis propagari genus hominum coepisset, continuata sobolis successione duo ac septuaginta numero velut principes ac stirpis capita prodierunt. Ii cum longius processissent, et a monte Lubar Armeniaeque finibus, hoc est regione Ararat, ulteriora peragrassent, Senaaris in campum delati sunt, quem locum sibi ipsi delegerunt. Caeterum Senaar hodie in Persarum regione sita est, quam olim Assyrii tenuerant. Igitur cum in

Cap. V. | Gen. 1, 26. | Gen. 2, 2.

cod. *Ven.* τῶν παίδων, παῖδες *uterque editus liber.* παίδων παῖδες *codd. Rhedig. et Paris.*

9. γεγόνασιν *cod. Ven.* ἐγεγόνασιν *reliqui libri.*

10. Δουβὲρ *cod. Ven.* Δοβὰρ *cod. Rhedig.*

11. Περσίδι *cod. Venet.*

12. συνδιάσαντες (*h. e.* συνδυάσαντες) *cod. Venet.*

*μετ' ἀλλήλων πύργον καὶ πόλιν οἰκοδομῆσαι. Ἀπὸ δὲ τοῦ κλίματος τοῦ πρὸς Εὐρώπην εἰς Ἀσίαν κεκλικότες ἐπωνομάσθησαν πάντες κατὰ τὴν [13] τοῦ χρόνου ἐπίκλησιν Σκύθαι. Κτίζουσι δὲ τὴν πυργοποιΐαν καὶ οἰκοδομοῦσι τὴν Βαβυλῶνα, καὶ οὐκ εὐδόκησεν ὁ θεὸς ἐπὶ τῷ ἔργῳ τῆς αὐτῶν ἀνοίας. Διεσκέδασε γὰρ αὐτῶν τὰς γλώσσας, καὶ ἀπὸ μιᾶς εἰς ἑβδομηκονταδύο διένειμε κατὰ [14] τὸν τῶν τότε ἀνδρῶν*

pag. 7. *ἀριθμὸν εὑρεθέντα· ὅθεν καὶ Μέροπες οὗτοι κέκληνται, διὰ τὴν μεμερισμένην φωνήν. Καὶ τὸν πύργον ἀνέμων βολὴ κατέστρεψεν. Ἐμερίσθησαν γοῦν ἐπὶ πᾶσαν τὴν γῆν δεξιά τε καὶ εὐώνυμα, οἱ μὲν παλίνορσοι ὅθεν ἐκβεβήκασιν, ἄλλοι δὲ ἐπὶ τὰ πρόσω τῆς ἀνατολῆς κεχωρηκότες, ἕτεροι δὲ τὴν Λιβύην κατειλήφασιν, ὡς καὶ περὶ τούτων τὴν ἀκρίβειαν εἴ τις ἐθέλοι καταλαβέσθαι, [15] εὕροι ἂν ἕκαστον τῶν προςκεχωρηκότων καθ' ἑκάστην τινὰ πατρίδα πῶς εἴληχε τὸν κλῆρον, ὡς ὁ [16] Μιστρὲμ μὲν διαδέχεται τὸν τῆς Αἰγύπτου κλῆρον, Χοὺς δὲ τὴν [17] Αἰθιοπίδα, [18] Ψοὺς τὰ [19] Αὐξωμιτικὰ μέρη, [20] Ῥεγμὰ καὶ [21] Σαβακαθὰ καὶ [22] Θωυδὰν [23] καὶ Λοὺδ τὰ πρὸς τῇ Γαραμῶν χώρᾳ.*

Κεφ. ς'. *Καὶ ἵνα μὴ εἰς πολὺ πλάτος ποιήσωμαι τὴν ἐνταῦθα σύνταξιν τοῦ προοιμίου, ἐλεύσομαι πάλιν ἐπὶ τὸ προκείμενον, καὶ κατὰ τὴν διαδοχὴν αὖθις ἐπιλήψομαι τῆς ἀκολουθίας. Μεταξὺ γοῦν τοῦ Ἕβερ καὶ τοῦ Φαλὲκ καὶ τῆς πυργοποιΐας καὶ [1] τῆς πρώτης πόλεως μετὰ τὸν κατακλυσμὸν κτισθείσης ἐπ' αὐτῇ τῇ οἰκοδομῇ ἀρχὴ λοιπὸν συμβουλίας ἀθροισμοῦ καὶ τυραννίδος γίνεται [2] Νεβρώθ. [3] Νεβρὼθ γὰρ βασιλεύει υἱὸς τοῦ [4] Χοὺς τοῦ Αἰθίοπος, ἐξ οὗ [5] Ἀσσοὺρ γεγέννηται. Τούτου ἡ βασιλεία ἐν Ὀρὲχ γεγέννηται, καὶ ἐν [6] Ἀρφὰλ καὶ [7] Χαλάννῃ. Κτίζει δὲ καὶ τὴν [8] Θειρὰς καὶ τὴν Θόβελ καὶ Λόβον ἐν τῇ Ἀσσυρίων χώρᾳ. Τοῦτόν φασι παῖδες Ἑλλήνων εἶναι τὸν Ζωροάστρην, ὃς πρόσω χωρήσας ἐπὶ τὰ ἀνατολικὰ μέρη οἰκιστὴς γίνεται Βάκτρων. Ἐντεῦθεν [9] τὰ κατὰ τὴν γῆν παράνομα διανενέμηται. Ἐφευρέτης γὰρ οὗτος γεγέννηται κακῆς [10] διδαχῆς ἀστρολογίας καὶ μαγείας, ὥς τινές φασι περὶ τούτου τοῦ Ζωροάστρου· πλὴν ὡς ἡ ἀκρίβεια περιέχει, τοῦ Νεβρὼθ τοῦ γίγαντος οὗτος ἦν ὁ [11] χρόνος. Οὐ πολὺ δὲ ἀλλήλων τῷ χρόνῳ διεστήκασιν ἄμφω, ὅ τε Νεβρὼθ καὶ ὁ Ζωροάστρης. Φαλὲκ δὲ γεννᾷ τὸν [12] Ῥαγὰμ, Ῥαγὰμ τὸν Σεροὺχ τὸν ἑρμηνευόμενον Ἐρεθισμόν. Καὶ ἤρξατο εἰς ἀνθρώπους [13] ἡ*

13. τοῦ χρόνου *cod. Ven.* χρόνου *reliqui libri.*

14. τὸν τῶν *cod. Ven. Vulgo* τῶν.

15. εὕροι ἂν *cod. Ven. Vulgo* εὕροι δ' αν.

16. Μιστρὸμ *cod. Venet.*

17. Αἰθιοπίδα *cod. Ven.* Αἰθίοπα *reliqui libri. Petavius suspicabatur* Αἰθιοπίαν, *ut legitur Ancorat. cap.* 57.

18. *Libri habent* Φοὺς.

19. Αὐξωμαιτικὰ *cod. Ven.* Ἀξιωματικὰ *cod. Rhedig. et editi libri. Cf. de varia huius nominis apud Epiphanium scriptura haer.* 66, 83., *et Ancor. cap.* 57. *et cap.* 114.

20. *Vulgo* Ῥεγμᾶ.

21. *Libri omnes* Σαβᾶ καθᾶ.

eo loco consilium habuissent, de turri urbeque illic extruenda inter se statuunt. Qui omnes quod ab Europae propinquo tractu in Asiae interiora penetrassent, insequenti tempore Scytharum cognomen adepti sunt. Ergo illi turrim et Babylonem aedificant. Sed divino numini de insana illa molitione displicuit. Ideoque dissipatis illorum linguis septuaginta duas ex una fecit, pro hominum numero qui illo tempore repertus est. Unde et Meropes a vocis divisione nuncupati. Turris ipsa denique ventorum impetu disiecta. Secundum haec illi per universum orbem dextra ac sinistra dispersi, alii eo rediere unde discesserant, alii longius ad orientem progressi sunt. In Africam nonnulli pervenerunt. Quod si quis ista diligentius indagare voluerit, quo illorum quisque sit profectus, quamve sortito ex omnibus regionem occuparit, facile deprehendet. Ita Mistrem in Aegypti possessionem invadit, Chus Aethiopiam obtinet, Psus Axumiticum Gen. 10. tractum, Rhegma, Sabacatha, Thoüdim et Elud Garamorum in regione constiterunt.

Verum ne diutius quam necesse sit in huius operis praefa- Cap. VI. tione commoremur, nostrum nos ad institutum referemus, atque inchoatam originum successionem denuo pertexemus. Igitur inter Heberis ac Phaleci tempora, cum et aedificata turris et prima omnium urbs post diluvium esset excitata, in ipsa operis extructione prima hominum coitio ac tyrannicus dominatus auctore Nembroth constitutus est. Primus iste regnum obtinuit, Chusi Aethiopis filius, ex quo natus Assur, qui Orechi, Arphale et Chalanne regnum exercuit. Quin et Thiras urbem condidit, et Thobelem, et Lobum in Gen. 10, 2. Assyria. Graeci Zoroastrem hunc fuisse memorant. Qui orientis interiora penetrans Bactrorum oppidum erexit. Indeque omnia, quae in orbem invecta sunt scelera, propagata dicuntur. Siquidem malae artes, astrologia videlicet ac magia auctore illo repertae sunt. Id quod Zoroastri a nonnullis tribuitur, revera ad Nembroth gigantis tempora pertinere putandum est. Quanquam inter utrumque non multum temporis interiectum est. Sed iis omissis Phalec Rhagam genuit, huius filius Seruch fuit, quod nomen provocationem significat. Hoc vero tempore idololatriae inter homines ac gentilium su-

22. Θωυδὰν *cod. Rhedig.* Θωϋὰν *cod. Ven.* Θωϋδὴν *editi libri.*
23. καὶ Λοὺδ *cod. Ven. Vulgo* καὶ Ἐλοὺδ.
Cap. VI. — 1. τῆς *om. cod. Ven.*
2. Νεβρῶθ *om. cod. Ven.*
3. Νεβρῶδ *cod. Ven.*
4. *Vulgo* Χοῦς.
5. Ἀσοῦρ *cod. Ven.*
6. *Ita omnes libri.*
7. Χαλλάνῃ *cod. Ven.*
8. Θήρας *cod. Ven.*
9. τὰ *om. cod. Ven.*
10. διαδοχῆς *cod. Venet.*
11. χρόνος. πολὺ δὲ Ἑλλήνων τῷ χρόνῳ *cod. Ven.*
12. *In cod. Ven., ubi hoc nomen semel tantum extat, suspicor scriptum esse* Ῥαγαοῦ.
13. ἡ *om. cod. Ven.*

[14] *εἰδωλολατρία τε καὶ* [15] *ὁ Ἑλληνισμὸς, ὡς ἡ ἐλθοῦσα εἰς ἡμᾶς γνῶσις περιέχει. Οὔπω δὲ ἐν ξοάνοις καὶ ἐν τορείαις λίθων ἢ ξύλων ἢ ἀργυροτεύκτων ἢ χρυσοῦ* [16] *ἢ ἄλλης τινὸς ὕλης πεποιημένης, μόνον* pag. 8. *δὲ διὰ χρωμάτων καὶ εἰκόνων ἡ τοῦ ἀνθρώπου διάνοια* [17] *ἑαυτῇ ἐφηύρατο τὴν κακίαν, καὶ διὰ τοῦ αὐτεξουσίου καὶ λογιότητος καὶ νοῦ ἀντὶ τῆς ἀγαθότητος τὸ παράνομον ἐφηύρατο. Γίγνεται δὲ τῷ Σερούχ παῖς ὁ Ναχὼρ, Ναχὼρ δὲ γεννᾷ τὸν Θάρρα. Ἐντεῦθεν γέγονεν ἀνδριαντοπλασία ἀπὸ πηλουργίας καὶ κεραμικῆς ἐπιστήμης,* [18] *διὰ τῆς τοῦ Θάρρα τούτου τέχνης. Περιέστη δὲ ὁ* [19] *αἰὼν εἰς εἰκοστὴν γενεὰν ἕως τούτου, ἐτῶν τρισχιλίων τριακοσίων τριακονταδύο. Καὶ οὐδεὶς πώποτε τῶν προτέρων ἀνθρώπων πρὸ πατρὸς υἱὸς ἐτελεύτα, ἀλλὰ πατέρες πρὸ παίδων τελευτῶντες τοὺς υἱοὺς διαδόχους κατελίμπανον. Καὶ μή τις λεγέτω περὶ τοῦ Ἄβελ· οὐ γὰρ θανάτῳ ἰδίῳ τέθνηκεν. Ἐξότε Θάρρα ἀντίζηλον τῷ θεῷ προεστήσατο, διὰ τῆς ἰδίας πηλουργίας τεχνησάμενος, τὰ ὅμοια οἷς ἔπραξεν ἀπὸ τῆς δίκης ἀπείληφε, καὶ αὐτὸς παραζηλωθεὶς διὰ τοῦ ἰδίου τέκνου. Ὅθεν θαυμάσασα ἡ θεία γραφὴ ἐπεσημήνατο, λέγουσα, Καὶ ἀπέθανεν Ἀρρὰν ἐνώπιον* [20] *Θάρρα τοῦ* [21] *πατρὸς ἐν τῇ γῇ τῆς γεννήσεως αὐτοῦ.*

Κεφ. ζ. *Ἕως τούτου* [1] *ἔμενε Σκυθική τις διαδοχὴ καὶ ἐπίκλησις. Οὔπω* [2] *δὲ ἦν τις αἵρεσις, οὔπω μηχανή τις ἑτέρα, ἢ μόνον πορνεία,* [3] *ἐπίνοια εἰδώλων. Καὶ μετέπειτα ἐθεοποιήσαντο ἢ κακοδαίμονας τυράννους ἢ γόητας φαντάσαντας τὴν οἰκουμένην, τιμήσαντες τὰ τούτων μνήματα, καὶ μετέπειτα* [4] *πολλῷ τῷ χρόνῳ τοὺς περὶ Κρόνον καὶ Δία, Ῥέαν τε καὶ Ἥραν, καὶ τοὺς ἀμφ' αὐτοὺς, ἔπειτα δὲ Ἀκινάκην σέβοντες* [5] *οἵ τε τῶν Σκυθῶν Σαυρομάται Ὀδρυσόν τε τῶν Θρᾳκῶν προπάτορα, ἐξ οὗ τὸ γένος κατάγεται Φρυγῶν· ὅθεν καὶ Θρᾷκες ἀπὸ τοῦ Θήρας* [6] *ἐπίκλην τοῦ ἐν τῇ πυργοποιΐα γεγεννημένου καλοῦνται. Περιέστη δὲ πᾶς ὁ χρόνος, ἐντεῦθεν λαβούσης τῆς πλάνης ἀρχὴν εἰς τὸν προδηλούμενον καιρὸν,* [7] *φύρων λοιπὸν τὰς ὁδούς.* [8] *Συγγραφεῖς τε ἐντεῦθεν καὶ ἱστοριογράφοι ἀπὸ τῆς τῶν Αἰγυπτίων ἐρανισάμενοι ἐθνομύθου πλάνης, ὅθεν* [9] *δὴ τὰ τῆς φαρμακείας καὶ μαγείας ηὑρέθη. Μετηνέχθη δὲ ταῦτα εἰς Ἕλληνας ἀπὸ τῆς ἡλικίας*

14. εἰδωλολατρία *codd. Ven. Rhedig. et edit. princ.* εἰδωλολατρεία *ed. Petav.*
15. ὁ *om. cod. Venet.*
16. ἢ ἄλλης τινος ὕλης πεποιημένης *cod. Venet.* ἢ ἐξ ἄλλης τινος ὕλης πεποιημένων *reliqui libri.*
17. ἑαυτῇ ἐφηύρατο *cod. Ven. Vulgo* ἐφ' ἑαυτῇ ηὕρισκε.
18. ἐκ *cod. Venet.*
19. αἰὼν *cod. Ven. Vulgo* ἀγών.
20. *Ita cod. Ven. Vulgo* Θάῤῥαν.
21. πατρὸς αὐτοῦ ἐν τῇ γῇ τῆς γεννήσεως *cod. Venet.*
Cap. VII. — 1. ἔμεινε Σκυθία ἡ τῆς διαδοχῆς *cod. Venet.*
2. δὲ ἦν *om. cod. Ven.*
3. ἐπίνοια *pro glossemate habeo vocis* πορνεία.
4. ἔνθεν πολλῷ *cod. Venet.*

perstitionis initium est factum, quemadmodum a maioribus accepimus. Tametsi nondum ad simulacra caelatosque lapides, aut ligna, aut argenteas aureasque statuas alteriusve materiae superstitiosus ille cultus adhaeserat, nec aliud praeter colores atque effigies erat, in quo hominum mentes novum per sese nequitiae genus excogitarent, ac sponte sua proprioque animi ac rationis impetu pro honestate sibi sceleris turpitudinem adsciscerent. Sed ut ad institutum redeam, Serucho natus est Nachor; ab eo Tharra genitus est. Ex quo tempore simulacra primum ex argilla figlinoque opere reperta sunt, artifice Tharra, ad quem ter mille circiter et trecentorum ac triginta duorum annorum spatio ad usque vicesimam aetatem humani generis tempora propagata sunt. Nec in tanto hominum numero ullus adhuc filius ante parentem obierat, sed superstitibus relictis liberis patres ex hac vita migrabant. Nam quod Abelem obiicere quispiam posset, nequaquam procedit, cum is violenta morte praereptus fuerit. Posteaquam vero Tharra figlina arte deum velut aemulo quodam opposito provocare coepit, dignam factis suis mercedem reportavit, cum et ipse filii sui iactura vicissim quodammodo provocatus est. Quod quidem dei consilium admirans scriptura nominatim his verbis expressit: *Et mortuus est Arran coram Tharra patre in* Gen. 11, 28. *terra nativitatis suae.*

Hucusque Scythica quaedam successio appellatioque mansit. Cap. VII. Nulla vero adhuc haeresis erat, nec ullum aliud commentum praeter idololatriam irrepserat. Postea vero infelices tyrannos aut praestigiatores, qui incantationibus suis ac fallaciis totum orbem deceperant, divinis honoribus consecrarunt, eorumque monumenta venerati sunt. Inde longo post tempore Saturnum et Iovem, Opem ac Iunonem, caeterosque horum asseclas, tum Acinacem Sarmatae Scythici generis pro deo colere coeperunt, ut et Odrysum, a quo Thraces oriundi, indidemque et Phrygum genus originem accepit; ex quo etiam accidit ut a Thera, qui in illa turris aedificatione natus est, Thracum appellatio deducta sit. Deinceps errore in humanum genus introducto, ad illum usque quem attigimus terminum, depravatiora in dies sunt revoluta tempora. Hinc omnis illa scriptorum atque historicorum nata copia, qui ab Aegyptiorum fabulosis superstitionibus universa mutuati sunt. Unde et maleficia magicaeque artes exortae. Ea porro omnia tum a Cecropis aetate translata sunt

5. *An recte haec verba intellexit et interpretatus est Petavius? Verto:* deinde vero Acinacem pro Scytharum, et Odrysum pro Thracum propatore et gentis auctore Sauromatae colere coeperunt.

6. ἐπικέκληνται τοῦ ἐν τ. π. γεγενημένου. περιέστη *cod. Venet.*

7. φρύγων *cod. Venet.*

8. συγγραφῆς ἔνθεν καὶ *cod. Venet.*

9. δὲ *cod. Venet.*

[10] τοῦ *Κέκροπος*. Καὶ ἦν μὲν κατὰ τοῦτον τὸν καιρὸν [11] *Νῖνος* ἐν *Ἀσσυρίοις* καὶ *Σεμίραμις*, σύγχρονοι ὄντες τῷ *Ἀβραὰμ*, *Αἰγυπτίων* pag. 8. τε ὀκτωκαιδεκάτῃ δυναστείᾳ. Οἱ ἐν [12] *Σικυῶνι* δὲ τότε μόνοι ἐβασιλεύοντο, ἧς βασιλείας ἀρχὴ γέγονεν *Εὔρωψ*.

Κεφ. η'. Καὶ ὁ Θεὸς ἐπιλέγεται τὸν *Ἀβραὰμ* τῷ αὐτῷ χαρακτῆρι τῆς ἁγίας καθολικῆς [1] καὶ ἀποστολικῆς ἐκκλησίας ἐν ἀκροβυστίᾳ πιστὸν καὶ ἐν εὐσεβείᾳ τελειότατον, ἐν γνώσει [2] προφήτην, ἐν βίῳ εὐαγγελικὴν κεκτημένον ἀναστροφήν. Οἴκοι γὰρ γέγονε πατέρα τιμῶν, καλούμενος ὑπὸ τοῦ λόγου, καὶ τῶν οἰκείων ἀποτασσόμενος, πειθόμενος δὲ τῷ καλοῦντι, ὥςπερ οἱ περὶ *Πέτρον* καὶ [3] *Ἀνδρέαν* καὶ *Ἰάκωβον* καὶ *Ἰωάννην*. Καὶ ἵνα μὴ πάλιν μηκύνω τὸν λόγον, συνελὼν ἐρῶ. Εἰς ἔτη γὰρ ἐλάσας οὗτος ὁ πατριάρχης ἐννενηκονταεννέα, ὑπὸ τοῦ Θεοῦ χρηματίζεται [4] εἰς περιτομήν. Καὶ ἄρχεται [5] ἐνθένδε ὁ χαρακτὴρ τοῦ *Ἰουδαϊσμοῦ* μετὰ τὸν *Ἑλληνισμόν*· καὶ ἦν τῆς τοῦ κόσμου καταβολῆς εἰκοστὴ πρώτη γενεά, ἔτη δὲ τριςχίλια τετρακόσια [6] τριακονταέν. Καὶ ὁ *Ἰουδαϊσμὸς* ἀρχὴν ἐλάμβανεν. *Σκυθισμὸς* γὰρ ἀπὸ τοῦ κατακλυσμοῦ ἄχρι τοῦ πύργου καὶ τοῦ *Σερούχ*, ἀπὸ δὲ τοῦ *Σερούχ* ἕως τοῦ *Ἀβραὰμ* [7] καὶ δεῦρο *Ἑλληνισμός*, ἀπὸ δὲ *Ἀβραὰμ* οὔπω ἐπώνυμον ἦν αἱρέσεως, ἀλλ' ἢ μόνον [8] οἱ τῆς αὐτῆς θεοσεβείας [9] τοὔνομα ἔχοντες *Ἀβραμιαῖοι* ἀπὸ τοῦ *Ἀβραὰμ* ἐκαλοῦντο. Παῖδες γὰρ [10] τούτῳ ὑπῆρξαν ὀκτώ. *Ἰσαὰκ* δὲ [11] κληρονόμος μόνος ἦν, διότι καὶ κατὰ γνώμην τοῦ πατρὸς ἐβίου, θεοσεβείᾳ προςανέχων, καὶ κατ' ἐπαγγελίαν Θεοῦ τῷ πατρὶ ἐδεδώρητο. Ἔσχε δὲ πρὸ τούτου τὸν *Ἰσμαὴλ* [12] ἀπὸ παιδίσκης τῆς *Ἄγαρ*. [13] *Χεττούρα* δὲ τούτῳ τίκτει παῖδας ἕξ. Διεμερίσθησαν δὲ οὗτοι ἐπὶ τὴν εὐδαίμονα *Ἀραβίαν* [14] καλουμένην, *Ζεμβρὰν* καὶ [15] *Ἰέζαν* καὶ [16] *Ἰεσβὸκ* καὶ *Σωῦε* καὶ *Ἐμμαδὲμ* καὶ *Μαδιάμ*, καὶ ὁ τῆς παιδίσκης. *Ἰσμαὴλ* δέ, ὡς ἔφην, τούτῳ ἦν ὄνομα. Καταλαμβάνει δὲ οὗτος καὶ κτίζει τὴν [17] *Φαρὰν* καλουμένην ἐν τῇ ἐρήμῳ. Τούτῳ παῖδες γίνονται δεκαδύο τὸν ἀριθμόν, ἐξ ὧν αἱ φυλαὶ [18] τῶν *Ἀγαρηνῶν*, τῶν καὶ *Ἰσμαηλιτῶν*, *Σαρακηνῶν* δὲ τὰ νῦν καλουμένων. Γεννᾷ δὲ *Ἰσαὰκ* δύο παῖδας, *Ἡσαῦ* τε καὶ *Ἰακώβ*. Καὶ ἐκαλεῖτο τότε τὸ γένος τῶν θεοσεβῶν [19] *Ἀβραμιαῖοί* τε καὶ *Ἰσαάκιοι*. Διορισθέντος δὲ τοῦ *Ἡσαῦ* ἐπὶ τὴν *Ἰδουμαίαν* πρὸς τῇ μεσημβρίᾳ τῆς *Χαναὰν* κειμένης χώρας καὶ ἀνατολικῆς,

10. τοῦ *om. cod. Venet.*
11. Νῖνος *omnes libri, tam scripti quam editi.*
12. *Libri habent* Συχυῶνι.
Cap. VIII. — 1. καὶ ἀποστολικῆς *om. cod. Venet.*
2. προφήτην *cod. Venet. Vulgo* προφητῶν.
3. *Ita cod. Ven. Vulgo* Ἀνδρείαν.
4. εἰς *om. cod. Venet.*
5. ἔνθεν *cod. Venet.*
6. τριάκοντα ἓν Ἰουδαϊσμός. Σκύθαι γὰρ *cod. Venet.*
7. καὶ δεῦρο - - Ἀβραὰμ *om. cod. Venet.*
8. οἱ *om. cod. Ven.*
9. τοὔνομα Ἀβράμιοι. τοίνυν οἱ ἀπὸ Ἀβραάμ. Παῖδες γὰρ *cett. cod. Venet.*
10. ὑπῆρξαν τούτῳ *cod. Ven.*
11. ὁ κληρονόμος *cod. Ven.*

in Graeciam. Per illud tempus Ninus ac Semiramis Assyriis imperabant. Quorum aequalis Abraam fuit. Apud Aegyptios vero decima octava dynastia praeerat. Solique tum ex omnibus populis Sicyonii regio dominatu continebantur; cuius initium ab Europe profectum est.

Post haec eadem qua catholicam et apostolicam ecclesiam Cap. VIII. figura, notaque Abraamum eligit deus, virum in praeputio fidelem ac religione pietateque perfectissimum, atque ut scientia prophetis parem, sic ad evangelicam disciplinam vitae instituto provectum. Erat tum domi patrem observans, cum dei oraculo vocatus domesticis renunciavit, et eum a quo vocatus erat secutus est, quemadmodum Petrus, Andreas, Iacobus et Ioannes postea fecerunt. Ac ne Gen. 17. denuo sim longior, paucis omnia complectar. Cum igitur ad nonagesimum nonum aetatis annum patriarcha ille pervenisset, de circumcisione a deo responsum accepit. Inde Iudaismi nota post gentilem superstitionem originem habuit. Agebatur tum annus mundi unus et tricesimus supra ter millesimum ac quadringentesimum, aetate ab orbe condito altera et vicesima, cum Iudaismus effloruit. Nam a diluvio ad turris aedificationem ac Seruchum Scythicum vivendi institutum tenuit. A Serucho ad Abraamum, et in hanc usque diem, gentilis superstitio. Porro nulla adhuc ab Abraamo secta cognomen adepta fuerat. Sed ii duntaxat, qui eiusdem religionis appellatione continebantur, Abraamitae ab eodem patriarcha dicebantur. Hic enim octo liberos habuit, ex quibus unus Isaac heres institutus est, quod et pietati deditus vitam suam ex patris sententia moderaretur, et singulari dei promissione eidem fuisset parenti concessus. Ante quem Ismaëlem ex Agar ancilla susceperat. Sed et Chetura sex illi Gen. 25. postea peperit. Qui omnes per felicem Arabiam dispersi sunt. Zembran scilicet, Iezan, Iesboe, Sove, Emmaden, et Madian, una cum ancillae filio, quem Ismaëlem vocatum esse paulo ante diximus. Sed hic postremus delecto in solitudine ad habitandum loco Phares condidit, liberosque numero duodecim suscepit, a quibus Agarenorum, Deuter. 1, 1. sive Ismaëlitarum, qui hodie Saraceni dicuntur, tribus propagatae sunt. At Isaaco duo nati sunt filii, Esau et Iacob. Quo tempore verae pietatis religionisque cultoribus Abraamitarum et Isacidarum nomen attributum est. Post haec Esau in Idumaeam discedens (est haec regio Chananaeorum tractui ad meridiem et orientem obversa) Gen. 4.

12. ἀπὸ *cod. Venet.* ὑπὸ *reliqui libri.*
13. Χεττοῦρα *habent libri omnes.*
14. λεγουμένην *(sic) cod. Venet.*
15. ἴεξαν *cod. Rhedig.*
16. Ἰεσβὸκ *cod. Rhedig.* ἴëσβοχ *cod. Venet.* Ἰεσβοὴ *editi libri.*
17. Φαρὰν *cod. Venet.* Φαρὲς *cod. Rhedig. et editi libri.*
18. τῶν *om. cod. Ven.*
19. Ἀβράμιοι. *cod. Venet., uti supra.*

pag. 10. οἰκιστὴς γίνεται τοῦ Σηεὶρ ὄρους, καὶ [20] πόλιν κτίζει τὴν [21] Ἐδὼμ καλουμένην. Γίνονται δὲ τούτῳ παῖδες, καὶ ἡγεμονεύουσιν ἐν τῇ Ἰδουμαίᾳ ἕκαστος κατὰ διαδοχήν, οἳ καὶ ἐκαλοῦντο ἡγεμόνες Ἐδώμ. Ἐξ οὗπερ πέμπτος κατὰ διαδοχὴν ὁ Ἰὼβ, [22] ὑπεξαιρουμένου τοῦ Ἀβραὰμ [23] ἐκ τοῦ ἀριθμοῦ τούτου, ἀπὸ δὲ Ἰσαὰκ ἀριθμουμένου. Ἰσαὰκ γὰρ γεννᾷ τὸν Ἡσαῦ, Ἡσαῦ τὸν Ῥαγουὴλ, Ῥαγουὴλ τὸν Ζαρᾶ, Ζαρᾶ τὸν Ἰὼβ, πρὶν μὲν καλούμενον [24] Ἰωκὰβ, [25] ὕστερον δὲ κληθέντα Ἰὼβ, [26] ὀλίγῳ πρόσθεν πρὸ τοῦ γενομένου αὐτῷ πειρασμοῦ. Ἦν δὲ περιτομὴ πολιτευομένη. Ἰακὼβ δὲ ἀποδιδράσκει [27] ἀπὸ Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ διὰ μῆνιν κατὰ συμβουλίαν πατρὸς καὶ μητρὸς ἐπὶ τὴν Μεσοποταμίαν [28] Φαδᾶν, ἐπέκεινα τῆς Μεσοποταμίας Σουσωβά· ὃς ἄγεται ἐκεῖθεν τῆς ἰδίας συγγενείας γαμετὰς τέσσαρας τὸν ἀριθμὸν, καὶ κυίσκουσιν αὐτῷ παῖδας δεκαδύο τὸν ἀριθμὸν, τοὺς καὶ πατριάρχας ἐπικληθέντας. [29] Παλινδρομοῦντι δὲ αὐτῷ ἐπὶ τὴν Χαναανῖτιν γῆν πρὸς τὸν ἴδιον [30] αὐτοῦ πατέρα Ἰσαὰκ καὶ μητέρα Ῥεβέκκαν γίνεταί τις αὐτῷ ὀπτασία ἐκ θεοῦ παρὰ τὰς τοῦ Ἰορδάνου διεκβολάς. Ἰαβὸκ δὲ τὸν χειμάρρουν καλοῦσιν ἔνθα που ἐθεάσατο παρεμβολὰς ἀγγέλων. Καὶ ἰδοὺ, φησὶν, ἄνθρωπος ἀφ' ἑσπέρας, καὶ συνεπάλαιεν αὐτῷ ἄχρι τὴν ἕω, ὃν ἄγγελον ἐπεσημήνατο ἡ γραφή· ὃς κατ' εὐλογίαν δίδωσι τῷ Ἰακὼβ ἀξιώματος ὄνομα [31] τὸ Ἰσραήλ. Διαναστὰς δὲ ἐκεῖθεν ὁ Ἰακὼβ ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου Εἶδος θεοῦ. Ἐπειδὴ ὁ πρὸς αὐτὸν διὰ τῆς εὐλογίας φήσας [32] ὅτι, Οὐκέτι κληθήσεται τὸ ὄνομά σου Ἰακὼβ, [33] ἀλλὰ Ἰσραὴλ κληθήσεται, [34] διέστειλε λέγων, Ὅτι ἐνίσχυσας μετὰ θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ. Ἀπὸ τούτου τοῦ χρόνου Ἰσραηλῖται καλοῦνται.

Κεφ. Ϛ'. Καὶ ὁ Ἰσραὴλ μετὰ τὴν τοῦ Ἰωσὴφ εἰς Αἴγυπτον κάθοδον κάτεισι καὶ αὐτὸς σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, υἱῶν τε καὶ ἐκγόνων, γυναικῶν τε τῶν προειρημένων, καὶ ἄλλων, ἐν ἑβδομήκοντα [1] ψυχῶν τὸν ἀριθμόν. Διατρίβει δὲ τὸ γένος τοῦ Ἰσραὴλ ἐν τῇ τῶν Αἰγυπτίων [2] χώρᾳ γενεὰς πέντε. Ἰακὼβ γὰρ γεννᾷ τὸν Λευὶ καὶ τὸν Ἰούδαν, καὶ τοὺς ἄλλους δέκα πατριάρχας. Λευὶς δὲ γεννᾷ τὸν Καὰθ, Ἰούδας δὲ γεννᾷ τὸν Φαρές. Καὰθ γεννᾷ τὸν Ἀμβρὰμ, Ἀμβρὰμ [3] γεννᾷ τὸν [4] Μωϋσέα. Φαρὲς γεννᾷ τὸν Ἐσρὼμ, Ἐσρὼμ γεννᾷ τὸν Ἀρὰμ,
pag. 11. Ἀρὰμ γεννᾷ τὸν Ἀμιναδὰβ, Ἀμιναδὰβ τὸν Ναασσὼν ἐν χρόνοις Μωϋσέως. Καὶ Ναασσὼν πέμπτῃ γενεᾷ κατὰ τὸν Λευί. Ἔξεισιν Ἰσραὴλ ἐκ [5] γῆς Αἰγύπτου διὰ τῆς Ἐρυθρᾶς Θαλάσσης ἐν θεοση-

20. πάλιν cod. *Ven.*
21. Ἐδὸμ, τὴν Ῥοχὸμ καὶ Πέτραν καλουμένην cod. *Venet.*
22. ὑφεξαιρουμένου cod. *Ven.*
23. ἐκ *om.* cod. *Ven.*
24. Ἰωβὰδ cod. *Venet.*
25. ὕστερον codd. *Venet.* et *Rhedig.* ἕτερον *libri editi.*
26. ὀλίγον ἔμπροσθεν cod. *Venet.*
27. ἀπὸ προσώπου τοῦ ἀδελφοῦ cod. *Venet.*

in Seire monte domicilium collocat, ibique oppidum Edom constituit. Cuius liberi perpetua successione in Idumaea dominati sunt, indeque principes Edom appellabantur. Ex qua stirpe si Abraamum e serie sustuleris, et ab Isaaco coeperis, quintus ordine Iob numerandus venit. Etenim Isaacus Esau filium habuit, ab hoc Raguel, a Raguele Zara genitus est. Hic vero Iobi pater extitit, qui cum antea Iacob diceretur paulo ante calamitatem illam Iobus alio nomine vocatus est. Per illud vero tempus circumcisionis ritus obtinebat. Caeterum Iacob Esau fratris iram metuens de parentum consilio in Mesopotamiam Phadan profugus concessit, ultra Mesopotamiae partem alteram, quae Susoba nominatur. Unde quatuor e cognata familia coniuges duxit, e quibus duodecim liberos patriarchas suscepit. Cumque in Chananaeam ad parentes suos Isaac et Rebeccam postliminio rediret, visum ei quoddam haud procul Iordanis vadis divinitus oblatum est, ad torrentem Iaboc, ubi angelorum castra conspexit. *Et ecce*, inquit, *vir quidam cum eo luctabatur a vespera ad* Gen. 32. *auroram usque;* quem angelum fuisse scriptura significat, qui Iacobo benedicens eidem dignitatis nomine Israelis appellationem indidit. Postea digrediens Iacobus ei loco visionis dei nomen imposuit, propterea quod qui sibi inter benedicendum dixerat: *Nequaquam amplius vocaberis Iacob, sed Israel tibi nomen erit,* idem hoc diserte subiecerat: *Quoniam cum deo contendens praepotens fuisti, etiam contra homines viribus valebis.* Ab illo deinceps tempore Israelitae nuncupati sunt.

Postquam vero in Aegyptum Iosephus profectus est, ad eum Cap. IX. Israel cum universa familia perrexit, cum filiis, inquam, ac nepo- Gen. 46. tibus, atque horum omnium uxoribus reliquaque domo, ut in totum LXX capita numerata sint. Mansit porro Israelitarum in Aegypto genus aetatum quinque spatio. Siquidem Iacobus Levi atque Iudam genuit, caeterosque patriarchas decem. Levi Caath filium, Iuda Phares suscepit. Caath Amram genuit, Amram Moysen. At Phares Esrom, Esrom Aram, Aram Aminadab, Aminadab Naasson Mosis tempore. Sic aetate perinde quinta Naasson ortus est. At Israelitae per Mare Rubrum ex Aegypto inter stupenda prodigia di-

28. *Sic libri omnes tam scripti quam editi.*

29. πάλιν δὲ δρομοῦντι αὐτῷ *cod. Venet.*

30. αὐτοῦ *ed. Petav.*

31. τὸ *cod. Venet.* τῷ *cod. Rhedig. et editi libri.*

32. ὅτι *om. cod. Venet.*

33. ἀλλὰ *cod. Ven.* ἀλλ' ἢ *reliqui libri.*

34. καὶ διέστειλε *cod. Venet.*

Cap. IX. — 1. ψυχαῖς *cod. Venet.*

2. χώρᾳ *om. cod. Venet.*

3. δὲ γεννᾷ *cod. Venet.*

4. *Verba* Μωϋσέα. Φαρὲς γεννᾷ τὸν *om. cod. Venet.*

5. τῆς *cod. Venet.*

μείοις, καὶ στρατοπεδεύει ἐν τῇ ἐρήμῳ Σινᾶ. Καὶ χρησμῶν δοθέντων ἐκ θεοῦ τῷ θεράποντι αὐτοῦ Μωϋσεῖ ἀριθμήσασθαι ἀπὸ εἴκοσι ἐτῶν καὶ ἕως πεντήκοντα ἄνδρας δυναμένους σπάσασθαι ῥομφαίαν καὶ λαμβάνειν ὅπλα πολεμικὰ εἰς ἑξηκονταδύο μυριάδας καὶ ὀκτακισχιλίους πεντακοσίους εὗρεν.

Ἦν δὲ κατ' ἐκεῖνο καιροῦ Ἴναχος παρ' Ἕλλησι γνωριζόμενος, οὗ θυγάτηρ Ἰώ, ἡ καὶ Ἀτθὶς καλουμένη, δι' ἣν καὶ [6] ἡ Ἀττική. Ἐξ ἧς καὶ ὁ Βόσπορος, οὗ ἐπώνυμος πόλις Βόσπορος ἐν τῷ Εὐξείνῳ Πόντῳ καλουμένη. Καλοῦσι δὲ αὐτὴν Αἰγύπτιοι Ἶσιν, ἣν καὶ ὡς θεὰν προςκυνοῦσιν. Ὁμώνυμος δὲ τούτῳ καὶ ποταμός ἐστιν Ἴναχος οὕτω καλούμενος. Ἐκεῖθεν δὲ ἀρχὴν ἔσχε τὰ παρ' Ἕλλησι μυστήριά τε καὶ τελεταί, πρότερον παρ' Αἰγυπτίοις καὶ παρὰ [7] Φρυξὶ καὶ Φοίνιξι καὶ Βαβυλωνίοις κακῶς ἐπινενοημένα, μετενεχθέντα τε εἰς Ἕλληνας ἀπὸ τῆς τῶν Αἰγυπτίων χώρας ὑπὸ Κάδμου, καὶ αὐτοῦ τοῦ Ἰνάχου, Ἄπιδος πρότερον κληθέντος καὶ οἰκοδομήσαντος τὴν Μέμφιν, ἀλλὰ καὶ παρ' Ὀρφέως καὶ ἄλλων τινῶν τὴν ἀρχὴν λαβόντα, καὶ εἰς αἱρέσεις συσταθέντα ὕστερον ἐν Ἐπικούρῳ, καὶ Ζήνωνι τῷ [8] Στωϊκῷ, καὶ Πυθαγόρᾳ, καὶ Πλάτωνι· ἐξ οὗπερ ἤρξαντο χρόνου [9] κρατυνθῆναι ἕως τῶν Μακεδονικῶν χρόνων καὶ Ξέρξου τοῦ βασιλέως τῶν Περσῶν, μετὰ τὴν ἅλωσιν τῶν Ἱεροσολύμων τὸ πρῶτον, καὶ Ναβουχοδονόσορ αἰχμαλωσίας καὶ Δαρείου, καὶ τῶν κατ' Ἀλέξανδρον τὸν Μακεδόνα χρόνων. Πλάτων γὰρ κατ' ἐκεῖνον τὸν καιρὸν ἐγνωρίζετο, καὶ [10] οἱ πρὸ αὐτοῦ, Πυθαγόρας τε καὶ Ἐπίκουρος ὁ μετέπειτα· ὅθεν δή, ὡς προεῖπον, τὴν πρόφασιν εἴληφε καὶ εἰς κατάστασιν ἦλθε τὰ παρ' Ἕλλησι συγγράμματα, καὶ αἱ μετὰ τοῦτον τὸν χρόνον [11] βοώμεναι αἱρέσεις τῶν φιλοσόφων πρὸς ἀλλήλας τῇ μὲν πλάνῃ συνᾴδουσαι καὶ [12] ὁμόστιχον γνῶσιν συνυφαίνουσαι εἰδωλολατρείας τε καὶ ἀσεβείας καὶ ἀθεΐας, τῇ δὲ αὐτῇ πλάνῃ εἰς ἑαυτὰς συγκλώμεναι διαφέρονται ἑτέρα πρὸς τὴν ἑτέραν.

---

pag. 12.

## ΣΤΩΙΚΟΙ,

### τρίτη ἀπὸ Ἑλληνισμοῦ, πέμπτη δὲ τῇ ἀκολουθίᾳ.

Κεφ. α'. Καὶ Στωϊκοὶ μὲν φρονοῦσι περὶ θεότητος τοῦτο, φάσκοντες εἶναι νοῦν τὸν θεόν, [1] ἢ παντὸς τοῦ ὁρωμένου κύτους, οὐρανοῦ τέ φημι καὶ γῆς καὶ τῶν ἄλλων, ὡς ἐν σώματι ψυχήν. Μερίζουσι δὲ οἱ αὐτοὶ τὴν μίαν θεότητα εἰς πολλὰς μερικὰς οὐσίας, εἰς ἥλιον καὶ σελήνην καὶ ἄστρα, εἰς ψυχὴν καὶ ἀέρα καὶ τὰ ἄλλα, μεταγγισμούς

6. ἡ νῦν Ἀττικὴ cod. *Venet.*
7. Φρίγαις cod. *Venet.*
8. στοϊχῷ *libri, de more.*
9. κρατυνθεῖσαι cod. *Venet.*

gressi in deserto Sinaitico castra metati sunt. Tum Moysi dei servo divinum oraculum recensere populum iubet, eorumque numerum inire, qui militarem aetatem adepti tractare arma possent, a vicesimo aetatis anno ad quinquagesimum. Quam in descriptionem sexcenta viginti et octo millia ac quingenta capita relata sunt.

Atque idem illud tempus fuit quo apud Graecos Inachus florebat, cuius Io filia Atthis alias dicta Atticae regioni de suo nomen imposuit. Ex eadem natus et Bosporus, cui cognominis urbs in Euxino mari posita. Sed Aegyptii Isin illam nuncupant, ac pro dea venerantur. Inachi porro nomen etiam fluvius quidam sortitus est. Caeterum illinc Graecorum mysteria religionesque derivatae sunt, quae apud Aegyptios, Phryges, Phoenices et Babylonios male antehac excogitata per Cadmum et Inachum, qui prius Apis dictus Memphin urbem condidit, ex Aegypto translata sunt in Graeciam. Quinetiam ab Orpheo aliisque nonnullis invecta varias in sectas coaluere postmodum, quarum Epicurus, Zeno Stoicus, Pythagoras ac Plato duces atque inventores fuerunt. Igitur ab illo tempore corroborata deinceps illa superstitio ad imperium usque Macedonicum et Xerxem Persarum principem, post primum Hierosolymorum excidium. Itemque ad Nabuchodonosoris usque captivitatem, adeoque Darii et Alexandri Macedonis tempora. Tum enim Plato florebat, ac qui Platonem aetate praecessit Pythagoras, et qui post eum vixit Epicurus. Ex illa, uti dixi, occasione Graecorum monumenta propagata sunt. Tum quae secundum illud tempus celebratae fuerunt philosophorum sectae, eae tametsi secum invicem in eo consentiant, quod errorem propugnant, paremque et eandem idololatriae atque impietatis doctrinam contexant, in illa tamen erroris libidine semetipsas collidunt ac mutuo repugnant.

---

## DE STOICIS,

### quae tertia est Gentilium haeresis, ordine vero V.

Quod ad Stoicos pertinet, haec est de divinitate illorum opinio. Deum esse mentem asserunt, quae totius aspectabilis molis, coeli nimirum ac terrae caeterarumque rerum velut corporis anima sit. Rursus divinitatem unam in plures ac particulares naturas distribuunt; solem videlicet, lunam ac stellas, animam, aërem, Cap. I.

10. *Sic omnes libri.* — *Pro* πρὸ *fortasse corrigendum* ἀπὸ.
11. αἱ βοώμεναι *cod. Venet.*
12. ὁμόστοιχον *cod. Venet.*
Cap. I. — 1. ἥ — — ψυχήν. *ego. Libri habent* ἡ (ἥ *ed. Petav.*) — — ψυχή.

τε ψυχῶν καὶ μετενσωματώσεις ἀπὸ σώματος εἰς σῶμα, καθαιρομένας σωμάτων, [2] ἢ δ' αὖ πάλιν εἰςδυούσας, καὶ ἀνάπαλιν γεννωμένας. Διὰ πολλῆς αὐτῶν πλάνης ταύτην τὴν ἀσέβειαν παρυφαίνουσι. Μέρος δὲ θεοῦ καὶ ἀθάνατον τὴν ψυχὴν ἡγοῦνται. Ἔσχον δὲ Ζήνωνα ἀρχηγὸν τῆς Στοᾶς, περὶ οὗ πολὺς [3] θρυλεῖται λόγος. Οἱ μὲν γὰρ αὐτὸν ἔφασαν Κλεάνθου τινὸς τοῦ ἀπὸ Τύρου ὁρμωμένου, ἄλλοι δὲ φάσκουσιν αὐτὸν Κιτιέα τῆς Κύπρου νησιώτην, ἐν Ῥώμῃ δὲ βεβιωκέναι χρόνον, ὕστερον δὲ ἐν Ἀθήναις προστησάμενον τουτὶ τὸ δόγμα ἐν τῇ Στοᾷ οὕτω καλουμένῃ· τινὲς δέ φασι δύο Ζήνωνας εἶναι, τόν τε Ἐλεάτην καὶ τὸν προειρημένον. Ὅμως οἱ ἀμφότεροι οὕτως ἐδογμάτισαν, εἰ καὶ δύο εἶεν. Φάσκει οὖν καὶ οὗτος, τὴν ὕλην σύγχρονον [4] καλῶν τῷ θεῷ, ἴσα ταῖς ἄλλαις αἱρέσεσιν, εἱμαρμένην τε εἶναι καὶ γένεσιν, ἐξ ἧς τὰ πάντα διοικεῖται καὶ πάσχει. Πρὸς ἃ τοίνυν ἰσχύει ἡ σύντομος ἡμῶν αὕτη σύνταξις, πρὸς τὴν τούτου φαυλότητα ἀλεξητήριον φάρμακον διεξιέναι, καὶ οὐχὶ μᾶλλον εἰς ὄγκον πολὺν [5] ἐλάσω τῆς πραγματείας τὸ ἐχέγγυον, ἀκροθιγῶς δὲ, ἵνα μὴ ἐν παραδρομῇ γένωμαι, πρὸς τοῦτον ἐρῶ.

Κεφ. β'. Πόθεν εἴληφας, ὦ οὗτος, τὴν τῆς διδασκαλίας ὑφήγησιν; ἢ ποῖον πνεῦμα ἅγιον οὐρανόθεν λελάληκέ σοι περὶ τῆς σαυτοῦ πλάνης; Δύο μὲν γὰρ ἐπὶ τὸ αὐτὸ σύγχρονα, ὕλην καὶ θεὸν, βεβιασμένως λέγεις. Πεσεῖται γάρ σου ὁ λόγος, καὶ ἀσύστατος ἔσται. Ὁμολογεῖς μὲν γάρ τινα εἶναι δημιουργὸν, ὃν καὶ παντοκράτορα φῂς,
pag. 13. τοῦτον δὲ μερίζεις εἰς πολυθεΐαν. Τίνος δ' ἂν εἴη δημιουργὸς, [1] εἰ σύγχρονος εἴη ἡ ὕλη; Ἔσται γὰρ καθ' ἑαυτὴν ἑαυτῆς δεσπόζουσα, ἡ μὴ ἀπὸ αἰτίου τινὸς λαβοῦσα τὴν ἀρχὴν, καὶ οὐχ ὑποτασσομένη. Εἰ δὲ ὁ δημιουργὸς παρὰ ταύτης λαμβάνει προβολὴν ταύτην εὑράμενος, ἀδράνειά τις ἂν εἴη καὶ ἔρανος δι' ἀπορίαν τῷ προςπορισαμένῳ οὐκ ἀπὸ τῶν ἰδίων, ἀλλ' ἐξ ὑποκειμένων ἀλλοτρίων, ὅπως τὸ ἴδιον ὑποστήσεται δημιούργημα. Καὶ περὶ τοῦ τῶν ψυχῶν μεταγγισμοῦ πολλή τις ἡ φαυλότης τῆς παραπεποιημένης σου διανοίας, ἐθελόσοφε, καὶ γνῶσιν ἀνθρώποις ἐπαγγελλόμενε. Εἰ γὰρ μέρος θεοῦ ὑπάρχει καὶ ἀθάνατος, σώματα δὲ οἰκτρὰ, οὐ μόνον εἴποιμι θηρῶν τε καὶ ἑρπε-

2. *Libri omnes, quos vidi,* ἡ δ' αὖ πάλιν, *vitiose. Formula* ἢ δὲ αὖ πάλιν *occurrit iterum infra haer.* 45, 1. *f. Pro* καθαιρομένας *videtur reponendum* καὶ καθαιρομένας.

3. *Ita libri scripti et ed. princ.* θρυλλεῖται *edit. Petav.*

4. *Libri habent* καλεῖν, *quod mutavi in* καλῶν. *Cornarius retinuit* καλεῖν *vertens:* Asserit igitur etiam hic materiam contemporaneam deo appellandam esse.

5. *Vulgo* ἐλάσσω. *Mendose. Cornarius vertens*, Quomodo igitur compendiaria haec nostra tractatio adversus huius vitia auxiliare medicamentum recensere poterit? ita ut non multo minor magnitudine rei fiat defensio? Verum *cett. non magis haec verba intellexit quam Petavius. Nam verba* πρὸς τὴν τούτου — — διεξιέναι *sunt per epexegesin sumenda. Interpretor igitur:* Ad quae igitur sufficit compendiaria haec tractatio, hoc est

resque caeteras. Ad haec animarum ex aliis in alia corpora transfusiones ac transitus admittunt. Eas quippe de corpore decedere ac rursus ingredi, iterumque gigni statuunt, et conscelerratum illud dogma quadam erroris abundantia contexunt. Caeterum particulam quandam dei, eandemque immortalem animam esse praedicant. Porticus princeps, sive Stoicae sectae, Zeno fuit, de quo varius est sermo. Nam alii Cleanthis cuiusdam Tyrii filium fuisse putant, alii Citliensem faciunt ex insula Cypro; quem et Romae aliquamdiu vixisse narrant, indeque Athenas profectum in Stoa, hoc est porticu, dogmata illa publice proposuisse. Non desunt qui duos Zenones distinguant, Eleaten, et eum de quo proxime dictum est. Utcumque sit, eadem ab utriusque decreta profluxerunt. Proindeque materiam aequalem deo facit alter ille, quemadmodum et haereses reliquae. Tum vero fati atque originis necessitatem adstruit, cuius legibus temperentur et afficiantur universa. Igitur quaecumque operis instituti brevitas contra illius nequitiam disputari patitur, ac velut auxiliare medicamentum parari, sed ita nequaquam ut in immensam molem illud ipsum opus excrescat, haec, inquam, summatim, ne praetermisisse videar, adversus illum obiiciam, itaque conveniam.

Heus tu! inquam. Potin' eloqui a quo doctrinam hanc acceperis? aut quis demum spiritus sanctus tecum de hoc tuo errore sit locutus? Duo quippe simul aequalia tempore, materiam scilicet ac deum violenter obtrudis. Excidit igitur tua illa ratio, minimeque cohaeret ipsa secum, cum tu et opificem quendam omnium rerum esse fateare, quem etiam omnipotentem asseris, et in eo tamen ipso divinitatum divortia constituas. Cuiusnam vero artifex erit ille, si aequalis tempore materia ponitur? Erit enim per sese suimet ipsa iuris, utpote quae a nullo sit originis principio deducta, adeoque subiecta nemini. Quod si ab ea, producere ut posset, opifex qui eam nactus est acceperit, nonnulla haec esse debet illius imbecillitas, ac velut egenti facta contributio, nimirum qui non privatis ex copiis, sed ex aliena materia suum opus praestiterit. Iam illud de animarum in aliena corpora transitu, quantam in te levitatem depravatae mentis arguit, qui et sapientiae gloriam affectas, et rerum apud homines scientiam profiteris? Nam si pars est illa dei, et quidem immortalis, tu vero ad infelicissima nescio quae corpora non Cap. II.

ad enarrandum, auxiliare contra hujus nequitiam medicamentum, ad haec, inquam, tantum abest ut in immensam molem patiar excrescere quod illud spondet opus, ut summatim, ne omnino praetermisisse videar, adversus hunc disputem. *De formula* καὶ οὐχὶ μᾶλλον — — δὲ *cf. infra haeres.* 66, 46: καὶ μᾶλλον οὐχ ἐναντίον τὸ ὕδωρ τοῖς ἄρχουσιν τῆς πονηρίας, ὡς σὺ λέγεις, ἀλλὰ συνεργητικὸν μᾶλλον τὸ ὕδωρ *cett.*

Cap. II. — 1. *Libri habent* ἢ *pro* εἰ.

τῶν [2] καὶ κνωδάλων δυςγενῶν, τῇ πλάσει αὐτῆς συνάπτεις, τῇ ἀπὸ θεοῦ κατὰ σὲ τὴν οὐσίαν κεκτημένῃ, καὶ τί ἂν γένοιτο τούτου μοχθηρότερον;

Κεφ. γ'. [1] Εἱμαρμένην δὲ παρειςάγεις, ὡς ἐξ αὐτῆς γίνεσθαι τὰ τῷ ἀνθρώπῳ συμβαίνοντα καὶ ἄλλοις. Ἐξ ἑνὸς δὲ ῥητοῦ δι' ἐπιτομῆς τοῦ λόγου ἀνατραπήσεται ἡ σὴ μυθοποιΐα. Εἰ γὰρ εἱμαρμένης τὸ σοφίζεσθαι, τὸ συνετίζεσθαι, τὸ λογικὸν γεννᾶσθαι καὶ ἄλογον, καὶ τὰ ἄλλα πάντα, παυσάσθωσαν νόμοι. Ἐπικρατεῖ γὰρ ἡ εἱμαρμένη μοιχῶν τε καὶ ἄλλων. Δίκην δὲ μᾶλλον τίσουσιν οἱ ἀνάγκην ἐπιτιθέντες ἀστέρες ἤπερ ὁ ἀναγκαζόμενος δρᾶσαι τὸ ἐπιχείρημα. Ἀλλὰ καὶ ἄλλως ἔτι περὶ τούτων ἐρῶ. Ἀργείτωσαν αἱ διατριβαὶ, παυσάσθωσαν σοφισταί τε καὶ ῥήτορες καὶ γραμματικοὶ, ἰατροί τε καὶ ἄλλαι ἐπιστῆμαι, βαναύσων τε τεχνῶν ἀμυθήτων πλῆθος, καὶ μηκέτι μηδεὶς παιδευέτω, εἴπερ ἐξ εἱμαρμένης τυγχάνει τῶν ἐπιστημῶν, καὶ μὴ ἐκ γραμμάτων, μαθήσεως ὁ πορισμὸς τῇ ἀνθρωπείᾳ φύσει. Εἰ γὰρ εἱμαρμένη τὸν πεπαιδευμένον καὶ λογιώτατον παρεσκεύασε, μὴ μανθανέτω τις παρὰ τοῦ διδάσκοντος, ἀλλὰ τῇ φύσει λαμβανέτωσαν τὴν εἴδησιν αἱ τοὺς μίτους κλώθουσαι Μοῖραι, κατὰ τὸ φθέγμα τῆς κομπώδους σου [2] διὰ λόγων πλάνης.

## ΠΛΑΤΩΝΙΚΟΙ,

### τετάρτη αἵρεσις ἀπὸ Ἑλληνισμοῦ, ἕκτη δὲ τῇ ἀκολουθίᾳ.

Κεφ. α'. Ἀλλὰ ταῦτα πρὸς Ζήνωνα, καὶ τοὺς Στωϊκούς μοι λελέχθω. Πλάτων δὲ ἅμα καὶ αὐτὸς κατὰ τῶν αὐτῶν φερόμενος τῇ μετενσωματώσει καὶ μεταγγισμῷ τῶν ψυχῶν καὶ πολυθεΐαις καὶ ταῖς ἄλλαις εἰδωλολατρείαις καὶ δεισιδαιμονίαις οὐ τῇ ὕλῃ πάντῃ ἴσως κατὰ Ζήνωνα καὶ τοὺς Στωϊκοὺς ἐφρόνησεν. Οἶδε γὰρ αὐτὸς θεὸν, τὰ δὲ γενόμενα πάντα ἐκ τοῦ ὄντος θεοῦ [1] γεγενῆσθαι, εἶναι δὲ πρῶτον αἴτιον, καὶ δεύτερον, καὶ τρίτον· καὶ τὸ μὲν πρῶτον αἴτιον θεὸν, τὸ δὲ δεύτερον αἴτιον ἐκ θεοῦ γεγενῆσθαί τινας δυνάμεις, δι' αὐτοῦ δὲ καὶ τῶν δυνάμεων γεγενῆσθαι τὴν ὕλην. Φάσκει γὰρ οὕτως· Οὐρανὸς ἅμα χρόνῳ γεγένηται, ὁμοῦ γὰρ καὶ λυθήσεται· τὰ πρότερα ἑαυτοῦ τὰ περὶ ὕλης ἀνασκευάσας. Εἶπε γάρ ποτε καὶ σύγχρονον εἶναι τῷ θεῷ τὴν ὕλην.

2. *Fortasse* ἀλλὰ καί.
Cap. III. — 1. Εἱμαρμένην *libri editi. Ubique.*
2. διαλόγων *cod. Rhedig.*

Cap. I. — 1. *Libri habent* γεγενῆσθαί (γεγεννῆσθαί) τινας δυνάμεις εἶναι. *Sed illa verba* τινας δυνάμεις *per errorem, uti apparet, sunt repetita de linea inferiore.*

ferarum modo, sed et serpentum ac vilissimorum animantium conditionem illius dimittis, quae naturam, te quidem auctore, haustam a deo et expressam obtinuit, potest quicquam ea re esse perversius?

At etiam fatum nobis obiicis, a quo omnia proficiscantur, Cap. III. quae tam homini quam caeteris rebus accidunt. Verum uno eoque brevissimo dicto tuum illud commentum evanescet. Si enim istud ipsum, sapientem ac prudentem fieri, rationis participem expertemque nasci, reliquaque huius generis fati necessitas affert, sileant decreta legum omnia, quippe cum in adulteros sceleratosque caeteros fati vis illa dominetur. Sane quidem iustius ab stellis, quae necessitatem pariunt, poenae repetantur quam ab eo qui quod agit omnino coactus aggreditur. Atque ut id alia ratione disputem, si ita uti volunt se res habet, agedum scholae conticescant, desinant sophistae, rhetores, grammatici, medici, caeteraeque doctrinae omnes, illiberalium artium innumera multitudo. Nec doceat deinceps quispiam; si quidem fati beneficio, non literarum disciplina, generi humano scientia suppeditat. Nam si doctos atque eruditos efficere fati necessitas potest, nemo praeceptori navet operam, sed illae stamina trahentes Parcae ingenia hominum disciplinis imbuant, quemadmodum inani falsoque illo dogmate profiteris.

## DE PLATONICIS,
### quae est haeresis Gentilium IV., ordine VI.

Haec contra Zenonem et Stoicos dicta sunto. Quod ad Pla- Cap. I. tonem attinet, in eodem is luto versatur. Nam de animarum ex aliis in alia corpora traiectione ac vicissitudine, deque multitudine deorum ac reliquis idololatriae superstitionisque generibus eadem est illius sententia. Sed de materia fortasse non omnino cum Zenone Stoicisque sentit. Etenim deum ille cognovit, ab eoque cuncta producta, tum mentes quasdam agendi facultate praeditas a vero deo propagatas asseruit. Praeterea primum esse principium, ac secundum, et tertium. Quorum primum deum esse pronunciat, alterum procreatas a deo mentes, ab utrisque demum materiam productam. Sic enim definit: coelum cum tempore factum esse, unaque cum eo dissolutum iri. Quibus verbis priorem suam de materia sententiam evertit. Alias enim materiam deo aequalem esse tempore statuerat.

## ΠΥΘΑΓΟΡΕΙΟΙ,

### πέμπτη αἵρεσις ἀπὸ Ἑλληνισμοῦ, ἑβδόμη δὲ τῇ ἀκολουθίᾳ.

Κεφ. α΄. *Πρὸ δὲ τούτου Πυθαγόρας καὶ οἱ* [1] *Περιπατητικὴν ἐπαγγελλόμενοι χαρακτηριάζουσιν ἕνα θεὸν, φιλοσοφίαις δὲ ἄλλαις καὶ τοῖς φιλοσοφουμένοις προςανέχουσι. Τὰ ἴσα μὲν τούτοις πάλιν τὰ τῆς ἀθεμίτου γνώμης καὶ ἀσεβεστάτης, τῶν ψυχῶν ἀπαθανατισμούς τε καὶ μετενσωματώσεις, καὶ σωμάτων* [2] *φθορὰς, αὐτός τε καὶ οἱ σὺν αὐτῷ ἀγορεύουσιν. Οὗτος δὲ* [3] *τέλος ἐν τῇ* [4] *Μηδίᾳ τὸν βίον καταστρέφει. Σῶμα δὲ λέγει εἶναι τὸν θεὸν, τουτέστιν οὐρανὸν, ὀφθαλμοὺς δὲ αὐτοῦ καὶ τὰ ἄλλα ὥςπερ ἐν ἀνθρώπῳ ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα ἄστρα καὶ τὰ κατ' οὐρανὸν* [5] *στοιχεῖα.*

## *ΕΠΙΚΟΥΡΕΙΟΙ,

### ἕκτη αἵρεσις ἀπὸ τοῦ Ἑλληνισμοῦ, ὀγδόη δὲ τῇ ἀκολουθίᾳ.

Κεφ α΄. *Ἐπίκουρος δὲ καθεξῆς ἀπρονοησίαν τῷ κόσμῳ εἰςηγήσατο, ἐξ ἀτόμων δὲ συνεστάναι τὰ πάντα,* [1] *ἢ δ' αὖ πάλιν εἰς ἄτομα χωρεῖν·*
pag. 15. *καὶ ἐξ αὐτοματισμοῦ εἶναι τὰ ὅλα, καὶ τὸν κόσμον ὑφεστάναι ἀεὶ γεννώσης τῆς φύσεως,* [2] *ἢ δ' αὖ πάλιν δαπανωμένης, καὶ ἐξ αὐτῆς πάλιν δαπανωμένης, καὶ ἐξ αὐτῆς πάλιν ἐπιγινομένης, μηδέποτε δὲ ληγούσης ἀφ' ἑαυτῆς φυομένης καὶ εἰς ἑαυτὴν συντριβομένης. Εἶναι δὲ ἐξ ὑπαρχῆς ᾠοῦ δίκην τὸ σύμπαν, τὸ δὲ πνεῦμα δρακοντοειδῶς περὶ τὸ ᾠὸν ὡς στέφανον, ἢ ὡς ζώνην, περισφίγγειν τότε τὴν φύσιν· θελῆσαν δὲ βιασμῷ τινι καιρῷ περισσοτέρως σφίγξαι τὴν πᾶσαν ὕλην, εἴτ' οὖν φύσιν τῶν πάντων, οὕτω διχάσαι μὲν τὰ ὄντα εἰς τὰ δύο ἡμισφαίρια, καὶ λοιπὸν ἐκ τούτου τὰ ἄτομα διακεκρίσθαι. Τὰ μὲν γὰρ κοῦφα καὶ λεπτότερα τῆς φύσεως πάσης ἐπιπολάσαι ἄνω, τουτέστι φῶς καὶ αἰθέρα καὶ τὸ λεπτότατον τοῦ πνεύματος· τὰ δὲ βαρύτατα καὶ σκυβαλώδη κάτω νενευκέναι, τουτέστι γῆν, ὅπερ ἐστὶ τὸ ξηρὸν καὶ ἡ ὑγρὰ τῶν ὑδάτων οὐσία. Τὰ δὲ ὅλα ἀφ' ἑαυτῶν κινεῖσθαι καὶ δι' ἑαυτῶν ἐν τῇ περιδινήσει τοῦ πόλου καὶ τῶν ἄστρων, ὡς ἀπὸ τοῦ δρακοντοειδοῦς ἔτι τὰ πάντα ἐλαύνεσθαι πνεύματος. Καὶ ἀπὸ μέρους μὲν περὶ τούτων ἔφημεν.*

Cap. I. — 1. Περιπατητικὴν ἐπαγγελλόμενοι χαρακτηριάζουσιν *cod. Venet. Reliqui libri* Περιπατητικοὶ, ἐπαγγελλόμενοι χαρακτηρίζειν. *De verbo* χαρακτηριάζειν *cf. etiam haer.* 33, 7. *et haer.* 31, 6.
2. φθοραὶ *cod. Venet.*
3. τέλος *cod. Venet.* τέλειος *cod. Rhedig. et editi libri. Cornarius et Petavius coniecerunt* τελέως.
4. *Ita libri tam scripti quam editi. Monachius ap. Menag. in Diog. Laert. V. Pythag.* 39. *pag.* 333. *volebat* τελέως τῇ ἐνδείᾳ τὸν βίον καταστρέφει. *Sic* ἔνδεια *saepius usurpatur, ut infra haer.* 13, 1. *An aliqui magistellus, a quo videlicet haec mutuatus Epiphanius, postquam deprehendit apud scriptorem Latinum nescio quem Pythagoram inedia se interfecisse, Latini*

## CONTRA PYTHAGOREOS, quae est Gentilium haeresis V., ordine VII.

Sed ante hunc Pythagoras ac Peripatetici cum se deum unum definire profiterentur in aliud philosophiae genus, aliaque dogmata sunt prolapsi. Et tum ille, tum eius sectatores eadem cum Platonicis sentiunt, quod ad nefandam impiamque sententiam spectat de mutatione corporum animarumque transitione, ac de eorumdem corruptione corporum. Ac Pythagoras quidem postremo vitam in Media finiit. Qui insuper deum esse corporeum asserit, videlicet coelum. Cuius oculos caeterasque tanquam in homine partes solem et lunam constituit, ac reliquas stellas elementaque coelestia. Cap. I.

## DE EPICUREIS, quae est VI. Gentilium haeresis, ordine VIII.

Ut a prioribus discedam, Epicurus providentiam e mundo sustulit. Idem ex atomis universa constare, atque in atomos resolvi credidit. Ad haec fortuito fieri omnia, mundumque consistere, generante natura pereunteque perpetuo, dum rursus ex semetipsa renascitur, ac nullum propagandi sui occidendique finem facit. Fuisse praeterea ovi instar universitatem omnem, circa quod ovum sinuosis flexibus implicatum serpentis more spiritum, velut coronam ac cingulum, ipsam adstrinxisse naturam. Sed dum confertam in unum materiam universique naturam vehementius arctare nititur, subinde molem omnem in hemisphaeria duo separasse, indidemque indivisibilium corpusculorum excretionem esse factam, adeo ut leviora subtilioraque sursum evolarent, nimirum lux, aether, et quod erat spiritus tenuissimum, quae vero graviora, ac veluti purgamenta forent, pessum subsiderent, cuiusmodi terram, sive siccum ipsum, et aquarum humidam naturam fuisse. Addit per sese universa moveri ac polorum siderumque vertigine raptim velut flexuosi illius spiritus agitatione corripi. Haec nos de istorum dogmatibus obiter duntaxat attigimus. Cap. I.

*sermonis minus gnarus et eruditionis parum felicis, ex voce* inedia *sibi effecerit* Mediam? *Sed haec res in medio relinquenda.*

5. *Male vertisse Petavium* στοιχεῖα elementa, *monuit Salmas. de Ann. Climacter. p.* 576. *Sunt enim* μορφώσεις τοῦ ζωδιακοῦ.

* *Inscriptionem om. cod. Rhedig. Pro* Ἐπικούρειοι *edit. princ. pro more habet* Ἐπικούριοι. *Ita supra etiam cod. Rhedig. una cum edit. princ.* Πυθαγόριοι.

Cap. I. — 1. ἤδ' αὖ πάλιν *ed. princ.* ἠδ' αὖ πάλιν *ed. Petav.*

2. ἤδ' αὖ πάλιν *ed. princ.* ἠδ' αὖ πάλιν *ed. Petav.*

Κεφ. α'. Τῷ δὲ αὐτῷ τρόπῳ τὰς τέσσαρας ταύτας αἱρέσεις ἀνατρεπτέον διὰ τὴν συντομίαν τῆς ἀναγνώσεως. Ἐντεῦθεν καὶ ἀνωτέρω λοιπὸν, ὡς ἔφην, ποιηταὶ, ἱστοριογράφοι, [1] λογογράφοι, ἀστρονόμοι τε καὶ οἱ τὰ ἄλλα τῆς πλάνης εἰςηγησάμενοι, οἱ παρασκευάσαντες τὸν νοῦν ἐπὶ μυρίας κακὰς αἰτίας καὶ ἀναγωγὰς, ἐσκότωσαν καὶ ἐθόλωσαν τὴν τῆς ἀνθρωπότητος ὑπόληψιν. Καὶ γέγονεν αὕτη πρώτη πλάνη, ἐπίνοια εἰδώλων καὶ κακοδαιμονία διδασκαλίας. Ἦν δὲ τὰ πάντα μεμερισμένα, Ἑλληνισμός τε καὶ Ἰουδαϊσμός. Ἰουδαϊσμὸς οὔπω πρότερον καλούμενος, ἀλλὰ διὰ τοῦ Ἰσραὴλ τὸ ἐπώνυμον τῆς θεοσεβοῦς θρησκείας ἐπικεκλημένος, ἕως ὅτε διαδοχαὶ γεγέννηνται. Ὁ γὰρ Ναασσὼν ὁ ἐν τῇ ἐρήμῳ γεγονὼς φύλαρχος τῆς φυλῆς Ἰούδα γεννᾷ τὸν Σαλμὼν, Σαλμὼν γεννᾷ τὸν Βοὸς, Βοὸς γεννᾷ τὸν Ὠβὴδ, Ὠβὴδ γεννᾷ τὸν Ἰεσσαὶ, [2] ἐπὶ τῶν θεοσεβῶν Ἰσραηλιτῶν καλουμένων. Ἰεσσαὶ γεννᾷ τὸν Δαβὶδ τὸν βασιλέα, ὃς πρῶτος ἐβασίλευσεν ἐκ φυλῆς Ἰούδα· ἐξ οὗ λοιπὸν οἱ κατὰ διαδοχὴν βασιλεῖς ἐκ τοῦ σπέρματος αὐτοῦ, υἱὸς διαδεχόμενος πατέρα, καθεξῆς συνεστήκασιν. Ἦν δὲ πρὸ αὐτοῦ τοῦ Δαβὶδ ὁ φύσει πρῶτος βασιλεύσας ἐν Ἰσραὴλ Σαοὺλ, υἱὸς Κεὶς, ἐκ
pag. 16. φυλῆς Βενιαμίν. Καὶ οὐκέτι αὐτὸν διεδέξατο υἱὸς, ἀλλὰ μετέστη τὸ βασίλειον διὰ Δαβὶδ πρώτου εἰς τὴν φυλὴν Ἰούδα. Πρῶτος γὰρ αὐτῷ τῷ Ἰακὼβ παῖς γίνεται Ῥουβὶμ, δεύτερος Συμεὼν, τρίτος Λευῒς, τέταρτος Ἰούδας· ἐξ οὗ καλοῦνται Ἰουδαῖοι, διὰ τὴν φυλὴν Ἰούδα τοῦ ἐκ τοῦ γένους τῶν θεοσεβῶν, οἱ εἰς τὸ ὄνομα τοῦτο μεταπεσόντες. Ἐκαλοῦντο γοῦν πρώην Ἰσραηλῖται οἱ καὶ Ἰουδαῖοι.

Κεφ. β'. Ἕως τούτου τοῦ χρόνου συνήφθησαν αἱ τέσσαρες γενεαὶ τῆς γῆς τῶν τεσσάρων τμημάτων, τούτων διαιρεθέντων κατὰ τοὺς χρόνους ἕως τοῦ καιροῦ τούτου τοῦ ἐνταῦθά μοι δεδηλωμένου καὶ ἐπέκεινα, τουτέστιν ἀπὸ Ἀδὰμ ἕως τοῦ Νῶε Βαρβαρισμός, ἀπὸ τοῦ Νῶε ἕως τοῦ πύργου καὶ Σεροὺχ μετὰ δύο [1] γενεὰς τοῦ πύργου ἡ Σκυθικὴ δεισιδαιμονία, καὶ μετέπειτα ἀπὸ τοῦ πύργου καὶ Σεροὺχ καὶ Ἀρὰμ ἕως τοῦ Ἀβραὰμ ὁ Ἑλληνισμὸς, ἀπὸ τούτου καὶ τῶν μετέπειτα θεοσέβεια συναπτομένη τῷ αὐτῷ Ἀβραὰμ, ἀπὸ τοῦ κατὰ διαδοχὴν σπέρματος αὐτοῦ, τουτέστι τοῦ Ἰούδα, ἀφ' οὗπερ Ἰουδαϊσμός· ὡς ἔτι μαρτυρεῖ μοι ὁ πνευματοφόρος καὶ ἅγιος τοῦ θεοῦ ἀπόστολος Παῦλος, ὧδέ πως λέγων, ὅτι, Ἐν Χριστῷ Ἰησοῦ οὐ βάρβαρος, οὐ Σκύθης, οὐχ Ἕλλην, οὐκ Ἰουδαῖος, ἀλλὰ καινὴ κτίσις, ἐπειδὴ ἐξ ὑπαρχῆς, ὅτε ἔκτιστο ἡ κτίσις, καινὴ οὖσα οὐδέν τι διαφορώτερον ἔσχεν ὄνομα.

Cap. I. — 1. λογογράφαι editi libri. 2. Non defuerunt qui suspicarentur ἔτι. Cap. II. — 1. Vulgo γενεᾶς.

## Refutatio superiorum quatuor haeresium.

Nunc ut lectoribus brevitate consulamus, quatuor simul hae Cap. I. sectae oratione nostra refellendae sunt. Ab his enim primordiis, vel ante haec etiam, ut initio diximus, poëtae, historici, reliquique scriptores, astronomi, caeteri denique erroris artifices ac magistri, qui ad sexcenta rerum statuenda principia pessimasque caussas impulere mortalium animos, communibus generis humani sensibus densissimas tenebras offuderunt. Atque hic demum primus error extitit, idolorum excogitata superstitio, infelixque illa disciplina. Erant tum duas in factiones universa distributa, gentilium ac Iudaeorum. Verum Iudaica secta nequaquam initio vocabatur, sed Israel divinae huic religioni cognomentum erat, donec generum est propagata successio. Etenim Naasson, qui tribus Iudae princeps in deserto constitutus est, Salmon genuit, Salmon Boos, Boos Obed, Obed Iesse, cum qui religiose deum colerent adhuc Israelitae dicerentur. Deinde Iesse Davidem genuit, qui primus e tribu Iudae regnum obtinuit. Cuius ab stirpe deinceps perpetua succes sione reges imperio potiti sunt. Sed ante Davidem primus Israeliticum regnum Saulus tenuerat e Beniamini tribu, Ceiso patre genitus. Nec ei tamen filius successit sed ad tribum Iudae per Davidem imperium translatum est. Igitur Iacobus liberorum primum omnium Rubenum suscipit, deinde Simeonem, tertium Levi, quartum Iudam, a quo Iudaei cognominati sunt, ob Iudae tribum, qui ex religiosorum hominum genere prodierat, ad eam appellationem traducti. Siquidem Israëlitae principio vocati sunt qui Iudaei modo dicuntur.

Ad hoc usque tempus quatuor in terris hominum genera per- Cap. II. ducta sunt, quorum unumquodque suo tempore separatim coaluit, ad eam aetatem et ultra quam proxime significavimus. Nam ab Adamo ad Noemum Barbarismus obtinuit. A Noemo ad turris aedificationem et Seruchi tempora, qui tertia post illam aetate vixit, Scythica superstitio. A turris extructione et Serucho, nec non et Aramo, ad Abraamum, gentilis secta viguit. Ab Abraamo denique et eius posteris sincera religio prodiit, quae ab ipsomet Abraamo coepta per eius stirpem est transmissa, Iudaeque cumprimis tribum, unde Iudaismus nomen accepit. Quod quidem a me vere esse dictum divini sanctissimique apostoli Pauli testimonio constat, cum ita disputat: *In Christo Iesu neque barbarus, neque Scytha, neque Graecus, neque Iudaeus est, sed nova creatura.* Coloss. 3, 11. Quandoquidem etiam initio, cum primum creatura condita est, nova adhuc existens nullum peculiare ac distinctum nomen habuit. His consentanea sunt

*Συνῳδὰ δὲ τούτοις πάλιν ἐν ἑτέρῳ τόπῳ λέγει οὕτως, Ὀφειλέτης εἰμὶ Ἕλλησί τε καὶ βαρβάροις· σοφοῖς τε καὶ ἀνοήτοις, ἵνα δείξῃ σοφοὺς μὲν τοὺς Ἰουδαίους, ἀνοήτους δὲ τοὺς Σκύθας, καί, φησίν, ὀφειλέτης εἰμί. Ἐντεῦθεν τὸ πᾶν γένος τοῦ Ἰσραὴλ Ἰουδαῖοι ἐκαλοῦντο, ἀπὸ χρόνου τοῦ Δαβίδ, καὶ διήρκεσεν ἐπωνύμως [2]καλούμενον Ἰσραηλιτῶν τε καὶ Ἰουδαίων ἔχον τὴν ἐπίκλησιν τὸ πᾶν γένος τοῦ Ἰσραήλ, ἀπὸ τῶν χρόνων τοῦ Δαβὶδ καὶ τοῦ υἱοῦ αὐτοῦ Σολομῶντος, καὶ τοῦ υἱοῦ Σολομῶντος, φημὶ δὲ τοῦ Ῥοβοὰμ τοῦ μετὰ τὸν Σολομῶντα βασιλεύσαντος ἐν Ἱερουσαλήμ. Ἵνα δὲ μὴ ἐν παρεξόδῳ γένωμαι, παρερχόμενος τὰ κατὰ τὴν τῶν Ἰουδαίων θρησκείαν, καὶ μὴ ὑποσημαινόμενος τῆς κατ' αὐτοὺς δόξης τὴν ὑπόθεσιν, ὀλίγα ἀπὸ τῶν πολλῶν παραθήσομαι. Πᾶσι γὰρ ὡς εἰπεῖν φανερώτατα ὑπάρχει τὰ κατὰ τοὺς Ἰουδαίους. Διὸ οὐ πάνυ κάματον ἀναδέξομαι περὶ ταύτης τῆς ὑποθέσεως κατὰ τὸ λεπτότατον διηγήσασθαι, ἀλλ' ὧν ἦν ἀναγκαῖον ὀλίγα ἀπὸ πολλῶν ἐνταῦθα παραθέσθαι.*

Κεφ. γ'. *Ἰουδαῖοι τοίνυν οἱ ἀπὸ τοῦ Ἀβραὰμ κατὰ διαδοχὴν ὑπάρχον-*
pag. 17. *τες, καὶ τὴν αὐτοῦ θεοσέβειαν διαδεξάμενοι, περιτομὴν μὲν τοῦ Ἀβραὰμ ἔχουσιν, ἣν κατὰ πρόσταξιν θεοῦ εἴληφεν ἐνενηκοστὸν ἔνατον ἔτος κατάγων, δι' αἰτίαν ἣν ἄνω προεῖπον, εἰς τὸ τούτου σπέρμα πάροικον γενόμενον ἐν τῇ ἀλλοτρίᾳ μὴ ἀποστραφῆναι τὸ ὄνομα τοῦ θεοῦ, ἐπὶ σώματος δὲ [1]σφραγίδα φέρειν, ὑπομνήσεως χάριν καὶ ἐλέγχου, εἰς τὸ ἐμμένειν τῇ τοῦ πατρὸς αὐτῶν θεοσεβείᾳ. Ὁ δὲ παῖς τούτου Ἰσαὰκ ὀκταήμερος περιτέμνεται, ὡς τὸ τοῦ θεοῦ εἶχε θέσπισμα. Καὶ ὡμολόγηται μὲν ὅτι ἐκ προστάγματος θεοῦ ἡ περιτομὴ τότε ὑπῆρχε. Τύπῳ δὲ ἦν αὕτη διατεταγμένη τότε, ὡς κατὰ ἀκολουθίαν προβαίνοντες ὕστερον περὶ τούτου δείξομεν. Διήρκεσαν τοίνυν περιτεμνόμενοι καὶ θεοσεβείᾳ προσανέχοντες οἱ αὐτοὶ τοῦ Ἀβραὰμ κατὰ διαδοχὴν παῖδες, ἀπ' αὐτοῦ, φημί, καὶ καθεξῆς, Ἰσαάκ, Ἰακώβ, καὶ οἱ τούτου παῖδες, ἔν τε τῇ Χαναναίτιδι γῇ, Ἰουδαίᾳ καὶ Φιλιστιαίᾳ οὕτω κληθείσῃ τότε, τὰ νῦν δὲ Παλαιστίνῃ καλουμένῃ, ἀλλὰ καὶ ἐν Αἰγύπτῳ. Ἰακὼβ γὰρ ὁ καὶ Ἰσραὴλ κάτεισιν ἅμα τοῖς ἕνδεκα αὐτοῦ παισὶν εἰς Αἴγυπτον, ἔτος κατάγων ἑκατοστὸν τριακοστὸν τῆς αὐτοῦ ζωῆς. Ἰωσὴφ δὲ ὁ ἕτερος αὐτοῦ υἱὸς ἤδη ἐν Αἰγύπτῳ προϋπῆρχε βασιλεύων, πραθεὶς ὑπὸ τῶν ἀδελφῶν αὐτοῦ διὰ φθόνον. Ἡ δὲ τοῦ θεοῦ οἰκονομία τὰ ἀγαθὰ συνεργοῦσα τῷ δικαίῳ εἰς θαυμασμὸν μετήγαγε τὴν [2]κατὰ τοῦ Ἰωσὴφ ἐπιβουλήν. Κάτεισι τοίνυν, ὡς προεῖπον, ὁ Ἰακὼβ καὶ οἱ ἀπ' αὐτοῦ υἱοί, καὶ γυναῖκες καὶ ἔκγονοι, ἐν ἑβδομήκοντα πέντε ψυχαῖς ἀριθμηθέντες, εἰς Αἴγυπτον, ὡς περιέχει ἡ πρώτη βίβλος τῆς κατὰ Μωϋσέα Πεντατεύχου, σαφῶς δηλοῦσα περὶ τούτων*

2. *Vulgo* καλούμενος.
Cap. III. — 1. *Ita omnes libri, non* σφραγῖδα.
2. *Ita correxi. Vulgo* κατ' αὐτοῦ.

quae in alio loco eodem ab apostolo dicuntur: *Debitor sum Graecis et barbaris, sapientibus et insipientibus.* Ut et Iudaeos sapientes et insipientes esse Scythas ostenderet. Quibus omnibus, ait, ego sum debitor. Igitur ab illo deinceps tempore in Israelitarum genus Iudaeorum nomen iam tum a Davide transfusum est, et utroque cognomento tam Israëlitarum quam Iudaeorum omnis illa gens eo insignita perpetuo est, a Davidis, inquam, eiusque filii Salomonis temporibus et huius insuper filii Roboami, qui post Salomonem Hierosolymis regnavit. Verum ne omnino quae ad Iudaeorum religionem attineat praetermittam, nullaque ex parte illorum opiniones attingam, pauca de multis complectar. Neque enim cuiquam fere Iudaeorum religiones ignotae sunt. Ideoque in eo argumento tractando non admodum exquisite versabimur, sed e multis pauca libabimus, quae necessario perstringenda videntur. Rom. 1, 14.

Itaque Iudaei qui ab Abraamo tam generis quam religionis successionem acceperunt, ab eodem circumcisionis ritum nacti sunt, quam ille undecentesimo aetatis anno divinitus adhibere iussus est, ob eam caussam quam antea proposuimus, ne scilicet eius posteri in aliena regione commorantes dei nomen ab sese reiicerent, imo velut inustum quoddam signum corpori suo circumferrent, quo vel commonefieri vel redargui possent, si quid admitterent, atque ut omnino paterna in religione institutoque persisterent. Abraami deinde filius Isaacus octavo quam natus erat die ex dei mandato circumcisus est. Nec dubium est quin tum divino praecepto sit instituta circumcisio, nec aliter tamen quam ad futurarum rerum veritatem velut imagine quadam adumbrandam; id quod postea suo loco demonstrabitur. Quamobrem circumcisi deinceps Abraami successores omnes ac posteri fuerunt, penes quos sincera religio ac dei cultus resedit. Idque cum ab Abraamo coeptum, tum singillatim ab Isaaco, Iacobo, huiusque liberis, in Chananaea, Iudaea ac Philistaea quondam, nunc Palaestina dicta, regione propagatum est. Sed et in Aegypto non minus perseveratum est. Eo siquidem Iacobus, qui et Israelis cognomen habuit, una cum XI filiis profectus est anno aetatis CXXX. Nam Iosephus unus e liberorum illius numero iamdudum in Aegypto imperium administrabat, eo a fratribus per invidiam distractus. Sed divina providentia, quae sanctissimo viro praesto aderat eiusque commodis favebat, comparatas adversus Iosephum insidias admirabilem in felicitatem convertit. Atque, ut dicere coeperam, Iacobus eiusque liberi cum uxoribus ac nepotibus ad LXXV capita in Aegyptum migrarunt; ut in primo Pentateuchi Mosaici vo- Cap. III. Gen. 46.

*πάντων. Διετέλεσαν δὲ ἐκεῖσε ἐπὶ πέντε γενεαῖς, ὡς καὶ πολλάκις εἶπον. Νῦν δὲ ἀνάγκην ἔσχον ταῦτα δευτερῶσαι. Ἔμειναν γὰρ ἀπὸ τοῦ Ἰακὼβ αἱ γενεαὶ ἀριθμούμεναι διὰ τοῦ Λευὶ, ἐξ οὗπερ οἱ ἱερεῖς κατεστάθησαν, καὶ διὰ τοῦ Ἰούδα, ἐξ οὗ μετὰ χρόνους ὁ βασιλεὺς ἦρξε Δαβίδ. Καὶ ὁ μὲν Λευὶς γεννᾷ τὸν Καὰθ, καὶ τοὺς ἄλλους,*
pag. 18. *Καὰθ γεννᾷ τὸν Ἀμρὰμ, Ἀμρὰμ γεννᾷ τὸν Μωϋσέα καὶ Ἀαρὼν, τὸν ἀρχιερέα. Οὗτος ὁ Μωϋσῆς ἐκβάλλει τοὺς υἱοὺς Ἰσραὴλ ἐν δυνάμει θεοῦ ἐκ γῆς Αἰγύπτου, ὡς ἔχει ἡ δευτέρα κατὰ τὴν νομοθεσίαν βίβλος.*

Κεφ. δ'. [1] *Τί μέντοι γε ἦν ἡ τῶν υἱῶν Ἰσραὴλ πολιτεία ἄχρι τούτου τοῦ χρόνου, οὐ πάνυ σαφῶς κατὰ τὸ φανερώτατον ἔστιν εἰπεῖν, ἢ μόνον ὅτι ἐν θεοσεβείᾳ καὶ περιτομῇ ὑπῆρχον, εἰ καὶ γέγραπται ὅτι ἐπληθύνθησαν ἐν γῇ Αἰγύπτῳ οἱ υἱοὶ Ἰσραὴλ, καὶ χυδαῖοι ἐγένοντο. Πάντως γάρ που ὁ χρόνος τῆς αὐτῶν παροικίας καὶ ἐπιμιξίας διὰ ῥαθυμίαν τὸ χυδαῖον εἰργάσατο. Τίνων μέντοι γεύεσθαι, ἢ τίνα ἀπαγορεύειν, ἢ τἄλλα ὅσα κατὰ διαστολὴν τοῦ νόμου φυλάττειν προςετάχθησαν, οὔπω κατὰ τὸ φανερώτατον [2] ἐπεσημήνατο. Ἐξιόντων δὲ ἐκ γῆς Αἰγύπτου, ἐν τῷ δευτέρῳ ἔτει τῆς αὐτῶν ἐξόδου, νομοθεσίᾳ θεοῦ καταξιοῦνται διὰ χειρὸς αὐτοῦ τοῦ Μωϋσέως. Ἡ δὲ νομοθεσία ἡ ἐκ θεοῦ αὐτοῖς δοθεῖσα παιδαγωγοῦ δίκην, ὡς καὶ παιδαγωγὸς ἦν ὁ νόμος, σωματικῶς μὲν διαστελλόμενος, πνευματικὴν δὲ ἔχων τὴν προςδοκίαν, ἐδίδασκε περιτέμνεσθαι, σαββατίζειν, ἀποδεκατοῦν πάντα τὰ αὐτῶν γεννήματα καὶ ὅσαπερ παρ' αὐτοῖς ἐτίκτετο, ἀπὸ ἀνθρώπου ἕως κτήνους, ἀπαρχάς τε διδόναι καὶ πεντηκοστὴν καὶ τριακοστὴν, εἰδέναι θεῷ μόνῳ καὶ αὐτῷ λατρεύειν. [3] Ἐν μοναρχίᾳ μὲν κηρυττόμενον τὸ ὄνομα, [4] ἐν δὲ τῇ μοναρχίᾳ ἡ τριὰς ἀεὶ κατηγγέλλετο καὶ ἐπιστεύετο [5] παρ' αὐτοῖς τοῖς ἐξοχωτάτοις αὐτῶν, τουτέστι προφήταις καὶ ἡγιασμένοις. Θυσίας τε καὶ λατρείας διαφόρους τῷ παμβασιλεῖ θεῷ ἐν τῇ ἐρήμῳ προςέφερον, ἐν τῇ λατρείᾳ τῆς σκηνοπηγίας, ὑπὸ Μωϋσέως διὰ τύπων δηλωθέντων αὐτῷ ὑπὸ θεοῦ κατασκευασθείσης. Ἐδέξαντο γοῦν οἱ αὐτοὶ Ἰουδαῖοι καὶ προφητικὰς φωνὰς περὶ τοῦ Χριστοῦ ἐρχομένου, λεγομένου μὲν προφήτου, ὄντος δὲ θεοῦ, καὶ ἀγγέλου μὲν κληθέντος, υἱοῦ δὲ ὄντος θεοῦ, μέλλοντος δὲ ἐνανθρωπήσειν καὶ ἐν ἀδελφοῖς αὐτὸν ἐγκαταλέγεσθαι, ὡς ἔχουσι πᾶσαι αἱ θεῖαι γραφαὶ, μάλιστα ἡ τοῦ Δευτερονομίου κατὰ τὴν νομοθεσίαν πέμπτη βίβλος, καὶ καθεξῆς.*

CAP. IV. — 1. *Reposuerim* Τίς μέντοι γε.
2. *Intell.* ὁ νόμος.
3. *Verba* Ἐν μοναρχίᾳ — — ὄνομα *non comparent in edit. Petavii.*
4. ἐν μοναρχίᾳ *edit. Petavii.*
5. *Fortasse* παρὰ τοῖς ἐξοχωτάτοις.

lumine legitur, ubi haec omnia accurate descripta sunt. Illic porro, quod a nobis saepe dictum est, et hoc loco necessario repetendum fuit, quinque aetatum spatio permanserunt. Quae quidem a Iacobo per Levi deductae numerantur omnes, de cuius stirpe sacerdotes instituti sunt: sed et eaedem aetates per Iudam digestae sunt, a quo David ille, qui postea regnavit, oriundus fuit. ·Etenim Levi Kaathum, aliosque genuit, Kaathus Amramum, Amramus Moysen, et Aaronem pontificem. Iam vero Moyses Israelitas divina vi fretus ex Aegypto traduxit, ut in secundo legis volumine scriptum est.

Caeterum quodnam ad hoc tempus fuerit Israelitarum vitae ge- Cap. IV.
nus atque institutum, declarare facile nemo potest, nisi illud duntaxat, legitimum apud eos divini numinis cultum cum circumcisione viguisse. Tametsi scriptum est, multiplicatos in Aegypto Israelis Exod 1, 7.
filios, et prae copia viles esse factos. Siquidem peregrinationis illa diuturnitas consuetudinisque cum externis per eorum negligentiam ad illam eos vilitatem abiecit. Verum quibus cibis fas esset uti, aut a quibus abstinendum foret, caeteraque omnia quae ex legis postea praescripto servanda proposita sunt, nondum deus aperte significarat. Posteaquam vero ex Aegypto digressi sunt, anno profectionis secundo, lex illis a deo interprete Mose traditur, quae paedagogi vices gerens (revera enim munus illud exercebat, cum quae ad corpus pertinentia praescriberet, spiritualeq uiddam spe atque expectatione continerent) circumcidi iubebat, ac celebrare sabbatum, decumasque frugum et fetuum omnium, tam hominum quam pecorum, nec non et primitias ac quinquagesimas tricesimasque deo soli consecrare, hunc adorare solum, cuius etsi nomine unicus duntaxat praedicabatur omnium moderator ac princeps, una tamen et trinitas semper in illa singulari divinitate nunciata creditaque ab illis est, qui caeteris antecellerent, cuiusmodi prophetae atque eximia sanctitate praediti homines fuerunt. Praeterea certis sacrificiis variisque ritibus ac ceremoniis in deserto praepotentis ad dei cultum operati sunt, cum in tabernaculi religione essent assidui, quod a Moyse ad illud exemplar quod a deo monstratum est, fuerat extructum. Sed iidem Iudaei de adventu Christi prophetarum accepere responsa, quibus cum ille propheta diceretur, revera tamen deus erat, deique filius, cum angelus appellaretur, quem et hominem futurum seque ad fratres suos aggregaturum illa eadem oracula prodiderunt. Cuius rei fidem divinae omnes scripturae faciunt, sed Deuteronomii liber imprimis, quod est quintum legis volumen, ac reliqua deinceps omnia.

Κεφ. ε'. Ἔσχον δὲ οὗτοι οἱ Ἰουδαῖοι ἄχρι τῆς ἀπὸ Βαβυλῶνος αἰχμαλωσίας ἐπανόδου βίβλους τε καὶ προφήτας τούτους καὶ προφητῶν βίβλους ταύτας· πρώτην μὲν Γένεσιν, δευτέραν δὲ Ἔξοδον, τρίτην Λευιτικὸν, τετάρτην Ἀριθμοὺς, πέμπτην Δευτερονόμιον, ἕκτην βίβλον Ἰησοῦ τοῦ Ναυῆ, ἑβδόμην τῶν Κριτῶν, ὀγδόην τῆς Ῥοὺθ, ἐννάτην τοῦ Ἰὼβ, δεκάτην τὸ Ψαλτήριον, ἑνδεκάτην Παροιμίας Σολομῶντος, δυοδεκαιδεκάτην Ἐκκλησιαστὴν, τριςκαιδεκάτην τὸ Ἆισμα τῶν ᾀσμάτων, τεσσαρεςκαιδεκάτην πρώτην Βασιλειῶν, πεντεκαιδεκάτην δευτέραν Βασιλειῶν, ἑκκαιδεκάτην τρίτην Βασιλειῶν, ἑπτακαιδεκάτην τετάρτην Βασιλειῶν, ὀκτωκαιδεκάτην πρώτην Παραλειπομένων, ἐννεακαιδεκάτην δευτέραν Παραλειπομένων, εἰκοστὴν τὸ Δωδεκαπρόφητον, εἰκοστὴν πρώτην Ἡσαΐαν τὸν προφήτην, εἰκοστὴν δευτέραν τὸν προφήτην Ἱερεμίαν, μετὰ τῶν Θρήνων καὶ Ἐπιστολῶν αὐτοῦ τε καὶ τοῦ Βαροὺχ, εἰκοστὴν τρίτην Ἰεζεκιὴλ τὸν προφήτην, εἰκοστὴν τετάρτην Δανιὴλ τὸν προφήτην, εἰκοστὴν πέμπτην τὸ πρῶτον βιβλίον τοῦ Ἔσδρα, εἰκοστὴν ἕκτην τὸ δεύτερον βιβλίον, εἰκοστὴν ἑβδόμην τὸ βιβλίον Ἐσθήρ. Καὶ αὗται εἰσὶν αἱ εἰκοσιεπτὰ βίβλοι αἱ ἐκ θεοῦ δοθεῖσαι τοῖς Ἰουδαίοις, εἰκοσιδύο δὲ ὡς τὰ παρ' αὐτοῖς στοιχεῖα τῶν Ἑβραϊκῶν γραμμάτων ἀριθμούμεναι, διὰ τὸ διπλοῦσθαι δέκα βίβλους εἰς πέντε λεγομένας. Περὶ τούτου δὲ ἄλλῃ που σαφῶς εἰρήκαμεν. Εἰσὶ δὲ καὶ ἄλλαι δύο βίβλοι παρ' αὐτοῖς ἐν ἀμφιλέκτῳ, ἡ Σοφία τοῦ Σιρὰχ, καὶ ἡ τοῦ Σολομῶντος, χωρὶς ἄλλων τινῶν βιβλίων ἐναποκρύφων. Πᾶσαι δὲ αὗται ἱεραὶ βίβλοι τὸν Ἰουδαϊσμὸν ἐδίδασκον, καὶ τὰ τοῦ νόμου φυλάγματα, ἕως τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας, καὶ καλῶς ἐφέροντο παιδαγωγούμενοι ἐν τῷ νόμῳ, εἰ ἐδέξαντο τὸν Χριστὸν τὸν ὑπὸ τοῦ παιδαγωγοῦ, φημὶ δὲ τοῦ νόμου, αὐτοῖς προκηρυχθέντα τε καὶ προφητευθέντα, ἵνα δεξάμενοι αὐτοῦ τὴν θεότητα καὶ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν μάθωσιν, οὐ κατάλυσιν νόμου, ἀλλὰ τὴν τοῦ νόμου πλήρωσιν. Ἐπειδὴ οἱ τύποι ἐν τῷ νόμῳ ἦσαν, ἡ δὲ ἀλήθεια ἐν τῷ εὐαγγελίῳ. Ἐκεῖ γὰρ ἡ περιτομὴ σαρκικὴ ὑπηρετήσασα χρόνῳ ἕως τῆς μεγάλης περιτομῆς, τουτέστι τοῦ βαπτίσματος τοῦ περιτέμνοντος ἡμᾶς ἀπὸ ἁμαρτημάτων, καὶ σφραγίσαντος ἡμᾶς εἰς ὄνομα θεοῦ. Καὶ ἦν ἐκεῖ σάββατον, κατέχον ἡμᾶς εἰς τὸ μέγα σάββατον, τουτέστιν εἰς ἀνάπαυσιν Χριστοῦ, ἵνα ἐν Χριστῷ σαββατίσωμεν ἀπὸ ἁμαρτημάτων. Καὶ ἦν ἐκεῖ πρόβατον ἄλογον θυόμενον, καθοδηγοῦν ἡμᾶς εἰς τὸ μέγα πρόβατον καὶ ἐπουράνιον ὑπὲρ ἡμῶν καὶ ὑπὲρ ὅλου τοῦ κόσμου τυθέν. Καὶ ἦν ἐκεῖ ἀποδεκάτωσις ἀσφαλιζομένη, ἵνα μὴ λάθῃ ἡμᾶς τὸ ἰῶτα, ἡ δεκὰς, τὸ πρῶτον στοιχεῖον τοῦ Ἰησοῦ ὀνόματος.

Κεφ. ς'. Ἐπεὶ οὖν τῷ τύπῳ ἤχθησαν, καὶ οὐκ ἔφθασαν εἰς τελείωσιν τὴν διὰ νόμου καὶ προφητῶν καὶ ἄλλων καὶ πάσης βίβλου κεκη-

Ac quod ad Iudaeos istos attinet, ad illud usque tempus, quo ex Babylonica servitute reversi sunt, hos et prophetas et prophetarum libros habuerunt. Primus est Geneseos liber, II. Exodi, III. Leviticus, IV. Numeri, V. Deuteronomium, VI. Liber Iesu filii Nave, VII. Iudicum, VIII. Rhuth, IX. Iob, X. Psalterium, XI. Parabolae Salomonis, XII. Ecclesiastes, XIII. Canticum Canticorum, XIV. Liber I. Regnorum, XV. Liber II. Regnorum, XVI. Liber III. Regnorum, XVII. Liber IV. Regnorum, XVIII. Liber I. Paralipomenon, XIX. Liber II. Paralipomenon, XX. Duodecim Prophetarum, XXI. Isaias propheta, XXII. Hieremias propheta, cum Lamentationibus, et Epistolis tam eius quam Baruchi, XXIII. Ezechiel, XXIV. Daniel, XXV. Liber I. Esdrae, XXVI. Liber Esdrae II., XXVII. Esther. Atque haec sunt XXVII volumina, quae Iudaeis sunt concessa divinitus, quae ad XXII pro literarum quae apud Hebraeos sunt numero rediguntur; propterea quod X ex illis in quinque iuga distribuuntur. De quo alio loco perspicue disputavimus. Sunt et alii duo libri, quos illi pro dubiis habent, nimirum Sirachi et Salomonis Sapientia, praeter alios quosdam qui apocryphi, hoc est obscuri dicuntur. Porro omnia illa sacrosancta volumina Iudaica instituta, legisque ceremonias docebant, usque ad Iesu Christi salvatoris adventum, omninoque praeclare sub hac lege, velut quodam institutore cum illis actum foret, si quem eadem illa lex praedixerat, venturumque monstraverat, Christum agnoscere voluissent, ut eius divinitatem confessi hoc ipsum quod corpore praeditus advenisset, non ad legis eversionem pertinere, sed ad eius consummationem intelligerent; quoniam umbrae duntaxat atque imagines in lege, in evangelio veritas ipsa continetur. Nam illic corporis praescripta circumcisio est, quae in usu tamdiu fuit, quoad ingens est illa circumcisio subsecuta, baptismus videlicet, quo nos a peccatis praecidimur, et in dei nomine signamur. Habebant illi praeterea sabbatum, quod nos ad magnum illud sabbatum, hoc est Christi domini quietem, praeparando detinet, ut a peccato cessantes velut sabbatum quoddam in Christo celebremus. Erat penes illos et ovis victima rationis expers, quae nos ad illam magnam coelestemque perduceret ovem, pro nostra mundique totius salute mactatam. Praeterea instituta apud illos decimatio fuit, quae nos eo praemuniret, ne iota literam, quae nota decussis est, idemque Iesu nominis primum elementum ignorare possemus. Cap. V.

Quoniam igitur per umbras ac figuras traducti sunt, nec eam perfectionem assecuti quam lex pariter ac prophetae caeterique omnes Cap. VI.

ρυγμένην, ἐξεβλήθησαν ἀπὸ τῆς γεωργίας, καὶ εἰςῆλθε τὰ ἔθνη, ἐκείνων μηκέτι δυναμένων σωθῆναι, εἰ μή τι ἀνακάμψωσιν εἰς τὴν χάριν τοῦ εὐαγγελίου. Πάντα γὰρ αὐτοῖς τὰ δικαιώματα κατήργηται, ἑκάστης μαρτυρίας τοῦτο λεγούσης, ὡς ἔχει ἐν πάσῃ γραφῇ. Συντόμως δὲ ἀπὸ μιᾶς μαρτυρίας τὸ ἀνυπέρθετον καὶ ἀπαράβατον τῆς κατ' αὐτῶν ἀποφάσεως ἐροῦμεν, ὡς ἔστιν ἰδεῖν ἀκριβῶς τὴν κατ' αὐτῶν ψῆφον· καθώς φησιν, Ἥτις ψυχὴ οὐκ ἀκούσεται τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἀπὸ τῆς φυλῆς αὐτῆς καὶ ἐξ Ἰσραὴλ, καὶ ὑποκάτωθεν τοῦ οὐρανοῦ, ὡς τοῦ κυρίου μέλλοντος τὰ διὰ τοῦ νόμου μυστικῶς παραδοθέντα τελείως καὶ σωτηριωδῶς ἐπασφαλίζεσθαι· τὸν δὲ μὴ ἀκούοντα αὐτοῦ, μηδὲ ἀνεχόμενον, μὴ ἔχειν σωτηρίαν, κἂν τε τὸν νόμον ποιήσῃ, τοῦ νόμου μὴ δυναμένου τελειοῦν τὸν ἄνθρωπον, διὰ τὸ σωματικῶς τὰ ἐν αὐτῷ δικαιώματα γεγράφθαι, καὶ ἐν κυρίῳ Χριστῷ ἀληθινῶς πληροῦσθαι.

Ἕως τούτου μοι λελέχθω περὶ τοῦ Ἰουδαϊσμοῦ. Καὶ γὰρ ὀλίγων ἐμνημόνευσα εἰς τὸ μὴ πᾶν αὐτῶν παρασιωπῆσαι, ἀλλ' ἐν μέρει ὑποδεῖξαι. Πᾶσι γὰρ, ὡς εἰπεῖν, πρόδηλός ἐστιν ἡ κατ' αὐτοὺς ὑπόθεσις, καὶ ὁ πρὸς αὐτοὺς ἔλεγχος. Ἐδείξαμεν δὲ καὶ τὴν ἀρχὴν, πόθεν ἔσχον τὴν εἰςαγωγὴν, ὅτι ἐξ ἀρχῆς ἐκ τῆς τοῦ Ἁβραὰμ τοῦ πατριάρχου θεοσεβείας καλοῦνται θεοσεβεῖς, διὰ τὸ εἶναι αὐτοὺς ἐκ σπέρματος αὐτοῦ, ἀπὸ δὲ τοῦ ἐκγόνου αὐτοῦ, φημὶ δὲ Ἰακὼβ, τοῦ καὶ Ἰσραὴλ, Ἰσραηλῖται. Ἐξ ἡμερῶν δὲ Δαβὶδ, τοῦ βασιλεύσαντος ἐκ
pag. 21. φυλῆς Ἰούδα, ἐκαλοῦντο Ἰουδαῖοί τε καὶ Ἰσραηλῖται πᾶσαι αἱ δώδεκα φυλαὶ, καὶ ἕως [1] Σολομῶνος τοῦ υἱοῦ Δαβὶδ, καὶ ἕως τοῦ Ῥοβοὰμ υἱοῦ Σολομῶνος, ἐκγόνου δὲ τοῦ Δαβίδ. Καὶ κατ' ἐπιτίμησιν θεοῦ, καὶ ἀναξιότητα τοῦ Ῥοβοὰμ, ἐσχίσθησαν αἱ δεκαδύο φυλαὶ καὶ γεγόνασι δύο ἥμισυ μετὰ τοῦ Ἰούδα, τουτέστι μετὰ Ῥοβοὰμ, καὶ ἐννέα ἥμισυ μετὰ Ἱεροβοάμ. Ἐκαλοῦντο δὲ αἱ ἐννέα Ἰσραηλῖταί τε καὶ Ἰσραὴλ, βασιλευόμεναι ὑπὸ τοῦ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ ἐν Σαμαρείᾳ· αἱ δὲ δύο εἰς Ἱερουσαλὴμ Ἰουδαῖοι καλούμενοι, βασιλευόμεναι ὑπὸ Ῥοβοὰμ υἱοῦ Σολομῶντος, καὶ γεγόνασι πάλιν διαδοχαὶ βασιλέων. Ῥοβοὰμ γεννᾷ τὸν Ἀβιὰ, Ἀβιὰ τὸν Ἀσὰ, Ἀσὰ τὸν Ἰωσαφὰτ, Ἰωσαφὰτ τὸν Ἰωρὰμ, Ἰωρὰμ τὸν Ὀχοζίαν, Ὀχοζίας τὸν Ἰωὰς, Ἰωὰς τὸν Ἀμεσίαν, Ἀμεσίας τὸν Ἀζαρίαν, τὸν καλούμενον Ὀζίαν, Ἀζαρίας [2] καὶ Ὀζίας τὸν Ἰωάθαμ, Ἰωάθαμ τὸν Ἀχαὰζ, Ἀχαὰζ τὸν Ἐζεκίαν.

Cap. VI. — 1. Σολομῶντος cod. Rhedig.

2. Repone ὁ καὶ Ὀζίας. Pro Ὀζίας libri vulgo Ὀσίας.

atque universa scripturarum oracula praedicabant, ab agricolatione depulsi sunt, eorumque loco gentes introductae; adeo ut nulla sit illis consequendae salutis alia relicta ratio quam ut ad evangelii gratiam postliminio confugiant. Etenim apud ipsos omnia iustitiae praesidia cassa inaniaque reddita sunt; uti passim divinae literae, et ubique fere testantur. Ex quibus unum duntaxat testimonium adferemus, quo quam immutabilis firmaque adversus illos lata sententia sit paucis ostenditur. Quid enim in ipsos a deo decretum sit, verba illa declarant: *Anima*, inquit, *quae prophetam illum non audierit, exterminabitur a tribu sua, et ab Israele, et ab omni regione quae coelo subiicitur.* Quod nimirum quae lex mystice tradiderat, haec a Christo domino consummari munirique perfecte ac salubriter oportebat, ac quisquis illum audire renueret, aut detrectaret imperium, eum tametsi legem usquequaque servaret omni spe potiundae salutis excludi. Neque enim lex praestare perfectum hominem potest, pro eo quod crassa omnia corporeaque consequendae iustitiae praesidia complectitur, quae in Christo domino reipsa consummantur. Cf. Deut. 18.

Hactenus de Iudaeorum secta. De qua pauca quaedam commemorare visum est, ne omnino praetermitteremus, atque ut ex parte saltem quae illorum propria sunt oratione prosequeremur. Praesertim cum omnibus fere tam illorum sit institutum, quam eius redarguendi convincendique ratio perspecta. Nos vero primordia illius ostendimus et undenam excitatum fuerit docuimus, ac quemadmodum ab Abraami patriarchae religione a quo procreati fuerant Religiosi principio nominati sint, Israelitae vero ab illius filio Iacobo, qui Israel vocatus est. Sed a Davidis tempore, qui e Iudae stirpe regnum obtinuit, XII omnes tribus Iudaei atque Israelitae promiscue dicebantur, usque ad Salomonem Davidis, et Roboamum Salomonis filium, Davidis nepotem. Ex quo quidem per iustissimam dei animadversionem, quodque male meritus erat Roboamus, XII illae tribus divisae sunt, adeo ut duabus cum dimidia Iudae sive Roboamo relictis, novem cum dimidia Ieroboamo fuerint concessae. Hae vero novem Israelitarum, aut Israelis nomine censebantur, quibus Ieroboamus Nabati filius praeerat, eiusque regni sedes in Samaria constituta. Reliquae duae Hierosolymis contributae penes quas Iudaeorum nomen resedit. Harum princeps Roboamus erat Salomonis filius, atque ab eo deinceps regum est deducta successio. Etenim Roboamus Abiam genuit, Abias Asam, Asa Iosaphatum, Iosaphatus Ioramum, Ioramus Ochoziam, Ochozias Ioam, Ioas Amasiam, Amasias Azariam, qui et Ozias vocatus est, Azarias sive Ozias Ioathamum, Ioathamus Achasum, Achasus Ezechiam, Ezechia por-

Horum primi fuere Sadducaei a Dositheo illo propagati. Qui nimirum Sadducaeos se a iustitia nominant. Sedek enim iustitiam significat. Sed et Sadoc quidam ex antiquis sacerdotibus appellatus est. Verum isti a magistri doctrina desciverunt. Etenim mortuorum resurrectionem sustulerunt; in quo cum Samaritanis conveniunt. Sed angelos contra quam Samaritani repudiant, ac spiritum sanctum ignorant, quem nec accipere meruerunt. Eadem porro cum Samaritanis instituta custodiunt. Quamquam Iudaei, non Samaritani fuerunt. Siquidem Hierosolymis sacrificabant, caeteraque omnia cum Iudaeis communiter gerebant. Atque hos quidem una Christi domini sententia omni fide digna prosternet, quam ipsi ex propositae quaestionis dissolutione in seipsos provocarunt, cum ad eum accedentes rogarunt fierine posset mortuorum resurrectio. Matth. 22, 23.
Item fuisse septenos fratres, quorum primus uxore ducta cum sine liberis decessisset, secundus eam excepit, ex Mosis praescripto, qui viro sine liberis defuncto succedere fratrem in illius coniugium iussit, viduamque ducere, quo in mortui nomen posteritatem excitaret. Accidit igitur, aiebant, ut illam primus ac secundus uxorem habuerint ac mortui sint, septemque itidem omnes. In resurrectione itaque mortuorum cuius haec uxor erit, quandoquidem septem illam coniugem habuerunt? Ad haec dominus ita respondit: *Erratis nescientes scripturas ac virtutem dei; in resurrectione enim mortuorum neque uxores ducunt, neque nubunt, sed pares sunt angelis. Quod autem mortui resurgent, Moyses vos docet, quoniam ita deus ille respondit:* Exod. 3, 6. *Ego sum deus Abraam, et deus Isaac, et deus Iacob, deus vivorum non mortuorum.* Ita os illis occlusit. Faciles enim ad refellendum sunt, nec vel brevi spatio veritati possunt resistere.

# ΚΑΤΑ ΓΡΑΜΜΑΤΕΩΝ.

## Δευτέρα αἵρεσις ἀπὸ τοῦ Ἰουδαϊσμοῦ, πεντεκαιδεκάτη δὲ τῇ ἀκολουθίᾳ.

Κεφ. α'. *Μετὰ τούτους τοὺς Σαδδουκαίους Γραμματεῖς γεγόνασιν ἀνὰ μέσον τοῦ χρόνου, καὶ σὺν αὐτοῖς τὴν ἡλικίαν κατάγοντες, οἵτινες ἦσαν δευτερωταὶ τοῦ νόμου, ὡς γραμματικήν τινα ἐπιστήμην ὑφηγούμενοι, τὰ ἄλλα πράττοντες τῶν Ἰουδαίων, περιττὴν δέ τινα δῆθεν σοφιστικὴν ὑφήγησιν εἰςηγούμενοι, οὐ κατὰ νόμον μόνον βιοῦντες, ἀλλὰ περισσότερον, ξεστῶν βαπτισμοὺς φυλάσσοντες καὶ ποτηρίων καὶ πινάκων καὶ τῶν ἄλλων σκευῶν τῆς ὑπηρεσίας, ὡς δῆθεν ἐπὶ τὸ ἀκραιφνὲς καὶ ὅσιον διακείμενοι, πυγμῇ μὲν τὰς χεῖρας νιπτόμενοι, πυγμῇ δὲ καὶ καθαρισμούς τινας δι' ὑδάτων καὶ λουτρῶν ἀποσμηχόμενοι, ἔχοντες δέ τινα κράσπεδα σημαντικὰ τῶν αὐτῶν πολιτείας, εἰς ἐπίδειξιν κόμπου καὶ ἔπαινον τῶν θεωμένων. Καὶ φυλακτήρια παρ' ἑαυτοῖς ἐπὶ τὰ ἱμάτια ἐπετίθετο, τουτέστι πλατέα σήματα πορφύρας. Νομίσειε δ' ἄν τις, ἐπειδήπερ καὶ ἐν τῷ εὐαγγελίῳ [1] τοῦτο ἐμφέρεται, μὴ ἄρα [2] περὶ περιάπτων λέγει, ἐπειδὴ γὰρ καὶ εἰώθασί τινες τὰ περίαπτα φυλακτήρια ὀνομάζειν. Οὐκ ἔχει δὲ ὁ λόγος τὸ παράπαν περὶ τούτου. Ἀλλ' ἐπειδὴ στολὰς, εἴτ' οὖν ἀμπεχόνας οἱ τοιοῦτοι ἀνεβάλλοντο καὶ δαλματικὰς, εἴτ' οὖν κολοβίωνας ἐκ πλατυσήμων διὰ πορφύρας ἀλουργοϋφεῖς κατεσκευασμένας,* pag. 33. *τὰ δὲ σήματα τῆς πορφύρας φυλακτήρια εἰώθασιν οἱ ἠκριβωμένοι μετονομάζειν, τούτου ἕνεκεν φυλακτήρια αὐτὰ καὶ ὁ κύριος κατ' ἐκείνους εἴρηκε. Δηλοῖ δὲ ἡ ἀκολουθία τὴν φράσιν τῆς ὀνομασίας, καὶ τὰ κράσπεδα τῶν ἱματίων. Τὰ κράσπεδα, ἵνα εἴπῃ κροσσοὺς, καὶ τὰ φυλακτήρια, ἵνα εἴπῃ τῆς πορφύρας τὰ σήματα. Φησὶ γὰρ, Ὅτι πλατύνετε τὰ φυλακτήρια, καὶ τὰ κράσπεδα τῶν ἱματίων ὑμῶν μεγαλύνετε. Ῥοΐσκους γάρ τινας ἐπὶ τὰ τέσσαρα [3] πτερύγια τοῦ τρίβωνος ἕκαστος εἶχεν ἐξ αὐτοῦ τοῦ στήμονος καταδεδεμένους ἐν ᾧ χρόνῳ ἐνεκρατεύετο ἢ παρθενίαν ἤσκειν, ἐπειδὴ γὰρ ἕκαστος ταξάμενος ὥριζε καιρὸν ἁγνείας ἢ ἐγκρατείας, καὶ ταῦτα αὐτῶν τὰ πρωτότυπα ἦν, εἰς τὸ ἐμφαίνειν τοῖς ἀνθρώποις τὰ παρ' αὐτοῖς ἐπαγγελλόμενα, ἵνα μηδεὶς ἅψηται δῆθεν τῶν ἡγιασμένων.*

*Δευτερώσεις δὲ παρ' αὐτοῖς τέσσαρες ἦσαν. Μία μὲν εἰς ὄνομα Μωϋσέως τοῦ προφήτου, δευτέρα δὲ εἰς τὸν διδάσκαλον αὐτῶν Ἀκιβᾶν οὕτω καλούμενον, ἢ Βαρακιβᾶν, ἄλλη δὲ εἰς τὸν Ἀνδᾶν, ἢ Ἀννᾶν, τὸν καὶ Ἰούδαν, ἑτέρα δὲ εἰς τοὺς υἱοὺς [4] Ἀσσαμωναίου. Ἐκ τούτων τῶν τεσσάρων δευτερώσεων [5] ὅσα παρ' αὐτοῖς νενόμισται, οἰή-*

Cap. I. — 1. τοῦτο *cod. Rhedig. Vulgo* τούτῳ.
2. περὶ *praepositio desideratur vulgo in libris.*
3. *Cf. Franc. Franci (Cl. Salmasii) Confutat. Animadversionum Anton. Cercoetii p.* 51 *sqq.*

## CONTRA SCRIBAS.
### Quae est II. Iudaismi secta, ordine XV.

Post Sadducaeos interiecto tempore, vel eodem etiam quo illi, Cap. I.
Scribae prodierunt, legis interpretes, ac velut quandam grammaticam professi, cum caeteris in rebus Iudaeorum institutis inhaereant, quae superstitiosis et cavillatoriis inventis interpolarunt. Neque enim ex legis duntaxat praescripto vivunt, verum insuper urceos et calices, ac discos, et reliqua utensilia lavant, utpote sincerae, ac sanctioris disciplinae cultores. Nam et manus frequenter Marc. 7, 3.
abluunt, et aquis se ac lavacris abstergunt. Habent et certas fimbrias, quae instituti sunt eorum signa, ad pompam et ostentationem captandaque spectantium praeconia compositas. Ad haec vestes phylacteriis distinctas gerebant, quae sunt latiora quaedam purpurae segmenta. De quibus cum evangelium meminerit, suspicari quis- Matth. 23, 5.
piam possit de amuletis hic sermonem institui, quod a nonnullis amuleta phylacteria vocentur. Verum longe alia ratio est. Quippe cum stolis, sive vestimenti genere quodam uterentur isti quod Dalmaticas aut Colobia appellare possumus, quae amplioribus ex purpura segmentis erant intexta. Eiusmodi porro segmenta qui accuratius loquuntur nominare phylacteria solent. Horum consuetudinem secutus dominus eadem illa phylacteria nuncupavit. Sed et sequentia de acceptione vocis istius haud dubiam fidem faciunt. Subiicit enim et vestimentorum κράσπεδα, hoc est fimbrias. Ita et phylacteria purpureos illos quos dixi clavos appellavit. *Quoniam*, inquit, *dilatatis phylacteria, et fimbrias vestimentorum ampliores facitis.* Etenim corymbos Punicorum malorum specie quatuor e pallii laciniis pendentes, atque ex ipso stamine alligatos, eo tempore gerebant quo continentiam aut virginitatem servabant. Nam quilibet certum sibi tempus castitatis aut continentiae praescribebat, atque illa velut exempla quaedam et imagines erant, quibus institutum suum exprimebant, ne quis utpote sanctos auderet attingere.

Quatuor apud eosdem Traditionum, quas Δευτερώσεις vocabant, fuere genera. Primum Mosis prophetae nomine est inscriptum. Secundum Akibae cuidam magistro, vel Barakibae, tribuunt. Tertium Andani, vel Annani, qui et Iudas dicitur. Quarti Assamonaei filios auctores iactitant. Quatuor ex hisce fontibus manarunt ea quae apud illos inani quadam opinione sapientiae constituta, cum sint inepta

4. Ἀσσαμωναίου *cod. Rhediger.* 5. *Rescribe* ὅσαπερ αὐτοῖς.

*σει σοφίας, ἀσοφίας δὲ τὰ πλεῖστα, αὐχεῖται καὶ ᾄδεται, καὶ ἐν τάξει [6]προκριτέας διδασκαλίας βοᾶταί τε καὶ φημίζεται.*

## ΚΑΤΑ ΦΑΡΙΣΑΙΩΝ.

### *Τρίτη αἵρεσις ἀπὸ τοῦ Ἰουδαϊσμοῦ, ἑξκαιδεκάτη δὲ τῇ ἀκολουθίᾳ.

Κεφ. α'. *Ταύταις ταῖς δυσὶν αἱρέσεσι κατ' ἀκολουθίαν συνῆπται ἡ τῶν Φαρισαίων αἵρεσις, ἄλλη τις, οἵτινες τὰ αὐτὰ τούτοις ἐφρόνουν, Γραμματεῦσι δέ φημι, τοῖς ἑρμηνευομένοις νομιδιδασκάλοις· συνῆσαν γὰρ αὐτοῖς καὶ οἱ Νομικοί. Ἄλλα δὲ καὶ παρὰ τούτους πάλιν οἱ Φαρισαῖοι ἐφρόνουν, πολιτείας μείζους ἔχοντες. Τινὲς μὲν γὰρ αὐτῶν, ὅτε ἤσκουν, [1] ὥριζον δεκαετίαν [2] ἢ ὀκταετίαν ἢ τετραετίαν ὁμοίως παρθενίας ἢ ἐγκρατείας. Συνεχῶς εὐχόμενοι πυκνότερον ἀγῶνα τοῦτον ἐνίσταντο,* pag. 34 *διὰ τὸ δῆθεν μὴ σωματικόν τι παθεῖν, ἢ κλαπῆναι δι' ὀνειράτων, [3] ἀηδῆ γε ῥύσιν σώματος ἀπεργαζομένων. Καὶ οἱ μὲν σανίδας ἑαυτοῖς ἐφιλοκάλουν σπιθαμῆς μόνης τὸ πλάτος, καὶ ἐπὶ ταύτην ἑαυτοὺς ἐτίθεσαν κατὰ τὴν ἑσπέραν, ἵνα εἰ ὑπνώσειέν τις καὶ καταπέσοι εἰς [4] τοὔδαφος, αὖθις ἐγείρηται εἰς εὐχὴν, διὰ τὸ ἄγρυπνον ἔχειν τὸν βίον κατὰ τὸ δυνατόν· ἄλλοι δὲ [5] κάχληκας συλλέγοντες ἑαυτοῖς ὑπεστρώννυον, εἰς τὸ νυττομένους μὴ ὕπνῳ βαθεῖ φέρεσθαι, ἀλλὰ βιάζεσθαι [6] γρήγορσιν ἑαυτοῖς προςπορίζεσθαι. Ἄλλοι δὲ καὶ ἀκάνθας στρωμνὴν εἶχον, διὰ τὴν αὐτὴν ὑπόθεσιν. Ἐνήστευον [7] δὲ δὶς τοῦ σαββάτου, δευτέραν καὶ πέμπτην, ἀπεδεκάτουν [8] δὲ τὴν δεκάτωσιν. Τὰς ἀπαρχὰς ἐδίδουν, τριακοντάδας τε καὶ πεντακοντάδας, τάς τε θυσίας [9] ἀσφαλέστατα καὶ τὰς εὐχὰς ἀπετίννυον. Τῷ δὲ [10] προειρημένῳ σχήματι τῶν Γραμματέων προήρχοντο, διά τοι τῆς ἀμπεχόνης καὶ διὰ τῶν ἄλλων σχημάτων καὶ [11] γυναικικῶν ἱματίων ἐν πλατείαις [12] ταῖς κρηπῖσι καὶ γλώτταις τῶν ὑποδημάτων προϊόντες. Ἐλέγοντο δὲ Φαρισαῖοι διὰ τὸ ἀφωρισμένους εἶναι αὐτοὺς ἀπὸ τῶν ἄλλων, διὰ τὴν ἐθελοπερισσοθρησκείαν [13] παρ' αὐτοῖς νενομισμένην. Φάρες γὰρ κατὰ τὴν Ἑβραΐδα ἑρμηνεύεται ἀφορισμός.*

Κεφ. β'. *Ὡμολόγουν [1] δὲ οὗτοι ἀνάστασιν νεκρῶν, ἐπίστευόν τε ἀγγέλους εἶναι καὶ πνεῦμα, ἠγνόησαν δὲ υἱὸν θεοῦ, ὡς οἱ ἄλλοι. Ἀλλὰ*

6. *Libri vulgo* προχριταίας.
* ἀπὸ Ἰουδαϊσμοῦ Γ, τῆς δὲ ἀκολουθίας ιϛ *cod. Venet., pro more.*
Cap. I. — 1. καὶ ὥριζον *cod. Venet.*
2. ἢ ὀκταετίαν ἢ τετραετίαν *cod. Venet.*
3. ἀηδῆ γε ῥύσιν σώματος ἀπεργαζομένων *rescripsi, postulante sententia, mei ingenii periculo. Ios. Scaligero placuit* ἀηδῆ ἔκκρισιν σπέρματος ἀπεργαζομένων. *Libri habent* ἀηδῆ τε ῥύσιν σώματος ἀπεργαζομένην. *Apud Nicetam Choniatam Thesaur. Orthod. Fidei I, 40. legitur:* „οἱ μὲν εἰς δεκαετίαν, οἱ δὲ εἰς ὀκταετίαν, οἱ δὲ τετραετίαν, μέχρι τῆς δι' ὀνείρων κλοπῆς ἀπομαχόμενοι."
4. τὸ ἔδαφος *cod. Venet.*
5. κόχλακας ἐκλέγοντες *cod. Venet.*
6. γρηγορεῖν *cod. Venet.*
7. δὲ *om. cod. Ven. Pro* δὶς *supra*

pleraque, praedicantur nihilominus, ac tanquam ab excellenti disciplina profecta summa ostentatione celebrantur.

## ADVERSUS PHARISAEOS,
## quae est haeresis Iudaismi III., ordine XVI.

Secundum ambas illas proxime Pharisaeorum haeresis sequitur, Cap. I.
alterius generis, tametsi cum Scribis, quos Legis doctores interpretantur, eadem sentirent. Cum iis enim legis quoque periti coniuncti erant. At Pharisaei ad horum ritus alia rursus adiiciebant, et severioribus se institutis adstrinxerant. Quidam enim cum suas illas exercitationes adhiberent, decem, vel octo, vel quatuor annorum sibi spatia praefigebant quibus virginitatem aut castimoniam colerent; hoc tempus continuis precibus traducebant, et id certaminis frequentius instaurabant, ne ullam corporis labem contraherent, neve furtim turpe aliquod in somnis profluvium obreperet. Ergo alii tabulas ad eum usum parabant, latitudine non amplius dodrantali, in quibus post vesperam iacebant, ut si fortasse dormirent, in pavimentum prolapsi rursum se ad orandum excitarent; quo somni quoad liceret expertes aetatem transigerent. Alii collectos calculos substernebant, quorum vellicatio profundiorem somnum arceret, ut vel inviti pervigiles esse consuescerent. Nec defuere qui iisdem de caussis spinas subiicerent. Caeterum bis hebdomada quaque ieiunare mos illis fuit, secunda videlicet ac quinta die. Ad haec decimarum decimas dabant; primitias offerebant, tricesimas et quinquagesimas; sacrificia votaque sua accuratissime persolvebant. Cultus idem illis qui et Scribis, de quo proxime dictum est, vestis scilicet ac reliquus corporis habitus. Sed et muliebria palliola gestabant, et cum latioribus crepidis ac solearum ligulis procedere solebant. Qui ideo Pharisaei dicti sunt, quod essent propter adscititiam illam superstitiosamque disciplinam a reliquis seiuncti. Phares enim Hebraice separationem significat.

Mortuorum porro resurrectionem persuasam habebant. An- Cap. II.
gelos ac spiritum esse credebant. Sed ut caeteri dei filium igno-

*pag. 22. ex cod. Ven. et Anaceph. reposuimus* διὰ. *Illud utrobique retinuit Petavius*, σάββατον *hebdomadam interpretans, velut si haberet* σάββατα. *Nicetas Chon. l. l. habet* „ἐνήστευον δὲ δὶς σαββάτου, ἤτοι δευτέραν καὶ πέμπτην."
8. δὲ *om. cod. Venet.*
9. καὶ τὰς εὐχὰς ἀσφαλέστατα *cod. Venet.*
10. προςερημένῳ *cod. Venet.*
11. γυναικείων *cod. Venet.*
12. ἐν ταῖς *suspicatus est Ios. Scaliger. Fortasse reponendum* ἐν πλατείαις χρηπῖσι.
13. τὴν παρ' αὐτοῖς *cod. Venel.*
CAP. II. — 1. τε *cod. Ven.*

*καὶ εἱμαρμένη καὶ ἀστρονομία παρ' αὐτοῖς [2] σφόδρα ἐχρημάτιζεν. Αὐτίκα γοῦν τὰ Ἑλληνικὰ ὀνόματα τὰ ἐκ τῆς τῶν πεπλανημένων ἀστρονομίας κατὰ τὴν [3] Ἑβραΐδα διάλεκτον ἑτέροις ὀνόμασι παρ' αὐτοῖς μετωνόμασται, [4] οἷον Ἥλιος [5] Ἧμα καὶ Σεμὲς, Σελήνη [6] Ἰέρεε καὶ Ἀλβανὰ, ὅθεν καὶ Μήνη καλεῖται. [7] Ἰέρεε γὰρ ὁ μὴν λέγεται, Μήνη δὲ Σελήνη, ὡς καὶ παρ' Ἕλλησι διὰ τὸν μῆνα. [8] Ἄρης Χωχὲβ Ὀχμὼλ, Ἑρμῆς [9] Χωχὲβ Ὀχμὸδ, Ζεὺς [10] Χωχὲβ Βαάλ, Ἀφροδίτη [11] Σεροῦα ἤτοι [12] Λουὴδ, Κρόνος Χωχὲβ Σαβὴθ. Λέγεται δὲ [13] πάλιν παρ' αὐτοῖς καὶ ἄλλοις ὀνόμασιν, οὐκ ἠδυνήθην δὲ ἀκριβῶς τὴν τούτων ἐπωνυμίαν ἐκθεῖναι. Ἀλλὰ καὶ τὰ ματαίως [14] νομιζόμενα*
pag. 35. *εἰς ἀριθμὸν [15] στοιχείων παρὰ τοῖς πεπλανημένοις ὀνόματα, ἃ ζώδια καλοῦσι, καὶ ἀθεμίτως τὸν κόσμον εἰς ἀσέβειαν ἐπλάνησαν, οὕτω πάλιν Ἑβραϊκῶς αὐτὰ καλοῦσι· [16] Τέλαα, Σὼρ, Θωμὶμ, [17] Σαρατὰμ, [18] Ἄρι, Βεθουλὰ, [19] Μωμαζανὴ, [20] Ἀκρὰβ, [21] Κεσὲτ, Γαδὶ, [22] Δαλμιΐ, [23] Δεγγὶμ, οἵτινες τοῖς Ἕλλησι μάτην, λέγω δὴ οἱ Φαρισαῖοι, ἀκολουθήσαντες μετωνόμασαν εἰς τὴν Ἑβραΐδα τὰ αὐτὰ ὀνόματα οὕτω· Κριὸν δὴ τοῖς παρ' ἐκείνοις λεγόμενον [24] Τέλαα, Ταῦρον [25] Σὼρ, Διδύμους Θωμὶμ, Καρκῖνον [26] Σαράταν, Λέοντα [27] Ἄρι, Παρθένον Βεθουλὰ, Ζυγὸν Μωζανὴ, Σκορπίον [28] Ἀκρὰβ, Τοξότην Κεσὲτ, Αἰγόκερον Γαδὶ, Ὑδρηχόον [29] Δαλὶ, Ἰχθύας Δεγγίμ.*

Κεφ. γ'. *Ταῦτα δέ μοι οὐκ εἰς στρόβησιν τῶν ἐντυγχανόντων κατατέτακται, οὐδ' ἵνα τὴν χυδαιολογίαν τῶν τὴν ἀσύστατον καὶ φρενοβλαβῆ μωρολογίαν τῆς ἀστρονομίας τῷ βίῳ παρεισαξάντων συστήσω. [1] Ἐλήλεκται γὰρ αὕτη ὑπὸ τῆς ἀληθείας ἀσύστατος οὖσα καὶ ἐσφαλμένη. Εἴρηται δὲ καὶ ἡμῖν ἐν ἄλλοις λόγοις πολλὰ πρὸς ἀνατροπὴν τῶν γένεσιν καὶ [2] εἱμαρμένην νομιζόντων, καὶ μάλιστα ἐν τῷ προοιμίῳ τούτου τοῦ συντάγματος ἐν ὀλίγῳ ἡμῖν κατὰ τῶν αὐτῶν πεπραγμάτευται. Ἀλλὰ διὰ τὸ μή τινα νομίσαι κατὰ συκοφαντίαν ἡμᾶς κατά τινων φέρεσθαι, καὶ μήτ' ἀληθῆ ἐκ παραδώσεων ἀκριβώσαντας ἐκθέσθαι, ταῦτα ἡμῖν καὶ ὀνομαστὶ εἴρηται. Ἐσχάτη δὲ αὐτοῖς ἀπορία καὶ ἠλιθιότης οὐχ ἡ τυχοῦσα τοῖς καὶ ἀνάστασιν ὁμολογοῦσι, καὶ κρίσιν δικαίαν ὁριζομένοις, εἱμαρμένην λέγειν. Πῶς γὰρ δύναται κρίσις εἶναι*

2. σφόδρα *om. cod. Ven.*
3. Ἑβραϊκὴν *cod. Ven.*
4. οἷον *om. cod. Ven.*
5. *Ita cod. Ven. Vulgo* Ἡμακαίσεμες.
6. *Ita cod. Ven. Vulgo* Ἰερεεκαιαλβανὰ.
7. *Ita cod. Ven. Vulgo* Ἱερεὲ.
8. *Verba* Ἄρης Χωχὲβ Ὀχμὼλ *non extant in cod. Veneto.*
9. Χωχὲβ *cod. Ven.*
10. Χωχὲμ Βαὰλ *cod. Ven.*
11. Ζεροῦα *cod. Venet.*
12. λουνδὸ *cod. Venet.*
13. πάλιν *om. cod. Venet.*
14. κομιζόμενα *cod. Venet.*
15. *Cf. Cl. Salmasius de Annis Climacter. p. 576 sqq., et in (Franc. Franci) Confutat. Animadv. Antonii Cercoetii p. 75., cui placuit* νομιζόμενα εἰς ῥυθμὸν στοιχ.
16. τελασωρθωμὶν *cod. Ven.* τελαασὼρ θωμὶμ *ed. princ.*
17. σαρατὰν *cod. Ven.*

rarunt. Quinetiam fato et astronomiae plurimum tribuebant. Argumento est quod Graeca omnia vocabula vanissimae illius artis propria totidem ab iis Hebraicis sunt reddita vocibus. Exempli caussa Sol Hamma et Semes ab iis appellatur, Luna Ieree et Hallebana; unde et Mene vocatur. Nam Ieree mensis, et Luna Mene dicitur, ac perinde ut apud Graecos a mense nominis appellationem derivat. Sequitur Mars, quem Cochab Oemol nominant; Mercurium vero Cochab Ochmod, Iovem Cochab Baal, Venerem Serua, vel Lued; Saturnus denique Cochab Sabeth vocatur. Sunt et illorum aliae nomenclaturae, quas accurate concipere minime potuimus. Neque iis contenti etiam coelestia illa signa, quae quadrifariam errore vanissimo pro elementorum numero distribuuntur (Zodia vulgo nominant), a quibus impietatis in mundum propagata sunt semina, ista, inquam, illi Hebraice ita reddiderunt: Telaa, Sor, Tomim, Saratam, Ari, Bethula, Mozenae, Acrab, Keset, Gadi, Dalmii, Deggim. Hunc in modum Pharisaei Graecorum vestigia persecuti eadem ab his usurpata vocabula Hebraicis vocibus interpretati sunt. Nam Aries is est quem Telaa nuncupant, Taurus Sor, Gemini Tomim, Cancer Sarata, Leo Ari, Virgo Bethula, Libra Mozane, Scorpius Acrab, Sagittarius Keset, Capricornus Gaddi, Aquarius Dali, Pisces Deggim appellantur.

Sed haec omnia nequaquam ad lectorum perniciem commemorare studuimus, neque ad eorum vanitatem commendandam qui stolidam et ineptam astronomiae scientiam in hominum vitam invexerunt. Satis illam vis ipsa veritatis expugnat, et eius errorem inconstantiamque coarguit. Ac cum nos alias pluribus adversus eos disputavimus, qui nativitatem ac fatum adstruebant, tum in operis huius exordio eundem errorem brevi reprehensione perstrinximus. Sed ne quis per calumniam incessere nos quempiam putaret, nec quae certo a nobis accepta explorataque essent in medium afferre, nominatim illa percensenda duximus. Est illud vero extremae cuiusdam imperitiae, ne dicam amentiae, cum resurrectionem mortuorum esse fateare, ac iustissimum de cuiusque factis iudicium constitutum, fatum nihilominus esse ullum asserere. Qui enim duo ista Cap. III.

18. ἀριϑεβουλὰ *cod. Venet.*
19. *Ita omnes libri, praeter edit. Petav., in qua* Μωζανὴ.
20. ἀχραάβ *cod. Venet.*
21. καὶ σὲτ *cod. Venet.*
22. δαδμιῒ *edit. princ.* δαλλὶ *cod. Venet.* δαδλὶ *cod. Rhedig.*
23. διγγῖμ *cod. Venet.*
24. τελλά *cod. Venet.*
25. σήρ *cod. Venet.*
26. σαράτιν *cod. Venet.*
27. ἄρτι *cod. Rhedig. et edit. princ.*
28. ἀχραάβ *cod. Venet.* ἄχρο *cod. Rhedig. et edit. princ.*
29. δαλλὶ *cod. Venet.*

Cap. III. — 1. *Vulgo* ἤλεκται, *quomodo etiam cod. Rhedig.*
2. *Libri editi habent* εἱμαρμένην, *ubique.*

καὶ εἱμαρμένη; Δυοῖν γὰρ ἀνάγκη θάτερον, ἢ γενέσεως ὑπαρχούσης μὴ εἶναι κρίσιν, διὰ τὸ τὸν πράττοντα οὐκ ἀφ' ἑαυτοῦ πράττειν, ἀλλὰ κατ' ἀνάγκην ἐπικρατείας τῆς πεπρωμένης, ἢ ὅτι κρίσεως ὑπαρχούσης, καὶ ἐν ἀληθείᾳ ἐπαπειλουμένης, καὶ νόμων δικαζόντων, καὶ τῶν τὸ πονηρὸν δρώντων δίκην ὑπεχόντων, νόμου τε ὁμολογουμένου δικαίου καὶ κρίσεως θεοῦ ἀληθεστάτης, ἀργὴν εἶναι τὴν πεπρωμένην, καὶ μὴ ἔχειν ὅλως σύστασιν τὸ παράπαν.

Κεφ. δ'. Ὁπότε διὰ τὸ δύνασθαι ἁμαρτάνειν καὶ μὴ ἁμαρτεῖν, τὸν μὲν διὰ τὰ ἁμαρτήματα δίκην ἀπαιτεῖσθαι, τὸν δὲ ἔπαινον ἀπεκδέχεσθαι διὰ τὸ εὖ πεπραχέναι, ὥρισαι καθ' ἑκατέρων τὸ διάφορον. Ὡς καὶ pag. 36. μίᾳ φωνῇ δικαίᾳ λέγειν [1] ἔνι συντόμῳ ἀληθείᾳ διὰ Ἡσαΐου τοῦ προφήτου ἐκ προσώπου κυρίου εἰρημένον, τὸ, Ἐὰν θέλητε καὶ εἰςακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγησθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰςακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. Ὥςτε παντί τῳ δῆλόν ἐστι καὶ ἀναμφίβολον ὡς τὸ αὐτεξούσιον παρείχετο θεὸς, δι' ἑαυτοῦ φήσας τὸ, Ἐὰν θέλητε, καὶ μὴ θέλητε, ὥςτε περὶ τὸν ἄνθρωπον εἶναι τὸ ἀγαθοεργεῖν, ἢ τὸ φαύλων ἐφίεσθαι πραγμάτων. Οἷς ἐπιφωνητέον ἐστὶ πυκνότερον καὶ πολλαχῶς, καὶ οὐ διὰ μιᾶς φωνῆς, ἀλλὰ πολλάκις, τὰ παρὰ τοῦ σωτῆρος πρὸς αὐτοὺς εἰρημένα, Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι καταλελοίπατε τὰ βαρέα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον, καὶ ἀποδεκατοῦτε τὸ ἄνηθον καὶ τὸ ἡδύοσμον καὶ τὸ πήγανον, καὶ καθαρίζετε τὸ ἐκτὸς τοῦ ποτηρίου καὶ τοῦ πίνακος, τὸ δὲ ἐντός ἐστι μεστὸν ἀκαθαρσίας καὶ ἀκρασίας, καὶ δοκιμάζετε δίκαιον εἶναι ὀμνύναι ἐν τῷ ἐπάνω τοῦ θυσιαστηρίου, τὸ δὲ ἐν αὐτῷ τῷ θυσιαστηρίῳ παρ' ὑμῖν τῷ ὅρκῳ [2] λέλυται, καὶ τὸ ἐν τῷ οὐρανῷ ὀμνύναι οὐδὲν εἶναί φατε, ἐὰν δέ τις ὀμόσῃ ἐν τῷ ὑπεράνω αὐτοῦ, τοῦτο δεδικαίωται. Οὐχὶ τὸ θυσιαστήριον βαστάζει τὸ ἐπικείμενον, καὶ ὁ οὐρανὸς θρόνος ἐστὶ τοῦ ἐπ' αὐτῷ ἐπικαθεζομένου; Καὶ ὅτι λέγετε, ἐάν τις εἴπῃ πατρὶ καὶ μητρὶ Κορβὰν, ὅ ἐστι δῶρον ὃ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ οὐκέτι μὴ τιμήσει τὸν πατέρα, καὶ ἠθετήσατε τὴν ἐντολὴν τοῦ θεοῦ, διὰ τῆς τῶν πρεσβυτέρων ὑμῶν παραδόσεως, καὶ κυκλεύετε θάλασσαν καὶ ξηρὰν, ποιῆσαι ἕνα προςήλυτον, καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν διπλότερον ὑμῶν υἱὸν γεέννης. Τί τοίνυν περιττότερον τῶν ἁγίων ῥήσεων ὑπερβάλοιτό τις πρὸς ἀντίθεσιν τῶν προειρημένων; Ἀλλὰ καὶ ἀρκεῖσθαι μάλα ἡγοῦμαι ταῖς τοῦ σωτῆρος φωναῖς καὶ ἀληθιναῖς λέξεσι, πρὸς ἃς οὐκ ἠδυνήθησαν ἀντωπῆσαι, οὔτε πρὸς τὸ βραχύτατον.

CAP. IV. — 1. *Rescripsi* ἔνι *pro* ἐν, *quod vulgo extat.*

convenire possunt, iudicium, inquam, atque fatum? Horum enim alterum necesse est, vel si ulla sit genitalis necessitas, nullum esse iudicium, quod qui committit aliquid, non id sua sponte facit, sed fatorum vi ac tyrannide compulsus, vel si iudicium est ullum, nec frustra in comminationibus obiici solet, atque et leges aliquae sunt et flagitiosis hominibus scelerum poenae constitutae, si denique iusta a deo lex tradita et illius iudicium omni ex parte veritati consentaneum est, necesse est, inquam, supervacuum esse fatum illud, nec ullo in loco consistere.

Etenim non aliam ob caussam nisi quod peccare necne sit in Cap. IV. arbitrio cuiusque positum, hoc discrimen introductum est, ut alter admissorum scelerum poenas luat, alter pro recte factis praemium laudemque consequatur. Quod quidem brevi iustissimaque sententia complecti possumus, quae ab Isaia propheta ex persona dei verissime pronuntiata legitur: *Si volueritis, et obedieritis mihi, bona terrae comedetis. Si autem nolueritis, neque obedieritis mihi, devorabit vos gladius. Os enim domini locutum est ista.* (Isai. 1, 19.) Ex quo perspicue illud ac citra ullam dubitationem efficitur, libertatem homini a deo esse concessam, cum ita per sese dixerit: *Si volueritis et nolueritis,* adeo ut bene agere, vel malorum cupiditatem concipere, illius arbitrio sit relictum. Quamobrem saepe illud ac varie, nec una voce personandum, ac frequentissime contra impostores istos repetendum est dictum in eos salvatoris illud: *Vae vobis, Scribae et Pharisaei hypocritae, quoniam reliquistis quae graviora sunt legis, iudicium et misericordiam, et decimatis anethum et mentham et rutam, et mundatis quod deforis est calicis et paropsidis; quod intus est, plenum est immunditia, et foeditate. Et approbatis iustum esse iurare in eo quod est super altare, iurare autem in altari ipso, iurisiurandi apud vos religione solvitur. Et in coelo iurare nihil esse dicitis. Qui autem iuraverit in eo, qui supra illud est, id vero iustum censetur. Nonne altare portat id quod impositum est, et coelum thronus eius est qui in illo insidet?* (Matth. 23, 15.) *Et quod dicitis: Si quis dixerit patri et matri, Corban, hoc est munus quod ex me tibi proderit, et non honorabit patrem, et irritum fecistis mandatum dei per traditionem seniorum vestrorum. Et circuitis mare et aridam ut faciatis unum proselytum, et cum factus fuerit, facitis illum duplo quam vos filium geennae.* (Marc. 7, 11.) Quid igitur ad eos homines refellendos divinis illis sententiis adiici gravius potest? Itaque satis esse arbitror salvatoris vocem ac verissimum illud oraculum, cui ne minimum quidem reluctari potuerunt.

2. λέλυται *cod. Venet.* λέλεκται *habent reliqui libri. Petavius proposuit* τοῦ ὅρκου λέλυται.

## ΚΑΤΑ ΗΜΕΡΟΒΑΠΤΙΣΤΩΝ.

Τετάρτη αἵρεσις ἀπὸ τοῦ Ἰουδαϊσμοῦ, ἑπτακαιδεκάτη δὲ τῇ ἀκολουθίᾳ.

Κεφ. α'. *Ταύταις δὲ συνέπεταί τις αἵρεσις Ἡμεροβαπτιστῶν οὕτω καλουμένη, μηδὲν μὲν παραλλάττουσα τῶν ἄλλων, ἀλλ' ἴσα τῶν Γραμματέων καὶ Φαρισαίων φρονοῦσα, οὐ μὴν ἐξισουμένη τοῖς Σαδδουκαίοις ἐν τῇ τῶν νεκρῶν ἀναστάσει μόνον, ἀλλὰ τῇ ἀπιστίᾳ καὶ τοῖς ἄλλοις. Τοῦτο δὲ περιττὸν αὕτη κεκτημένη ἡ αἵρεσις, ὡς ἐν ἔαρί τε καὶ μετοπώρῳ, χειμῶνί τε καὶ θέρει, πάντοτε καθημέραν βαπτίζεσθαι, ὅθεν καὶ* [1] *Ἡμεροβαπτιστῶν εἴληφε τὴν ἐπωνυμίαν. Ἔφασκε γὰρ αὕτη ἄλλως πως μὴ εἶναι ζῆν ἀνθρώπῳ, εἰ μή τι ἄρα καθ' ἑκάστην ἡμέραν βαπτίζοιτό τις ἐν ὕδατι, ἀπολουόμενός τε καὶ ἁγνιζόμενος ἀπὸ πάσης αἰτίας.*

pag. 37.

Κεφ. β'. *Πρὸς ταύτην δὲ καὶ αὐτὴν ἐξ ἑνὸς λόγου ἡμῖν ἀνατροπὴ γενήσεται, ὅτι ἀπιστίας παρ' αὐτοῖς μᾶλλον ἢ πίστεως οἱ λόγοι. Ἐλέγχει γὰρ αὐτοὺς ἡ συνείδησις αὐτῶν καθ' ἑκάστην ἡμέραν βαπτιζομένων, ὡς ὅτι ἡ ἐλπὶς τῆς χθὲς ἡμέρας παρ' αὐτοῖς τέθνηκε, καὶ ἡ πίστις τε καὶ ὁ ἁγνισμός. Εἰ μὲν γὰρ ἐν ἑνὶ βαπτίσματι ἐστοίχουν, ἄρα ἐθάρρουν τούτῳ, ὡς ζῶντι καὶ ἀθανάτῳ ὄντι εἰς τὸν αἰῶνα· ὁπότε δὲ σήμερον μὲν ἐλούσαντο, οὐχ ἕνεκεν πλύσεως σώματος, ἀλλὰ ἕνεκεν ἁμαρτημάτων, ἄρα κατ' αὐτοὺς ἐκαθαρίσθη, αὖθις δὲ τῇ ἑξῆς πάλιν λουόμενοι ἀπεφήναντο τὸ παρελθὸν ἐν τῇ χθὲς τεθνάναι βάπτισμα. Εἰ μὴ γὰρ τὸ πρὸ μιᾶς ἐτεθνήκει, οὐκ ἂν εἰς τὴν ἑξῆς ἑτέρου ἐπεδέοντο πρὸς καθαρισμὸν ἁμαρτημάτων. Καὶ εἰ ὅλως οὐκ ἀπέχονται τοῦ ἁμαρτάνειν, νομίζοντες ὅτι τὸ ὕδωρ καθαρίσει τοὺς ἐνδελεχῶς καθ' ἑκάστην ἁμαρτάνοντας, μάταιος αὐτῶν ἡ ὑπόνοια, καὶ τὸ ἐπιτήδευμα φροῦδον καὶ ἕωλον. Οὔτε γὰρ Ὠκεανὸς, οὔτε πάντα τὰ ῥεῖθρα καὶ πελάγη, ποταμοί τε ἀέναοι καὶ πηγαὶ, πᾶσά τε ἡ ὀμβροτόκος φύσις συνελθοῦσα δύναται ἁμαρτήματα ἀφανίσαι, ἐπειδήπερ οὐ κατὰ λόγον, οὐδὲ ἐκ προστάγματος θεοῦ γίνεται. Μετάνοια γὰρ καθαρίζει, καὶ τὸ ἓν βάπτισμα διὰ τῆς τῶν μυστηρίων ὀνομασίας. Παρελεύσομαι δὲ καὶ ταύτην, αὐτάρκως ἡγησάμενος* [1] *τόδε ἐν ὀλίγῳ τὸ ἀλέξημα τῆς αὐτῶν φρενοβλαβείας ὑποδεῖξαι. Ἕως ἐνταυθοῖ τοῖς ἐντυγχάνουσι συντέτακται.*

Cap. I. — 1. *Libri vulgo* Ἡμεροβαπτιστὴν. *Quod vitium iam Cornarius in versione sua Latina sustulit.*

Cap. II. — 1. *Reposui* τόδε *pro* τὸν, *quod vitium librorum est. Petavio placuit* τό.

## ADVERSUS HEMEROBAPTISTAS.
### Quae est haeresis IV. Iudaismi, ordine XVII.

Proxima est Hemerobaptistarum secta, quae ut ab aliis nulla in re dissidet, eademque dogmata cum Scribis ac Pharisaeis amplectitur, ita cum Sadducaeis non modo in neganda mortuorum resurrectione convenit, verum etiam communem cum iis infidelitatem caeterarumque rerum pravitatem retinet. Hoc vero praecipuum habent, quod tam vere autumnoque quam aestate atque hieme quotidie lavant, unde et Hemerobaptistarum appellationem adepti sunt. Ita enim statuebant, vivere aliter hominem non posse quam si quotidie se aquis elueret, atque ab omni crimine purgaret. Cap. I.

Sed a nobis uno verbo funditus everti secta illa potest, cuius dogmata ut a fide prorsus aliena, sic cum infidelitate coniuncta sunt. Cum enim diebus singulis abluantur, vel sua ipsi conscientia redarguuntur omnem illam quam pridie conceperant spem cum fide atque expiatione perdidisse. Nam si unum duntaxat baptismum tenerent, in eo fiduciae aliquid, utpote perpetuo atque immortali, collocare possent. Iam vero qui hodie non curandi corporis gratia, sed ad expianda scelera loti sunt, quibusque ideo repurgata, ut ipsi statuunt, omnia esse debent, iidem cum postridie rursum abluuntur, declarant profecto hesternum illum baptismum evanuisse. Nisi enim iste periisset, nihil erat cur ad criminum expiationem denuo illum postera luce repeterent. Quod si peccare omnino non desinunt, existimantque se cum perpetuo ac diebus singulis peccent expiari aqua posse, vehementer aberrant, nec est eorum instituto vanius aut absurdius quicquam. Etenim neque Oceanus ipse, neque maria omnia, neque perennes fluviorum aquae vel fontium, neque quicquid uspiam pluviarum est, si unum in locum conveniant, eluere peccata hominum possunt, quando id citra omnem rationem citraque dei praeceptum adhibetur. Purgare proinde scelera poenitentiae est, uniusque baptismi, per mysticarum rerum appellationem. Sed nos ab hac etiam secta ad aliam transibimus, cum abunde esse putemus paucis adversus illorum stoliditatem remedia comparasse. Hactenus igitur in lectorum gratiam ista disputata sint. Cap. II.

pag. 38.

# ΚΑΤΑ ΝΑΖΑΡΑΙΩΝ.

Ἀπὸ Ἰουδαϊσμοῦ πέμπτη, τῇ δὲ ἀκολουθίᾳ ὀκτωκαιδεκάτη.

Κεφ. α'. *Ἑξῆς δὲ ἐπιβαλοῦμαι διηγεῖσθαι τὰ κατὰ τὴν αἵρεσιν τὴν μετα τοὺς Ἡμεροβαπτιστὰς καλουμένην τῶν Νασαραίων, οἵτινες Ἰουδαῖοί εἰσι τὸ γένος, ἀπὸ τῆς Γαλααδίτιδος καὶ Βασανίτιδος, καὶ τῶν ἐπέκεινα τοῦ Ἰορδάνου ὁρμώμενοι, ὡς ὁ εἰς ἡμᾶς ἐλθὼν περιέχει λόγος, ἐξ αὐτοῦ δὲ τοῦ Ἰσραὴλ οὖσα, ἥτις τὰ πάντα ἰουδαΐζει, μηδὲν περαιτέρω φρονοῦσα σχεδὸν τῶν προειρημένων. Περιτομὴν γὰρ ὡςαύτως ἐκέκτητο, σάββατον τὸ αὐτὸ ἐφύλαττεν, ἑορταῖς ταῖς αὐταῖς προςανεῖχεν· οὐ μὴν εἱμαρμένην παρειςῆγεν, οὔτε ἀστρονομίαν. Καὶ πατέρας μὲν ἐδέχετο τοὺς ἐν τῇ Πεντατεύχῳ ἀπὸ τοῦ Ἀδὰμ μέχρι Μωϋσέως, τοὺς ἐν ἀριστείᾳ θεοσεβείας διαφανεῖς ὑπάρξαντας, φημὶ δὲ Ἀδὰμ, καὶ Σὴθ, καὶ Ἐνὼχ, καὶ Μαθουσάλα, καὶ Νῶε, καὶ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, Λευίν τε καὶ Ἀαρὼν, καὶ Ἰησοῦν τὸν τοῦ Ναυῆ, αὐτὴν δὲ οὐ παρεδέχετο τὴν Πεντάτευχον, ἀλλὰ ὡμολόγει μὲν τὸν Μωϋσέα, καὶ [1] ὅτι ἐδέξατο νομοθεσίαν ἐπίστευεν, οὐ ταύτην δέ φησιν, ἀλλ' ἑτέραν. Ὅθεν τὰ μὲν πάντα φυλάττουσι τῶν Ἰουδαίων Ἰουδαῖοι ὄντες, θυσίαν δὲ οὐκ ἔθυον, οὔτε ἐμψύχων μετεῖχον, ἀλλὰ ἀθέμιτον ἦν παρ' αὐτοῖς τὸ κρεῶν μεταλαμβάνειν, ἢ θυσιάζειν αὐτούς. Ἔφασκον γὰρ πεπλάσθαι ταῦτα τὰ βιβλία, καὶ μηδὲν τούτων ὑπὸ τῶν πατέρων γεγενῆσθαι. Αὕτη ἦν ἡ τῶν Νασαραίων διαφορὰ πρὸς τὰς ἄλλας. Ὡς καὶ πρὸς αὐτοὺς ὁ ἔλεγχος οὐκ ἐν ἑνὶ τόπῳ, ἀλλὰ ἐν πολλοῖς ἐστι φανερόν.*

Κεφ. β'. *Πρῶτον μὲν τὸ ὁμολογεῖν αὐτοὺς τοὺς πατέρας καὶ πατριάρχας καὶ Μωϋσέα. Ἄλλης γραφῆς γὰρ περὶ τούτων μὴ λεγούσης πόθεν αὐτοῖς ἡ γνῶσις τῆς τῶν πατέρων ὀνομασίας καὶ ἀριστείας, εἰ μὴ ἐξ αὐτῶν τῶν γραφῶν τῆς Πεντατεύχου; καὶ πῶς οἷόν τε ἐν ταὐτῷ εἶναι ἀληθὲς καὶ ψεῦδος, καὶ ἐν μέρει τὴν γραφὴν ἀληθεύειν, ἐν μέρει δὲ ψεύδεσθαι; τοῦ σωτῆρος λέγοντος, Ἢ ποιήσατε τὸ δένδρον ἀγαθὸν, καὶ τοὺς καρποὺς ἀγαθοὺς, ἢ τὸ δένδρον σαπρὸν, καὶ τοὺς καρποὺς σαπρούς· οὐ δύναται γὰρ δένδρον ἀγαθὸν καρπὸν σαπρὸν ποιῆσαι,*
pag. 39. *οὐδὲ δένδρον σαπρὸν καρποὺς ἀγαθοὺς ποιῆσαι. Μάταιος τοίνυν αὐτῶν ἡ διάνοια, καὶ ἡ εἰςήγησις ἐκ πολλῶν ἔχουσα τὴν ἀνατροπὴν, ὡς ἄχρι τῆς δεῦρο οὐ μόνον τὰ ἐν ταῖς γραφαῖς ᾄδεται, ἀλλὰ καὶ αὐτοὶ οἱ τόποι τῶν παραδοξοποιϊῶν σωματοποιοῦνται. Πρῶτον ὅπου τὸ πρόβατον ὁ Ἀβραὰμ προςέφερε τῷ θεῷ, ὄρος Σιὼν ἄχρι τοῦ δεῦρο οὕτω καλούμενον, ἀλλὰ καὶ ὅπου ἡ δρῦς [1] τῆς Μαμβρῇ, ἔνθα τοῖς ἀγγέλοις*

Cap. I. — 1. ὅτι cod. *Rhedig.* *Ut voluit etiam Ios. Scaliger.* ὅτε *editi libri.*

Cap. II. — 1. ἡ *vel* τοῦ *pro* τῆς *suspicatus est Petavius.*

## ADVERSUS NAZARAEOS.
### Quae est Iudaismi haeresis V., ordine XVIII.

Nunc alia mihi post Hemerobaptistas haeresis exponenda, quae Nazaraeorum dicitur. Qui quidem, ut accepimus, genere Iudaei sunt, e Galaatide et Basanitide ac reliquis ultra Iordanem regionibus oriundi. Quamobrem cum haec secta Israelitica ex gente profecta sit, Iudaeorum in omnibus dogmata complectitur, nec ab iis quos antea commemoravi fere ulla in re dissidet. Nam et circumcisionem perinde atque alii retinet, et idem sabbatum observat, eademque festa celebrat, sed neque fatum neque astronomiam admittit. Ac cum veteres illos patriarchas, de quibus in Pentateucho mentio est, approbet, qui ab Adamo ad Moysen usque insigni pietate floruerunt, nimirum Adam, Seth, Enoch, Mathusalam, Noë, Abraam, Isaac, Iacob, Levi, Aaron, ac Iesum Nave filium, Pentateuchum nihilominus ipsam repudiat. Nec Moysen quidem abiicit, neque oblatam huic a deo legem esse diffitetur, sed aliam fuisse dicit quam quae vulgo circumfertur. Ex quo factum est ut Iudaeorum ceremonias reliquas observent, utpote Iudaei, a sacrificiis abhorreant, neque animata re ulla vescantur. Itaque carnes in cibum adhibere vel sacrificare nefas esse ducebant. Conficta enim haec esse volumina, neque eorum quicquam a maioribus profectum. Eiusmodi Nazaraeorum discrimen a reliquis fuit. Unde et facile non uno duntaxat in loco, sed in pluribus refutari possunt. Cap. I.

Ac primum quod veteres patriarchas et Moysen probant, quaero ab illis, cum nulla de iis alia scriptura meminit, unde et horum appellatio et egregia virtus nisi ex illis voluminibus cognita esse potuerit? Qui porro convenit veritatem in unum cum falsitate concurrere? eandemque scripturam partim vera, partim falsa iactare? cum salvator dixerit, Aut facite arborem bonam et fructus bonos, aut arborem malam et fructus malos. Neque enim potest arbor bona malos fructus facere, neque arbor mala bonos fructus facere. Quocirca vanissimum horum hominum ingenium est, doctrinaque ipsa multis ex capitibus everti ac refutari potest. Praesertim cum in hodiernum usque tempus non modo celebrentur ea quae iis in libris gesta memorantur, sed et ipsamet loca repraesententur, ubi admiranda illa prodigia contigerunt. Imprimis mons Sion, ubi ovem deo Abrahamus immolavit, idem ad hoc tempus nomen obtinuit. Tum ubi quercus illa Mambre fuit, quo in loco vitulum angelis ap- Cap. II. Luc. 6, 43.

*παρετέθη ὁ μόσχος· ὅπου δὲ Ἀβραὰμ ἀγγέλοις παρέθετο κρεῶν τὴν ἑτοιμασίαν, ἀποδέων οὐκ ἦν αὐτὸς τῆς τούτων μετοχῆς.*

Κεφ. γ'. *Ἀλλὰ καὶ τοῦ προβάτου τυθέντος ἐν τῇ τῶν Αἰγυπτίων χώρᾳ ἔτι παρ' Αἰγυπτίοις τυγχάνει ᾀδομένη ἡ παράδοσις, καὶ παρὰ τοῖς εἰδωλολάτραις. Ἐν γὰρ τῷ καιρῷ, ὅτε τὸ πάσχα ἐγίνετο ἐκεῖσε (ἀρχὴ δὲ αὕτη γίνεται τοῦ ἔαρος, ὅτε ἡ πρώτη ἰσημερία), ἐκ μίλτεως λαμβάνουσι πάντες Αἰγύπτιοι κατὰ ἀγνωσίαν, καὶ χρίουσι μὲν τὰ πρόβατα, χρίουσι δὲ καὶ τὰ δένδρα, τὰς συκᾶς, καὶ τὰ ἄλλα, φημίζοντες καὶ λέγοντες ὅτι,* [1] *φασὶ, τὸ πῦρ ἐν ταύτῃ τῇ ἡμέρᾳ κατέφλεξέ ποτε τὴν οἰκουμένην· τὸ δὲ σχῆμα τοῦ αἵματος τὸ πυρωπὸν ἀλεξητήριόν ἐστι τῆς τοσαύτης πληγῆς καὶ τοιαύτης.* [2] *Πόθεν δὲ οὐκ ἔχομεν δεῖξαι περὶ τῆς ἀκολουθίας, ὡς ἔτι καὶ δεῦρο τὰ λείψανα τῆς τοῦ Νῶε λάρνακος δείκνυται ἐν τῇ τῶν Καρδυέων χώρᾳ; καὶ πάντως δὲ εἰ ἐπιζητήσειέ τις καὶ ἀνερευνήσειε καὶ τὰ λείψανα τοῦ θυσιαστηρίου, ἐπείπερ ἀκόλουθόν ἐστιν, εὕροι ἂν ἐν τῇ ὑπωρίᾳ τοῦ ὄρους, ὅπου ἔμεινε Νῶε ἐξελθὼν ἀπὸ τῆς κιβωτοῦ καὶ προσενέγκας ἀπὸ τῶν ζώων τῶν καθαρῶν καὶ τῶν στεάτων κυρίῳ τῷ θεῷ, ὅτε ἤκουσεν, Ἰδοὺ, δέδωκά σοι πάντα ὡς λάχανα χόρτου, θῦσον καὶ φάγε. Παρελεύσομαι δὲ καὶ ταύτης πάλιν τὸ ἐπείσακτον καὶ ἠλίθιον τῆς αἱρέσεως, ἀρκεσθεὶς ταῖς προειρημέναις ὀλίγαις λέξεσιν, ἐνσπαρείσαις ὑπὸ τῆς ἡμῶν βραχύτητος, ἐνταῦθα πρὸς ἀντίθεσιν τῆς πλάνης τῆς προειρημένης αἱρέσεως.*

## ΚΑΤΑ ΟΣΣΗΝΩΝ.

### Ἕκτη αἵρεσις ἀπὸ Ἰουδαϊσμοῦ, ἐννεακαιδεκάτη δὲ τῇ ἀκολουθίᾳ.

Κεφ. α'. *Μετὰ ταύτην πάλιν ἄλλη τις αἵρεσις ταύταις παραπεπλεγμένη, ἡ* pag. 40. *τῶν Ὀσσηνῶν καλουμένη. Ἰουδαῖοι* [1] *δὲ οὗτοι, ὡς καὶ αἱ προειρημέναι, ὑποκριταὶ τὸν τρόπον, δεινοὶ τὴν ἐπίνοιαν. Ὥρμηνται δὲ οὗτοι, ὡς ἡ εἰς ἡμᾶς ἐλθοῦσα περιέχει παράδοσις, ἀπὸ τῆς Ναβατικῆς χώρας καὶ Ἰτουραίας, Μωαβίτιδός τε καὶ Ἀρηϊλίτιδος, τῶν ἐπέκεινα τῆς κοιλάδος τῆς Ἁλυκῆς οὕτως ἐν τῇ θείᾳ γραφῇ καλουμένης ὑπερκειμένης χώρας· ἔστι δὲ αὕτη Νεκρὰ καλουμένη θάλασσα. Τοῦτο δὲ τὸ γένος τῶν Ὀσσηνῶν ἑρμηνεύεται διὰ τῆς ἐκδόσεως τοῦ ὀνόματος στιβαρὸν γένος. Συνήφθη δὲ τούτοις μετέπειτα ὁ καλούμενος Ἠλξαΐ, ἐν χρόνοις Τραϊανοῦ βασιλέως, μετὰ τὴν τοῦ σωτῆρος παρουσίαν, ὃς ἐγένετο ψευδοπροφήτης. Συνεγράψατο δὲ οὗτος βιβλίον δῆθεν κατὰ προφητείαν, ἢ ὡς κατὰ ἔνθεον σοφίαν. Φασὶ δὲ καὶ ἄλλον τινὰ* [2] *Ἰεξέον ἀδελφὸν*

CAP. III. — 1. φασὶ *rescripsi pro* φησὶ, *quod libri retinent.*
2. *Inepte plane haec verba interpretatus est Petavius. Cornarius accuratius quam elegantius:* „Quomodo vero non possumus ostendere de consequentia, cum

posuit. Quem cum illis epularum apparatum instrueret, verisimile est earum et ipsum participem extitisse.

Quinetiam quod ad illum agnum attinet in Aegypto a Iudaeis immolatum, eius rei memoria apud Aegyptios ipsosque deorum cultores hodieque remanet. Etenim sub idem tempus, quo illic olim pascha celebratum est, quod in veris initium atque aequinoctium incidit, Aegyptii omnes minio oves suas inficiunt, nec non et arbores, uti ficus et caetera eiusmodi. Cuius quidem ritus tametsi caussam nesciant, istud tamen prae se ferunt ac vulgo iactitant, illo die universum terrarum orbem incendio conflagrasse. Huius porro calamitatis avertendae vim quandam in cruore illo atque igneo colore esse positam. Quibus vero de caussis, negant sibi esse compertum. Sed et hucusque in Cardyaeorum regione arcae Noëmiticae reliquias ostendunt. Ac si quis diligentius perquirat, non dubito quin altaris quoque vestigia, quod ipsum consequens est, ad montis radices invenire possit, ubi tum Noë ex arca progrediens mansit, et de puris animalibus atque adipibus domino deo sacrificium instituit. Quo etiam tempore illud a deo oraculum accepit: *Ecce dedi tibi omnia, tanquam herbarum olera, macta et comede.* Verum haeresis huius adulterina stultaque dogmata missa faciam. Siquidem pauca haec sufficiunt a nobis hucusque disputata, atque ad eum errorem propulsandum in medium allata. Cap. III. Gen. 9, 3.

## CONTRA OSSENOS.

### Quae est VI. haeresis Iudaismi, ordine XIX.

Sequitur Ossenorum haeresis cum superioribus implicita. Nam et hi perinde ut illi Iudaei sunt, et simulandi artifices, atque imprimis callidi. Ferunt istos ex Nabataea, Ituraea, Moabitide et Areilitide originem traxisse, quae regiones ultra vallem salsuginosam positae sunt. Hoc enim nomine sacris in literis tractus ille superior appellatur, qui idem est cum Mari Mortuo. Ossenorum porro genus istud, si nomen interpretere, idem est ac firmum et solidum. Ad hos postea Elxai se quidam aggregavit, imperante Traiano, post adventum Christi domini. Qui cum falso prophetam se diceret, librum quendam velut prophetico spiritu afflatus edidit, divina scilicet sapientia plenum. Huius praeterea fratrem Iexeum nomine Cap. I.

adhuc hodie reliquiae arcae Noë ostendantur in Cardiensium regione?"

Cap. I. — 1. *Reposui* δὲ *pro* τε *quod vulgo legitur.*

2. *Ita cod. Rhedig. et libri editi.* Ἰεξαῖον *Ios. Scaliger. Nicetas Choniata* Ἰεζαῖον *appellat Thes. Orthod. Fidei I, 33., quod caput, uti extat in cod. Baluziano, quem servat Bibliotheca Imperialis apud Parisios, huc transcribere iuvat:* „Οἱ δὲ

*τούτου. Γέγονε δὲ οὗτος ὁ ἄνθρωπος πεπλανημένος τὸν τρόπον, ἀπατηλὸς τὴν γνώμην, ἀπὸ Ἰουδαίων ὁρμώμενος καὶ τὰ Ἰουδαίων φρονῶν, κατὰ νόμον δὲ μὴ πολιτευόμενος, ἕτερα δὲ ἀνθ' ἑτέρων παρειςφέρων, καὶ τὴν ἰδίαν αὐτοῦ αἵρεσιν* [3] *πλανήσας. Ἅλας, καὶ ὕδωρ, καὶ γῆν, καὶ ἄρτον καὶ οὐρανὸν, καὶ αἰθέρα, καὶ ἄνεμον ὅρκον αὐτοῖς εἰς λατρείαν ὁρισάμενος παραδέδωκε, ποτὲ δὲ πάλιν ἄλλους μάρτυρας ἑπτὰ ὁρισάμενος, τὸν οὐρανὸν, φημὶ, καὶ τὸ ὕδωρ, καὶ πνεύματα, φησὶν, καὶ ἁγίους τοὺς ἀγγέλους τῆς προςευχῆς, καὶ τὸ ἔλαιον, καὶ τὸ ἅλας, καὶ τὴν γῆν. Ἀπεχθάνεται δὲ τῇ παρθενίᾳ, μισεῖ δὲ τὴν ἐγκράτειαν, ἀναγκάζει δὲ γάμον. Φαντασιώδη δέ τινα, ὡς δῆθεν ἀποκαλύψεως, παρειςφέρει. Ὑποκριτὰς δὲ* [4] *διδάσκει, φήσας μὴ εἶναι ἁμαρτίαν εἰ καὶ παρατύχοιεν εἴδωλα προςκυνῆσαι καιροῦ ἐνστάντος διωγμοῦ, ἐὰν μόνον ἐν τῇ συνειδήσει μὴ προςκυνήσῃ, καὶ εἴ τι δ' ἂν ὁμολογήσῃ ἐν στόματι, ἐν δὲ τῇ καρδίᾳ μή.*

Κεφ. β'. *Μάρτυρα δέ τινα παρειςφέρων οὐκ αἰσχύνεται ὁ ἀπατεὼν, λέγων Φινεές τινα ἱερέα τῶν ἀπὸ γένους Λευί τε καὶ Ἀαρὼν καὶ τοῦ ἀρχαίου Φινεὲς ἐν τῇ Βαβυλῶνι ἐπὶ τῆς αἰχμαλωσίας προςκυνήσαντα τὴν Ἄρτεμιν ἐν Σούσοις διαπεφευγέναι ὄλεθρον θανάτου ἐπὶ Δαρείου τοῦ βασιλέως· ὥςτε εἶναι αὐτοῦ τὰ πάντα ψευδῆ καὶ μάταια. Οὗτος μὲν οὖν ἄνω συνῆπται τῇ προειρημένῃ αἱρέσει τῇ τῶν Ὀσσηνῶν καλουμένῃ, ἧς ἔτι λείψανα καὶ δεῦρο ὑπάρχει ἐν τῇ αὐτῇ* [1] *Ναβατίτιδι γῇ, τῇ καὶ Πε-*
pag. 41. *ραίᾳ πρὸς τῇ Μωαβίτιδι, ὅπερ γένος νυνὶ* [2] *Σεμψέων καλεῖται. Φαντάζονται δὲ δῆθεν καλεῖν τοῦτον Δύναμιν* [3] *κεκαλυμμένην, διὰ τὸ Ἰὴλ καλεῖσθαι δύναμιν, Ξαῒ δὲ κεκαλυμμένον. Ἠλέγχθη δὲ τὸ πᾶν τοῦ ἐπιτηδεύματος φρύαγμα, καὶ εἰς μεγάλην αἰσχύνην ὑπέπεσε παρὰ τοῖς δυναμένοις τὰ ἀληθῆ κατανοεῖν τε καὶ ἀκριβοῦν. Ἔτι γὰρ καὶ δεῦρο ἀπὸ τῶν ἡμερῶν* [4] *Κωνσταντίου τε καὶ τῶν νῦν βασιλέων σαφῶς ἐλέγχονται. Ἕως μὲν γὰρ Κωνσταντίου ἐκ τοῦ γένους αὐτοῦ* [5] *Μαρθοῦς τις καὶ Μαρθάνα δύο ἀδελφαὶ ἐν τῇ αὐτῶν χώρᾳ ἀντὶ θεῶν προςεκυνοῦντο, ὅτι δῆθεν ἐκ τοῦ σπέρματος τοῦ προειρημένου Ἠλξαῒ ὑπῆρχον. Τέθνηκε δὲ ἡ Μαρθοῦς πρὸ ὀλίγου τοῦ χρόνου, Μαρθάνα δὲ εἰς ἔτι δεῦρο ὑπῆρχεν, ὧν καὶ τὰ πτύσματα καὶ τὰ ἄλλα τοῦ σώματος ῥύπη ἀπεφέροντο οἱ πεπλανημένοι αἱρετικοὶ ἐν ἐκείνῃ τῇ χώρᾳ, δῆθεν πρὸς ἀλέξησιν νοσημάτων. Οὐ μὴν ἐνήργουν, ἀλλὰ τὸ πεπλανημένον σοβα-*

Ἐσσαῖοι (*sic constanter appellat Nicetas quos Epiphanius Ossenos*) κατὰ νόμον πάντα τελοῦντες, ὡς ἔφην ἄνωθεν, ἑτέραις μετα τὸν νόμον ἐχρῶντο γραφαῖς ....... μώτατοι ἑρμηνευόμενοι. Συνήφθη δὲ τούτοις Ἠλξαΐ τις ψευδοπροφήτης καὶ διαφθορεὺς ..... αινετε ἐν τοῖς χρόνοις βασιλέως Ῥωμαίων Τραϊανοῦ, μετὰ τὴν Χριστοῦ παρουσίαν, παρθενίαν μισῶν, ἐγκράτειαν βδελυττόμενος, καὶ γαμεῖν ...... Ἠλξαΐ τούτῳ καὶ ἀδελφὸν εἶναι Ἰεζαῖον καλούμενον, καὶ ὕστερον ἐπὶ τῶν χρόνων τοῦ μεγάλου Κωνσταντίνου φανῆναι καὶ ἀδελφὰς δύο ἐκ τοῦ γένους αὐτοῦ λεγομένας κατάγεσθαι, Μαρθὼ καὶ Μαρθάνην, αἷς οἱ πεπλασμένοι προςέκειντο ........ Ἠλξαΐ, ὃς ἑρμηνεύεται δύναμις κεκρυμ-

commemorant. Caeterum homo ille moribus perditus atque impostor fuit. Nam cum genere ac secta Iudaeus esset, ad legis praescriptum minime vitam suam accommodavit, sed alia omnia loco eius obtrusit, ac sectatores suos in transversum abduxit. Inter alia per salem ac terram, panem, coelum, aethera, ventumque velut numina deierare iussit. Interdum VII alios testes definit. Nimirum coelum, aquam, et spiritus, sanctos orationis angelos, oleum, salem, et terram. Praeterea virginitatem odit, continentiam damnat, et ad ineundas nuptias compellit. Tum vero commenta quaedam ac somnia tanquam Apocalypses suis reliquit. Quos etiam simulatores esse docuit, cum ullum negaret esse crimen, si quis persecutionis tempore idola veneretur, dummodo minime id ex animo faciat, aut si quid ore tenus non item animo profiteatur.

Adducit et huius rei testem veterator Phineem quendam sacerdotem e Levitico genere, de Aaronis ac veteris illius Phinees stirpe, qui regnante Dario in captivitate Babylonica Susis adorata Diana periculum capitis effugit. Ita eius omnia falsa sunt ac ridicula commenta. Hic igitur olim se ad Ossenorum haeresim adiunxit. Cuius hodie in Nabathaea et Peraea Moabitis vicina regione reliquiae supersunt, et Sempseorum vulgo natio haec hominum dicitur. A quibus etiam perabsurde illud excogitatum est, ut ab occulta vi cognominatum istiusmodi nebulonem fingerent, propterea quod Iel Hebraice vim, Xai abstrusum significat. Sed huius instituti vanitas arrogantiaque convicta penitus est, et ab iis irrisa magnopere qui ad considerandam discernendamque veritatem aliquo iudicio praediti sunt. Atque ex ipsis imprimis Constantii atque insequentium imperatorum temporibus ad hanc diem efficacissimum ad illos refellendos argumentum confici potest. Nam ad usque Constantium imperatorem Marthus nescio quae ac Marthana sorores de Elxai stirpe in illorum regione numinum instar ob eam originis dignitatem habitae sunt. Harum Marthus non ita pridem excessit e vita, Marthana in hanc diem superstes est. Utriusque vero vel sputa ipsa caeterasque corporis sordes illius tractus haeretici circumferre solebant ad morborum remedia. Quae tamen irrita erant omnia. Sed est haereticorum ge- Cap. II.

μένη. "Ηλ γὰρ παρ' Ἑβραίοις ........ κεκρυμμένη."

3. πλάσας *Ios. Scaliger.*

4. εἶναι *infinitivum desiderat Petavius.*

Cap. II. — 1. ναυατίτιδι γῇ, τῇ καὶ πεpαίᾳ *edit. princ.*

2. *Repone* Σαμψαίων. *Ios. Scaliger volebat* Σεμψαίων. — *V. infra haer.* 53, 1.

3. *Libri habent* ἀποκεκαλυμμένην, *quod correxi.*

4. *Repone* Κωνσταντίνου, *et hic et in verbis sequentibus, ex auctoritate Nicetae, cuius verba supra adscripsi.*

5. Marthus *nomen mulieris apud Epiphanium est. Cf. haer.* 53, 1. Martho *vocatur apud alios scriptores.*

ρὸν ἀεὶ καὶ πρὸς ἀπάτην ἕτοιμον. Τυφλὸν γὰρ ἡ κακία, καὶ ἀσύνετον ἡ πλάνη. Καὶ ἕως ποῦ κατατρίβομαι τὰ περὶ τοῦ γόητος τούτου φθεγγόμενος, ὅσα τε κατὰ τῆς ἀληθείας κατεψεύσατο; πρῶτον μὲν διδάσκων ἀπαρνησιθεῖαν, καθ' ὑπόκρισιν βδελυρῶν θυσιῶν τῆς εἰδωλολατρείας μετέχειν λέγων, ἔπειτα δὲ ἀπατῶν τοὺς ἀκούοντας ἀρνεῖσθαι τὴν ἰδίαν πίστιν στόματι, καὶ μὴ ἔχειν ἁμαρτίαν φάσκων, ὡς εἶναι ἀθεράπευτον τὸ αὐτῶν πάθος, καὶ μὴ δυνάμενον διορθωθῆναι.

Κεφ. γ'. Εἰ γὰρ τὸ στόμα τὸ ὁμολογοῦν τὴν ἀλήθειαν προετοιμάζεται εἰς ψεῦδος, ἀρά γέ τις αὐτοῖς ἐμπιστεύσειε τὴν καρδίαν μὴ ἔχειν ἠπατημένην; ὁπότε διαρρήδην ἐκφάσκων ὁ θεῖος λόγος, ἐν πνεύματι ἁγίῳ διδάσκων, ὅτι καρδίᾳ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. Ἀλλὰ καὶ πάλιν δῆθεν μὲν Χριστὸν ὀνόματι ὁμολογεῖ, λέγων ὅτι, Χριστὸς ὁ μέγας βασιλεύς. Οὐ μὴν πάνυ γε κατείληφα ἐκ τῆς αὐτοῦ δολερᾶς καὶ παραπεποιημένης συντάξεως τῆς βίβλου τῆς αὐτοῦ ληρῳδίας, εἰ περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑφηγήσατο. Οὔτε γὰρ τοῦτο ὁρίζει, Χριστὸν δὲ ἁπλῶς λέγει, ὡς ἐξ ὧν καpag. 42. τειλήφαμέν τινα ἕτερον σημαίνων ἢ προςδοκῶν. Κωλύει γὰρ εἰς ἀνατολὰς εὔξασθαι, φάσκων μὴ δεῖν προςέχειν οὕτως, ἐπὶ τὰ Ἱεροσόλυμα δὲ ἔχειν τὸ πρόςωπον ἐκ πάντων τῶν μερῶν, τοὺς μὲν ἀπ' ἀνατολῶν εἰς δύσιν προςέχειν τῇ Ἱερουσαλήμ, τοὺς δὲ ἀπὸ δύσεως εἰς ἀνατολὴν τῇ αὐτῇ, τοὺς δὲ ἀπὸ νότου καὶ μεσημβρίας εἰς ἄρκτον, τοὺς δὲ ἀπ' ἄρκτου εἰς μεσημβρίαν, ὡς πανταχόθεν τὸ πρόςωπον ἄντικρυς εἶναι τῆς Ἱερουσαλήμ. Καὶ ὅρα τὴν τοῦ ἀπατεῶνος φρενοβλάβειαν. Ἀναθεματίζει μὲν γὰρ θυσίας καὶ ἱερουργίας, ὡς ἀλλοτρίας οὔσας θεοῦ καὶ μήτε ὅλως θεῷ ἐκ τῶν πατέρων καὶ τοῦ νόμου ποτὲ προςενεχθείσας, καὶ λέγει ἐκεῖ δεῖν εὔχεσθαι εἰς Ἱερουσαλήμ, ὅπου ἦν τὸ θυσιαστήριον καὶ αἱ θυσίαι, ἀρνούμενος τὴν παρὰ τοῖς Ἰουδαίοις σαρκοφαγίαν, καὶ τὰ ἄλλα, καὶ τὸ θυσιαστήριον, τό τε πῦρ ὡςεὶ θεοῦ ἀλλότριον· τὸ δὲ ὕδωρ εἶναι δεξιὸν, πῦρ δὲ ἀλλότριον εἶναι φάσκων διὰ τούτων τῶν λέξεων· Τέκνα, πορεύεσθε μὴ πρὸς τὸ εἶδος τοῦ πυρὸς, ὅτι πλανᾶσθε· πλάνη γάρ ἐστι τὸ τοιοῦτον. Ὁρᾷς γὰρ, φησὶν, αὐτὸ ἐγγυτάτω, καὶ ἔστιν ἀπὸ πόρρωθεν· μὴ πορεύεσθε πρὸς τὸ εἶδος αὐτοῦ, πορεύεσθε δὲ μᾶλλον ἐπὶ τὴν φωνὴν τοῦ ὕδατος. Καὶ πολλά ἐστι τὰ αὐτοῦ μυθολογήματα.

Κεφ. δ'. Εἶτα δὲ διαγράφει Χριστόν τινα εἶναι δύναμιν, οὗ καὶ τὰ μέτρα σημαίνει, εἰκοσιτεσσάρων μὲν σχοινίων τὸ μῆκος, ὡς μιλίων ἐννενηκονταὲξ, τὸ δὲ πλάτος σχοινίων ἕξ, [1] μιλίων εἰκοσιτεσσάρων, καὶ τὸ

Cap. IV. — 1. μιλίων om. cod. Venet.

nus fastuosum et obnoxium fraudi. Caeca enim nequitia omnis et prudentia destitutus error est. Verum quid attinet in huius impostoris rebus persequendis immorari diutius, aut ea narrare dogmata quae contra veritatem asseruit? Primum quod negare deum sequaces suos edocuit, cum execrandorum idololatriae sacrorum per simulationem participes esse suasit. Tum luculentius iisdem imposuit; cum ore tenus eiurari posse fidem, nec in eo crimen ullum esse dixit. Adeo ut insanabilis sit illorum morbus, nec ullum remedii genus admittat.

Cum enim os ipsum, quo confessio veritatis exprimitur, ad mendacium subornetur, quis istis credat non vehementer ipsos decipi, cum perspicue divinis in literis ex sancti spiritus afflatu praescriptum sit: *Corde ad iustitiam credi, ore vero ad salutem confessionem fieri?* Praeterea Christum licet nomine ipso fateatur, cum ita loquitur: Magnus rex est Christus, utrum id tamen de Christo Iesu domino nostro pronunciaverit, ex fraudulento illo adulterinoque libro, quem de nugis suis edidit, nondum animadvertere potui. Neque enim istud diserte significat, sed Christi nomen simpliciter appellat, quasi alterum, quantum intelligimus, indicet vel expectet. Nam et ad orientem converso vultu precari prohibet, negatque intentos in eam partem nos esse oportere, sed Hierosolymam versus undequaque prospicere. Ut qui ad orientem Hierosolymam respiciunt, in eam ad occasum faciem obvertant. Qui vero ad occidentem siti sunt, eodem ad orientem vergant, sic etiam septentriones contueantur qui ad austrum obiacent, austrum vero qui supra illam septentrionibus sunt propinquiores, quo undique Hierosolymitanam in urbem universorum ora coniecta sint. Sed circulatoris amentiam attende. Etenim sacrificia penitus condemnat, et a deo aliena esse pronunciat, simul negat illa unquam deo in lege vel patribus oblata. Et tamen Hierosolymam orantes intueri praecipit, ubi et altare quondam et sacrificia fuerunt; cum alioqui et Iudaeos improbet, qui carnibus vescerentur, nec non et altare ipsum, et ignem quasi a deo alienum. Nam aquam idem scitam ac bonam esse definit, ignem vero alienum quiddam, his verbis: Filii, nolite ad ignis speciem accedere, erratis enim, et istud ipsum error est. Nam cum illum in propinquo videas, abest tamen longius. Cavete igitur ad eius speciem accesseritis, quin potius ad aquae vocem accedite. Eiusmodi pleraeque sunt illius ineptiae.

Cap. III. Rom. 10, 9.

Deinde Christum veluti vim quandam describit, cuius et mensuras exponit, longitudinis schoenos XXIV, hoc est milliaria XCVI, latitudinis schoenos VI, milliaria XXIV; nec minus portentose de Cap. IV.

πάχος ὁμοίως τερατευόμενος, καὶ τοὺς πόδας, καὶ τὰ ἄλλα μυθολογήματα. Εἶναι δὲ καὶ τὸ ἅγιον πνεῦμα καὶ αὐτὸ θήλειαν, ὅμοιον τῷ Χριστῷ ἀνδριάντος δίκην ὑπὲρ νεφέλην, καὶ ἀναμέσον δύο ὀρέων ἑστώς. Καὶ τὰ ἄλλα σιωπήσω, ἵνα μὴ εἰς μυθολογίαν φαντασιάσω τὴν ἀκοὴν τῶν ἐντυγχανόντων. [2] Τισὶ δὲ λόγοις καὶ κενοφωνίαις ὕστερον ἐν τῇ βίβλῳ ἀπατᾷ λέγων, Μηδεὶς ζητήσῃ τὴν ἑρμηνείαν, ἀλλ' ἢ μόνον ἐν τῇ εὐχῇ [3] τάδε λεγέτω· καὶ αὐτὰ δῆθεν ἀπὸ Ἑβραϊκῆς διαλέκτου μετενέγκας· ὡς ἀπὸ μέρους κατειλήφαμεν οὐδὲν ὄντα τὰ παρ αὐτῷ φανταζόμενα. Φάσκει [4] γὰρ λέγειν, [5] Ἄβαρ, Ἀνὶδ, Μωῒβ, Νωχιλὲ, Δαασὶμ, Ἀνὴ, Δαασὶμ, Νωχιλὲ, Μωῒβ, Ἀνὶδ, [6] Ἄβαρ, Σελάμ.

pag. 42. Ἅτινα ἑρμηνευόμενα ἔχει τὴν σαφήνειαν ταύτην· Παρελθέτω ταπείνωσις ἐκ [7] πατέρων μου, τῆς κατακρίσεως αὐτῶν, καὶ καταπατήματος αὐτῶν, καὶ πόνου αὐτῶν, καταπατήματι ἐν κατακρίσει διὰ τῶν πατέρων μου, ἀπὸ ταπεινώσεως παρελθούσης ἐν ἀποστολῇ τελειώσεως, ἐπ' αὐτῷ δὲ [8] πάντα πληροῦται ταῦτα, κεκένωται γὰρ αὐτοῦ ἡ δύναμις καὶ ἡ πλάνη. Εἰ δὲ ἓν ῥῆμα πρὸς ἓν θελήσει τις κατὰ λεπτολογίαν ἀκοῦσαι ἑρμηνευόμενον, καὶ τοῦτο οὐκ [9] ἂν ὀκνήσαιμεν ποιῆσαι, ἀλλ' εἰς καθῆκον κατὰ πάντα [10] τῶν βουλομένων λεπτολόγως ἀκούειν αὐτὰ δὴ τὰ ῥήματα αὐτοῦ καὶ τὰς αὐτῶν ἑρμηνείας ἄντικρυς παραθησόμεθα, καὶ ἔστιν οὕτως· Ἄβαρ, παρελθέτω, Ἀνὶδ, ταπείνωσις, Μωῒβ, ἡ ἐκ πατέρων μου, [11] Νωχιλὲ, τῆς κατακρίσεως αὐτῶν, Δαασὶμ, καὶ καταπατήματος αὐτῶν, Ἀνὴ, καὶ πόνου αὐτῶν, [12] Δαασὶμ, καταπατήματι, Νωχιλὲ, ἐν κατακρίσει, Μωῒβ, διὰ τῶν πατέρων μου, Ἀνὶδ, ἀπὸ ταπεινώσεως, Ἄβαρ, παρελθούσης, Σελὰμ, ἐν ἀποστολῇ τελειώσεως.

Κεφ. ε'. Αὕτη γοῦν ἡ αἵρεσις ἡ τῶν Ὀσσηνῶν ἄνω προειρημένη, ἡ πολιτευομένη μὲν τὴν τῶν Ἰουδαίων πολιτείαν κατὰ τὸ σαββατίζειν τε καὶ περιτέμνεσθαι καὶ τοῦ νόμου ποιεῖν τὰ πάντα, μόνον δὲ [1] ἀπαγορεύει τὰς βίβλους ὁμοίως τοῖς Νασαραίοις. Σχίσμα δὲ ἐργάζεται αὕτη διαφερομένη πρὸς τὰς ἄλλας ἓξ τῶν αἱρέσεων τούτων. Ἀρκέσει γοῦν εἰς ἀνατροπὴν ταύτης τὸ εἶναι αὐτὴν ἀλλοτρίαν θεοῦ, τοῦ κυρίου σαφῶς λέγοντος ὅτι οἱ ἱερεῖς ἐν τῷ ἱερῷ βεβηλοῦσι τὸ σάββατον. Ἡ δὲ βεβήλωσις τοῦ σαββάτου τίς αὕτη; ἀλλ' ὅτι ἔργον οὐδεὶς εἰργάζετο ἐν τῷ σαββάτῳ, ἐν δὲ τῷ ἱερῷ θυσίαν οἱ ἱερεῖς ἐπιτελοῦντες ἔλυον τὸ σάββατον, βεβηλοῦντες διὰ τὴν ἐνδελεχῆ τῶν ζώων θυσίαν. Παρελεύσομαι καὶ ταύτην τὴν αἵρεσιν. Συνῆπται γὰρ οὗτος πάλιν ὁ Ἠλξαῒ τοῖς μετὰ τὸν Χριστὸν Ἐβιωναίοις, ἀλλὰ καὶ τοῖς Ναζωραίοις,

ἀναμέσον between

2. *Ita cod. Venet. Vulgo* τίσι.
3. ταῦτα *cod. Venet.*
4. γὰρ *om. cod. Venet.*
5. αβαρ. ανιδ. μωιβ. νωχιλε. δασιμ. ανηδαα. σιν. νωχιλε. μωιβ. ἀνιδ. ἀμερ. σελάμ. *cod. Venet.*
6. ἄβερ *cod. Rhedig.*
7. τῶν πατέρων *cod. Venet.*
8. πληροῦται πάντα *cod. Venet.*
9. ἂν *non habet cod. Venet.*
10. τῷ βουλομένῳ *suspicatus est Petavius. At recte ille genetivus, qui pendet*

crassitudine nugatur, deque pedibus ac caeteris omnibus fabulam pertexit. Ad haec spiritum sanctum esse demonstrat, sexu feminam, ac Christi similem, instar simulacri supra nubem atque inter montes duos stantem. Mitto reliqua, ne eorum qui haec intelligent aures anilibus figmentis oppleam. Quibusdam porro verbis inanissimisque vocibus subinde eodem in libro fucum facit, cum ita loquitur. Nemo interpretationem quaerat, sed inter orandum haec duntaxat proferat. Quae quidem ex Hebraica lingua transtulit, et vel hac ex parte deprehendimus nihili esse istius hominis commenta. Ita enim orare iubet: Abar, Anid, Moib, Nochile, Daasim, Ane, Daasim, Nochile, Moib, Anid, Abar, Selam. Quae hunc sensum continent: Transeat abiectio a patribus meis propagata, condemnationis ipsorum, et conculcationis ipsorum, et laboris ipsorum, conculcatione in condemnatione per patres meos ex abiectione quae praeteriit in apostolatu perfectionis. Quae omnia in illo ipso perfecta sunt cuius vis omnis atque fraus in nihilum est redacta. Quod si quis singulorum verborum interpretationem audire velit, ne hoc quidem facere pigrabor, sed iis etiam qui minutatim scire ista desiderant omnino satisfaciam. Igitur singulis vocibus propriam interpretationem adscribam, quae est eiusmodi: Abar, transeat, Anid, abiectio, Moib, a patribus meis propagata, Nochile, condemnationis ipsorum, Daasim, et conculcationis ipsorum, Ane, et laboris ipsorum, Daasim, proculcatione, Nochile, in condemnatione, Moib, per patres meos, Anid, ex abiectione, Abar, quae praeteriit, Selam, apostolatu perfectionis.

Eiusmodi est Ossenorum commemorata a nobis haeresis, quae cum Iudaeorum ad ritum vitam exigat, et sabbatum ac circumcisionem usurpet, aliaque quae lege praescribuntur omnia, certos tamen libros Nazaraeorum exemplo repudiat, atque a sex reliquis sectis velut schismate seiungitur. Sed ad illam funditus profligandam unum illud sufficiet, quod a deo penitus abhorreat. Etenim cum diserte dominus asserat sacerdotes in templo violare sabbatum, quid est aliud quo violare diem illum dicuntur, nisi quod sabbato nemo opus ullum faceret, at sacerdotes in templo sacrificiis operati sabbatum solverent, et hostiarum mactatione assidua violarent? Sed ego haeresin illam praetermittam. Nam et Elxai rursus iste cum Ebionaeis, qui Christi tempora seculi sunt, coniunctus est, nec non cum posterioribus Nazaraeis, eumque sectae quatuor auctorem sibi vin- Cap. V. Matth. 12, 5.

a verbis εἰς καθῆκον. *Cf. haer.* 64, 3. „Ὁ δὲ βουλόμενος εἰς ἐκείνου καθῆκον καὶ προτροπὴν πάσης γραφῆς, ὡς εἰπεῖν, ἑρμηνεὺς γενέσθαι.“

11. νωχελε *cod. Venet.*
12. δασιμ *cod. Venet.*
Cap. V. — 1. *Reposui* ἀπαγορεύει *pro* ἀπαγορεύειν, *quod libri retinent.*

τοῖς μετέπειτα γεγονόσι. Καὶ κέχρηνται αὐτῷ τέσσαρες αἱρέσεις, ἐπειδὴ θέλγονται τῇ αὐτοῦ πλάνῃ, Ἐβιωναίων τε, τῶν μετέπειτα Ναζωραίων, Ὀσσηνῶν τε, τῶν πρὸ αὐτοῦ καὶ σὺν αὐτῷ, καὶ Νασαραίων τῶν ἄνω μοι προδεδηλωμένων. Αὕτη δὲ ἡ αἵρεσις τῶν ἑπτὰ τῶν ἐν Ἱεροσολύ-
pag. 44. μοις, αἵτινες ἐνέμειναν ἄχρι τῆς τοῦ Χριστοῦ παρουσίας, καὶ μετὰ τὴν Χριστοῦ ἔνσαρκον παρουσίαν ἄχρι τῆς τῶν Ἱεροσολύμων ἁλώσεως, ἥτις γέγονεν ὑπὸ Τίτου βασιλέως ἀδελφοῦ Δομετιανοῦ, υἱοῦ δὲ Οὐεσπασιανοῦ βασιλέως. Μετὰ δὲ τὴν τῶν Ἱεροσολύμων ἅλωσιν ἐπέμεινεν ἥ τε αὕτη καὶ αἱ ἄλλαι ὀλίγῳ τῷ χρόνῳ αἱ φημιζόμεναι αἱρέσεις, Σαδδουκαίων φημὶ, καὶ Γραμματέων, Φαρισαίων τε, καὶ Ἡμεροβαπτιστῶν, καὶ Νασαραίων, καὶ Ὀσσηνῶν, καὶ Ἡρωδιανῶν, ἄχρις οὗ κατὰ καιρὸν καὶ κατὰ χρόνον ἑκάστη αὐτῶν διασκορπισθεῖσα διελύθη.

Κεφ. ϛ'. [1] Ἀρκείτω δὲ ἔχειν ἀπ' αὐτῆς τῆς αὐτῶν φρενοβλαβείας καὶ τῶν ῥημάτων τοῦ κηρύγματος τοῦ δηλητηρίου ἰοῦ ἀλεξητήριον ἑαυτῷ πάντα νουνεχῆ κατασκευάσαι, καταγνόντα τῆς συρφετώδους αὐτῶν διδασκαλίας τε καὶ λαλιᾶς, καὶ μάλιστα τοῦ κυρίου εὐθὺς λέγοντος ἔν τε τῷ νόμῳ καὶ ἐν τῷ εὐαγγελίῳ, Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ· οὐ λήψῃ ὄνομά τινος ἑτέρου ἐφ' ὅρκῳ· καὶ πάλιν ἐν τῷ εὐαγγελίῳ λέγοντος, Μὴ ὀμνύναι μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἕτερόν τινα ὅρκον, ἀλλ' ἤτω ὑμῶν τὸ ναὶ ναί, καὶ τὸ οὒ οὔ, τὸ περισσότερον γὰρ τούτων ἐκ τοῦ πονηροῦ ὑπάρχει. Ἐγὼ δὲ περὶ τούτου νομίζω θεσπίσαι τὸν κύριον διὰ τὸ μέλλειν τινὰς λέγειν ἐν ἄλλοις ὀνόμασιν ὅρκον προβάλλεσθαι, πρῶτον μὲν οὖν ὅτι οὐ δεῖ ὀμνύναι, οὔτε αὐτὸν τὸν κύριον, οὔτε ἄλλον τινὰ ὅρκον· τοῦ γὰρ πονηροῦ ἐστι τὸ ὀμνύναι. Πονηρὸς δὲ ἄρα καὶ ὁ ἐν τῷ Ἠλξαῒ λαλήσας, ὁ καταναγκάσας οὐ μόνον ἐν θεῷ ὀμνύναι, ἀλλὰ καὶ ἐν ἁλὶ, καὶ ἐν ὕδατι, καὶ ἐν αἰθέρι, καὶ ἐν ἀνέμῳ, καὶ ἐν τῇ γῇ, καὶ ἐν οὐρανῷ. Ἀρκετὸν δὲ ὡς ἐν παρόδῳ διὰ τῶν δύο λόγων πρὸς ἀντίθεσιν τῆς αὐτοῦ πλάνης ἀντιδότῳ χρῆσθαι τὸν βουλόμενον ἰατρευθῆναι. Παρελθὼν δὲ τούτου τὴν ἐρεσχελίαν καὶ τὸ ὕπουλον ταύτης τῆς αἱρέσεως ἐφεξῆς ποιήσομαι τῆς ἑβδόμης αἱρέσεως τὸν ἔλεγχον, τῆς παρὰ τοῖς αὐτοῖς τότε νομιστευομένης. Καὶ ἔστιν αὕτη.

pag. 45.

## ΚΑΤΑ ΗΡΩΔΙΑΝΩΝ.

### Ἑβδόμη αἵρεσις ἀπὸ Ἰουδαϊσμοῦ, εἰκοστὴ δὲ τῇ ἀκολουθίᾳ.

Κεφ. α'. Μετὰ ταύτην δὲ καὶ μετὰ ταύτας πάλιν ἑβδόμη αἵρεσις ἦν ἡ τῶν Ἡρωδιανῶν καλουμένη. Οὐδὲν δὲ ἔσχον τι παρηλλαγμένον οὗτοι, ἀλλ' ὅλοι εἰσὶν Ἰουδαῖοι, ἀργοί τε καὶ ὑποκριταί. Ἡρώδην δὲ οὗτοι ἡγοῦντο Χριστὸν κύριον, τὸν ἐν πάσαις γραφαῖς νόμου τε καὶ προφη-

Cap. VI. — 1. Rescripsi Ἀρκείτω. Libri habent Ἀρκετῶς. Ceterum possis

dicant, quae illius praestigiis afficiuntur, nimirum Ebionaei, ac posteriores Nazaraei, Osseni, qui tam ante illum quam cum illo prodierunt, et Nazaraei, de quibus antea disputavi. Caeterum una est haec haeresis ex illis septem quae Hierosolymis extiterunt et ad Christi adventum usque propagatae sunt, ac deinceps ab huius temporibus ad Hierosolymitanum excidium, quod Tito duce contigit, Domitiani fratre, et Vespasiani imperatoris filio. Post eversa demum Hierosolyma stetit illa brevi tempore cum caeteris quae tum celebrabantur sectis, eaeque fuerunt Sadducaeorum, Scribarum, Pharisaeorum, Hemerobaptistarum, Nazaraeorum, Ossenorum et Herodianorum, donec sua quaeque opportunitate ac tempore dissipata periit.

Postremo satis esse debet quod ex ipsamet illorum vesania, Cap. VI.
ipsisque adeo vocibus, quibus dogmata sua praedicant, contra letale eorum virus comparari remedium potest, ab eo qui prudentia aliqua sit praeditus, ut facile sordidam istorum doctrinam et loquacitatem condemnet. Praecipue ex eo quod tam in lege quam in evangelio sit a domino dictum, *Non habebis deos alios praeter me: Non usurpabis in iureiurando nomen alterius.* Exod. 20, 3. At in evangelio praecipit, *Non iurare, neque coelum, neque terram, neque aliud iusiurandum, sed esto vobis iurisiurandi instar, Etiam, etiam, et Non, non; quod enim abundantius iis est a malo est.* Matth 5, 34. Equidem idcirco dominum de ea re sanxisse crediderim, quod existere certi homines deberent qui alia usurpare in deierando nomina suaderent. Ac primum statuisse, non esse iurandum penitus, ne dominum quidem ipsum, neque aliud ullum iusiurandi genus concipiendum. Mali enim est omnino iurare. Proinde malus est qui per Elxai locutus est; qui non modo deierare per deum cogit, verum etiam per salem, aquam, aethera, ventum, terram, atque coelum. Atque hae duae rationes a me obiter explicatae sufficiunt, ut contra illius errores quilibet, qui quidem curari velit, paratum antidotum habeat. Quamobrem nugis istius haeresis ac subdola cavillatione praetermissa ad VII earum quae tum apud Iudaeos vigebant redarguendam me conferam. Ea est eiusmodi.

## ADVERSUS HERODIANOS.

### Quae est haeresis Iudaismi VII., ordine XX.

Septima post superiores illas Herodianorum haeresis est. Qui Cap. I.
nihil diversum a reliquis habuerunt et Iudaei meri sunt, inertes iidem ac simulatores. Qui Herodem Christum dominum esse dice-

etiam Ἀρχεῖ τέως δὲ ἔχειν.

τῶν προςδοκώμενον, νομίσαντες αὐτὸν εἶναι τὸν Ἡρώδην Χριστὸν, καὶ ἐπ' αὐτῷ ἀπατώμενοι ἐσεμνύνοντο τῷ Ἡρώδῃ, ἐκ τοῦ ῥητοῦ συναρπασθέντες, μετὰ τοῦ καὶ εἰς χάριν τοῦ τότε βασιλέως κενοδοξῆσαι, τοῦ εἰρημένου, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· ὡς δὲ ἔχει τὰ ἄλλα ἀντίγραφα, ἕως ἔλθῃ ᾧ τὰ ἀποκείμενα. Ἐπειδήπερ ὁ Ἡρώδης υἱὸς Ἀντιπάτρου ἐτύγχανεν Ἀσκαλωνίτου τινὸς ἱεροδούλου Ἀπόλλωνος τοῦ εἰδώλου, οὗ ὁ πατὴρ τοῦ αὐτοῦ Ἀντιπάτρου Ἡρώδης μὲν ἦν τοὔνομα, υἱὸς δὲ ἦν οὗτος τοῦ Ἀντίπα· αἰχμάλωτος δὲ ἐλήφθη ὑπὸ Ἰδουμαίων ὁ αὐτὸς Ἀντίπατρος, κἀκεῖσε ἐν τῇ Ἰδουμαίᾳ διατρίβων ἐγέννησε τὸν Ἡρώδην. Τοῦ δὲ πατρὸς πένητος ὄντος καὶ μὴ δυναμένου λύτροις ῥύσασθαι τὸν υἱὸν, λέγω δὴ τὸν Ἀντίπατρον, ἔμεινεν ἐν πολλῷ τῷ χρόνῳ δουλεύων· ὕστερον δὲ ἐλυτρώθη ἐξ ἐράνου τῶν πολιτῶν σὺν τῷ παιδὶ Ἡρώδῃ, καὶ μετῆλθεν εἰς τὰ οἰκεῖα. Διόπερ τινὲς αὐτὸν λέγουσιν Ἰδουμαῖον, ἄλλοι δὲ Ἀσκαλωνίτην ἴσασιν· ὕστερον δὲ ἐφιλιώθη Δημητρίῳ, καὶ ἐπίτροπος κατέστη ἐπὶ τῆς Ἰουδαίας, ἐν γνώσει τε γέγονεν Αὐγούστῳ βασιλεῖ, καὶ ἀπὸ τοῦ ἐπιτροπεύειν προςηλυτεύει, περιτέμνεταί τε καὶ αὐτὸς, καὶ περιτέμνει Ἡρώδην τὸν υἱὸν, εἰς ὃν ἦλθεν ὁ κλῆρος τῆς τῶν Ἰουδαίων βασιλείας. Ἦν δὲ βασιλεὺς ἐν τῇ Ἰουδαίᾳ ὑπὸ [1] βασιλέα Αὔγουστον, αὐτὸς ὑπόσπονδος ὑπάρχων. Ἐπεὶ οὖν ἐξ ἀλλοφύλων οὗτος βασιλεύει, κατὰ διαδοχὴν δὲ διήρκεσεν ἀπὸ τοῦ Ἰούδα καὶ ἀπὸ τοῦ Δαβὶδ τὸ βασίλειον καὶ οἱ ἐκ τοῦ Ἰούδα ἄρχοντες καὶ πατριάρχαι, μετέστη δὲ τὸ βασίλειον εἰς ἀλλόφυλον, πιθανὸν ἔδοξεν ἐν τῇ ὑπολήψει τῶν πεπλανημένων τὸ ἀπατηθῆναι καὶ νομίσαι αὐτὸν Χριστὸν εἶναι, ἀπὸ τῆς ἀκολουθίας τοῦ προειρημένου
pag. 48. ῥητοῦ τοῦ, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται. Ὡς εἶναι τοῦτο παρ' αὐτοῖς νοητέον, ὅτι τούτῳ ἀπέκειτο, [2] φασίν. Ἐξέλιπον γὰρ ἐκεῖνοι, καὶ οὗτος οὐκ ἀπὸ γένους τοῦ Ἰούδα, ἀλλ' οὔτε ὅλως τοῦ Ἰσραὴλ ὑπάρχει. Τούτῳ δὲ ἀπέκειτο εἶναι Χριστόν.

Κεφ. β'. Ἀλλ' ἐλέγχει αὐτοὺς ἡ ἀκολουθία φάσκουσα ὅτι, Αὐτὸς προςδοκία ἐθνῶν, καὶ ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι. Ποῖον δὲ τῶν ἐθνῶν ἐπὶ Ἡρώδῃ ἤλπισε; ποία δὲ προςδοκία ἐθνῶν Ἡρώδην καραδοκεῖ; πῶς δὲ τὸ, Ἐκοιμήθη παρ' αὐτοῖς, ἐπληροῦτο, ὡς λέων, καὶ ὡς σκύμνος λέοντος, τίς ἐξεγερεῖ αὐτόν; ποῦ δὲ ἔπλυνεν ἐν αἵματι τὴν στολὴν αὐτοῖ ὁ Ἡρώδης, ἢ ἐν αἵματι σταφυλῆς τὸ περιβόλαιον αὐτοῦ, ὡς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὸ σῶμα αὐτοῦ ῥαντίσας αἵματι τῷ ἰδίῳ, καὶ ἐν αἵματι σταφυλῆς τὸ περιβόλαιον αὐτοῦ; Ἀλλὰ νόει ἃ λέγω. Δῴη γάρ σοι ὁ κύριος σύνεσιν ἐν πᾶσιν. Ἵνα γὰρ δείξῃ τὸ καθάρσιον τῆς τοῦ λαοῦ τοῦ κυρίου καταστάσεως, ἦλθε διὰ τοῦ ἰδίου αἵματος τῆς διδασκαλίας καθᾶραι τοὺς ὀδόντας τῶν ἀνθρώπων, τοὺς εἰς αἷμα κνίσης

Cap. I. — 1. βασιλεύειν edit. princ. 2. Vulgo φησιν, quod vitium est usitatissimum.

bant. Eum inquam Christum qui in scripturis omnibus ac prophetis expectabatur, esse Herodem existimabant, deque eo falsa quadam animi inductione gloriabantur. Ac praeterquam quod in illius regis gratiam vane ista iactabant, etiam ipsis scripturae ille locus imposuit: *Non desinet princeps e Iuda, neque dux ex eius femore, donec veniat cui reservatum est,* vel ut in aliis exemplis legimus, *donec veniat cui sunt reservata.* Siquidem Herodes Antipatri cuiusdam Ascalonitae atque Apollinis aeditui filius fuit. Cuius insuper Antipatri parens Herodes nomine filius Antipae fuit. Antipater ab Idumaeis captus et in Idumaea degens Herodem suscipit. Qua in regione diu admodum in servitute vixit, quod eum Herodes pater ob inopiam redimere non posset. Tandem a popularibus collatitia pecunia una cum Herode filio liberatus postliminio in patriam revertitur. Quam ob caussam ab aliis Idumaeus, ab aliis Ascalonita fuisse proditus est. Postea cum ad Demetrii familiaritatem pervenisset, in Iudaea procurationem obtinuit. Tum etiam notus Augusto imperatori fuit. Atque ex illa procuratione proselytum se faciens una cum Herode filio circumcisus est, ad quem Iudaeorum regnum pervenit. Nam Augusto imperatori subiectus Iudaeorum ille rex populique Romani foederatus erat. Quamobrem quod ex aliena ille gente regnare coeperat, cum hactenus a Iuda et Davide regnum, atque ex Iudae stirpe principes ac patriarchae perstitissent, quod inquam imperium in externum hominem translatum fuerat, idoneum illis visum est erroris argumentum, ut Herodem esse Christum arbitrarentur, quod ex illo scripturae loco consequens videbatur: *Non desinet princeps e Iuda, donec venerit cui reservatum est.* Ut eo sensu sit accipiendus, quasi Herodi reservatum esset. Desierunt enim, aiebant, illi. Porro iste de Iudae genere non est, ac ne omnino quidem Israeliticae gentis. Huic autem Christo esse reservatum fuerat.

Gen. 49, 10.

Gen. 49, 10.

Verum quae sequuntur illos manifeste redarguunt: *Quoniam ipse expectatio gentium erit, et in eum gentes sperabunt.* Quaenam vero natio in Herodem speravit? aut quae gentium spes in expectando Herode defixa est? Ad haec qui tandem illud apud istos impletum est? *Dormivit ut leo ac velut leonis catulus: quis ipsum excitabit?* Ubinam denique lavit in cruore stolam suam, et amictum suum in uvae sanguine, quemadmodum Iesus Christus dominus noster, qui suo sanguine corpus aspersit, et uvae sanguine vestimenta sua tinxit? Tu vero quae a me dicuntur animo percipe. Dabit enim tibi dominus intelligentiam in omnibus. Quippe populi dei piaculum ut exhiberet, venit ille, quo per doctrinae suae velut sanguinem dentes hominum purgaret pecorum sanguine ac nidore ac detestandis sacri- Cap. II.

τε καὶ ἀθεμίτου θυσίας μεμολυσμένους. Καὶ τί μοι τὰ πλήθη λέγειν; Πολλὰ γάρ ἐστι, καὶ οὐκ ἐνδέχεται ὁ χρόνος πρὸς ἀντίθεσιν τῶν προειρημένων αἱρέσεων ἐπιμηκύνειν τὸν λόγον.

Κεφ γ'. Ἀλλ' [1] αὗται μὲν αἱ ἑπτὰ ἦσαν ἐν Ἰσραὴλ, ἔν τε τῇ Ἱερουσαλὴμ καὶ ἐν τῇ Ἰουδαίᾳ, αἱ δὲ τέσσαρες αἱ προειρημέναι παρὰ Σαμαρείταις ἐν τῇ Σαμαρείᾳ. Αἱ πλείους δὲ καθῃρέθησαν· οὐκέτι Γραμματεῖς, οὐκέτι Φαρισαῖοι, οὐκέτι Σαδδουκαῖοι, οὐκέτι Ἡμεροβαπτισταὶ, οὐκέτι Ἡρωδιανοὶ, μόνοι δέ τινες ἐν σπάνει εὑρίσκονται, [2] ἤ που εἷς, ἢ δύο Νασαρηνοὶ ὑπὲρ τὴν ἄνω Θηβαΐδα καὶ ἐπέκεινα τῆς Ἀραβίας, καὶ Ὀσσηνῶν τὸ [3] λεῖμμα, οὐκέτι ἰουδαΐζον, ἀλλὰ συναφθὲν Σαμψίταις, τοῖς κατὰ διαδοχὴν ἐν τῷ πέραν τῆς Νεκρᾶς θαλάσσης [4] ὑπερκειμένοις· νυνὶ δὲ τῇ τῶν Ἐβιωναίων αἱρέσει συνήφθησαν. Καὶ γέγονε λῆξαι μὲν αὐτοὺς ἀπὸ Ἰουδαϊσμοῦ, ὥσπερ δὲ ῥίζαν τμηθῆναι ἢ σῶμα ἑρπετοῦ, καὶ ἐξ αὐτοῦ φύναι δικέφαλον καὶ ἄριζον ὄφιν ἐν ἑνὶ σώματι ἡμιτόμῳ ἐκπεφυκὸς καὶ ἐξηρτημένον.

pag. 47. Ἕως ὧδε ἡ περὶ τῶν τεσσάρων αἱρέσεων τῶν Σαμαρειτῶν διαλογὴ καὶ ἑπτὰ τῶν Ἰουδαίων, ἐξ ὧν οὐκέτι ἐμφέρονται ἢ τρεῖς μὲν αἱ τῶν Σαμαρειτῶν, Γορθηνῶν τε καὶ Δοσιθέων καὶ Σεβουαίων, Ἐσσηνῶν δὲ οὐ πάνυ, ἀλλ' ὡς ἐν σκότῳ τεθαμμένων. Παρὰ δὲ τοῖς Ἰουδαίοις οὐκέτι, ἀλλ' ἡ Ἰουδαίων καὶ Νασαραίων· Ὀσσηνοὶ δὲ μετέστησαν ἀπὸ Ἰουδαϊσμοῦ εἰς τὴν τῶν [5] Σαμψέων αἵρεσιν, καὶ οὐκέτι οὔτε Ἰουδαῖοι ὑπάρχουσιν, οὔτε Χριστιανοί. Ταῦτά μοι περὶ τῶν προειρημένων ἕως ὧδε ἐχέτω.

---

## ΕΝΔΗΜΙΑ ΧΡΙΣΤΟΥ

καὶ ἔνσαρκος παρουσία, καὶ * ἀλήθεια προσώπων, ἡ μία καὶ μόνη οὖσα τοῦ θεοῦ πίστις.

Κεφ. α'. Εὐθὺς δὲ ἐπεδήμησε κατὰ πόδας ἡ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔνσαρκος παρουσία, ἥτις κατέλαβε τὰς προειρημένας ἑπτὰ αἱρέσεις ἐν Ἱεροσολύμοις· ἔσβεσε δὲ ταύτας ἡ αὐτοῦ δύναμις, καὶ διεσκέδασε. Λοιπὸν δὲ μετὰ τὴν αὐτοῦ ἐπιδημίαν αἱ μετέπειτα πᾶσαι γεγόνασιν αἱρέσεις, λέγω δὴ μετὰ τὸ εὐαγγελισθῆναι Μαριὰμ ἐν Ναζαρὲτ διὰ τοῦ Γαβριὴλ, καὶ μετὰ πᾶσαν ἁπλῶς τὴν ἔνσαρκον τοῦ κυρίου παρουσίαν, εἶτα ἀνάληψιν. Ηὐδόκησε γὰρ ὁ θεὸς πρὸς σωτηρίαν τῶν

Cap. III. — 1. *Correxi* αὗται *Cornarium secutus. Libri* αὐταὶ.
2. *Fortasse* εἴ που.
3. *Libri vulgo* λῆμμα.
4. *Libri vulgo habent* ὑπερκειμένης.
5. *Repone* Σαμψαίων, *uti supra haer.* 19, 2.

ficiis inquinatos. Quamquam quid attinet pluribus ista persequi? Infinita sunt enim neque me in superioribus refellendis haeresibus longiorem instituere sermonem temporis ratio patitur.

Ergo septem omnino haereses illae Hierosolymis atque in Iudaea fuerunt, quatuor vero a nobis antea commemoratae apud Samaritas et in Samaria viguerunt, sed iam magna ex parte collapsae sunt. Neque enim Scribae amplius ulli sunt, neque Pharisaei, neque Sadducaei, neque Hemerobaptistae, nec Herodiani supersunt. Pauci quidem duntaxat Nazareni, unus scilicet vel alter supra Thebaidem Superiorem aut Arabiam restant. Sed et Ossenorum nonnullae sunt reliquiae, quae cum a Iudaicis ritibus defecerint, se ad Sampsitas aggregarunt, quae factio ultra Mare Mortuum, quod Palaestinae imminet, constitutas a maioribus sedes obtinet; sed hodie Ebionitis adiuncti sunt. Ita factum videmus, ut et isti a Iudaica religione desciverint, et velut radix quaedam in duas partes scissa sit, serpentisve corpus, ex quo biceps anguis posteriorique parte mutilus dimidiato corpore adnatus pendensque prodierit. Cap. III.

Hactenus de IV Samaritanorum sectis, Iudaeorum VII; ex quibus Samaritanae duntaxat tres hoc tempore supersunt: Gorthenorum, Dositheorum, ac Sebuaeorum. Nam Essenorum velut in tenebris sepultorum obscura quaedam vestigia cernuntur. Ex Iudaicis soli Iudaei ac Nazaraei restant. Osseni a Iudaico ritu ad Sampscorum haeresin transfugerunt, ut neque Iudaei, neque Christiani sint. Haec habui quae de omnibus illis sectis hucusque dissererem.

---

## DE INCARNATIONE CHRISTI DOMINI,
### ac veritate personarum quae est unica ac singularis dei fides.

Sed e vestigio Christi Iesu domini nostri adventus cum eo quod susceperat corpore consecutus est; qui et VII illas haereses Hierosolymis offendit, et easdem sua vi dissipavit et extinxit. Quamobrem reliquae omnes haereses adventu illo posteriores fuerunt; nimirum postquam Maria virgo Nazarethi a Gabriele coelestem nuncium accepit, ac dominus humano corpore circumfusus prodiit, et in coelum receptus est. Etenim ad humani generis sa- Cap. I.

* *Correxi* ἀλήθεια προσώπων *cum Petavio. Cod. Rhedig. et edit. princ.* ἀλήθεια πρόσωπον. *In cod. Paris. desideratur vox* πρόσωπον, *teste Petavio. Etiam Cornarius in Interpretatione Latina illud* πρόσωπον *neglexit.*

ἀνθρώπων τὸν ἴδιον υἱὸν κατελθόντα ἐν μήτρᾳ παρθενικῇ συλληφθῆναι, λόγον ὄντα ἀπ' οὐρανοῦ, ἐκ κόλπων πατρῴων γεγεννημένον ἀχρόνως καὶ ἀνάρχως, ἐλθόντα δὲ ἐπ' ἐσχάτων τῶν ἡμερῶν, θεὸν λόγον ὄντα ἐκ θεοῦ πατρὸς ἀληθινῶς γεγεννημένον, ὁμοούσιον ὄντα τῷ πατρὶ, καὶ οὐδὲν παρὰ τὸν πατέρα ἠλλοιωμένον, ἀλλ' ἄτρεπτον ὄντα καὶ ἀναλλοίωτον, ἀπαθῆ τε ὅλως, μὴ πάσχοντα, συμπάσχοντα δὲ τῷ ἡμετέρῳ γένει, κατελθόντα ἀπ' οὐρανοῦ, ἐγκυμονηθέντα οὐκ ἀπὸ σπέρματος ἀνδρὸς, ἀλλὰ διὰ πνεύματος ἁγίου, ἀληθινῶς σῶμα ἀπὸ Μαρίας ἐσχηκότα, ἀναπλάσαντα ἑαυτῷ τὴν σάρκα ἀπὸ τῆς μήτρας τῆς ἁγίας, καὶ ψυχὴν τὴν ἀνθρωπείαν εἰληφότα, καὶ νοῦν, καὶ πᾶν [1] εἴ τί ἐστιν ἄνθρωπος χωρὶς ἁμαρτίας εἰς ἑαυτὸν τῇ ἑαυτοῦ θεότητι συνενώσαντα, γεγεννημένον τε ἐν Βηθλεὲμ, περιτμηθέντα ἐν τῷ σπηλαίῳ, προσενεχθέντα ἐν Ἱεροσολύμοις, ἐναγκαλισθέντα ὑπὸ τοῦ Συμεῶνος, ἀνθομολογηθέντα ὑπὸ Ἄννης τῆς τοῦ Φανουὴλ προφήτιδος, ἀπενεχθέντα εἰς Ναζαρὲτ, ἐλθόντα τῷ ἑξῆς ἐνιαυτῷ ὀφθῆναι ἐνώπιον κυρίου εἰς Ἱερουσαλὴμ, γενόμενόν τε ἐν Βηθλεὲμ διὰ τὴν συγγένειαν ὑπὸ τῆς μητρὸς βασταζόμενον, αὖθις πάλιν εἰς Ναζαρὲτ ἀπενεχθέντα, καὶ κατὰ δευτέραν περίοδον ἐνιαυτοῦ εἰς τὰ Ἱεροσόλυμα καὶ Βηθλεὲμ ἐληλυθότα, βασταζόμενον ὡσαύτως ὑπὸ τῆς ἰδίας μητρὸς, ἐν Βηθλεὲμ δὲ ἐν οἰκίᾳ κατελθόντα σὺν τῇ ἰδίᾳ μητρὶ καὶ Ἰωσὴφ γέροντι ὄντι, σὺν τῇ Μαρίᾳ δὲ ὄντι, κἀκεῖσε τῷ δευτέρῳ ἔτει αὐτοῦ γεννήσεως κατοπτευθέντα ὑπὸ τῶν Μάγων προσκυνηθῆναι δῶρα λαβόντα, καὶ ἐν αὐτῇ τῇ νυκτὶ ὑπ' ἀγγέλου τῷ Ἰωσὴφ χρηματίσαντος εἰς Αἴγυπτον παραληφθέντα, ἀπ' ἐκεῖθεν τε πάλιν διὰ δύο ἐτῶν ἐπανεληλυθότα, τελευτήσαντος τοῦ Ἡρῴδου, Ἀρχελάου τε διαδεξαμένου.

(pag. 48 at "χθέντα ἐν Ἱεροσολύμοις")

Κεφ. β'. Τῷ γὰρ τριακοστῷ τρίτῳ ἔτει Ἡρῴδου, τεσσαρακοστῷ δὲ δευτέρῳ Αὐγούστου βασιλέως γεννᾶται ὁ σωτὴρ ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. Κάτεισι δὲ εἰς Αἴγυπτον τῷ τριακοστῷ ἔτει καὶ πέμπτῳ Ἡρῴδου, ἄνεισι δὲ ἀπὸ τῆς Αἰγύπτου μετὰ τῆς Ἡρῴδου τελευτήν. Διὸ ἐπὶ τριάκοντα καὶ ἑπτὰ ἔτεσι τῆς αὐτῆς τοῦ Ἡρῴδου ἀρχῆς ἦν ὁ παῖς τεσσάρων ἐτῶν, ὅτε Ἡρῴδης τριακονταεπτὰ ἔτη πληρώσας κατέστρεψε τὸν βίον. Ἀρχέλαος δὲ ἐννέα ἔτη βασιλεύει, οὗ ἐν ἀρχῇ τῆς βασιλείας ἐξιὼν Ἰωσὴφ ἀπ' Αἰγύπτου ἅμα τῇ Μαρίᾳ καὶ τῷ παιδὶ, ἀκούσας τὸν Ἀρχέλαον βασιλεύειν, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας, καὶ κατῴκισε τότε εἰς Ναζαρέτ. Ἀρχέλαος δὲ γεννᾷ τὸν Ἡρῴδην τὸν νεώτερον, καὶ βασιλεύει Ἡρῴδης τῷ ἐννάτῳ ἔτει τῆς τοῦ πατρὸς Ἀρχελάου βασιλείας κατὰ διαδοχὴν, καὶ γέγονε τῷ αὐτῷ δεκατρία ἔτη λογιζόμενα τῇ ἐνσάρκῳ Χριστοῦ παρουσίᾳ. Ὀκτωκαιδεκάτῳ δὲ ἔτει Ἡρῴδου τοῦ ἐπικληθέντος Ἀγρίππου, τότε ἤρξατο ὁ Ἰησοῦς τοῦ κηρύγματος, καὶ τὸ βάπτισμα τὸ ἀπὸ Ἰωάννου τότε λαμβάνει, καὶ κηρύσσει ἐνιαυτὸν

Cap. I. — 1. ὅ τι correxit *Ioseph. Scaliger.*

lutem ita deo visum est, ut ipsius filius e coelo delapsus in virginis utero gigneretur, verbum inquam illud aeternum, quod e paterno sinu ante tempus atque initium omne genitum est, idemque extremis temporibus allapsum deus verbum a deo patre revera genitus, eiusdemque cum illo essentiae, nec ulla re a patre mutatus, sed vicissitudinis ac mutationis et affectionis omnis expers. Qui cum citra ullam animi commotionem generis nostri misertus foret, descendit e coelo, ac de spiritu sancto, non e virili semine, productus verum corpus e Maria suscepit, cum e sancto eius utero carnem sibi finxisset, humanamque tum animam, tum mentem induisset, ac quicquid omnino cum homine coniunctum est, praeter peccatum secum ac cum divinitate sua copulasset. Inde Bethleemi in lucem editus, atque in specu circumcisus Hierosolymis oblatus est, ibique a Symeone inter brachia susceptus, et ab Anna Phanuelis filia prophetissa praedicatus, Nazarethum deportatus est. Tum anno sequenti Hierosolymis se coram deo repraesentavit, atque inde Bethleemum propter generis propinquitatem a matre delatus est. Sed rursum Nazarethum rediens anno altero vertente Hierosolyma Bethleemumque gestante matre perductus est. Bethleemi porro cum ad aedes quasdam cum matre ac Iosepho divertisset, qui iam grandi natu cum Maria degebat, secundo ab nativitate anno a Magis adorandi caussa conventus ac donis ornatus est. Eadem vero nocte, cum Iosephus per somnium ab angelo esset admonitus, in Aegyptum transfertur. Unde rursus post biennium mortuo iam Herode ac succedente Archelao revertitur.

Siquidem anno Herodis XXXIII., Augusti XXXXII., Bethleemi in Iudaea salvator nascitur. Tum Herodis XXXV. in Aegyptum profectus est. Eodem Herode mortuo ab Aegypto rediit. Quare necesse est XXXVII. Herodis anno quartum aetatis suae puerulum egisse, cum Herodes, inquam, septem ac triginta confectis annis vivendi finem habuit. Post hunc Archelaus novem annis imperavit, quo regnum ineunte Iosephus ex Aegypto cum Maria ac puero digressus, ubi Archelaum imperare didicit in Galilaeam secessit, ac tum Nazarethi consedit. Caeterum Archelaus Herodem iuniorem genuit, qui nono patris anno in imperium successit. Idemque annus a nativitate Christi XIII. numerandus est. Octavo decimo anno Herodis Agrippae Iesus Christus promulgare divinum verbum aggressus est, ac cum Ioannis baptismo initiatur; tum annum illum acceptum in ea praeconii functione consumit, Cap. II.

δεκτὸν, ὑπ' οὐδενὸς ἀντιλεγόμενος, οὔτε ὑπὸ Ἰουδαίων, οὔτε ὑπὸ Ἑλλήνων, οὔτε ὑπὸ Σαμαρειτῶν, οὔτε [1] ἀπό τινος ἑτέρου. Ἔπειτα ἀντιλεγόμενος ἐκήρυξεν ἐνιαυτὸν δεύτερον, καὶ γέγονεν ἐννεακαίδεκα ἔτη τῷ αὐτῷ Ἡρώδῃ, τῷ δὲ σωτῆρι τριακοστὸν δεύτερον. Ἐν δὲ τῷ εἰκοστῷ ἔτει τοῦ Ἡρώδου τοῦ τετράρχου καλουμένου γίνεται τὸ σωτή-
pag. 49. ριον πάθος καὶ ἡ ἀπάθεια, [2] ἀθανάτου γεῦσίς τε θανάτου, ἄχρι σταυροῦ πάσχοντος ἐν ἀληθείᾳ, ἀπαθοῦς δὲ μένοντος ἐν θεότητι. Χριστοῦ γὰρ παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, φησὶν ἡ γραφή· καὶ πάλιν, Θανατωθεὶς σαρκὶ, ζωογονηθεὶς δὲ πνεύματι, καὶ τὰ ἑξῆς. Σταυροῦται, θάπτεται, κατέρχεται εἰς τὰ καταχθόνια ἐν θεότητι καὶ ἐν ψυχῇ, αἰχμαλωτεύει τὴν αἰχμαλωσίαν, καὶ ἀνίσταται τῇ τρίτῃ ἡμέρᾳ σὺν αὐτῷ τῷ ἁγίῳ σώματι, συνενώσας τὸ σῶμα τῇ θεότητι, μηκέτι λυόμενον, μηκέτι πάσχον, μηκέτι ὑπὸ θανάτου κυριευόμενον, ὥς φησιν ὁ ἀπόστολος, Θάνατος αὐτοῦ οὐκέτι κυριεύει.

Κεφ. γ'. Αὐτὸ τὸ σῶμα ἀληθινῶς, αὐτὴν τὴν σάρκα, αὐτὴν τὴν ψυχὴν, αὐτὰ τὰ πάντα, οὐκ ἄλλο τι παρὰ τὸ ὂν σῶμα, ἀλλ' αὐτὸ τὸ ὂν ἐνδυναμώσας, εἰς μίαν ἑνότητα, εἰς μίαν θεότητα, τὸ σαρκικὸν ἄφθαρτον, τὸ σωματικὸν πνευματικὸν, τὸ παχυμερὲς λεπτομερὲς, τὸ θνητὸν ἀθάνατον, μὴ ἑωρακὸς ὅλως διαφθορὰν, μὴ καταλειφθείσης τῆς ψυχῆς ἐν ᾅδῃ, μὴ μερισθέντος τοῦ ὀργάνου πρὸς ἁμαρτίαν, μὴ χρανθέντος τοῦ νοῦ τροπῇ, ἀλλὰ τὰ ὅλα μὲν ἀνθρώπου λαβὼν, φυλάξας δὲ ὅλα τέλεια ἐπιδεδωκυίας τῆς θεότητος τῇ ἀληθινῇ ἐνανθρωπήσει πρὸς τὰς εὐλόγους χρείας, λέγω δὴ τὰς ἐκ σώματός τε καὶ ψυχῆς καὶ ἐκ νοῦ ἀνθρωπίνου ἐπιζητουμένας τὴν πληροφορίαν, τουτέστι πείνῃ καὶ δίψει, κλαυθμῷ τε καὶ ἀθυμίᾳ, δακρύσει τε καὶ ὕπνῳ καὶ ἀναπαύσει. Ταῦτα γὰρ οὐχ ἁμαρτίας εἶδος, ἀλλ' ἐνανθρωπήσεως ἀληθεστάτης γνώρισμα, ἀληθείᾳ τῆς θεότητος συνούσης τῇ ἀνθρωπότητι, οὐ τὰ ἀνθρώπινα πασχούσης, [1] ἀλλὰ τῆς θεότητος συνευδοκούσης εἰς τὰ εὔλογα καὶ τὰ ἐκτὸς ἁμαρτίας καὶ τροπῆς ἀπηγορευμένης. Ἀνέστη, καὶ θυρῶν κεκλεισμένων εἰςῆλθεν, ἵνα τὸ παχυμερὲς λεπτομερὲς ἀποδείξῃ, αὐτὸ τὸ ὂν σὺν σαρκὶ καὶ ὀστέοις. Μετὰ γὰρ τὸ εἰςελθεῖν ἔδειξε χεῖρας καὶ πόδας καὶ πλευρὰν νενυγμένην, ὀστέα τε καὶ νεῦρα, καὶ τἄλλα, ὡς μὴ εἶναι φαντασίαν τὰ ὁρώμενα. Πίστεώς τε καὶ ἐλ-
pag. 50. πίδος τῆς ἡμετέρας τὴν ὑπόσχεσιν ἐποιεῖτο δι' ἑαυτοῦ τὰ ὅλα τελείως.

Cap. II. — 1. *Fortasse* ὑπό.
2. ἀθανάτου γεῦσίς τε θανάτου *mea est emendatio. Libri habent* ἢ θανάτου γεῦσις, γεῦσίς τε θανάτου, ἄχρι *cett.*
Cap. III. — 1. *Vertit Cornarius:* „Sed deitate simul in ea quae honesta sunt et fieri oportebat consentiente ac comprobante, et ea quae extra peccatum sunt et mutationem interdictam."

nullo neque Iudaeorum, neque gentilium, neque Samaritanorum, neque alterius generis repugnante. Secundo praeconii coelestis anno quamplurimos obtrectatores habuit; qui quidem Herodis eiusdem XIX., Christi XXXII. extitit. Demum XX. tetrarchae Herodis anno Christus dominus ob humani generis salutem passus, atque eodem tempore nihil passus est, tum cum mortem degustans ipsum etiam crucis supplicium subiit, cum interim nihil ipsa divinitate pateretur. *Christo enim*, ait scriptura, *pro nobis in carne passo.* 1. Petr. 4, 1.
Rursumque: *Mortificatus carne, vivificatus autem spiritu*, et quae 1. Petr. 3, 18.
sequuntur. In cruce suspenditur, sepelitur, ad inferos cum divinitate sua animaque descendit, captivam ducit captivitatem ac tertio die cum sanctissimo suo corpore ad vitam excitatur. Quod quidem corpus neque dissolvendum amplius, nec passurum, nec sub mortis dominatum postea cessurum cum sua divinitate coniunxit. Id quod apostoli testimonio comprobatur: *Mors*, inquit, *non amplius ei do-* Rom. 6, 9.
*minabitur*.

Hoc igitur ipsum corpus, carnem ipsam et animam, ipsa quibus Cap. III.
constabat omnia, non aliud quicquam praeter verum corpus, sed ipsummet illud vi coelesti perfudit, et in unum idemque, in unam inquam divinitatem consociavit, ut et carne constans et incorruptum, corporeum simul ac spirituale, concretum ac tenue, mortale pariter atque immortale illud esset, quod nulla omnino tabe dissolutum fuerat, neque eius anima apud inferos relicta, nec ipsum velut instrumentum quoddam aliqua ex parte peccati in obsequium impensum, neque mens ulla erat in deterius mutatione polluta. Sed ita sibi omnia quae hominum propria sunt adscivit, eadem ut integra servaret, quae verae illi quam sibi conciliaverat naturae necessarios ad usus divinitas concesserat, usus nimirum illos, qui ut esse penitus possint partim corporis egent, partim animi, atque humanae mentis adminiculo, cuiusmodi sunt fames, sitis, fletus ac dolor, lacrymae, somnus ac requies. Haec enim omnia nulla infuscata peccati specie, susceptae reipsa naturae hominis argumenta continent, qua cum vere consociata divinitas humanum tamen patitur nihil, tametsi quae rationi consentanea forent, et ab omni scelere atque in peius mutatione procul essent, admiserit. Ad haec excitatus a morte Christus oc- Ioann. 20, 26.
clusis ianuis ingressus est, uti quod hactenus crassum concretumque fuerat corpus eadem cum carne ossibusque tenue ac subtile esse monstraret. Statim enim atque introgressus est manus ac pedes, et confossum latus cum ossibus ac nervis ostendit; adeo quae tum videbantur solida erant, nec specie tenus extabant. Quibus rebus eorum omnium, quae fidei speique nostrae proposita sunt, promisso-

*Καὶ συναλίζεται οὐ δοκήσει, ἀλλὰ ἀληθείᾳ, παιδεύων τε ἐδίδαξε βασιλείαν οὐρανῶν κηρύσσειν ἐν ἀληθείᾳ, τὸ μέγα καὶ κορυφαιότατον σημαίνων τοῖς μαθηταῖς, καὶ λέγων, Μαθητεύσατε τὰ ἔθνη, τουτέστι μεταβάλλετε τὰ ἔθνη ἀπὸ κακίας εἰς ἀλήθειαν, ἀπὸ αἱρέσεων εἰς μίαν ἑνότητα· βαπτίσατε αὐτοὺς εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, εἰς τὴν κυριακὴν ὀνομασίαν τῆς τριάδος, τὴν ἁγίαν καὶ βασιλικὴν [2] σφραγῖδα· ἵνα δείξῃ ἐκ τοῦ ὀνόματος μηδεμίαν ἀλλοίωσιν εἶναι τῆς μιᾶς ἑνότητος. Ὅπου γὰρ οἱ βαπτιζόμενοι κελεύονται ὑπ' αὐτοῦ εἰς ὄνομα πατρὸς, ἀσφαλὴς ἡ δοξολογία· εἰς ὄνομα υἱοῦ, οὐκ ἀποδέοντος ἡ ἐπίκλησις· εἰς ὄνομα ἁγίου πνεύματος, οὐ διῃρημένος ὁ σύνδεσμος, οὔτε ἀπηλλοτριωμένος, τῆς μιᾶς θεότητος ἔχων τὴν [3] σφραγῖδα.*

Κεφ. ϛʹ. *Καὶ ἀνελήφθη εἰς οὐρανὸν ἐν αὐτῷ τῷ σώματι καὶ τῇ ψυχῇ καὶ τῷ νῷ, συνενώσας εἰς μίαν ἑνότητα καὶ μίαν πνευματικὴν ὑπόστασιν, καὶ ἔνθεον ἀποτελέσας ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρὸς, πέμψας κήρυκας εἰς ὅλην τὴν οἰκουμένην, Σίμωνα Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, Ἰάκωβον καὶ Ἰωάννην τοὺς υἱοὺς Ζεβεδαίου, οὓς πάλαι ἐξελέξατο, Φίλιππον καὶ Βαρθολομαῖον, Ματθαῖον, Θωμᾶν τε καὶ Ἰούδαν, καὶ Θαδδαῖον, Σίμωνα τὸν Ζηλωτήν. Ἰούδας γὰρ ὁ Ἰσκαριώτης, εἰ καὶ πρώην ἐν τοῖς δώδεκα ἐψηφίζετο, προδότης γενόμενος ἀπετμήθη τοῦ ἁγίου τῶν ἀποστόλων καταλόγου. Ἀπέστειλε δὲ καὶ ἄλλους ἑβδομηκονταδύο κηρύττειν, ἐξ ὧν ἦσαν οἱ ἑπτὰ οἱ ἐπὶ τῶν χηρῶν τεταγμένοι, Στέφανος, Φίλιππος, [1] Πρόχορος, Νικάνωρ, Τίμων, Παρμενᾶς, καὶ Νικόλαος, πρὸ τούτων δὲ Ματθίας, ὁ ἀντὶ Ἰούδα συμψηφισθεὶς μετὰ τῶν ἀποστόλων, μετὰ τούτους δὲ τοὺς ἑπτὰ, καὶ Ματθίαν τὸν πρὸ αὐτῶν, Μάρκον, Λουκᾶν, Ἰοῦστον, Βαρνάβαν, καὶ Ἀπελλῆν, Ῥοῦφον, Νίγερα, καὶ τοὺς λοιποὺς τῶν ἑβδομηκονταδύο, μετ' αὐτοὺς δὲ πάντας καὶ σὺν αὐτοῖς Παῦλον τὸν ἅγιον ἀπόστολον διὰ φωνῆς ἰδίας ἀπ' οὐρανοῦ ἀπόστολον ὁμοῦ καὶ κήρυκα ἐθνῶν καὶ πληρωτὴν ἀποστολικῆς διδασκαλίας ἐξελέξατο, ὃς εὑρίσκεται τὸν ἅγιον Λουκᾶν,*
pag 61. *ὄντα τῶν ἑβδομηκονταδύο τῶν ἐσκορπισμένων, ἐπιστρέψας καὶ ἀκόλουθον ἑαυτῷ ποιήσας, συνεργὸν τοῦ εὐαγγελίου ὁμοῦ καὶ ἀπόστολον. Καὶ οὕτως ἐτελέσθη ἡ πᾶσα εὐαγγελικὴ πραγματεία, ἕως τούτου τοῦ χρόνου.*

*Ἔσται δέ μοι ὁ λόγος [2] ἕως ὧδε περὶ τῶν ἕνδεκα αἱρέσεων καὶ τῆς κατὰ δύναμιν ἀκολουθίας ἐν συντόμῳ μοι εἰρημένης, εὐαγγελικῆς*

2. σφραγῖδα cod. *Rhedig.* et edit. princ.

3. σφραγῖδα cod. *Rhedig.* et edit. princ. *Ubique.*

rum per sese veritatem penitus approbavit. Postea non ficta duntaxat imagine, sed reipsa cum suis epulatus eosdem instituit, ac coeleste regnum cum veritate nunciare docuit, tum cum maximum illud longeque praecipuum arcanum discipulis aperuit. *Docete*, inquit, *omnes gentes*. Hoc est: Ab improbitate illas ad veritatem, ab sectis variis ad eiusdem dogmatis communionem traducite. *Baptizate eas in nomine patris, et filii, et spiritus sancti;* nimirum in dominica trinitatis appellatione, quod ipsum sacrosanctum est ac regium signum; quo vel ipso nomine significaret nihil esse ab unitate diversum. Cum enim baptizari homines iubet *in nomine patris*, firma ac stabilis est gloriae praedicatio. Quod vero additur *in nomine filii*, nulla re hunc a paterna dignitate deficere appellatio ipsa declarat. Postremo iis in verbis, *in nomine spiritus sancti*, nulla est coniunctionis divisio, varietas nulla, sed unius divinitatis velut signum repraesentat. Matth. 28, 19.

Denique eodem cum corpore et anima menteque ad superos Cap. IV. evectus est, omnibus illis in unum conflatis atque in eandem spiritualem personam concurrentibus, divinisque redditis. Inde mox ut ad patris dextram consedit, praecones in universum orbem dimisit, Simonem Petrum, et Andream eius fratrem, Iacobum et Ioannem Zebedaei filios, quos olim delegerat, Philippum et Bartholomaeum, Matthaeum, Thomam, et Iudam, ac Thaddaeum, ac Simonem Zeloten. Nam Iscariotes Iudas etsi hactenus ad XII adscriptus fuerat, posteaquam proditorem se fecit, ab sacro apostolorum numero est expunctus. Praeter hos LXXII alios ad eandem functionem allegat, e quibus VII illi fuere qui ad viduarum obsequium delecti sunt: Ste- Act. 6, 5. phanus, Philippus, Prochorus, Nicanor, Timon, Parmenas, et Nicolaus, et ante hos Matthias, qui loco Iudae inter apostolos cooptatus est. Ad septenos illos ac Matthiam, Marcum insuper, et Lucam, Iustum, Barnabam, Apellem, Ruffum, Nigrum, ac reliquos, uti diximus, LXXII adiecit. Quibus cum etiam sanctum Paulum suapte de coelo voce missa apostolum gentium ac praeconem, et apostolicae doctrinae consummatorem instituit. Qui quidem sanctum Lucam, ut memorant, unum e LXXII discipulis, qui varias in regiones dissipati fuerant, reduxit, eumque comitem et adiutorem evangelii simul et apostolum adhibuit. Hoc modo totum evangelii negotium ad id usque temporis confectum est.

Atque hactenus de XI sectis, deque eo quod ordine consecutum est, et a me pro virium captu paucis explicatum, evangelica

Cap. IV. — 1. Πρόχωρος *cod. Rhedig. et edit. princ.* 2. ὡς *cod. Venet.*

φωταγωγίας τῆς ἐν κόσμῳ δι' αὐτοῦ καὶ τῶν μαθητῶν αὐτοῦ γεγενημένης· [3] οἷς τὰ ὅμοια συλλέξαι, καὶ παραθέσθαι τὰ προθεσπίσματά τε καὶ τὰς προφητείας ἀπὸ νόμου τε καὶ ψαλμῶν, καὶ τῶν ἄλλων τὰς ἀκολουθίας καὶ [4] τὰς ἀγωγὰς ἔνεστιν ἰδεῖν, καὶ τὴν ἀκρίβειαν καταλαβέσθαι, ὡς οὐ νόθος, ἀλλ' ἀληθὴς, καὶ [5] προκαταγγελθεῖσα ἀπὸ τῆς παλαιᾶς διαθήκης ἀναμφίβολός ἐστιν ἡ ἔνσαρκος Χριστοῦ παρουσία καὶ εὐαγγελικὴ διδασκαλία. Ἵνα δὲ μὴ εἰς ὄγκον παρεκτείνω τὴν τῆς συντάξεως πραγματείαν, τούτοις ἀρκεσθήσομαι. Προϊὼν δὲ ἐφεξῆς τὰς μετέπειτα τῷ βίῳ ἐπιφυείσας ἐπὶ κακῇ προφάσει δόξας ὁμοίως διαγορεύσω, ἤδη τὰς ἕνδεκα τὰς ἀπὸ [6] Ἰουδαίων καὶ Σαμαρειτῶν, καὶ τὰς πρὸ αὐτῶν ἐννέα ἐξ Ἑλλήνων καὶ βαρβάρων καὶ τῶν ἄλλων γενομένας πρὸ τῆς τοῦ κυρίου παρουσίας, καὶ ἕως αὐτοῦ τοῦ χρόνου μετρίως ἀπαριθμησάμενος.

## ΠΕΡΙ *ΝΑΖΩΡΑΙΩΝ, ΗΤΟΙ ΧΡΙΣΤΙΑΝΩΝ.

Κεφ. α'. Ναζωραίων, ὅ ἐστι Χριστιανῶν ὁ κληθεὶς ἐν ὀλίγῳ χρόνῳ ὑπὸ Ἰουδαίων Χριστιανισμὸς, καὶ ὑπ' αὐτῶν τῶν ἀποστόλων, λέγοντος Πέτρου, Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἐκ τοῦ Θεοῦ, καὶ τὰ ἑξῆς, ὕστερον δὲ ἀπὸ Ἀντιοχείας ἀρξάμενος καλεῖσθαι Χριστιανισμός. Ἔστι δὲ καὶ φύσει αἵρεσις Ναζωραίων, περὶ ὧν καθεξῆς λέξομεν κατὰ τὸν καιρὸν τῆς ἀκολουθίας.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΟΜΟΥ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.

3. οἷς cod. Venet. Vulgo οὓς.
4. τὰς om. cod. Venet.
5. προκαταγγελθεῖσα cod. Venet. Vulgo προκαταγγελθεὶς.

scilicet luce, quae a Christo domino Christique discipulis orbi terrarum illata fuit. Quibus a me dictis consentanea pleraque colligere licet, ac vaticinia et oracula ex lege veteri, vel Psalmis aliisque libris conquirere, et omnium seriem, ordinemque perscrutari, ex iisque incarnationem Christi domini perspicue comprobare non suppositiliam, sed veram extitisse, atque in lege veteri nunciatam, ut de eo nullus sit dubitandi locus relictus. Sed ne huius operis tractatio in infinitum excrescat, his quae dicta sunt erimus contenti. Ac deinceps opiniones illas, quae in hominum vitam postea pessimo colore ac specie prolatae sunt, eadem serie pertexam, posteaquam XI Iudaeorum Samaritanorumque sectas cum superioribus IX, quae partim e Graecis, partim ex barbaris aliisque conflatae sunt ante salvatoris adventum, ad haec usque tempora habita brevitatis ratione percensui.

## DE NAZARENIS, SIVE CHRISTIANIS.

Nazaraeorum sive Christianorum est qui a Iudaeis brevi inter- Cap. I.
iecto tempore vocatus est Christianismus, et ab ipsis adeo apostolis id nomen obtinuit, cum ita Petrus locutus sit: *Iesum Nazarenum vi-* Act. 2, 22.
*rum probatum a deo* etc. Postea vero Antiochiae Christianismus appellari coepit. Est et alia proprie Nazaraeorum secta de quibus suo loco disputabimus.

FINIS TOMI I. LIBRI I.

6. ἰουδέων *cod. Venet., pro more.* * ΝΑΣΩΡΑΙΩΝ *edit. Petav.*

pag. 52.

## ΤΑΔΕ ΕΝΕΣΤΙ ΚΑΙ ΕΝ ΤΟΥΤΩΙ ΤΩΙ ΔΕΥΤΕΡΩΙ ΤΟΜΩΙ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ, ΕΝ Ω ΕΙΣΙΝ ΑΙΡΕΣΕΙΣ ΔΕΚΑΤΡΕΙΣ, ΟΥΤΩΣ.

*α΄. Σιμωνιανοὶ, οἱ ἀπὸ Σίμωνος τοῦ Μάγου, τοῦ ἐπὶ Πέτρου τοῦ ἀποστόλου, κώμης Γιτθῶν τῆς Σαμαρείας. Οὗτος ἀπὸ Σαμαρειτῶν ὡρμᾶτο, Χριστοῦ δὲ ὑπέδυ ὄνομα μόνον. Ἐδίδαξε δὲ αἰσχροποιΐαν, [1] μίξιν μολυσμοῦ, γυναικῶν [2] ἀδιαφορίαν. Σωμάτων δὲ ἀποβάλλεται τὴν ἀνάστασιν, καὶ τὸν κόσμον μὴ εἶναι θεοῦ φάσκει. Εἰκόνα δὲ αὐτοῦ ὡς Διὸς, καὶ τῆς σὺν αὐτῷ πόρνης, ὀνόματι Ἑλένης, Ἀθηνᾶς τύπον τοῖς ἑαυτοῦ μαθηταῖς παρεδίδου εἰς προσκύνησιν. Ἔλεγε δὲ ἑαυτὸν Σαμαρείταις μὲν τὸν πατέρα, Ἰουδαίοις δὲ τὸν Χριστόν.*

*β΄. Μενανδριανοὶ, οἱ ἀπὸ τούτου τοῦ Σίμωνος διὰ Μενάνδρου τινὸς ἐναρξάμενοι, διαφερόμενοί τε πρὸς τοὺς Σιμωνιανοὺς κατά τι· ὃς ἀπὸ ἀγγέλων [3] ἔλεγε τὸν κόσμον γεγενῆσθαι.*

*γ΄. Σατορνιλιανοὶ, οἱ κατὰ τὴν Συρίαν τὴν τῶν Σιμωνιανῶν κρατύνοντες αἰσχρολογίαν, [4] ἕτερα δὲ παρὰ τοὺς Σιμωνιανοὺς εἰς ἔκπληξιν περισσοτέραν κηρύσσοντες, ἀπὸ δὲ Σατορνίλου τὴν ἀρχὴν ἐσχηκότες, ὃς καὶ αὐτὸς κατὰ Μένανδρον ὑπ' ἀγγέλων τὸν κόσμον γεγενῆσθαι ἔφασκε, μόνων δὲ ἑπτὰ, [5] παρὰ τὴν τοῦ ἄνω πατρὸς γνώμην.*

*δ΄. Βασιλειδιανοὶ οἱ τῆς αὐτῆς αἰσχρουργίας τελεσταὶ, ἀπὸ Βασιλείδου τοῦ ἅμα Σατορνίλῳ τοῖς Σιμωνιανοῖς καὶ Μενανδριανοῖς [6] μεμαθητευμένου, τὰ ὅμοια [7] μὲν φρονοῦντος, κατά τι δὲ διαφερομένου. Λέγει δὲ τριακοσίους ἑξηκονταπέντε οὐρανοὺς εἶναι, καὶ τούτοις ὀνόματα ἀγγελικὰ ἐκτίθησι. Διὸ καὶ τὸν ἐνιαυτὸν τοσούτων ἡμερῶν εἶναι, καὶ τὸ Ἀβρασὰξ ὄνομα δυνάμεως, ὃ φέρει ψῆφον τξε΄. Καὶ εἶναί φησι τοῦτο [8] τὸ ἅγιον πνεῦμα ὄνομα.*

*ε΄. Νικολαῖται, ἀπὸ Νικολάου τοῦ ἐπὶ ταῖς χήραις ὑπὸ τῶν ἀποστόλων ταχθέντος, ὃς διὰ ζῆλον τῆς ἰδίας γαμετῆς τὴν αἰσχρουργίαν ἅμα*

1. τὴν μίξιν *cod. Vatic.*
2. ἀδιαφρονίαν *cod. Vatic.*
3. ἔλεγον *cod. Vatic.*
4. *Editi libri et cod. Rhedig.* ἑτέρα.
5. παρὰ *cod. Vatic. Et ita in Anacephal.* διὰ *habent editi libri et cod. Rhedig.*

## INDICULUS EORUM QUAE IN TOMO II. LIB. I. CONTINENTUR, QUI HAERESES COMPLECTITUR XIII, HOC ORDINE.

I. Simoniani a Simone Mago cognominati, qui apostoli Petri temporibus vixit, e Gitthis vico quodam oriundus. Iste cum esset Samaritanus, Christum nomine tenus professus est, auctor nefandae obscenitatis et inquinatissimi concubitus. Praeterea promiscuas uxores esse voluit. Corpora negat resurgere, nec a deo mundum fabricatum esse statuit. Imaginem porro suam scortique sui, nomine Helenae, sub Minervae specie discipulis adorandam obtrusit. Apud Samaritas pro deo patre se venditans Iudaeis Christum se esse dicebat.

II. Menandriani ab eodem illo Simone per Menandrum quendam originem traxerunt, nonnullisque in rebus a Simonianis discrepant. Menander porro mundum ab angelis fuisse productum asseruit.

III. Saturniliani in Syria Simonianorum turpitudinem auxerunt. Nonnulla quoque ad maiorem conciliandum stuporem ad illorum adiecere dogmata. Horum princeps Saturnilus fuit, qui perinde ac Menander mundi conditores angelos, hoc est septenos ex iis, facit, idque ipsos de supremi parentis sententia suscepisse statuit.

IV. Basilidiani foeditatis eiusdem socii ad Basiliden originem referunt, qui cum Saturnilo Simonianis ac Menandrianis operam dedit, ac tametsi eadem fere sentiat, in quibusdam tamen discrepat. Nam coelestes orbes CCCLXV constituit, quos angelicis nominibus afficit, ideoque totidem diebus annum constare censet. Addit et Abrasaxam cuiusdam virtutis nomen, quae CCCLXV numerum literis exprimit, idque spiritum esse sanctum asserit.

V. Nicolaitae a Nicolao illo derivati sunt cui ab apostolis viduarum cura commissa fuerat. Hic zelotypia ob uxorem aestuans, cum

6. μεμαθητευμένου *cod. Vatic. et Anaceph. Vulgo* μεμαθητευμένοι.
7. μὲν οὖν *cod. Vatic.*
8. τὸ *adieci ex cod. Vatic. et Anacephal. Voc.* ὄνομα *desideratur in cod. Rhedig.*

τοῖς ἄλλοις ἐπιτελεῖν τοὺς αὐτοῦ μαθητὰς ἐδίδαξε, καὶ περὶ τοῦ Καύλακαχ, καὶ Προυνίκου, καὶ ἄλλων βαρβαρικῶν ὀνομάτων, ἃ τῷ κόσμῳ μυσαρῶς εἰςηγήσατο.

pag. 53. ς'. Γνωστικοὶ, οἱ τὰς αὐτὰς αἱρέσεις διαδεξάμενοι, πλέον δὲ [9] αὐτῶν πάντων τὴν αἰσχρότητα ἐμμανῶς ἐργαζόμενοι, ἐν Αἰγύπτῳ δὲ Στρατιωτικοὶ καλούμενοι καὶ Φιβιωνῖται. Ἐν δὲ τοῖς ἀνωτερικοῖς μέρεσι Σεκουνδιανοὶ, ἐν ἄλλοις δὲ μέρεσι [10] Σωκρατῖται, παρὰ δὲ ἑτέροις Ζακχαῖοι· ἄλλοι δὲ Κοδδιανοὺς αὐτοὺς λέγουσιν, ἄλλοι δὲ Βορβορίτας αὐτοὺς καλοῦσιν. Οὗτοι τὴν Βαρβελὼ καὶ Βαρβερὼ αὐχοῦσι.

ζ'. Καρποκρατιανοὶ, ἀπὸ Καρποκράτους τινὸς τῶν ἐν τῇ Ἀσίᾳ, ὃς ἐδίδασκε πᾶσαν αἰσχρουργίαν ἐκτελεῖν, καὶ πᾶν ἐπιτήδευμα ἁμαρτίας. Καὶ εἰ μή τις, φησὶ, διὰ πάντων παρέλθοι, καὶ τὸ θέλημα πάντων τῶν δαιμόνων καὶ ἀγγέλων ἐκτελέσῃ, οὐ δύναται ὑπερβῆναι εἰς τὸν ἀνώτατον οὐρανὸν, οὐδὲ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας παρελθεῖν. Ἔλεγε δὲ τὸν Ἰησοῦν ψυχὴν νοερὰν εἰληφέναι, εἰδότα δὲ τὰ ἄνω ἐνταῦθα καταγγέλλειν, καὶ ὡς εἴ [11] τις πράξειεν ὅμοια τῷ Ἰησοῦ, κατ' αὐτὸν εἶναι· τόν τε νόμον σὺν τῇ τῶν νεκρῶν ἀναστάσει ἀπηγόρευεν, ὡς αἱ ἀπὸ Σίμωνος καὶ δεῦρο αἱρέσεις. Τούτου γέγονεν ἡ ἐν Ῥώμῃ Μαρκελλίνα. Εἰκόνας δὲ ποιήσας ἐν κρυφῇ Ἰησοῦ, καὶ Παύλου, καὶ Ὁμήρου, καὶ Πυθαγόρου, ταύταις ἐθυμία καὶ προςεκύνει.

η'. Κηρινθιανοὶ, οἱ καὶ Μηρινθιανοί· οὗτοι ἀπὸ Κηρίνθου καὶ Μηρίνθου Ἰουδαῖοί τινες, τὴν περιτομὴν αὐχοῦντες, τὸν δὲ κόσμον ὑπ' ἀγγέλων γεγενῆσθαι λέγοντες, Ἰησοῦν δὲ κατὰ προκοπὴν Χριστὸν [12] κεκλῆσθαι.

θ'. Ναζωραῖοι, [13] οἳ Χριστὸν ὁμολογοῦσιν Ἰησοῦν υἱὸν θεοῦ, πάντα δὲ κατὰ νόμον πολιτευόμενοι.

ι'. Ἐβιωναῖοι, οἱ παραπλήσιοι τῶν προειρημένων Κηρινθιανῶν καὶ Ναζωραίων, οἷς συνήφθη κατά τι ἡ τῶν [14] Σαμψαίων τε καὶ Ἐλκεσαίων αἵρεσις· [15] οἳ Χριστόν φασιν κεκτίσθαι ἐν τῷ οὐρανῷ, καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα, ἐνδημήσαντα δὲ τὸν Χριστὸν ἐν τῷ Ἀδὰμ πρῶτον, καὶ κατὰ καιρὸν ἐκδυόμενον αὐτὸν τὸν Ἀδὰμ καὶ πάλιν ἐνδυόμενον. Τὸ αὐτὸ τοῦτό φασιν ἐκτετελεκέναι αὐτὸν ἐν τῇ ἐνσάρκῳ αὐτοῦ παρουσίᾳ. Ἰουδαῖοι δὲ ὄντες εὐαγγελίοις κέχρηνται, σαρκοφαγίαν βδελύττονται, τὸ ὕδωρ ἀντὶ θεοῦ ἔχουσι, τὸν δὲ Χριστὸν ἄνθρωπον ἐν τῇ ἐνσάρκῳ παρουσίᾳ ἐνδεδύσθαι, ὡς ἔφην. Συνεχῶς δὲ βαπτί-
pag. 54. ζονται ἐν τοῖς ὕδασι, θέρους τε καὶ χειμῶνος, εἰς ἁγνισμὸν δῆθεν, ὥςπερ οἱ Σαμαρεῖται.

9. αὐτοὶ *extat in Anacephal.*
10. *Franc. Schotti manus de cod. Vaticano h. l. annotavit:* „σημείωσαι οἱ νῦν χανῖται (sic) in margine erat adscriptum."

aliis praeposteram libidinem exercere suos docuit. Sed et Caulacach et Prunicum, et alia nominum portenta, turpiter in mundum invexit.

VI. Harum Gnostici successores haeresum longe omnes turpitudinis atque execrandae foeditatis vesania superarunt. Militares porro in Aegypto dicuntur, et Phibionitae, in superiore tractu Secundiani, alibi Socratitae, ab aliis Zachaei. Sunt qui eos Coddianos nominent, quidam *Βορβορίτας*, sive lutulentos. Ab istis Barbelo, sive Barbero, nescio quae praedicari solet.

VII. Carpocratiani a Carpocrate quodam Asiatico dicti, qui ad omne turpitudinum ac flagitiorum genus discipulos informabat. Quod si quis, aiebat, non omnia percurrerit, neque daemonum et angelorum omnium voluntati satisfecerit, supremum in coelum evehi minime potest, neque principatus potestatesque transcendere. Asserebat idem Iesum mente praeditam animam sumpsisse, et cognitione coelestium imbutum hominibus ea nunciasse, ac si quis eadem quae Iesus olim perpetret, haud eo inferiorem futurum. Demum legem una cum mortuorum resurrectione damnabat, quemadmodum et Simoniani caeterique omnes quos hucusque percensui. Ex huius grege Marcellina illa Romae fuit. Atque idem Iesu Paulique, nec non et Homeri ac Pythagorae, clanculum imagines fingens suffitibus eas et adoratione prosecutus est.

VIII. Cerinthiani, sive Merinthiani, a Cerintho, vel Merintho, Iudaici generis extiterunt, qui circumcisionem prae se ferebant. Mundum ab angelis fabricatum, Iesum ad Christi dignitatem per virtutum incrementa pervenisse dixerunt.

IX. Nazareni ita Iesum esse Christum deique filium asseruerunt, ut Mosis legem omnino vitae ad institutum adsciverint.

X. Cerinthianis ac Nazarenis simillimi sunt Ebionitae, quibus cum Sampsaeis et Elcesaeis aliqua ex parte convenit. Hi Christum in coelo creatum, eiusque sanctum spiritum affirmant. Illum ipsum in Adamum sese infudisse primo ac deinde exuisse narrant, tum subiisse denuo, idque commodum fecisse cum in terras corpore circumfusus advenit. Ac licet Iudaei sint, evangelium nihilominus adhibent. Carnium esum detestantur. Aquam pro deo venerantur. Christum in suo illo, uti diximus, adventu hominem induisse dicunt. Denique aquis se identidem tam hieme quam aestate lavant, nimirum puritatis conciliandae sibi gratia, quemadmodum Samaritae.

11. *Reposui* τις *ex Anacephalaeosi. Vulgo* τι.

12. χαλεῖσθαι *cod. Vatic. et Anacephal.*

13. οἱ *cod. Rhedig. Vulgo* οἱ.

14. σαμψέων *erat a m. pr. in cod. Rhedig.*

15. οἱ *Anacephal. Vulgo extat* οἱ.

*ια'.* [16] *Οὐαλεντινιανοί, οἳ σαρκὸς μὲν ἀπαγορεύουσιν ἀνάστασιν, παλαιὰν* [17] *δὲ διαθήκην ἀθετοῦσι καὶ προφήτας, ἀναγινώσκοντες μὲν, καὶ ὅσα εἰς ὁμοίωσιν δύναται τροπολογεῖσθαι τῆς αὐτῶν αἱρέσεως,* [18] *καὶ δεχόμενοι, ἑτέρας δέ τινας μυθολογίας παρειςφέροντες, τριάκοντα Αἰώνων ὀνομασίας λέγοντες* [19] *ἀρρενοθηλέων, ὁμοῦ τε ἐκ τοῦ πατρὸς τῶν ὅλων γεγενημένους, οὓς καὶ θεοὺς ἡγοῦνται καὶ Αἰῶνας, τὸν δὲ Χριστὸν ἀπ' οὐρανοῦ σῶμα ἐνηνοχέναι, καὶ ὡς διὰ σωλῆνος τὴν Μαρίαν* [20] *διαπεπερακέναι.*

*ιβ'. Σεκουνδιανοί, οἷς συνάπτεται Ἐπιφάνης καὶ Ἰσίδωρος, ταῖς αὐταῖς κεχρημένοι καὶ οὗτοι συζυγίαις, τὰ ὅμοια Οὐαλεντίνῳ πεφρονηκότες, ἕτερα δὲ παρ'* [21] *αὐτὸν ποσῶς διηγούμενοι. Προςτιθέασι δὲ τὴν αἰσχρουργίαν διδάσκοντες. Ἀπαγορεύουσι δὲ καὶ οὗτοι τὴν* [22] *σάρκωσιν.*

*ιγ'. Πτολεμαῖοι, μαθηταὶ καὶ αὐτοὶ ὄντες Οὐαλεντίνου, οἷς συνάπτεται ἡ Φλώρα. Τὰ αὐτὰ δὲ περὶ τῶν συζυγιῶν καὶ αὐτοὶ λέγουσι καθάπερ Οὐαλεντῖνος καὶ Σεκουνδιανοί. Κατά τι δὲ καὶ οὗτοι διαφέρονται.*

*Αὕτη* [23] *καὶ ἡ τοῦ δευτέρου τόμου τοῦ πρώτου βιβλίου τῶν δεκατριῶν αἱρέσεων ἀνακεφαλαίωσις.*

16. *Libri vulgo mendose* Οὐαλεντῖνοι, οἱ *celt.*

17. δὲ *reposui ex Anaceph. et cod. Vaticano.*

18. *Hoc* καὶ *non agnoscit Anacephal.*

19. *Vulgo* ἀρρενοθηλειῶν.

20. *Ita codd. Vatic. Rhedig. Vulgo mendose* διαπεραχέναι.

XI. Valentini corporum resurrectionem negant. Vetus testamentum ac prophetas respuunt. Quae nihilominus legunt ipsi, et si quid est quod ad illorum haeresin per figuram ac tropum accommodari possit, id admittunt. Sed certas quasdam fabulas addiderunt, et triginta Aeonum utriusque sexus vocabula commenti sunt, quos quidem Aeonas ab universorum parente ac conditore productos asserunt, quos et deos et Aeonas faciunt. Demum Christum e coelo corpus extulisse, ac per Mariam traductum esse velut per tubulum existimant.

XII. Secundiani, eorumque socii Epiphanes atque Isidorus, eadem inter se paria componentes cum Valentinis consentiunt, nonnulla tamen ab iis diversa ponunt, et ad foedam insuper libidinem suos instituunt. Iidem et incarnationem negant.

XIII. Ptolemaei Valentini discipuli fuerunt, quibuscum Flora coniungitur. Par idemque dogma de coniugationibus illis cum Valentino ac Secundianis adstruunt, sed in quibusdam tamen discrepant.

Haec est secundi tomi primi voluminis summa quae XIII haereses complectitur.

21. *Ita ex Anacephal. Vulgo* αὐτῶν. 22. σάρκα *cod. Vatic. et Anacephal.* 23. καὶ *codd. Vatic. Rhedig. et edit. Petav.* γὰρ *edit. princ.*

pag. 55.

*ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ*

# ΕΠΙΦΑΝΙΟΥ

## ΚΑΤΑ ΤΩΝ ΑΙΡΕΣΕΩΝ

### ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.

## ΚΑΤΑ ΣΙΜΩΝΙΑΝΩΝ.

Πρώτη αἵρεσις ἀπὸ τῆς εἰς Χριστὸν τὸν κύριον ἡμῶν πίστεως, ἀπὸ δὲ τῆς ἀκολουθίας εἰκοστὴ πρώτη.

Κεφ. α'. *Σίμωνος γίνεται τοῦ Μάγου πρώτη αἵρεσις, ἀπὸ Χριστοῦ καὶ δεῦρο ἀρξαμένη, οὖσα δὲ αὕτη τῶν εἰς ὄνομα Χριστοῦ οὐκ ὀρθῶς οὐδὲ* [1] *εὐαγῶς, ἀλλὰ κατὰ τὴν παραπεποιημένην παρ' αὐτοῖς φθορὰν τὰ δεινὰ ἐργαζομένη. Οὗτος ὁ Σίμων γόης ἦν, ἀπὸ Γιτθῶν δὲ ὡρμᾶτο τῆς πόλεως τῆς ἐν τῇ Σαμαρείᾳ, νυνὶ κώμης ὑπαρχούσης. Ἐφαντασίαζε δὲ τὸ γένος τῶν Σαμαρειτῶν ταῖς μαγείαις ἐξαπατῶν τε καὶ δελεάζων. Ἔλεγεν ἑαυτὸν εἶναι τὴν μεγάλην δύναμιν τοῦ θεοῦ, καὶ ἄνωθεν καταβεβηκέναι· τὸν πατέρα δὲ ἔλεγεν ἑαυτὸν τοῖς Σαμαρείταις, Ἰουδαίοις δὲ ἔλεγεν ἑαυτὸν εἶναι τὸν υἱόν, παθόντα δὲ μὴ πεπονθέναι, ἀλλὰ δοκήσει μόνον. Ὑπεκορίσθη δὲ οὗτος τοὺς ἀποστόλους, καὶ αὐτὸς δὲ ὁμοίως ἴσα τοῖς ἄλλοις ὑπὸ Φιλίππου ἐβαπτίσθη μετὰ πολλῶν. Οἱ δὲ πάντες χωρὶς αὐτοῦ ἐξεδέξαντο τὴν τῶν μεγάλων ἀποστόλων παρουσίαν, καὶ διὰ τῆς αὐτῶν χειροθεσίας ἔλαβον πνεῦμα ἅγιον· ἐπειδὴ γὰρ ὁ Φίλιππος διάκονος ὢν οὐκ εἶχεν ἐξουσίαν τῆς χειροθεσίας τοῦ δι' αὐτῆς διδόναι πνεῦμα ἅγιον. Οὐκ ὀρθὴν δὲ ὁ Σίμων ἔχων τὴν καρδίαν, οὔτε τὸν λογισμόν, αἰσχροκερδείᾳ δέ τινι καὶ φιλοχρημοσύνῃ προςανέχων, καὶ τῆς μοχθηρᾶς αὐτοῦ ἐπιτηδεύ-*
pag. 56. *σεως ἐκτὸς βαίνων οὐδαμῶς, προςέφερε χρήματα Πέτρῳ τῷ ἀποστόλῳ, ὅπως δῴη αὐτῷ ἐξουσίαν ἐν τῇ ἐπιθέσει τῶν χειρῶν πνεῦμα ἅγιον παρέχειν, λογισάμενος* [2] *δώσειν πολλοῖς, πολλοῖς δὲ ἀντὶ ὀλίγου, διὰ τοῦ ἄλλοις παρέχειν πνεῦμα ἐπισωρεῦσαι χρημάτων πληθὺν καὶ* [3] *ἐπικερδῆσαι.*

Cap. I. — 1. εὐαγῶς *cod. Vatican. Reliqui libri* εὐαγώγως.
2. δώσειν πολλοῖς, πολλοῖς δὲ ἀντὶ ὀλίγου *ego correxi. Libri habent* δώσειν πολλοῖς δὲ ἀντὶ ὀλίγου.

SANCTI

# EPIPHANII

## ADVERSUS HAERESES

LIBRI I. TOMUS II.

## ADVERSUS SIMONIANOS.

### Quae est haeresis ab exortu Christianae religionis prima, ordine XXI.

Primae omnium quae a Christi tempore ad hanc aetatem prodierunt haeresis princeps Simon ille Magus extitit. Quae quidem secta non recte, neque ex ordine, Christianum nomen usurpat, sed pro adulterina sua depravatione atrocissima quaeque committit. Igitur Simon iste veneficus fuit, Gitthis oriundus olim oppido, nunc vico Samariae. Qui popularibus suis malis artibus illudens ac fraudibus pellectos decipiens magnam se dei vim esse praedicabat coelitus in terras delapsam. Porro apud Samaritanos suos pro deo se patre venditabat, apud Iudaeos filium se faciebat. Negabat revera se aut aliter quam specie tenus esse passum. Idem apostolis blanditus cum aliis bene multis a Philippo baptizatus est. Mox praeter unum illum universi summos apostolos advenientes, perque manus sibi ab illis impositas spiritum sanctum excipiunt. Nam Philippus, quod diaconus duntaxat esset, imponendarum manuum communicandique spiritus sancti potestate carebat. Verum Simon iste animo ac mente depravatus, cum se turpissimo quaestui et avaritiae dedidisset, neque quicquam de perversis studiis remisisset, apostolo Petro pecunias obtulit, ut is sibi largiendi per manuum impositionem spiritus sancti potestatem conferret. Eundem quippe spiritum in alios transfundere cogitabat, atque ita maximam sese pecuniarum vim collecturum, atque ingens omnino lucrum cum exiguo pretio commutaturum sperabat.

Cap. I.

Act. 8.

3. ἐπικερδῆσαι codd. Vatic. et Rhedig. ἐπικερδῆναι editi libri.

Κεφ. β'. Οὗτος μὲν οὖν ἔχων τὴν διάνοιαν πεπονηρευμένην ἀπὸ τῆς ἐν τῇ μαγείᾳ δαιμονιώδους πλάνης καὶ πεφαντασιωμένην, πρόχειρος ὢν ἀεὶ τῆς ἑαυτοῦ κακίας τὰ βαρβαρικὰ καὶ δαιμόνων πράγματα διὰ τῆς ἑαυτοῦ μαγγανείας ἐπιδείκνυσθαι, παρελθὼν εἰς μέσον, καὶ προσχήματι ὀνόματος Χριστοῦ ὡς ἐλλέβορον μέλιτι παραπλέκων, δηλητήριον τοῖς ὑπ' αὐτοῦ ἀγρευθεῖσιν εἰς τὴν κακομήχανον αὐτοῦ πλάνην παρενθεὶς τῷ τοῦ ὀνόματος ἀξιώματι Χριστοῦ θάνατον ἐνεποίησε τοῖς πεισθεῖσι. Λάγνος δὲ ὢν κατὰ τὴν φύσιν, [1] καὶ αἰδοῖ τῇ τῶν ἑαυτοῦ ὑποσχέσεων ὑπονυσσόμενος, παρεφθαρμένην ὑπόνοιαν τοῖς ὑπ' αὐτοῦ ἀπατωμένοις ὁ ἀγύρτης παρενεποιήσατο. Γυναῖκα γάρ τινα ἑαυτῷ εὑράμενος ῥεμβάδα, Ἑλένην τοὔνομα, ἀπὸ τῆς Τυρίων ὁρμωμένην ἄγεται, μὴ ὑποφαίνων συνάφειαν ἔχειν πρὸς ταύτην· ἐν παραβύστῳ δὲ αἰσχρότητι συμπεριπλεκόμενος τῷ γυναίῳ ὁ γόης τινὰ μυθώδη ψυχαγωγίαν τοῖς ἑαυτοῦ μαθηταῖς ὑφηγεῖτο, δῆθεν ἑαυτὸν εἶναι δύναμιν θεοῦ λέγων τὴν μεγάλην, τὴν δὲ σύζυγον πορνάδα πνεῦμα ἅγιον εἶναι τετόλμηκε λέγειν, καὶ διὰ ταύτην κατεληλυθέναι φησίν. Ἐν ἑκάστῳ δὲ οὐρανῷ μετεμορφούμην φησὶ, κατὰ τὴν μορφὴν τῶν ἐν ἑκάστῳ οὐρανῷ, ἵνα λάθω τὰς ἀγγελικάς μου δυνάμεις, καὶ κατέλθω ἐπὶ τὴν Ἔννοιαν, ἥτις ἐστὶν αὕτη ἡ καὶ Προύνικος καὶ πνεῦμα ἅγιον καλουμένη, δι' ἧς τοὺς ἀγγέλους ἔκτισα· οἱ δὲ ἄγγελοι τὸν κόσμον ἔκτισαν, καὶ τοὺς ἀνθρώπους. Εἶναι δὲ ταύτην τὴν Ἑλένην τὴν πάλαι, δι' ἣν οἱ Τρῶες καὶ Ἕλληνες εἰς μάχην ἦλθον. Ἔλεγε δὲ μῦθόν τινα εἰς ταῦτα, ὅτι ἄνωθεν ἡ δύναμις κατιοῦσα ἑαυτὴν μετεμόρφου. Ἀλληγορικῶς δὲ οἱ ποιηταὶ περὶ τούτου ἔφασαν. Διὰ γὰρ τὴν ἄνωθεν δύναμιν, ἣν Προύνικόν φασιν, ἥτις παρ' ἄλλαις αἱρέσεσι Βαρβηρὼ ἤτοι Βαρβηλὼ καλεῖται, τὸ κάλλος αὐτῆς ἐμφαίνουσαν εἰς [2] οἶστρον
pag. 57. [3] ἄξασαν αὐτοὺς, καὶ διὰ τοῦτο πεμφθεῖσαν εἰς συλαγωγίαν τῶν Ἀρχόντων τῶν τὸν κόσμον τοῦτον κτισάντων, καὶ τοὺς αὐτοὺς ἀγγέλους εἰς πόλεμον δι' αὐτὴν ἥκειν, αὐτὴν δὲ μηδὲν πεπονθέναι, ἀλληλοκτονίας δὲ αὐτοὺς εἰς ἑαυτοὺς ἐργάσασθαι παρασκευάσαι δι' ἣν ἐνέβαλεν εἰς αὐτοὺς πρὸς ἑαυτὴν ἐπιθυμίαν. Καὶ συνέχοντες αὐτὴν τοῦ μὴ ἄνω δύνασθαι ἀνιέναι, συνεγίνετο αὐτῇ ἕκαστος ἐν ἑκάστῳ σώματι γυναικείας καὶ θηλυκῆς σχέσεως, [4] μεταγγιζομένης αὐτῆς ἀπὸ σωμάτων θηλυκῶν εἰς σώματα διάφορα ἀνθρωπίνης φύσεώς τε καὶ κτηνῶν καὶ ἄλλων, ἵνα δι' ὧν αὐτοὶ ἐργάζονται, κτείνοντές τε καὶ κτεινόμενοι, μείωσιν ἑαυτῶν διὰ τῆς τοῦ αἵματος [5] προσχύσεως ἐργάζωνται, εἶτα ἐκείνη τὴν δύναμιν συλλεγομένη πάλιν αὖθις εἰς οὐρανὸν ἀναβῆναι δυνηθῇ.

Cap. II. — 1. καὶ adieci ex cod. Vatic. 2. οἶστρον. cod. Vatic. et inde ed. Petav. ὕστερον cod. Rhedig. et edit. princ.

Igitur ex illa malorum daemonum insania ac magicis artibus consceleratum animum gerens, atque illorum praestigiis delusus, cum nihil haberet promptius quam ut nequitiae suae veneficiorumque barbarum quoddam ac suis illis auctoribus daemonibus dignum specimen exhiberet, in apertum prorupit, ac sub Christiani nominis specie, tanquam veratro mel admiscens, sic illius appellationis splendori letale venenum infudit, idque iis obtulit quos fraudulenter captatos et impium hunc in errorem pertractos in exitium adduxit. Cumque in Venerem natura proclivior esset, eorum quae profitebatur dogmatum verecundia commotus nequissimas opinionum nugas discipulis suis impostor persuasit. Etenim vagam quandam muliérculam nomine Helenam nactus, patria Tyriam, sibi eam copulat, quacum palam nullam habere se consuetudinem simulans homo vafer clam omni se in libidinum genere volutabat, atque etiam ridicula de ea re fabula discipulos aspersit. Se enim summam esse dei vim, scortum vero suum spiritum esse sanctum affirmare ausus est, cuius gratia de coelo descenderat. Sed in unoquoque coelo propriam aiebat eius coeli formam indui, quo meos angelos latere possem, et ad meam illam intelligentiam descenderem, hoc est Helenam istam, quae et Prunicus et Spiritus Sanctus appellatur, per quam Angelos creavi, Angeli porro mundum atque homines condiderunt. Eandem esse confirmabat Helenam cuius caussa bellum Graecos inter ac Troianos exarsit. Ad haec fabulam adiiciebat lapsam de coelo Vim illam semetipsam dissimulasse, deque eo poetas figurate locutos esse. Haec enim ob supremam illam Vim accidisse bella, quae ab haereticis aliis Barbero, sive Barbelo dicitur; quae cum suam illi pulchritudinem ostendisset, sui ipsos amoris stimulis incitasse, adeoque ad eos depraedandos Principes, qui mundum condiderant, missam hos ipsos Angelos mutuam ad pugnam excitasse, cum interim nihil illa mali passa iniecta vehementi sui cupiditate perfecerit, ut se invicem interficerent. Eam quippe detinebant, ne sursum evolare posset; ideoque cum ea singuli in varia transformante se mulierum ac feminarum corpora congressi sunt. Ex illis porro in diversa tam hominum quam pecudum aliorumque corpora transibat, ut per mutuas illas promiscuasque caedes effuso sanguine semetipsos minuerent, ipsaque collecta vi rursum in coelum posset conscendere. Cap. II.

3. *Fortasse* ἄξαν ἀγγέλους.
4. μετεγγιζομένης *cod. Vatic.*
5. *Repone* προχύσεως.

Κεφ. γ'. *Ἦν δὲ αὕτη τότε ἡ ἐπὶ τοῖς Ἕλλησί τε καὶ Τρωσὶ, καὶ ἀνωτάτω πρινὴ τὸν κόσμον γενέσθαι, καὶ μετὰ τὸν κόσμον διὰ τῶν ἀοράτων δυνάμεων τὰ ἴσα ἰσότυπα πεποιηκυῖα. Αὕτη δέ ἐστιν ἡ νῦν σὺν ἐμοὶ, καὶ διὰ ταύτην κατελήλυθα, καὶ αὕτη δὲ προςεδόκα τὴν ἐμὴν παρουσίαν. Αὕτη γάρ ἐστιν ἡ Ἔννοια, ἡ παρ' Ὁμήρῳ Ἑλένη καλουμένη· καὶ τούτου ἕνεκεν ἀναγκάζεται αὐτὴν διαγράφειν Ὅμηρος ἐπὶ πύργου ἑστηκέναι, καὶ διὰ λαμπάδος ὑποφαίνειν τοῖς Ἕλλησι τὴν κατὰ τῶν Φρυγῶν ἐπιβουλήν. Ἐχαρακτήριζε δὲ διὰ τῆς λαμπηδόνος, ὡς ἔφην, τὴν τοῦ ἄνωθεν φωτὸς ἔνδειξιν. Διὸ καὶ τὸν παρ' Ὁμήρῳ δούριον ἵππον μεμηχανημένον, ὃν νομίζουσιν Ἕλληνες ἐπίτηδες γεγενῆσθαι, ἔλεγε πάλιν ὁ γόης ὅτι ἄγνοιά ἐστι τῶν ἐθνῶν, καὶ ὡς οἱ Φρύγες ἕλκοντες αὐτὸν ἀγνοίᾳ τὸν ἴδιον ὄλεθρον ἐπεσπάσαντο, οὕτω καὶ τὰ ἔθνη, τουτέστιν οἱ ἄνθρωποι, ἐκτὸς τῆς ἐμῆς γνώσεως διὰ τῆς ἀγνοίας ἕλκουσιν ἑαυτοῖς τὴν ἀπώλειαν. Ἀλλὰ καὶ Ἀθηνᾶν πάλιν τὴν αὐτὴν ἔλεγε τὴν παρ' αὐτῶν Ἔννοιαν καλουμένην, χρώμενος δῆθεν ὁ πλάνος ταῖς τοῦ ἁγίου ἀποστόλου Παύλου φωναῖς, μεταποιῶν τε τὴν ἀλήθειαν εἰς τὸ αὐτοῦ ψεῦδος, τὸ, Ἐνδύσασθε τὸν θώρακα τῆς πίστεως, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου, καὶ κνημῖδας, καὶ μάχαιραν, καὶ θυρεόν· ταῦτα πάντα ἐπὶ τῆς τοῦ Φιλιστίωνος μιμολογίας ὁ ἀπατεὼν, τὰ ὑπὸ τοῦ ἀποστόλου εἰρημένα διὰ στερεὸν λογισμὸν καὶ πίστιν ἁγνῆς ἀναστροφῆς καὶ δύναμιν θείου λόγου καὶ ἐπουρανίου, εἰς χλεύην λοι-
pag. 58. πὸν καὶ οὐδὲν ἕτερον μεταστρέφων. [1] Τί γάρ; φησὶ, Ταῦτα πάντα εἰς Ἀθηνᾶς τύπους μυστηριωδῶς ἐσχημάτιζε. Διὸ πάλιν ἔλεγεν, ὡς προεῖπον, ὑποφαίνων ἐκείνην τὴν μετ' αὐτοῦ γυναῖκα τὴν ἀπὸ Τύρου ληφθεῖσαν αὐτῷ, τὴν ὁμώνυμον τῆς παλαιᾶς Ἑλένης, τὰ πάντα ταύτην καλῶν, καὶ Ἔννοιαν, καὶ Ἀθηνᾶν, καὶ Ἑλένην, καὶ τὰ ἄλλα. Καὶ διὰ ταύτην, φησὶ, καταβέβηκα· τοῦτο γάρ ἐστι τὸ γεγραμμένον ἐν τῷ εὐαγγελίῳ τὸ πρόβατον τὸ πεπλανημένον. Ἀλλὰ καὶ εἰκόνα τινὰ παραδέδωκε τοῖς αὐτοῦ, ὡς δῆθεν αὐτοῦ οὖσαν, καὶ προςκυνοῦσιν αὐτὴν ἐν εἴδει Διός. Ἄλλην δὲ ὡςαύτως Ἑλένης εἰκόνα παρέδωκεν αὐτοῖς ἐν σχήματι Ἀθηνᾶς, καὶ προςκυνοῦσι ταύτας οἱ πρὸς αὐτοῦ ἠπατημένοι.*

Κεφ. δ'. [1] *Μυστήρια δὲ ὑπέθετο αἰσχρότητος, ῥύσεώς τε σωμάτων, ὅπως σεμνότερον ὑφηγήσομαι, ἀνδρῶν μὲν διὰ τῆς ἀποῤῥοίας, γυναικῶν δὲ διὰ τῶν κατ' ἐθισμὸν, τῶν ἐμμηνίων, συλλογῇ τινι αἰσχροτάτῃ εἰς μυστήρια συνάγεσθαι· καὶ ταῦτα εἶναι μυστήρια ζωῆς, γνώσεώς τε τῆς τελειοτάτης. Ὅπερ μάλιστα ὑπάρχει τῷ τὴν σύνεσιν ἐκ θεοῦ κεκτημένῳ βδελυρίαν μᾶλλον ἡγεῖσθαι καὶ θάνατον ἤπερ ζωήν. Ὀνόματα*

Cap. III. — 1. *Vulgo* τί γάρ φησι, ταῦτα.

Cap. IV. — 1. *Epiphanii verba illustrant ea quae Nicetas Choniates Thes. Orthod. Fidei lib. IV, cap.* 1. *de Gnosticis refert:* „Sunt autem uxores illis communes, quodque nullam non in illis spurcitiem et imparitatem arguit, in ipso

Igitur eadem est, aiebat, illa quae tum Graecorum ac Troianorum temporibus fuit, imo et ante et post conditum mundum inter Angelos similia quaedam perpetraverat. Ea vero iam mecum est, eiusque caussa descendi, cum eum hactenus adventum expectaret. Est enim illa Notio quam Homerus Helenam vocavit. Atque ideo pro turri stantem illam sublatisque facibus Graecorum contra Troianos insidias moderantem describere coactus est. Hic enim facium fulgor coeleste lumen ab ea patefactum significat. Nam ligneum illum apud Homerum equum quem de industria fabricatum Graeci putant, impostor iste gentium ad ignorationem pertinere contendit. Ut enim Troiani, cum illum ad sua moenia per ignorantiam attraxissent, perniciem sibi consciverunt, ita gentes, hoc est homines universi, qui quidem cognitione mea carent, ex ignoratione sibi exitium arcessunt. Praeterea Minervam eandem esse dicebat quam Notionem, ut diximus, appellabat. Quam ad rem apostoli Pauli dictum illud accommodare, et ad mendacia sua veritatem trahere solebat, cum ita Paulus loquitur: *Induite loricam fidei et galeam salutis, et ocreas ac gladium et scutum.* Quae omnia in eum finem ab apostolo dicta ut solidam mentem et castissimi vitae instituti fidem et divini ac coelestis vim sermonis exprimeret, circulator iste, sic tanquam Philistionis mimos ageret, nihil aliud quam ad ludibrium convertit. Quid enim inquiebat? Omnia haec Minervae specie mystice declarabat. Quare quam abductam Tyro secum habebat feminam veteris illius Helenae cognominem eam, ut dictum est, significari volebat, et ad eam nomina omnia transferebat, Notionis, Minervae, Helenae aliaque quamplurima. Et huius, inquit, gratia descendi. Estque adeo illa de qua in evangelio scriptum est ovis errabunda. Nec iis contentus imaginem quandam, quam sui effigiem esse dicebat, discipulis tradidit, qui eum sub specie Iovis adorant. Aliam Helenae figuram cuiusmodi pingi Minerva solet iisdem discipulis obtrusit, quam peraeque fanatici illi venerantur.

Cap. III. — Eph. 6, 14. — Matth. 18, 12.

Cap. IV.

Ad haec mysteria quaedam foeditatis profluviique corporum, ut honestius dicam, instituit, quae in maribus quidem seminis exundantia, in feminis menstrua purgatione perficerentur. Et ad haec obeunda mysteria spurcissimos conventus induxit. Haec enim vitae esse mysteria perfectissimaeque cognitionis aiebat, quae qui prudentiam divinitus acceperit abominandum quiddam ac detestabile, mortemque adeo potius quam vitam esse iudicabit. Idem praeterea no-

coitu caveut, ne semen in mulieris vulvam eiaculentur, aut in terram defluat, sed manibus exceptum alias deglutiunt, alias eo conservato sanguinique mulierium menstruorum permixto pro mysteriis utuntur."

δέ τινα ὁ αὐτὸς ὑποτίθεται Ἀρχῶν τε καὶ Ἐξουσιῶν, οὐρανούς τε διαφόρους φησὶ, καθ' ἕκαστον δὲ στερέωμα καὶ οὐρανὸν δυνάμεις τινὰς ὑφηγεῖται, καὶ ὀνόματα βαρβαρικὰ τούτοις ἐκτίθεται. Μὴ ἄλλως δὲ δύνασθαι σώζεσθαί τινα, εἰ μή τι ἂν μάθοι ταύτην τὴν μυσταγωγίαν καὶ τὰς τοιαύτας θυσίας [2] τῷ Πατρὶ τῶν ὅλων διὰ τῶν Ἀρχῶν τούτων καὶ Ἐξουσιῶν προςφέρειν, εἶναί τε τὸν αἰῶνα τοῦτον ἀπὸ Ἀρχῶν καὶ Ἐξουσιῶν φησι τῆς κακίας ἐν ἐλαττώματι κατεσκευασμένον. Φθορὰν δὲ ὑφηγεῖται σαρκὸς καὶ ἀπώλειαν μόνον, ψυχῶν δὲ κάθαρσιν, καὶ ταύτην εἰ διὰ τῆς ἑαυτοῦ πεπλανημένης [3] γνώσεως ἐν μυσταγωγίᾳ καταστταῖεν. Καὶ οὕτως ἄρχεται τῶν Γνωστικῶν καλουμένων ἡ ἀρχή. Μὴ εἶναι δὲ τὸν νόμον θεοῦ, ἀλλ' ἀριστερᾶς δυνάμεως ἔφασκε· μήτε προφήτας ἐξ ἀγαθοῦ θεοῦ ὑπάρχειν, ἀλλ' ἑτέρας καὶ ἑτέρας δυνάμεως. Καὶ ὡς βούλεται ἑκάστῳ ὁρίζεται, τὸν μὲν νόμον τινὸς, Δαβὶδ δὲ ἄλλης, Ἡσαΐαν ἑτέρας, Ἰεζεκιὴλ πάλιν ἑτέρας, καὶ ἕκαστόν τινα τῶν προφητῶν μιᾷ Ἀρχῇ ἀνατίθεται. Εἶναι δὲ τούpag. 50. τους ἅπαντας ἐκ τῆς ἀριστερᾶς δυνάμεως καὶ ἔξω τοῦ Πληρώματος, πάντα δὲ [4] τὸν πιστεύοντα τῇ παλαιᾷ διαθήκῃ θάνατον ὑπέχειν.

Κεφ. ε'. Ἀνατρέπεται δὲ τοῦτο τὸ δόγμα ὑπ' αὐτῆς τῆς ἀληθείας. Εἰ γὰρ αὐτὸς εἴη ἡ δύναμις τοῦ θεοῦ ἡ μεγάλη, καὶ τὸ σὺν αὐτῷ [1] πορνίδιον τὸ πνεῦμα τὸ ἅγιον, ὡς αὐτός φησι, φησάτω τί τὸ ὄνομα τῆς δυνάμεως, ἢ τίνι τῷ λόγῳ τὸ ἐπίθετον τῇ μὲν γυναικὶ [2] ἐφηύρατο, ἑαυτῷ δὲ οὐ τὸ παράπαν. Πῶς δὲ [3] ἐν χρόνῳ τινὶ εὑρίσκεται κατὰ διαδοχὴν τὸ χρεὼν ἐπὶ τῆς Ῥωμαίων ἀποδοὺς, ὅτε ἐν μέσῃ τῇ τῶν Ῥωμαίων πόλει ὁ τάλας καταπεσὼν τέθνηκε; Τίνι δὲ τῷ λόγῳ ὁ Πέτρος ἀπεφήνατο [4] αὐτὸν μὴ κλῆρον μηδὲ μερίδα ἔχειν ἐν τῷ μέρει τῆς θεοσεβείας; Πῶς δὲ δύναται ὁ κόσμος θεοῦ ἀγαθοῦ μὴ ὑπάρχειν, ὁπότε ἐξ αὐτοῦ πάντες οἱ ἀγαθοὶ [5] ἐπελέγησαν; Πῶς δὲ ἀριστερὰ εἴη δύναμις ἡ ἐν νόμῳ καὶ ἐν προφήταις λαλήσασα, ἥτις περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ ἀγαθοῦ θεοῦ προκεκήρυχε, καὶ τὰ φαῦλα πάντα ἀπαγορεύει; Πῶς δὲ οὐκ ἂν εἴη μία θεότης, καὶ τὸ αὐτὸ πνεῦμα καινῆς καὶ παλαιᾶς διαθήκης, ὁπότε ὁ κύριος εἶπεν, Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι; καὶ ἵνα δείξῃ ὅτι ὁ νόμος ὑπ' αὐτοῦ [6] κατηγγέλη καὶ διὰ Μωϋσέως ἐδωρήθη, ἡ δὲ εὐαγγελικὴ χάρις δι' ἑαυτοῦ καὶ τῆς ἐνσάρκου παρουσίας κεκήρυκται, ἔλεγε τοῖς Ἰουδαίοις, Εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοὶ, ἐκεῖνος γὰρ περὶ

2. τῷ, *quod desideratur in cod. Rhedig. et edit. princ., Pelavius adiecit ex cod. Vaticano.*

3. γνώσεως *cod. Vatic., et inde edit. Petav.* γλώττης *cod. Rhedig. et edit. princ.*

4. τὸν, *quod desideratur in edit. princ. et cod. Rhedig., Petavius ex cod. Vatic. addidit.*

CAP. V. — 1. πορνίδιον, *cod. Vatic., et inde edit. Pelav.* πορνάδιον *cod. Rhedig. et edit. princ.*

2. *Ita ex cod. Vatic. ed. Pelav.* ἔφη εὕρατο *cod. Rhedig.* ἔφη ηὕρατο *edit. princ.*

3. ἐν χρόνῳ *codd. Valic. Rhedig. et ed. Petav.* τῷ χρόνῳ *edit. princ.*

mina quaedam Principatuum ac Potestatum commentus est, coelestesque globos varios, atque in firmamento coeloque quolibet Intelligentias certas collocat, quibus barbaras appellationes affingit. Negat insuper salutem consequi ullum hominum aliter posse, quam si eiusmodi mysteria didicerit, et Universitatis Parenti ea sacrificia per illos quos diximus Principatus ac Potestates obtulerit. Nostrum hoc porro seculum ab nequitiae Principatibus et Potestatibus cum defectu conditum. Sed et carnis duntaxat unius corruptionem atque interitum, animarum vero expiationem astruit, ita tamen, si mendacissimae cognitionis suae mysteriis initiatae fuerint. Atque hinc eorum quos Gnosticos appellamus origo profluxit. Praeterea legem non a deo, sed a sinistra quadam intelligentia profectam asserit, uti neque prophetas a bono deo, sed ab alia atque alia censet Intelligentia comparatos fuisse. Adeoque pro arbitrio definit omnia, ut legem unius esse dicat, Davidem alterius, Esaiam ad hanc, Ezechielem ad illam pertinere velit, singulosque prophetas Principatibus suis attribuat. Quos omnes sinistrae Intelligentiae adscribit, atque a complemento reiicit. Denique quisquis veteri testamento fidem adhibet, incurrere mortem asseverat.

Verum eiusmodi dogma ab ipsamet veritate refellitur. Nam si Cap. V.
vis ille dei est et quidem magna, scortillum vero contubernale illud Spiritus, ut ait, sanctus est, dicat quaeso quo tandem nomine appellanda Vis illa sit, aut quid caussae sit cur cum mulierculae appellationem aliquam tribuerit, sibi ipsi nullam prorsus invenerit. Quonam vero pacto, id quod compertum est, accidere potuit ut certo definitoque tempore Romae mortem obierit, cum media in urbe decidens ex alto miser interiit? Qua item ratione Petrus hanc in illum sententiam tulit, nullam eum in divino cultu sortem ac partem obtinere? Potest vero mundus a bono deo non esse conditus, cum ab eo boni omnes electi sint? At haec cur sinistra esse vis illa dicitur, quae in lege ac per prophetas locuta sit? quae Christi boni dei adventum praedixerit? quae nefaria omnia vetuerit? An non una utrobique divinitas idemque novi simul ac veteris testamenti spiritus
esse debet, cum dominus dixerit, *Non veni solvere legem, sed im-* Matth. 5, 17.
*plere?* Atque ut illud ostenderet, denuntiatam a se legem ac per Moysem concessam, evangelii vero gratiam per semetipsum adventumque cum carne suum hominibus promulgatam, ita Iudaeos allo-
cutus est: *Si crederetis Moysi, mihi quoque crederetis: illc enim de* Ioann. 5, 46.

4. αὐτὸν *cod. Vatic. et ed. Petav. Reliqui libri* αὐτῷ.
5. ἐπελέγησαν *ed. Petav. ex emendat. Scholii.* ἐπελάγησαν *cod. Vatic.* ἐπελλάγησαν *cod. Rhedig. et edit. princ.*
6. *Libri habent vulgo* κατηγγέλλη.

ἐμοῦ ἔγραψε. Καὶ ἄλλα πολλά ἐστι πρὸς ἀντίθεσιν τῆς τοῦ γόητος ἀντιλογίας. Πῶς δὲ ἔσται τὰ αἰσχρὰ ζωτικὰ, εἰ μή τι ἂν δαιμόνων εἴη τὸ φρόνημα; ὁπότε αὐτὸς ὁ κύριος λέγει ἐν τῷ εὐαγγελίῳ πρὸς τοὺς λέγοντας αὐτῷ, Εἰ οὕτως ἡ αἰτία τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, οὐ συμφέρει γαμῆσαι· ὁ δὲ πρὸς αὐτοὺς ἔφη, Οὐ πάντες τοῦτο χωροῦσιν· εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ ἔδειξεν ὡς τὸ φύσει ἀπέχεσθαι συζυγίας βασιλείας οὐρανῶν ἐστι δῶρον; Πάλιν δὲ ἐν ἄλλῳ τόπῳ λέγει κατὰ τὸν σεμνὸν γάμον, ὃν αὐτὸς ὁ Σίμων παραφθείρων αἰσχρᾶς μεθοδεύει τὴν ἑαυτοῦ ἐπιθυμίαν, ὅτι, Οὓς ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

Κεφ. ϛ'. Πῶς δὲ πάλιν ὁ πλάνος ἐπιλαθόμενος τῆς ἰδίας ληρῳδίας ἑαυτὸν pag. 60. ἐλέγχει, ὥςπερ ἀγνοῶν ἃ προλέγει; Φήσας γὰρ ὅτι ὑπ' αὐτοῦ γεγόνασιν οἱ ἄγγελοι διὰ τῆς αὐτοῦ Ἐννοίας πάλιν ἔλεγε μεταμορφοῦσθαι καθ' ἕκαστον οὐρανὸν, ὅπως λάθοι τοὺς αὐτοὺς ἐν τῷ κατιέναι. Ἄρα δεδιὼς ἐλάνθανε. Καὶ πῶς δέδιεν ὁ ληρολόγος οὓς αὐτὸς ἐποίησεν ἀγγέλους; πῶς δὲ οὐ παντὶ [1] εὐθυέλεγκτος αὐτοῦ τοῖς συνετοῖς ἡ ὑποσπορὰ τῆς πλάνης εὑρεθήσεται, ὁπότε ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, φησὶν ἡ γραφὴ, καὶ συνᾳδόντως τούτῳ τῷ λόγῳ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ φησὶν, ὡς πρὸς τὸν θεὸν πατέρα τὸν ἴδιον, Πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς; Εἰ τοίνυν ποιητὴς οὐρανοῦ καὶ γῆς ὑπάρχει ὁ θεὸς ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μάτην τὰ πάντα τῷ συκοφάντῃ Σίμωνι εἴρηται, τὸ ὑπ' ἀγγέλων τὸν κόσμον ἐν ἐλαττώματι γεγενῆσθαι, καὶ τὰ ἄλλα πάντα ὅσα δαιμονῶν ὁ πλάνος τῷ κόσμῳ παραλαλῶν ἐξηγήσατο, καὶ ἀπάτην τισὶν ἐνεποίησε τῶν ὑπ' αὐτοῦ ἠπατημένων.

Κεφ. ζ'. Καὶ ταῦτά μοι ἐν ἐπιτομῇ πρὸς τὴν τούτου αἵρεσιν εἰρημένα ἀρκέσει τοῖς ἐντυγχάνουσιν εἰς πρόφασιν ἀληθείας τε καὶ ἰάσεως, καὶ εἰς ἔλεγχον τῶν διὰ τῆς τοιαύτης θηριώδους φθορᾶς πειρωμένων ἀδικεῖν τοὺς ἀγνοοῦντας. Ὑπερβήσομαι δὲ, καὶ ἐφ' ἑτέρας πάλιν βαδιοῦμαι αἱρέσεως ἔλεγχον. Ἔστι γὰρ ἐν αὐτῷ μεταβολὴ καὶ ἐνδυασμὸς, πλάνου μὲν ὄντος αὐτοῦ, μορφὴν δὲ ὀνόματος Χριστοῦ ἐνδυσαμένου, ὡς ἡ τῶν ἐκτρωμάτων ἑρπετώδης ἐξ οὐρίων ᾠῶν ἀσπίδων κυϊσκομένη φθορὰ, καὶ ἄλλων ἐχιδνῶν, ὥς φησιν ὁ προφήτης, Ὠὰ ἀσπίδων ἔρρηξαν, καὶ ὁ μέλλων τῶν ᾠῶν αὐτῶν φαγεῖν εὗρεν οὔριον, καὶ ἐν αὐτῷ βασιλίσκον. Ἀλλὰ τῇ δυνάμει, ὡς ἔφην, τοῦ Χριστοῦ τοῦτον παίσαντες διὰ τῶν τῆς ἀληθείας λόγων, καὶ τὴν αὐτοῦ λύμην ἀφανίσαντες, ἐπὶ τὰς ἑξῆς ἴωμεν ἀγαπητοί.

CAP. VI. — 1. Editi libri mendose εὐθυέλεγχθος.

*me scripsit.* Sed et alia quamplurima sunt quae adversus contrarias praestigiatoris illius rationes opponere possumus. Ac nisi illi daemonum sensus esset, quomodo foeda illa turpiaque conciliare vitam possent, cum in evangelio dominus ipse iis qui dixerant, *Si ita est* Matth. 19, 10.
*caussa viri cum uxore, non expedit nubere,* his verbis respondeat: *Non omnes capiunt istud: sunt enim eunuchi qui seipsos castraverunt propter regnum coelorum?* Quibus verbis ostendit a consuetudine mulieris abstinere munus esse a coelesti regno derivatum. Rursus idem alio in loco ita de honestis nuptiis loquitur, quas impius Simon violans turpiter libidini suae viam ac rationem praeparat: *Quos deus* Matth. 19, 6.
*coniunxit homo non separet.*

Cap. VI.
Quemadmodum vero nugarum suarum oblitus impostor, velut eorum quae antea dixerat ignarus, seipsum refellit! Nam cum dixisset Angelos a se per intelligentiam suam procreatos esse, subiecit postea, ut eosdem illos latere descendendo posset, figuram in unoquoque coelo mutasse. Igitur latebat ideo quod illos metueret. Atqui quid eos quos ipse condiderat Angelos impostor ille metuebat? Nonne etiam convictu facilis prudenti cuilibet occulte prosemiuatus error ille fuerit, cum scriptura teste: *In principio creaverit deus* Gen. 1.
*coelum et terram?* Quibus consentaneum est quod dominus in evangelio deum patrem alloquens dicit: *Pater, domine coeli ac terrae.* Luc. 10, 21.
Quod si coeli terraeque conditor est deus pater domini nostri Iesu Christi, frustra omnia a sycophanta Simone iactantur, mundum scilicet ab Angelis cum defectu fabricatum, caeteraque omnia quae fanaticus veterator fraudulentis sermonibus in orbem invexit nonnullosque a se deceptos iisdem mendaciis circumvenit.

Cap. VII.
Atque haec compendiose a nobis adversus illius haeresin disputata lectori sufficient, quibus veritas ipsa ac mali remedia monstrantur, redarguunturque ii qui immani illa corruptela ignaris hominibus fraudem facere conantur. Nunc alio transferenda et ad alteram haeresin convincendam reflectenda est oratio. Est vero in haeretico illo varium quiddam atque duplex, qui tametsi impostor fuerit, Christi sibi nomen specie tenus imposuit, quemadmodum urinis ex aspidum ac viperarum ovis obortivi serpentium fetus corruptique formantur; id quod iis verbis a propheta dictum est: *Ova* Esai. 59, 5.
*aspidum fregerunt, et qui ova illa comedere vellet, inania reperit, ibidemque regulum.* Verum posteaquam Christi, uti diximus, potentia veritatis illum sermonibus impetiimus eiusque perniciem omnem restinximus, gradum ad reliquas haereses faciamus.

## ΚΑΤΑ ΜΕΝΑΝΔΡΙΑΝΩΝ,

δευτέρα αἵρεσις ἀπὸ τῆς τοῦ κυρίου παρουσίας, τῇ δὲ ἀκολουθίᾳ εἰκοστὴ δευτέρα.

Κεφ. α'. *Ταύτῃ καθεξῆς [1] συνάπτεται Μένανδρός τις, ὃς ἀπὸ Σαμαρειτῶν* pag. 61. *ὁρμώμενος ἐγένετο μαθητεύων τούτῳ τῷ Σίμωνι ἐν χρόνῳ τινί. Ὁμοίως δὲ ἔλεγε καὶ αὐτὸς τὸν κόσμον γεγονέναι ὑπ' ἀγγέλων, ἑαυτὸν δὲ ἔλεγε δύναμιν ἄνωθεν θεοῦ [2] καταπεπέμφθαι. Μείζονα δὲ κυβεῖαν οὗτος ὑπὲρ τὸν πρότερον ἐργασάμενος πρὸς ἀπάτην τῶν ἀνθρώπων ἔλεγεν ἑαυτὸν πεπέμφθαι εἰς σωτηρίαν δῆθεν, καὶ εἰς τὸ συνάγειν τινὰς εἰς τὸ ἑαυτοῦ μυστήριον, διὰ τὸ μὴ ὑπὸ τῶν τὸν κόσμον πεποιηκότων ἀγγέλων καὶ Ἀρχῶν καὶ Ἐξουσιῶν κατακυριευθῆναι. Ὅμοια δὲ τῷ ἑαυτοῦ διδασκάλῳ τὰ πάντα συνυφαίνων καὶ γοητείαις καὶ ταῖς ἄλλαις μαγγανείαις οὐ διέλειπεν, οὐδὲν δὲ διήλλαττε τῇ διδασκαλίᾳ, ἀλλ' ἢ μόνον ὅτι ἑαυτὸν ἔλεγε μείζονα μᾶλλον ἢ τὸν πρὸ αὐτοῦ ὄντα αὐτοῦ διδάσκαλον.*

Κεφ. β'. *Τῷ δὲ αὐτῷ ἐλαττώματι ᾧ καὶ ὁ αὐτοῦ διδάσκαλος περιέπεσε, καὶ αὐτὸς ἁλοὺς διὰ τῶν αὐτῶν τοῦ ἐλέγχου τῆς ἀληθείας λόγων ἀνατραπήσεται. Ἀνετράπη γὰρ οὗτος, καὶ ἔληξεν ἡ αὐτοῦ αἵρεσις, ὡς ἐπὶ τὸ πλεῖστον. Ὑπερβήσομαι δὲ αὐτὴν ἐφ' ἑτέραν πάλιν προκόπτων τῇ ὑφηγήσει ἐλεύσομαι. Τῷ γὰρ ὄντι οἱ παλαιοὶ ἱστοροῦσι μῦθον, ὡς ἐκ πολλῶν ἀσπίδων συνηγμένων ἐν ἄγγει ἑνὶ ὀστρακίνῳ καὶ κατατεθεισῶν ἐν τοῖς θεμελίοις τῶν τεσσάρων γωνιῶν ἑκάστου τεμένους τῶν ἐν Αἰγύπτῳ οἰκοδομηθέντων εἰδώλων, καὶ εἴ τις τούτων [1] ἰσχυροτέρα ηὕρηται παρὰ τὰς ἄλλας, ἐπελθοῦσα τὰς ἑτέρας κατέφαγε, μείνασα δὲ καθ' ἑαυτὴν, καὶ τροφῆς μὴ εὐποροῦσα, στραφεῖσα αὕτη καὶ ἀπὸ τῆς κέρκου ἑαυτὴν ἐσθίειν ἀρξαμένη, ἕως μέρους τινὸς τοῦ σώματος κατέφαγε, καὶ οὕτως ἔμεινεν οὐκέτι τελεία, ἀλλ' ἥμισυ ὑπάρχουσα ἑρπετοῦ. Διὸ καὶ Ἀσπιδογοργόνα ταύτην ἐκάλεσαν, ὥςτε νοεῖν ἡμᾶς τὸ παλαιὸν μὲν εἶναι τοῦτο, νῦν δὲ μηκέτι τοῦτο εὑρισκόμενον, ἀλλ' ἠφανίσθαι· ὡς καὶ αὕτη παντελῶς ἀπελαυνομένη. Εἶχε μὲν γὰρ παρ' ἡμῶν τὴν ἀντιλογίαν, αὐτὴ δὲ διὰ τῆς δυνάμεως Χριστοῦ ἠφάνισται. Καὶ ταύτην δὲ ὑπερβάντες ἐπὶ τὰς ἑξῆς ἴωμεν, ἀγαπητοί.*

pag. 62.

## ΚΑΤΑ ΣΑΤΟΡΝΙΛΙΑΝΩΝ,

τρίτη αἵρεσις ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας, τῇ δὲ ἀκολουθίᾳ εἰκοστὴ τρίτη.

Κεφ. α'. *Μετὰ τοῦτον Σατορνῖλός τις ἀνέστη, καὶ αὐτὸς ἐκεῖθεν τὰς ἀφορμὰς, ἀπὸ Μενάνδρου φημὶ καὶ τῶν πρώην, λαβών. Οὗτος πρὸς τῇ*

Cap. I. — 1. συνέπεται *cod. Vatic.* · 2. καταπέμφθαι *cod. Rhedig. et edit. princ.*

# ADVERSUS MENANDRIANOS,
## quae est haeresis post adventum Christi II., ordine XXII.

Proxime quidam huic Menander adiungendus est, qui genere Samaritanus aliquanto tempore Simoni operam dedit. Atque hic perinde ut alteri mundum ab Angelis fabricatum, seipsum vero dei vim esse de coelo missam asserit. In quo quidem maiorem quam magister ille suus circumveniendis hominibus fraudem ac fallaciam commentus est. Se enim aiebat ad humani generis salutem emissum, atque ut nonnullos suum ad mysterium contraheret, ne Angelorum ac Principatuum Potestatumque, quae mundum condiderant, dominationi subessent. Caetera doctori suo consentanea iisdem praestigiis ac maleficiis adtexebat, nec ab eius dogmate dissidebat, nisi quod maiorem se antecessore ac praeceptore suo iactabat. Cap. I.

Verum in eadem cum isto incommoda delapsus est, iisdemque veritatis convictus sermonibus evertetur. Est enim ipse subversus eiusque magna ex parte haeresis extincta. Quamobrem missam illam faciemus, et ad aliam porro disputationem nostram promovebimus. Siquidem haec a veteribus historia prodita est, cum plures aliquando aspides in unum fictile vas coniectae et in fundamentis angulorum quatuor cuiusque idolorum templi in Aegypto depositae essent, ex iis aspidibus quae fortior erat in alias invasisse, easque devorasse. Quae cum sola remansisset et quo se aleret haberet nihil, in seipsam retorta et a cauda paulatim arrodens parte se aliqua tenus corporis depasta est, adeo ut non amplius integra, sed dimidia sui parte mutilata permanserit. Idcirco Aspidogorgonem illam appellarunt, ut cum eam videmus, fuisse quondam istud ipsum intelligamus, nunc vero minime superesse, ac penitus esse sublatum. Quod ad eam contra quam agimus haeresin convenit. Cui cum disputationem nostram opposuerimus, Christi tamen est virtute profligata. Quare ab illa nos, carissimi, ad refellendam aliam convertamus. Cap. II.

# CONTRA SATURNILIANOS,
## quae est haeresis ab adventu Christi III., ordine XXIII.

Post hunc Saturnilus nescio quis excitatus est, qui erroris illinc argumenta, hoc est a Menandro ac prioribus illis accepit. Hic Cap. I.

Cap. II. — 1. ἰσχυρωτέρα *ubique scripsit Petavius.*

*Συρίᾳ κατοικήσας, τουτέστιν Ἀντιοχείᾳ τῇ πρὸς Δάφνην, πολλήν τινα τέχνην καὶ ἐμπειρίαν πλάνης τῷ κόσμῳ παρεισήνεγκε. Δύο γὰρ οὗτοι ἐγένοντο συσχολασταὶ, Βασιλείδης τε καὶ Σατορνῖλος. Καὶ ὁ μὲν Βασιλείδης πρὸς τῇ Αἰγύπτῳ χωρήσας ἐκεῖσε τὰ σκοτεινὰ αὐτοῦ τοῦ βάθους τῆς πλάνης ἐκήρυξεν. Ὁ δὲ Σατορνῖλος ἐν τῷ προειρημένῳ τόπῳ διατρίβων ὁμοίως τῷ Μενάνδρῳ τὸν κόσμον ὑπ' ἀγγέλων γεγεννῆσθαι κατήγγελλεν· ἕνα δὲ εἶναι πατέρα ἄγνωστον, τὸν αὐτόν τε πεποιηκέναι δυνάμεις καὶ ἀρχὰς καὶ ἐξουσίας, τοὺς δὲ ἀγγέλους διεστάναι τῆς ἄνω δυνάμεως, ἑπτὰ δέ τινας τὸν κόσμον πεποιηκέναι καὶ τὰ ἐν αὐτῷ· τὸν κόσμον δὲ κατὰ μερισμίαν ἑκάστῳ ἀγγέλῳ κεκληρῶσθαι, ὁμοῦ δὲ συνελθόντας τοὺς αὐτοὺς ἀγγέλους ἐντεθυμῆσθαι, καὶ κοινῇ τὸν ἄνθρωπον πεποιηκέναι, κατὰ τὴν μορφὴν τῆς ἄνωθεν παρακυψάσης [1] φωνητικῆς εἰκόνος. Ἣν μὴ δυνηθέντες παρακύψασαν κατασχεῖν, καὶ διὰ τὸ παραχρῆμα ἀναδραμεῖν, μιμήσασθαι ἠθέλησαν· καὶ [2] πεπλάσθαι μὲν τὸν ἄνθρωπον ὑπ' αὐτῶν, οὐδενὸς ἕνεκα ἀλλ' ἢ διὰ τοιαύτην πρόφασιν. Ἐπειδὴ γὰρ, φησὶν, ἄνωθεν τὸ αὐτὸ φῶς παρακύψαν ἐρεθισμόν τινα ἐνεποίησε τοῖς αὐτοῖς ἀγγέλοις, τούτους πρὸς πόθον τοῦ ἄνω ὁμοιώματος ἐπιχειρῆσαι τοῦ ἀνθρώπου τὸ πλάσμα ποιῆσαι· ἐπειδὴ [3] γὰρ ἠράσθησαν τοῦ ἄνω φωτὸς πόθῳ τῷ [4] πρὸς αὐτὸ, καὶ ἡδονῇ κατασχεθέντες, φανέντος καὶ ἀφαντωθέντος ἀπ' αὐτῶν, ἐρασθέντας τε αὐτοῦ καὶ μὴ δυνηθέντας ἐμπλησθῆναι τῆς αὐτοῦ ἐρασμιότητος, διὰ τὸ ὑπὸ θῆξιν ἀναπτῆναι τὸ [5] αὐτὸ φῶς, τούτου χάριν εἰρηκέναι φησὶ τοὺς ἀγγέλους [6] δραματουργῶν ὁ αὐτὸς γόης, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν, παρακόψας τὸ εἰρημένον ἐν τῇ γενέσει ὑπὸ τοῦ θεοῦ τὸ Καθ' ἡμετέραν· ἐάσας τὸ Ἡμετέραν, ἵνα δὴ ἔχῃ ἡ πλάνη αὐτοῦ*
pag. 68. *τὴν πιθανότητα, ὡς δῆθεν ἄλλων μὲν ποιούντων, εἰκόνα δὲ ἑτέρου λέγειν τῷ, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν. Γενομένου δέ, φησὶ, τοῦ ἀνθρώπου, διὰ τὸ αὐτῶν ἀδρανὲς μὴ δύνασθαι αὐτὸν τελεσφορῆσαι, κεῖσθαι δὲ καὶ σκαρίζειν χαμαὶ κείμενον δίκην σκώληκος ἕρποντος, μὴ δύνασθαι δὲ μήτε ἀνορθοῦσθαι, μήτε τι ἕτερον πράττειν, ἕως ἡ ἄνω δύναμις παρακύψασα καὶ σπλαγχνισθεῖσα διὰ τὴν ἰδίαν αὐτῆς εἰκόνα τε καὶ ἰδέαν κατ' οἶκτον ἀπέστειλε σπινθῆρα τῆς αὐτῆς δυνάμεως καὶ δι' αὐτοῦ ἀνώρθωσε τὸν ἄνθρωπον καὶ οὕτως ἐζωογόνησε, δῆθεν τὸν σπινθῆρα ψυχὴν τὴν ἀνθρωπείαν φάσκων· καὶ τούτου ἕνεκα πάντως δεῖ τὸν σπινθῆρα σωθῆναι, τὸ δὲ πᾶν τοῦ ἀνθρώπου ἀπολέσθαι. [7] Ἐν τῷ ἄνω μὲν τὸ ἄνωθεν κατελθὸν ἀνακομισθῆναι*

Cap. I. — 1. φωνητικῆς εἰκόνος *reposui ex auctoritate cod. Vatic. et Irenaei I, 22., qui habet* „lucidam imaginem.“ *Libri vulgo praebent* φωνῆς, *pro quo ego scribendum censueram* φανῆς. Φανὰς *enim Suidas interpretatus est* ἐκλάμψεις, *hoc est* coruscationes; *Petavius suspicabatur* καλλονῆς. *Fabricio ad Philostr. cap.* 31. *pag.* 62. *placuit* τοῦ ἄνωθεν παρακύψαντος φωτός.

2. πεπλάσθαι *ed. Petav. ex auctoritate cod. Vatic., qui habet* πεπεπλάσθαι. *In ed. princ. et cod. Rhedig. extat* πλασθέντα.

3. γὰρ *Petavius primum adiecit de cod.*

in Syria degens, Antiochiae scilicet ad Daphnen, ingentem calliditatem ac fallendi peritiam in orbem invexit. Etenim duo illi condiscipuli fuere, Basilides ac Saturnilus. Quorum ille in Aegyptum profectus illic altissimas erroris sui tenebras vulgare instituit, Saturnilus eo quem dixi in loco habitans perinde ac Menander mundum ab Angelis factum esse praedicabat. Praeterea unum esse Patrem ignotum, qui Virtutes, Principatus et Potestates creaverit. Porro Angelos a superiori virtute descivisse, ex quibus septem mundum, et quae mundo sunt comprehensa condiderint, eiusque mundi suam quemque Angelum partem divisione sortitum. Eosdem tamen in unum convenientes aiebat cum in eorum animos incidisset, communiter hominem ad illius imaginem effinxisse vocis quae furtim e coelo prodierat. Quam obiter conspectam, et subinde recurrentem cum detinere minime potuissent, imitari voluisse; nec aliam fabricandi hominis occasionem illos habuisse. Cum enim superne lumen illud emicuisset, ea res Angelos ipsos excitavit, qui coelestis similitudinis exprimendae desiderio, hominis figmentum elaborare conati sunt. Posteaquam enim coelestis luminis amore capti sunt, quod quidem ubi apparuit ex illorum repente oculis evanuerat, ii summa illius cupiditate ac voluptate perfusi, cum illius iucunditate satiari minime possent, eo quod repente sursum evolasset, tum demum impostor ille velut in scena ita invicem loculos Angelos introducit: *Faciamus hominem ad imaginem et similitudinem.* Ubi particulam Gen. 1, 26. *Nostram* quam in Genesi deus usurpat, ideo decurtavit, ut errori suo fidem adstrueret, quasi alii sint operis artifices, imaginem vero ipsam ad alium referri significent, cum ita loquuntur: *Faciamus hominem ad imaginem et similitudinem.* Caeterum edito in lucem homine Angelos ait prae imbecillitate sua perficere opus suum minime quivisse; proinde in solo iacentem ac subsultantem reptantis instar vermiculi, neque erigere se, neque aliud quicquam agere potuisse, donec Virtus illa coelestis hoc prospiciens atque ob imaginem suam atque effigiem hominis miserta vis suae scintillam immisit, qua et illum erexit et vitam impertiit. Nimirum per scintillam istam humanam animam intelligunt. Atque ideo servari, ait, omnino scintillam hanc oportet, perire vero quicquid hominis proprium est; quod tum accidit cum id quod e coelo delapsum est definito temporis intervallo sursum evolat; similiterque quod infimum est eo unde prodie-

*Vatic. Omitt. ed. princ. et cod. Rhedig.*

4. πρὸς αὐτὸ *cod. Vatic., et inde ed. Petav. Cod. Rhedig. et edit. princ.* τῷ (τὸ *cod. Rhedig.*) πρὸς αὐτούς.

5. αὐτὸ *ego, Cornarium secutus, qui vertit* eadem lux. *Libri habent* αὐτοῦ.

6. δραματουργῶν *cod. Vatic., et inde Petav.* δραματουργεῖ *cod. Rhedig. et edit. princ.*

7. „Et *in homine* quidem id quod

χρόνοις τισί. [8] τὸ δὲ κάτωθεν καταλυθῆναι. Κύριον αὐτὸν φάσκει ὁ γόης ἐν σχήματι ἀνθρώπου ἐληλυθέναι, καὶ ἰδέᾳ μόνῃ, τὰ πάντα δὲ ἐν τῷ δοκεῖν πεποιηκέναι, τουτέστι τὸ γεγεννῆσθαι, τὸ περιπατεῖν, τὸ ὀπτάνεσθαι, τὸ πεπονθέναι.

Κεφ. β'. Ἀπὸ τούτου δὲ ψευδονύμως ἡ καλουμένη γνῶσις ἄρχεται πάλιν προςτίθεσθαι τῷ βυθῷ τῆς αὐτῆς πονηρίας, ἀπὸ Σίμωνος μὲν λαβοῦσα τὴν ἀρχὴν καὶ τὴν πρόφασιν, προςτιθεμένη δὲ περισσοτέρᾳ ἄλλῃ φλυαρίᾳ, ὡς τὸν ταύτης ἔλεγχον ὕστερον ἐροῦμεν. Φάσκει γὰρ οὗτος τοὺς ἀγγέλους λέγων καὶ τὸν θεὸν τῶν Ἰουδαίων ἕνα ἐξ αὐτῶν εἶναι, διεστάναι δὲ τὸν αὐτὸν καὶ τοὺς αὐτοὺς ἀπὸ τῆς αὐτοῦ δυνάμεως, τὸν δὲ σωτῆρα ἀπεστάλθαι ἀπὸ πατρὸς κατὰ γνώμην τῶν δυνάμεων ἐπὶ καταλύσει τοῦ θεοῦ τῶν Ἰουδαίων, καὶ ἐπὶ σωτηρίᾳ τῶν πειθομένων. Εἶναι δὲ αὐτοὺς τοὺς ταύτης τῆς αἱρέσεως τοὺς ἔχοντας τὸν σπινθῆρα τοῦ ἄνωθεν πατρός. Δύο γὰρ [1] πεπλάσθαι ἀπ' ἀρχῆς ἀνθρώπους φάσκει, ἕνα ἀγαθὸν, καὶ ἕνα φαῦλον· ἐξ ὧν δύο εἶναι τὰ γένη τῶν ἀνθρώπων ἐν κόσμῳ, ἀγαθόν τε καὶ πονηρόν. Ἐπειδὴ δὲ οἱ δαίμονες τοῖς πονηροῖς ἐβοήθουν, τούτου ἕνεκα ἐπ' [2] ἐσχάτου τῶν ἡμερῶν, [3] φησὶ, ἦλθεν ὁ σωτὴρ ἐπὶ βοηθείᾳ τῶν ἀγαθῶν ἀνθρώπων, καὶ ἐπὶ καταλύσει τῶν πονηρῶν καὶ τῶν δαιμόνων. Τὸ γαμεῖν δὲ καὶ τὸ γεννᾶν ὁ αὐτὸς ἀγύρτης ἐκ τοῦ Σατανᾶ ὑπάρχειν λέγει, ὅθεν καὶ οἱ πλείους αὐτῶν ἐμψύχων ἀπέχονται, ὅπως διὰ τῆς [4] προςποιητικῆς δῆθεν πολιτείας
pag. 64. αὐτῶν τινας ἐπαγάγωνται εἰς τὴν αὐτῶν ἀπάτην. Τὰς δὲ προφητείας φάσκει ὁ αὐτὸς πάλιν γόης, τὰς μὲν ὑπὸ τῶν κοσμοποιῶν ἀγγέλων [5] προπεφητεῦσθαι, τὰς δὲ ὑπὸ τοῦ Σατανᾶ. Καὶ αὐτὸν δὲ τὸν Σατανᾶν ἄγγελον φάσκει ἀντιπράττοντα τοῖς κοσμοποιοῖς [6] ἀγγέλοις, μάλιστα δὲ τῷ θεῷ τῶν Ἰουδαίων.

Κεφ. γ'. Ὅταν δὲ ταῦτα φάσκῃ ὁ κτηνώδης, πάντως που καὶ αὐτὸς [1] δειχθήσεται ἕνα θεὸν ὁμολογῶν, καὶ ἐπὶ μίαν ἑνότητα μοναρχίας ἀνάγων τὸ πᾶν. Εἰ γὰρ οἱ ἄγγελοι πεποιήκασιν, ἄγγελοι δὲ πάλιν ἀπὸ τῆς ἄνωθεν δυνάμεως τὸ αἴτιον ἐσχήκασι τοῦ εἶναι, [2] ἄρα οὐκ αὐτοὶ αἴτιοι τοῦ πλάσματος τοῦ ἀνθρώπου, [3] ἀλλ' ἡ ἄνωθεν δύναμις ἡ τοὺς ἀγγέλους ποιήσασα, ἐξ ὧν καὶ ἡ [4] πλάσις τοῦ ἀνθρώπου συνέστηκε. Καὶ γὰρ οὐκ αἴτιον τὸ ἐργαλεῖον τῶν ὑπ' αὐτοῦ [5] γενομένων, ἀλλ' ὁ ἐνεργῶν

ex supernis descendit" *cett.*, *vertit Cornarius*, *ut vocem* ἄνω *pro breviatura vocis* ἀνθρώπῳ *sumpsisse videatur.*

8. „quod vero ex infernis est, interire," *convertit Cornarius. Irenaeus I*, 22.: „Hanc igitur scintillam vitae post defunctionem recurrere ad ea quae sunt eiusdem generis dicit, et reliqua ex quibus facta sunt illa resolvi. Salvatorem autem innatum demonstravit et incorporalem et sine figura, putative autem visum hominem." *Supplevi* καταλυθῆναι *vocem*, *quae in libris desideratur*, *et rescripsi* Κύριον αὐτὸν, *pro quo libri praebent* καὶ αὐτὸ.

Cap. II. — 1. πεπλᾶσθαι *cod. Rhedig. et edit. princ.*, *ubique fere.*

2. *Repono* ἐπ' ἐσχάτων τῶν ἡμερῶν, *uti legitur supra pag.* 47., *et haer.* 56, 2. *pag.* 619.

rat regreditur. Quod ad Christum attinet, eiusdem impostoris est dogma, cum sola illum hominis figura atque effigie venisse, omniaque ab eo specie tenus perfecta, cuiusmodi fuit, nasci, ambulare, videri, pati.

Hinc illa falso appellata Gnosticorum secta ad profundam huius sectae nequitiam plurimum adiecit, quae a Simone initium occasionemque nacta longe maiores nugas accumulavit, quemadmodum postea in eius refutatione docebimus. At Saturnilus unum ex iis quos constituit Angelis fuisse Iudaeorum deum existimat, ac tam hunc quam illum a sua virtute descivisse. Salvatorem vero de communi Virtutum sententia a Patre missum, ut et Iudaeorum deum in ordinem redigeret, et iis qui sibi crederent salutem afferret. Eiusmodi esse sectae illius homines, qui coelestis illius parentis scintillam habeant. Duos quippe homines principio esse factos, bonum unum, alterum malum, a quibus duplex item genus hominum, bonum scilicet ac malum, in mundo proseminatum est. Et quoniam daemones malis opitulabantur, ideo postremis, ut ante dixi, temporibus ad bonos homines ope sua sublevandos malosque cum daemonibus profligandos salvator advenit. Iam uxores ducere liberosque gignere ab Satana esse circulator idem pronunciat. Quamobrem plerique ex horum disciplina animatis omnibus abstinent, ut affectato illo sanctioris vitae genere nonnullos suum in errorem pelliciant. De prophetarum oraculis ita veneficus ille disputat, ea partim a mundi opificibus Angelis, partim a Satana profecta, et hunc ipsum Satanam putat Angelum esse, qui mundi conditoribus Angelis, praecipueque Iudaeorum deo, resistat. Cap. II.

Quae cum ab illa pecude hunc in modum disseruntur, vel invitus convincitur unum confiteri deum, atque ad unicum singularemque dominatum universa referre. Etenim si mundus ab Angelis factus est, cum ipsimet ante a coelesti virtute principium atque originem habuerint, non illi fingendi hominis auctores sunt, sed suprema virtus illa potius, quae Angelos condidit, a quibus homo postea formatus est. Nam nec artis instrumentum eorum caussa est, quae ab ipso fiunt, sed ille potius qui cum instrumento eam actionem Cap. III.

3. φησὶ *cod. Vatic.* ὡς προεῖπον *cod. Rhedig. et editi libri.*

4. προςποιητικῆς *cod. Vatic. Vulgo* προςποιητῆς. *Sed cod. Rhedig. manus emendatricis indicium prae se fert.*

5. προπεφητεῦσθαι *cod. Vatic. Vulgo* πεπροφητεῦσθαι, *ut est etiam in cod. Rhedig. Cf. haer.* 42, 4.

6. ἀγγέλοις *cod. Vatic., et inde ed. Petav.* ἀνθρώποις (ἀμοῖς *cod. Rhedig.*) *reliqui libri.*

Cap. III. — 1. δειχθήσεται *cod. Vatic. et edit. Petav.* σωθήσεται *cod. Rhedig. et edit. princ.*

2. *Vulgo* ἄρα.

3. ἀλλὰ *cod. Venet.*

4. *Libri habent* πλᾶσις.

5. γινομένων *cod. Venet.*

τὸ ἐνέργημα διὰ τοῦ [6] ἐργαλείου δι' οὗ τὸ ἔργον γίνεται, ὡς καὶ γέγραπται, Μὴ δοξασθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτὸν, καὶ τὰ ἑξῆς. Οὕτω δὲ ὁρῶμεν ὅτι οὔτε μάχαιρα αἰτία [7] φόνου, ἀλλ' ὁ τῇ μαχαίρᾳ τὸν φόνον ἐπιχειρήσας. Καὶ οὐ τὸ κηροπλαστεῖον δύναται δι' ἑαυτοῦ ποιεῖν τὰ πλασσόμενα, ἀλλ' ὁ τὸ κηροπλαστεῖον καὶ τὸ πλάσμα ἐργασάμενος. Οὐκοῦν οὔτε οἱ ἄγγελοι αἴτιοι, ἀλλ' ὁ τοὺς ἀγγέλους ποιήσας, εἰ καὶ ἣν παραγγείλας αὐτοῖς τοῦ μὴ ποιῆσαι ἄνθρωπον. [8] Ἡ γὰρ καταψηφίζεται τῆς ἄνω δυνάμεως ἄγνοιαν καὶ ἀγνωσίαν τῶν μελλόντων ἔσεσθαι παρὰ τὸ αὐτῆς θέλημα ἐπιτελουμένων, [9] ἢ εὐδοκίᾳ τῇ ἑαυτῆς τοὺς ἀγγέλους πεποιηκέναι πρὸς τὸ χρήσιμον τῆς κατασκευῆς τοῦ ἀνθρώπου, οὗ ἤθελε κατασκευάζειν, ποιήσασα τοὺς ἀγγέλους καὶ μὴ ἐντειλαμένη τοῦ μὴ ἐπιτελέσαι τὸ ἐπιχείρημα, τουτέστι τοῦ ἀνθρώπου τὸ πλαστεῖον, ὡς ἡ αὐτῶν μυθώδης τεχνουργία περιέχει.

Κεφ. δ'. [1] Ἢ οὐκοῦν πάλιν τὸν μυθολόγον ἐρωτητέον, Ἤιδει ἡ ἄνω δύνα-
μις ὅτι μέλλουσι πράττειν; Ναὶ, φησίν. Ἆρα γοῦν εἰ ᾔδει, αὐτὴ πε-
ποίηκε, καὶ οὐκ αὐτοί· εἰ δὲ ᾔδει μὲν, οὐκ ἤθελε δὲ, παρὰ δὲ τὴν
αὐτῆς γνώμην ἐπεχείρησαν τὸ ἐπιχείρημα αὐτοὶ, τίνι τῷ λόγῳ οὐ κεκώ-
λυκεν; Εἰ δὲ ἀδυνάτως ἔσχε τοῦ κωλῦσαι, πρώτη φαυλότης, ὅτι καθ'
αὑτῆς τοὺς ὑπ' αὐτῆς γεγονότας ἀγγέλους εἰς ἀντίθεσιν ἑαυτῆς καὶ παρ-
pag. 65. οξυσμὸν κατεσκεύασε· δεύτερον δὲ, ὅτι δυναμένη οὐ κεκώλυκεν, ἀλλὰ
συνήργησεν εἰς τὸ πονηρὸν ἔργον τὸ [2] ὑπὸ τῶν ἀγγέλων γεγενημένον.
Εἰ δὲ οὐ συνήργησε, καὶ βουληθεῖσα οὐκ ἠδυνήθη κωλῦσαι, πολλή τις
ἀσθένεια ἐν τῇ θελησάσῃ καὶ μὴ δυνηθείσῃ. Καὶ μᾶλλον ἰσχυρότερον
εἴη τὸ ὑπ' αὐτῆς γενόμενον τῶν ἀγγέλων στῖφος ἢ ἡ αὐτὴ, αἰτία οὖσα
τῶν ὑπ' αὐτῆς γεγονότων ἀγγέλων. Ἐξάπαντος τοίνυν ἁλίσκεται ἡ τῆς
αἱρέσεως ὑπόθεσις, ἀσυστασίᾳ μᾶλλον περιπίπτουσα, καὶ οὐκ ἀληθείᾳ.
Εἰ δὲ ἐγίνωσκε μὲν, ἀνάγκῃ δὲ ἐποίει τούτους, ὃ μὴ θέμις ἐστὶ πράτ-
τειν παρὰ τὸ αὐτῆς βούλημα, ἐλαττώσει ἑτέρᾳ περιπεσεῖται πάλιν, καὶ
οὐδὲ ἓν πλήρωμα εὑρεθήσεται ἐν τῇ ἄνω δυνάμει κατὰ τὸν αὐτοῦ λό-
γον. Ἔτι δὲ προςθείημεν αὐτὸν ἐρωτῶντες, Λέγε ἡμῖν, ὦ οὗτος, ὁ
διὰ θυρίδων παρακύψας, ἵν' οὕτω χλευάσω τὴν σὴν ληρῳδίαν, καὶ ἐν
τῷ παρακύπτειν σκοπήσας ὡς ἐκτίσθησαν οἱ ἄγγελοι, καὶ τὴν ὑπ' αὐ-
τῶν περὶ τὸ ἀνθρώπινον πλάσμα τεχνουργίαν, τότε [3] κατοπτεύσας καὶ
τῆς ἄνωθεν δυνάμεως ἐξιχνιάσας τὴν μηχανοποιΐαν, ᾔδεισαν οὗτοι τί
πλάσσουσιν, ἢ ἠγνόουν; ἀγνοοῦντες δὲ, ὑπὸ τίνος ἠναγκάζοντο τὸ ἐν

6. ἐργασίου *cod. Venet.*

7. τοῦ φόνου *cod. Venet.*

8. *Libri vulgo* εἰ γάρ.

9. *Vulgo* ἡ εὐδοκία τῇ (τῆς *cod. Venet.*) ἑαυτῆς.

CAP. IV. — 1. Ἢ *hoc plane delendum censuit Petavius. Sed libri tuentur.*

2. ὑπὸ *cod. Vatic. et ed. Petav.* ἀπὸ *cod. Rhedig. et edit. princ.*

exprimit per quam opus ipsum efficitur; quemadmodum scriptum est, *Num gloriabitur serra sine trahente ipsam?* etc. Atque hoc caeteris Esai. 10, 15.
in rebus ita sese habere cernimus. Neque enim gladius caussa caedis est, sed is qui gladio ad perpetrandam caedem utitur. Neque cerearum imaginum typus quae finguntur per se moliri potest, sed is omnino qui et typum ipsum et expressam imaginem fecit. Quare non Angeli ipsi, sed qui Angelos produxit, hominis caussa censetur, tametsi ne hominem conderent illis interdixerit. Nam vel coelesti Virtuti inscitiam ac futurarum rerum quae praeter voluntatem suam perficiendae sunt ignorantiam adscribit, aut eam propria animi inductione putat Angelos procreasse, quod hoc ipsum ad producendum hominem utile foret quem formare cuperet, cum et Angelos condidisset, nec eos prohibuisset opus eiusmodi, nimirum hominis molitionem, aggredi, id quod fabulosum illorum artificium continet.

Quamobrem rursum de fabularum inventore quaerendum est, Cap. IV.
Ecquid coelestis illa Virtus noverat quid essent Angeli facturi? Noverat, inquit. Igitur non Angeli ipsi, sed illa utique fecit. Quod si noverat quidem, sed fieri tamen nolebat, ac praeter illius sententiam attingere opus istud aggressi sunt, cur non prohibuit? Sin obstare minime potuit, primum hoc vitium est, quod contra semetipsam conditos a se Angelos, sibi ut resisterent ac se irritarent moliri voluerit: alterum, quod cum posset minime prohibuerit, imo etiam ad pessimum illud Angelorum opificium exequendum adiutricem sese praebuerit. Quod si nec illos adiuvit, et prohibere cum vellet non potuit, magnopere imbecillam eam oportet esse, quae quod voluerit efficere non potuit, eritque adeo condita illa ab ea Angelorum caterva fortior quam ipsamet quae Angelorum caussa est ac principium. Igitur haeresis ista minime cohaerere ipsa secum atque a veritate recedere omni ex parte convincitur. Iam vero si coelestem Virtutem minime illa quidem latebant, sed eos ipsos tamen, qui quod nefas esset praeter voluntatem suam erant facturi, necessario condidit, alia rursus in re deficiet, nec ullum in coelesti virtute complementum ex illius sententia residebit. Atque ut illum denuo interrogemus, Heus tu, inquam, qui per fenestras intro prospexeris, ut eo ludibrio deliria tua prosequar, ibique quemadmodum Angeli creati sint pervideris, eorumque in homine fingendo artificium cognoris ac coelestis Virtutis solertiam perscrutatus fueris, unum oro te dic nobis: Num illi quid molirentur noverant, an ignorabant potius? Si enim ignorabant, quae vis illos cogebat ut quod

3. *κατοπτεύσας — ἐξιχνιάσας rescripsi ex emendatione Petavii. Libri vulgo κα-* τώπτευσας — ἐξιχνίασας.

*ἀγνωσίᾳ ἐπιτελεῖν; Οὐχὶ, φησὶν, οὐκ ἠγνόουν· ᾔδεισαν γὰρ ὃ ἔμελλον πράττειν. Ἡ τοίνυν ἄνωθεν δύναμις ᾔδει τούτους τοῦτο μέλλοντας ἐπιχειρεῖν, ἢ ἠγνόει; Οὐκ ἠγνόει. Ἐποίησεν οὖν αὐτοὺς, ἵνα τοῦτο πράξωσιν, ἢ μή; Οὐχὶ, φησίν. Ἐποίησε γὰρ αὐτοὺς μόνον· οὗτοι δὲ παρὰ τὴν ἄνω δύναμιν ἐπεχείρησαν πρὸς τὸ ποιῆσαι πλάσμα. Οὐκοῦν οὗτοι μὲν ᾔδεισαν, ἐκείνη δὲ ἡ ἄνωθεν δύναμις ἠγνόει κατὰ τὸν σὸν λόγον, ὦ πάντων ἀνθρώπων ἀβέλτερε. Καὶ ἔσται μὲν ἡ τῶν ἀνθρώπων [4] κατασκευῆς σύστασις, καὶ οἱ αἴτιοι ταύτης ἄγγελοι ἐν γνώσει, ἡ δὲ τοὺς ἀγγέλους ποιήσασα δύναμις ἐν ἀγνωσίᾳ. Ληρῶδες δ' ἂν εἴη τοῦτο καὶ ἠλίθιον, ὅτι μᾶλλον ἐντελέστερον τὸ ἔργον τοῦ τεχνίτου, καὶ ὁ τεχνίτης ἀδρανέστερος τῶν ὑπ' αὐτοῦ γενομένων ἀγγέλων, αἰτίων ὄντων τῆς ἀνθρωπείας συστάσεως· ὥςτε οὖν ἐξάπαντος [5] ἀνάγκῃ ὁμολογήσειας ἂν ἐπὶ τὸν αὐτὸν ποιητὴν τὸν ἕνα, καὶ ἐπὶ τὴν μίαν μοναρχίαν τὸ πᾶν ἄγειν.*

Κεφ. ε'. *Καὶ γὰρ ὁ θεὸς ὁ πατὴρ ἐποίησε τὸν ἄνθρωπον καὶ πάντα κατὰ*
pag. 68. *τὴν ἰδίαν εὐδοκίαν, καὶ οὐχ οἱ ἄγγελοι, οὐδὲ κατὰ τὴν τῶν ἀγγέλων συμβουλίαν [1] τι γέγονε. Ἐν τῷ γὰρ εἰπεῖν τὸν θεὸν, Ποιήσωμεν ἄνθρωπον, Κατ' εἰκόνα ἡμετέραν εἶπε, καὶ οὐ Κατ' εἰκόνα [2] μόνον. Συνεκάλει γὰρ εἰς τὴν ἑαυτοῦ δημιουργίαν τὸν [3] αὐτοῦ λόγον καὶ μονογενῆ, ὡς ἔχει καὶ ἡ ἐξ ἀληθείας ὁρμωμένη πιστῶν ἔννοια, καὶ αὐτὸ τὸ τῆς ἀληθείας ἀκρίβασμα, ὡς καὶ ἐν ἑτέροις πλείοσι σαφῶς περὶ τούτου καὶ διὰ μήκους ἐποιησάμεθα τὴν ὁμολογίαν, ὡς ὁ πατὴρ συγκαλεῖται τὸν υἱὸν συνδημιουργεῖν τὸν ἄνθρωπον, δι' οὗ καὶ τὰ ἄλλα πάντα ἐποίησεν. Οὐ μόνον δὲ συγκαλεῖν εἴποιμι τὸν υἱὸν, ἀλλὰ καὶ τὸ ἅγιον πνεῦμα. Τῷ γὰρ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Εἴτε δὲ βουληθείη, εἴτε καὶ μὴ βουληθείη, φημὶ δὲ ὁ Σατορνῖλος ὁ τῆς αἱρέσεως ταύτης ἀρχηγὸς, ἀναγκασθήσεται ἐξάπαντος τὸν ἕνα θεὸν ὁμολογεῖν, θεὸν καὶ κύριον τοῦ σύμπαντος ὄντα κτίστην τε καὶ δημιουργὸν, ἅμα τε καὶ τοῦ ἀνθρώπου. Αἰσχυνθήσεται δὲ κατὰ πάντα τρόπον ὡς συκοφάντης, καὶ εἰς τὸν περὶ προφητῶν λόγον, καὶ εἰς τὴν κατὰ τοῦ σεμνοῦ γάμου φαύλην κατηγορίαν. Αὐτὸς γὰρ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διαρρήδην ἐκφωνεῖ ἐν τῷ εὐαγγελίῳ, καὶ λέγει συνῳδὰ τῷ προφήτῃ, Ὅτι ὁ λαλῶν ἐν τοῖς προφήταις, ἰδοὺ, πάρειμι· καὶ πάλιν ὅτι, Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. Ἵνα δὲ δείξῃ τί ἐργάζεται αὐτοῦ ὁ πατὴρ καὶ αὐτὸς, ἀπεφήνατο λέγων τοῖς ἐρωτήσασιν αὐτὸν εἰ χρὴ ἀπολύειν τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν· Πῶς γέγραπται; ὅτι ἐποίη-*

4. κατασκευῆς *rescripsi ego. Vulgo* κατασκευή. *Petavio vox* σύστασις *inducenda videbatur, et retinenda solum* κατασκευή.

5. *Vulgo* ἀνάγκη.

Cap. V. — 1. τι γέγονε, *quod desideratur in edit. princ. et cod. Rhedig., Petavius reposuit ex cod. Vaticano.*

ignotum sibi esset efficerent? Minime, inquit, ignorabant, imo quid acturi essent intellexerant. Aut igitur ad illud facinus aggressuros istos coelestis Virtus sciebat, aut nondum sciebat. Scivisse respondet. Quaero itaque num illos eo consilio nec ne ut hoc facerent produxerit. Negat eo consilio productos. Nihil enim nisi ipsos condidit. At hi inconsulta coelesti Virtute se ad opificium istud accinxerunt. Ergo quod Angeli cognoscebant, coelestis Virtus illa nesciebat? O mortalium longe omnium stolidissime! Et hominis structura consistet, auctoresque illius Angeli eius rei notitiam habebunt, atque interim virtus illa quae Angelos produxit in ignoratione versabitur? Sane perquam hoc stultum est ac ridiculum; cum et opus artifice suo perfectius, et Angelorum auctorem Angelis ipsis qui hominem conflarunt imbecilliorem constituat. Quamobrem hoc unum necessario superest, ut te ad unum omnia eundemque conditorem atque ad singularem principatum referre fateare.

Etenim deus pater hominem cum caeteris omnibus suopte nutu Cap. V.
ac voluntate procreavit, non Angeli, neque ex Angelorum consilio. Nam cum deus ita locutus est: *Faciamus hominem, Ad imaginem nostram,* dixit, non *Ad imaginem* duntaxat. Quippe ad huius opificii communionem verbum suum eundemque filium unicum adhibebat, estque communis iste fidelium omnium sensus a veritate profectus, quacum accuratissime convenit; id quod aliis compluribus locis manifeste ac prolixe sumus professi: nimirum filium a patre ad communiter procreandum hominem vocari, per quem filium reliqua omnia produxerit. Sed neque filium duntaxat advocari dixerim, imo
vero sanctum etiam spiritum: *Verbo enim domini coeli firmati sunt,* Psalm. 33, 6.
*et spiritu oris eius omnis virtus eorum.* Caeterum sive sponte, sive nolens hoc Saturnilus haeresis auctor admittere cogetur, unum omnino deum ac dominum esse conditorem universorum et artificem, adeoque vel hominis ipsius. Pudebit insuper illum velut calumniatorem eorum quae adversus prophetas, nec non ad honestas nuptias nequissime damnandas effutiit. Quippe dominus noster Iesus Christus in evangelio perspicue prophetae consentanea dicit ac pronunciat,
*Quoniam qui per prophetas loquebar ecce adsum:* ac rursum, *Pater* Esai 52, 6.
*meus usque modo operatur, et ego operor.* Ut autem quid ageret tam Ioann. 5, 17.
pater eius quam ipse declararet, hoc ipsum explicavit iis a quibus interrogatus fuerat oporteretne uxorem quacumque ex caussa dimit-
tere: *Quomodo scriptum est? Quoniam deus hominem fecit, mascu-* Matth. 19, 4.

2. μένον *desideratur in cod. Rhedig. et edit. princ. Petavius primum adiecit ex cod. Vaticano.*

3. αὐτοῦ *cod. Rhedig. Libri vulgo* αὐτὸν.

σεν ὁ θεὸς τὸν ἄνθρωπον, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ πάλιν μεθ' ἕτερα ὅτι, Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ, καὶ προςκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Καὶ εὐθὺς προςέθηκε λέγων, Οὓς ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· ὡς ἐξάπαντος τὸν σωτῆρα διδάσκειν τὸν ποιητὴν τῶν ἀνθρώπων θεὸν εἶναι τῶν πάντων, αὐτοῦ δὲ πατέρα. Καὶ ὅτι ὁ γάμος οὐκ ἐκ τοῦ Σατανᾶ, ἀλλ' ἐκ τοῦ θεοῦ τυγχάνει, πρῶτον μὲν ὁ κύριος λέγει· Οὓς ὁ θεὸς, φησὶ, συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. Καὶ πάλιν ὁ ἅγιος ἀπόστολος, Τίμιος ὁ γάμος καὶ ἡ κοίτη
pag. 67. ἀμίαντος. Ταῖς δὲ φύσει χηρευσάσαις ὡςαύτως παραγγέλλει, λέγων διὰ Τιμοθέου, Νεωτέρας χήρας παραιτοῦ· μετὰ γὰρ τὸ καταστρηνιάσαι [4] τοῦ Χριστοῦ γαμεῖν θέλουσι. Καὶ μεθ' ἕτερα, Γαμείτωσαν, τεκνογονείτωσαν, οἰκοδεσποτείτωσαν· [5] ὑπὲρ τοῦ γάμου τὸν νόμον τιθέμενος ἐκ θεοῦ ὄντα, καὶ κατὰ σεμνότητα ἀνθρώποις κεχαρισμένον.

Κεφ. ϛ'. Περὶ δὲ τῶν κατὰ τὰς θεοῦ προφητείας ὑπ' αὐτοῦ σεσυκοφαντημένων ὑπονοιῶν, ὡς μὴ εἶναι [1] αὐτὰς ἐκ θεοῦ, μυρία ἔστιν εἰπεῖν. Ὡς αὐτὸς λέγει ὁ μονογενὴς, ἐξ ὧν [2] τὸν κόσμον ἑαυτοῦ εὐαγγελιζόμενος λέγει, πρῶτον μὲν ὅτι, Ἀβραὰμ ὁ πατὴρ ἡμῶν ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν τὴν ἐμὴν, καὶ [3] εἶδε, καὶ ἐχάρη. Καὶ πάλιν φησὶν, Εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε. Τίς δὲ τῶν εὐφρονούντων καὶ σύνεσιν ἐκ θεοῦ κεκτημένων οὐκ ἐλέγξειε τὸν ἀπατεῶνα Σατορνῖλον, γινώσκων ἐν δόξῃ ἀποκαλυφθέντα τὸν σωτῆρα εἰς παράστασιν ἀληθείας, ἄλλως τὴν ἑαυτοῦ δόξαν μὴ ὑποδείξαντα, ἀλλ' [4] ἢ ἀναμέσον Ἠλία καὶ Μωϋσέως τῶν καὶ αὐτῶν ἐν δόξῃ ἰδίᾳ μετ' αὐτοῦ ὀφθέντων. Ἄλλα δὲ ὅσα τοιαῦτά ἐστιν ἃ ὑπ' αὐτοῦ τοῦ κυρίου, καὶ ἐν πάσῃ τῇ καινῇ διαθήκῃ, λεγόμενα τὴν σύστασιν ποιεῖται νόμου τε καὶ προφητῶν καὶ πάσης παλαιᾶς διαθήκης πρὸς τὴν καινὴν διαθήκην, ὅτι ἑνὸς θεοῦ εἰσιν ἀμφότεραι, ὡς λέγει, Ἐλεύσονται ἐν κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, καὶ ἀναπαύσονται ἀπὸ ἀνατολῶν, καὶ τὰ ἑξῆς. Πάλιν δὲ τὸ ἐκ προςώπου Δαβὶδ περὶ αὐτοῦ προφητευόμενον, τὸ, Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου. Καὶ πάλιν παρ' αὐτοῦ λεγόμενον τοῖς Φαρισαίοις, Οὐδέποτε ἀνέγνωτε, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες; Καὶ ὡς ὁ Λουκᾶς διαβεβαιοῦται αὐτὸν τὸν σωτῆρα μετὰ τὸ ἀναστῆναι ἐκ τῶν νεκρῶν ὦφθαι κατὰ τὴν ὁδὸν τοῖς περὶ τὸν Ναθαναὴλ καὶ τὸν Κλεόπαν, καὶ τούτους νενουθετηκέναι ἀπὸ [5] τῶν προφητῶν, ὅτι οὕτως ἔδει τὸν Χριστὸν παθεῖν, καὶ

4. τοῦ *recepit Petav. ex Vaticano. Desideratur in cod. Rhedig. et edit. princ.*

5. ὑπὲρ τοῦ γάμου τὸν νόμον *cod. Vatic.* ἀνυπέρβατον νόμον *cod. Rhedig. et edit. princ.* ἀνυπέρβατον ὑπὲρ τοῦ γάμου νόμον *edit. Petav.*

Cap. VI. — 1. αὐτὰς *cod. Vatic.* αὐτοὺς *cod. Rhedig. et edit. uterque.*

*lum et feminam fecit eos.* Tum quibusdam interiectis: *Propterea relinquet homo patrem et matrem suam, et adhaerebit uxori suae, et erunt duo in carnem unam.* Quibus continuo subiecit: *Quos deus coniunxit, homo non separet.* Quibus verbis omnino salvator docuit creatorem hominum universorum esse deum, eundemque patrem suum. Nuptias porro non ab Satana, sed a deo derivatas esse primum dominus ipse testatur: *Quos deus,* inquit, *coniunxit, homo non separet.* Tum sanctus apostolus: *Honorabiles,* ait, *nuptiae, et torus immacu-* Hebr. 13, 4. *latus.* Deinde viduis eodem modo praecipit, per Timotheum ita loquens: *Adolescentulas viduas devita: cum enim luxuriatae fuerint in* 1. Tim. 5, 11. 14. *Christo, nubere volunt.* Tum quibusdam interiectis: *Nubant, filios procreent, matres familias sint,* etc. In quo legem eiusmodi saucit quam praetergredi nemini liceat, quae et a deo profecta sit, et hominibus honestatis caussa constituta.

Cap. VI. Quod vero ad opiniones illas attinet, quas de divinis prophetarum oraculis calumniose commentus est, cum ad deum pertinere illos negavit, infinita quaedam in medium afferre licet, cuiusmodi sunt quae unicus ipse dei filius loquitur, cum decora sua ornamentaque proponens his verbis utitur: Primum, *Abraam pater vester* Ioann. 8, 56. *desideravit videre diem meum, et vidit, et gavisus est:* ac rursum, *Si crederetis Moysi, crederetis forsitan et mihi; de me enim ille scripsit.* Ioann. 5, 46. Ecquis vero prudens et accepta divinitus sapientia praeditus impostorem Saturnilum non facile convincat, cum salvatorem videat veritatis comprobandae gratia semetipsum cum ingenti gloria retegentem non eam aliter quam in medio Eliae ac Mosis exhibere voluisse, qui et ipsi sua quisque instructi gloria cum illo conspecti sunt? Possunt et alia id genus afferri, quaecumque ipso domini ore totoque testamento novo pronunciata id aperte confirmant legem ac prophetas vetusque instrumentum omne cum novo convenire, utrumque ab uno eodemque deo manasse. Quemadmodum cum dicit, *Venient in* Matth. 8, 11. *sinum Abrahae, Isaac et Iacob in regno coelorum, et requiescent ab occidente,* etc. Item illud, quod in persona Davidis de se praedictum fuerat: *Dixit dominus domino meo, Sede a dextris meis.* Tum Psalm. 110, 1. quod Pharisaeis dixit: *Nunquamne legistis, Lapidem quem reproba-* Matth. 21, 42. *runt aedificantes?* Eodem etiam pertinet quod Lucas asserit salvatorem a mortuis excitatum Nathanaëli ac Cleophae in via apparuisse, atque ex prophetarum testimoniis admonuisse, *quoniam sic oportebat* Luc. 24, 46. *Christum pati, et a mortuis tertia die resurgere.* Postremo nihil in

2. τὸν *non habent cod. Rhedig. et edit. princ. Petavius reposuit ex cod. Vatic.*
3. *Vulgo libri omnes* ἴδε *pro* εἶδε.
4. ἢ *non habet cod. Vatic.*
5. τῶν ψαλμῶν καὶ ἀπὸ τῶν προφητῶν *cod. Vatic.*

ἐκ νεκρῶν ἀναστῆναι τῇ τρίτῃ ἡμέρᾳ. Καὶ οὐδέν ἐστιν ὅλως διαφωνοῦν τῆς τοῦ κυρίου ἐνσάρκου παρουσίας πρὸς τὰς τῶν προφητῶν προφητείας.

Κεφ. ζ'. Ἀλλ' ἕως τούτου περὶ τῆς Σατορνίλου αἱρέσεως εἰρήσθω, ἵνα μὴ
pag. 68. ἀναλίσκω χρόνους περὶ τὰς μωρὰς αὐτοῦ ζητήσεις καὶ τὰς τούτου ἀνατροπὰς ἐνειλούμενος. Ἐκ ταύτης δὲ παρελθὼν ἑξῆς τὴν Βασιλείδου τοῦ συσχολαστοῦ τούτου καὶ συνηπατημένου δηλώσω. Μετέχουσι γὰρ οὗτοι, ὡς ἀπ' ἀλλήλων τὸν ἰὸν δανεισάμενοι, κατὰ τὴν ἐναργῆ παροιμίαν, ὡς ἀσπὶς παρ' ἐχίδνης ἰὸν δανειζομένη. Ὁμοῦ γάρ εἰσι τῆς σχολῆς καὶ συνεδρίου ἀλλήλων, καθ' ἑαυτὸν δὲ ἕστηκεν [1] ἑκάτερος τὴν αἵρεσιν προστησάμενος· καὶ τὴν μὲν κακίαν παρ' ἀλλήλων ἠρανίσαντο, τὴν δὲ διαφωνίαν ἐν αὐτοῖς ἐνεστήσαντο. Εἴτε οὖν οὗτος δίκην ἐχίδνης παρὰ τῶν ἀνωτάτω μετασχὼν τῷ Βασιλείδῃ μεταδέδωκεν, ἢ ἐκεῖνος τούτῳ, ὅμως ὀλέθριος ὢν ὁ τούτων ἰὸς, καὶ ἀπὸ τοιούτων ἑρπετῶν ὁρμώμενος, διὰ τῆς τοῦ κυρίου διδασκαλίας ἀντιδότου δίκην ἀμαυρωθείς τε καὶ ἀφανισθεὶς ὑφ' ἡμῶν καταλελείφθω. Ἡμεῖς δὲ θεὸν ἐπικαλούμενοι ἐπὶ τὰς ἑξῆς ἴωμεν, ὦ ἀγαπητοί.

## ΚΑΤΑ ΒΑΣΙΛΕΙΔΙΑΝΩΝ,
## δ'. ἢ καὶ κδ'.

Κεφ. α'. Βασιλείδης μὲν οὖν, καθὰ ἄνω προδεδήλωται, ἐν τῇ τῶν Αἰγυπτίων χώρᾳ στειλάμενος τὴν πορείαν, ἐκεῖσε τὰς διατριβὰς ἐποιεῖτο, εἶτα ἔρχεται εἰς τὰ μέρη τοῦ Προσωπίτου καὶ Ἀθριβίτου, οὐ μὴν ἀλλὰ καὶ περὶ τὸν Σαΐτην καὶ Ἀλεξάνδρειαν καὶ [1] Ἀλεξανδρειοπολίτην χῶρον, ἤτοι [2] νομόν. Νομὸν γὰρ οἱ Αἰγύπτιοί φασι τὴν ἑκάστης πόλεως περιοικίδα, ἤτοι περίχωρον. Εὕροις δ' ἂν, ὦ φιλολόγε, καὶ τοῦτο εἰς [3] σαυτοῦ ὠφέλειαν, πρὸς φιλομάθειαν καὶ σαφήνειαν, εἰς εὐσεβῆ σύστασιν καὶ φρᾶσιν τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων, τῶν εἰς ἀπορίας τινὰς ἐμβαλλόντων δι' ἀπειρίαν. Ὅπου γὰρ ἐν τῷ ἁγίῳ προφήτῃ Ἡσαΐᾳ εὕροις γεγραμμένον περὶ νομῶν πόλεως [4] Αἰγυπτιακῶν, οἷον Τάνεως, ἢ Μέμφεως, ἢ νομοῦ [5] τῆς Βουβάστου, Αἰγυπτιακῶς τὴν [6] περίχωρον τῆς τυχούσης πόλεως σημαίνει. Καὶ τοῦτο φιλομαθείας ἕνεκα ἑρμηνευέσθω. Ἦν γοῦν ἐν τοῖς τοιούτοις τόποις ὁ προειρημένος ἀγύρτης τὴν διαβίωσιν ἔχων ἐξ ὧν φαίνεται ἡ καὶ εἰς δεῦρο ἀκμάζουσα αὐτοῦ αἵρεσις, ἐκ τῆς αὐτοῦ διδασκαλίας λαβοῦσα τὴν πρό-

CAP. VII. — 1. *Libri* ἑκάτερον *vulgo.*

CAP. I. — 1. Ἀλεξανδριοπολίτην *habent libri. Ut etiam* Ἀλεξάνδριαν *est in ed. princ. pro* Ἀλεξάνδρειαν, *quod ex cod. Vatic. recepit Petavius.*

2. νομόν. Νομὸν *cod. Vatic. et edit. Petav. Cod. Rhedig. et edit. princ. habent* νόμον. νόμον.

tota Christi vita administrationeque cernitur quod a prophetarum vaticiniis abhorreat.

Ac de Saturniliana haeresi hactenus, ne in stolidis eius quae- Cap. VII.
stionibus earumque refutatione tempus conteram. Hac igitur omissa deinceps ad Basilidae condiscipuli illius et erroris socii haeresin explicandam me conferam. Ambo quippe eorumdem dogmatum participes, velut a se invicem venena mutuati sunt, uti notissimum omnibus proverbium habet: Tanquam aspis a vipera mutuo virus accipiens. Eiusdem enim scholae inter se sunt ac consessus, tametsi sua quisque fundata haeresi separatim constiterit. Quare nequitiam ipsam a se mutuo corrogarunt, dissensionem vero apud se privatim instituerunt. Sed sive prior iste viperae instar quod ab antecessoribus hauserat id in Basiliden transfudit, sive hic in illum potius, cum et letale sit venenum et ab istiusmodi serpentibus profectum, Christi domini doctrina velut antidoto enervatum a nobis et extinctum relinquemus. Tum implorato dei auxilio ad reliquas, o carissimi, haereses orationem promovebimus.

## CONTRA BASILIDIANOS,
### quae est haeresis IV., sive XXIV.

Basilides igitur, ut antea diximus, in Aegyptum profectus ibi- Cap. I.
dem commoratus est. Inde in Prosopiticam, et Athribiticam praefecturam secessit, atque etiam in Saitica et Alexandriae versatus est, in Alexandrinoque agro, sive nomo. Sic enim Aegyptii cuiusque civitatis agrum ac circumiacentem regionem nominant. Atque hoc quisquis es doctrinae cupidus ad usum tuum habebis, quod et ad eruditionem, et ad quorumdam locorum perspicuitatem faciat, quo nonnulla quae in sacris literis scripta sunt, et quibusdam propter inscitiam dubitationem iniiciunt, religiose confirmari explicarique possint. Ubicumque enim apud Isaiam prophetam de civitatis alicuius nomis, puta Taneos, Memphis, vel Bubastico, scriptum aliquid reperies, idipsum ex Aegyptiorum more circumiacentem cuiuscumque civitatis agrum significat; quod eruditionis caussa declarare voluimus. Eiusmodi igitur in locis is, quem diximus, circulator degebat, e quibus quantum apparet, haec ipsa quae in hanc diem viget illius haeresis profluxit, quae ab eius disciplina occasionem at-

3. σαυτοῦ *cod. Vatic. Vulgo* ἑαυτοῦ.
4. Αἰγυπτιακῶν, *quod desideratur in edit. princ. et cod. Rhedig., ex cod. Vaticano recepit Petavius.*
5. τις *edit. princ.*
6. περίμετρον *cod. Vatic.*

φασιν. Καὶ ἄρχεται μὲν κηρύττειν ὑπερβολὴν ὑπὲρ τὸν [7] συσχολαστὴν
pag. 69. αὐτοῦ γόητα, τὸν καταλειφθέντα ἐπὶ τῆς Συρίας, ἵνα δῆθεν τὰ ὑπὲρ ἐκεῖνον διηγούμενος δόξῃ φαντασιάζειν πλέον τοὺς ἀκούοντας, ἀρέσκεσθαί τε καὶ συναγείρειν πλήθη ὑπὲρ τὸν ἑταῖρον αὐτοῦ Σατορνῖλον. Καί τινας λοιπὸν φαντασιώδεις μυθοποιΐας ὑπερβαλλόμενος ἄρχεται μὲν οὕτως, τὰ ἀληθῆ δὲ εἰπεῖν, οὐκ ἀπὸ τῆς ἑαυτοῦ ἐννοίας ἐναρξάμενος [8] ἡμῖν τὰ δεινά τε καὶ ὀλετήρια, ἀλλὰ προφάσεις λαβὼν ἐκ τοῦ Σατορνίλου καὶ Σίμωνος τοῦ προεληλεγμένου· βούλεται δὲ ἑτέρως αὐτὰ μεταχειρίζειν, καὶ εἰς ὄγκον μείζονα διηγεῖσθαι τὰ μυθολογήματα, ὅτι φησὶν, Ἦν ἓν τὸ ἀγέννητον, ὃ μόνος ἐστὶ πάντων Πατήρ. Ἐκ τούτου προβέβληται, φησὶ, Νοῦς, ἐκ δὲ τοῦ Νοῦ Λόγος, ἐκ δὲ τοῦ Λόγου Φρόνησις, ἐκ δὲ τῆς Φρονήσεως Δύναμις καὶ Σοφία, ἐκ δὲ τῆς Δυνάμεώς τε καὶ Σοφίας Ἀρχαὶ, Ἐξουσίαι, Ἄγγελοι, ἐκ δὲ τούτων τῶν Δυνάμεών τε καὶ Ἀγγέλων γεγονέναι ἀνώτερον πρῶτον Οὐρανὸν καὶ Ἀγγέλους ἑτέρους ἐξ αὐτῶν γεγονέναι· τοὺς δὲ ὑπ' αὐτῶν γεγονότας Ἀγγέλους πεποιηκέναι αὖθις δεύτερον Οὐρανὸν, καὶ αὐτοὺς δὲ πάλιν πεποιηκέναι Ἀγγέλους. Καὶ οἱ ἐξ αὐτῶν γενόμενοι τρίτον αὖθις πεποιήκασιν Οὐρανὸν, καὶ οὕτως οἱ καθ' ἕνα Οὐρανὸν εἰς αὖθις ἕτερον καὶ ἑτέρους [9] κατασκευάζοντες ἄχρι τριακοσίων ἑξηκονταπέντε Οὐρανῶν [10] ἐληλάκασι τὸν ἀριθμὸν ἀπὸ τοῦ ἀνωτάτου ἕως τούτου τοῦ καθ' ἡμᾶς Οὐρανοῦ.

Κεφ. β'. Ἀφραινόντων δ' ἂν εἴη [1] τὸ πιστεύειν τῇ μανιώδει αὐτοῦ φλυαρίᾳ, συνετοῖς δὲ εὐθύελεγκτος καὶ ληρώδης ὁ τούτου λόγος καὶ ἡ γνώμη, πῶς εἰς ὑπερβάλλουσαν καὶ ἄπειρον κακοτροπίαν ἐξετόπισε τὴν ἑαυτοῦ γνώμην. Ὁρίζει γὰρ, ὡς κατὰ ποιητικόν τινα ἐνθουσιασμὸν, ἐμβροντηθὲν τὸ ἐλεεινὸν ἀνθρωπάριον ὀνόματα ἑκάστῳ ἄρχοντι τῶν οὐρανῶν ἐκτιθέμενον, πρὸς τὸ διὰ τῶν ὀνομάτων, ὧν ποιητεύεται, παρὰ τῶν μὴ τὸν νοῦν ἐρρωμένων ἐχόντων πιστεύεσθαι, εἰς ὄλεθρον τῆς τῶν ἠπατημένων ψυχῆς, οὐ μὴν δὲ ἀλλὰ καὶ μαγγανικαῖς μηχανίαις προσανέχων οὐκ ἐπαύσατο καὶ περιεργίαις ὁ ἀπατεών. Ὕστερον δέ φησιν [2] ὑπὸ τῶν ἐν τούτῳ τῷ καθ' ἡμᾶς Οὐρανῷ καὶ τῆς ἐν αὐτῷ Δυνάμεως τὴν κτίσιν ταύτην γεγενῆσθαι· ἐξ ὧν Ἀγγέλων ἕνα λέγει τὸν
pag. 70. Θεὸν, ὃν διελὼν τῶν Ἰουδαίων μόνον εἶναι ἔφη ἕνα, καὶ τοῦτον [3] συναρίθμιον Ἀγγέλοις τοῖς ὑπ' αὐτοῦ κατὰ μιμολογίαν ὀνοματοποιουμένοις [4] τάττων, καὶ [5] ὑπ' αὐτοῦ [6] πεπλάσθαι τὸν ἄνθρωπον, καὶ τού-

7. συσχολαστὴν *correxerunt Cornarius et Petavius. Libri tam scripti quam editi vulgo* σχολαστήν. *Cf. haer.* 23, 7.

8. ἡμῖν *desideratur in cod. Rhedig. et edit. princ. Recepit ex cod. Vatic. Petavius.*

9. *In libris vulgo est mendose* κατασκευάζοντας.

10. *Vulgo extat in libris* ἐληλύκασι.

Cap. II. — 1. τὸ πιστεύειν *cod. Vatic.* τοῦτο ἐπαγωγὸν πιστεύειν *cod. Rhedig. et edit. princ.* τοῦτο ἐπαγωγὸν τὸ πιστεύειν *edit. Petav.*

2. ὑπὸ *cod. Vatic.* ἀπὸ *editi libri et cod. Rhedig.*

3. συναρίθμιον *ed. Petav. de auctori-*

que originem accepit. Qui quidem praestigiatore illo suo condiscipulo, quem in Syria reliquerat, maiora multo praedicare coepit, ut sublimioribus quam ille tractandis dogmatibus maiorem auditoribus suis fucum faceret, iisdemque impensius arrideret, ac plures sodali suo Saturnilo sectatores colligeret. Itaque fabulosis quibusdam adiectis somniis hunc in modum exorsus est. Sed ut quod res est dicam, non ille per sese ac suopte ingenio dira illa ac pestifera dogmata primus excogitavit, sed a Saturnilo ac Simone Mago, quem supra refutavimus, erroris argumenta mutuatus est, quae alia ratione tractare et maiore cum pompa enarrare instituit. Erat, inquit, ingenitum unum principium, qui solus est omnium Parens, ab hoc procreata Mens, a Mente Verbum, ab hoc Prudentia, a qua Virtus et Sapientia prodiit. Ab utraque porro Principatus, Potestates et Angeli. Deinde Virtutes Angelique isti primum ac supremum coelum moliti Angelos rursum alios propagarunt. Qui et ipsi secundum coelum fabricati sunt, et alios insuper Angelos produxerunt. Hi tertium adiecere coelum: atque ita singillatim uno post aliud coelo indentidem constituto ad CCCLXV perficiunt, quos a primo supremoque ad id quod nobis citimum est enumerant.

Sed haec figmenta nonnisi insipientes allicere possunt, ut insanis illorum nugis fidem accommodent. Sapientes vero facilem ad revincendum ineptam huius cum orationem, tum sententiam iudicabunt, illudque nullo negotio detegent, quantam quamque immensam in pravitatem mentem suam atque animum ablegarit. Etenim velut poetico quodam furore perculsus infelix humuncio, unicuique coelorum principi certa nomina praescribit, quibus a se confictis nominibus a levibus et imbecillis ingeniis assensum exprimat, ac fraude sua circumventos in exitium animae interitumque pertrahat. Praeterea magicis artibus idem impostor ac praestigiis perpetuo fuit addictus. Qui ab Angelis citimo huic coelo proximoque nobis attributis ac Virtute quae istic residet creata postmodum inferiora censet haec omnia. Horum ex Angelorum numero unum constituit deum quem, ut ab aliis distinguat, Iudaeis duntaxat praeponit, atque eundem ipsum in eorum Angelorum ordinem refert quibus histrionico more certas appellationes indidit. Ab illo vero formatum hominem docet, Cap. II.

*tate cod. Vatic. Vulgo* συναριθμῶν.
4. τάττων, *quod desideratur in cod. Rhedig. et edit. princ., Petavius reposuit ex cod. Vatic.*
5. ὑπ' αὐτοῦ *cod. Vatic.* ἐξ αὐτοῦ *editi libri et cod. Rhedig.*
6. πεπλᾶσθαι *ubique fere scriptum est in cod. Rhedig. et ed. princ.*

τους ἅμα αὐτῷ μεμερικέναι τὸν κόσμον κατὰ διαίρεσιν κλήρῳ τῷ πλήθει τῶν Ἀγγέλων, τούτῳ δὲ λελογχέναι τὸ γένος τῶν Ἰουδαίων, βλασφημῶν δὲ αὐτὸν τὸν παντοκράτορα κύριον, τὸν ὄντως ὄντα θεὸν μόνον, καὶ οὐχ ἕτερον. Πατέρα γὰρ τὸν αὐτὸν εἶναι ὁμολογοῦμεν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Τοῦτον ἐκεῖνος ἀρνούμενος ἕνα βούλεται αὐτὸν παριστᾶν τῶν ὑπ' αὐτοῦ λεγομένων Ἀγγέλων, καθά μοι προδεδήλωται, ἐληλυθέναι δὲ τοὺς Ἰουδαίους εἰς κλῆρον αὐτοῦ. Καὶ τὸν αὐτὸν ὑπὲρ [7] Ἄγγελον αὐθαδέστερον, [8] ἐξαγαγεῖν δὲ τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου αὐθαδείᾳ βραχίονος τοῦ ἰδίου, διὰ τὸ εἶναι αὐτὸν ἰταμώτερον τῶν ἄλλων καὶ αὐθαδέστερον. Ὅθεν διὰ τὴν αὐθάδειάν φησιν αὐτοῦ, ὡς βλασφημεῖ ὁ γόης, βεβουλεῦσθαι τὸν αὐτὸν αὐτῶν θεὸν καθυποτάξαι τῷ γένει τοῦ Ἰσραὴλ πάντα τὰ ἄλλα ἔθνη, καὶ διὰ τοῦτο παρεσκευακέναι πολέμους. Πολλὰ δὲ καὶ ἄλλα κατὰ ἁγίου θεοῦ χαλάσας τὴν γλῶτταν καὶ ἐπάρας τὸ στόμα οὐκ ἐντρέπεται λαλῶν ὁ ἐλεεινότατος. Διὰ τοῦτο γάρ, φησί, καὶ τὰ ἄλλα ἔθνη [9] ἐπολέμησε τοῦτο τὸ ἔθνος, καὶ πολλὰ κακὰ αὐτῷ [10] ἐνεδείξατο, διὰ τὴν τῶν ἄλλων ἀγγέλων παραζήλωσιν, ἐπειδήπερ παροτρυνθέντες, ὡς καταφρονούμενοι ὑπ' αὐτοῦ, καὶ αὐτοὶ τὰ ἴδια ἔθνη ἐπὶ τὸ ἔθνος τοῦ Ἰσραὴλ τὸ ὑπ' αὐτῶν ἐπέσεισαν, [11] καὶ τούτου οὖν ἕνεκα πόλεμοι πάντοτε καὶ ἀκαταστασίαι κατ' αὐτῶν ἐπανέστησαν.

Κεφ. γ'. Αὕτη ἐστὶν ἡ τοῦ ἀπατεῶνος πιθανολογία. Καὶ αὐτὸς δὲ περὶ Χριστοῦ, ὡς δοκήσει πεφηνότος, ὁμοίως δοξάζει. Εἶναι δέ φησιν αὐτὸν φαντασίαν ἐν τῷ φαίνεσθαι, μὴ εἶναι δὲ ἄνθρωπον, μηδὲ σάρκα εἰληφέναι. Δραματουργεῖ δὲ ἡμῖν ἄλλην δραματουργίαν ὁ δεύτερος μιμολόγος, ἐν τῷ περὶ σταυροῦ λόγῳ Χριστοῦ, οὐχὶ Ἰησοῦν φάσκων πεπονθέναι, ἀλλὰ Σίμωνα τὸν Κυρηναῖον, ἐπειδὴ γὰρ ἐν τῷ ἀπὸ Ἱεροσολύμων τὸν κύριον ἐκβάλλεσθαι, ὡς ἔχει ἡ ἀκολουθία τοῦ εὐαγγελίου, ἠγγάρευσάν τινα Σίμωνα Κυρηναῖον βαστάσαι τὸν σταυρόν. Ἔνθεν εὑρίσκει τῆς αὐτοῦ κυβείας ποιήσασθαι τὴν τραγῳδίαν καί φησιν
pag. 71. ἐκεῖνον ἐν τῷ βαστάζειν τὸν σταυρὸν [1] μεταμεμορφωκέναι εἰς τὸ ἑαυτοῦ εἶδος, καὶ ἑαυτὸν εἰς τὸν Σίμωνα, καὶ ἀντὶ ἑαυτοῦ [2] παραδεδωκέναι Σίμωνα εἰς τὸ σταυρωθῆναι. Ἐκείνου δὲ σταυρουμένου ἑστήκει κατάντικρυς ἀοράτως ὁ Ἰησοῦς, καταγελῶν τῶν τὸν Σίμωνα σταυρούντων· αὐτὸς δὲ ἀνέστη εἰς τὰ ἐπουράνια, παραδοὺς τὸν Σίμωνα ἀνασκολοπισθῆναι, καὶ ἀπαθῶς ἀνεχώρησεν εἰς τὸν οὐρανόν· ὁ δὲ Σίμων αὐτὸς ἐσταυρώθη, καὶ οὐχ ὁ Χριστός. Ἰησοῦς γάρ, φησίν, ἀναπετασθεὶς εἰς τὸν οὐρανὸν διῆλθε πάσας τὰς Δυνάμεις, ἕως οὗ ἀποκα-

7. ἄγγελον *rescripsi pro* ἀγγέλων, *quod librorum est omnium.*

8. ἐξαγεῖν *edit. princ.*

9. ἐπολέμησε *ed. Petav. et cod. Rhedig.* ἐπολέμισε *cod. Vatic.* ἐπολέμιζε *edit. princ.*

10. ἐνεδείξατο *cod. Vatic. Reliqui libri omnes* ἐνεδείξαντο.

11. καὶ τούτου οὖν ἕνεκα *cod. Vatic.*

quo cum caeteri universam in Angelorum multitudinem sortito mundum distribuerunt; ex quo factum est ut illi Iudaeorum genus obveniret. Sic omnipotentem ille dominum verum ac solum deum nec alium contumeliose appetens (nos enim eundem domini nostri Iesu Christi patrem confitemur) hunc inquam abnegans unum ex iis quos appellat Angelis constituit, ut est a nobis ostensum. Ergo Iudaeos sortito illi contigisse tradit, quem et longe reliquis Angelis praefractiorem esse, ac virium suarum audacia fretum Israëlitas ex Aegypto liberasse, quod caeteris ad audendum paratior pervicaciorque foret. Atque ex eadem arrogantia factum est uti per summam in deum maledicentiam praestigiator ille narrat, idem ut Iudaeorum deus reliquas nationes suis ipsis Israëlitis vellet subiicere, eamque ob caussam bella concitaret. Sunt et alia plura quae laxata contra deum lingua elatoque ore miserrimus homuncio iactare non est veritus. Veluti cum addit propterea nationes reliquas cum Iudaeorum gente bella gessisse, eamque plurimis affecisse malis, ob aliorum Angelorum videlicet invidiam, qui quod ab illo contemni se viderent commoti suam quisque gentem contra Israëlitas impulerunt. Indeque factum est ut perpetua in hos bella tumultusque concitati fuerint.

Eiusmodi est apta illa ad persuadendum impostoris oratio. Qui Cap. III.
etiam de Christo perinde sentit, specie tenus duntaxat mortalibus apparuisse. Quippe quod in eo cernebatur, nihil praeter imaginem fuisse; neque vero aut hominem extitisse aut carnem induisse. Subiicit et aliam velut in scena fabulam secundus histrio, cum de Christi cruce disputat. Negat enim Iesum esse passum, sed vicarium ei Simonem Cyrenaeum substituit. Quo enim tempore Hierosolymis dominus eiectus est, ut in evangelio scriptum est, angariave- Marc.15,21.
runt Simonem quendam Cyrenaeum ut ferret crucem. Ex quo cavillandi concinnandique fabulam suam occasionem arripuit, nimirum Christum Simonem, cum is crucem portaret, in suam commutasse, eiusque vicissim induisse formam itaque Simonem ad crucis supplicium suo loco tradidisse. Qui dum in cruce suffigitur, Iesum a nemine conspectum, eosque qui Simonem suffigerent deridentem, ex adverso constitisse. Tum ad superos esse subvectum, cum pro se figendum Simonem substituisset, nihilque adeo perpessum in coelum evolasse. Interea Simon, non Christus in crucem sublatus est. Iesus enim, ait, in coelum evectus Virtutes omnes penetravit, donec

τούτου ἕνεκα *cod. Rhedig. et editi libri.*

Cap. III. — 1. μεταμεμορφωκέναι *cod. Vatic. et inde ed. Petav.* μεταμόρφωσεν *reliqui libri.*

2. παραδεδωκέναι *cod. Vatic. et edit. Petavii.* παρέδωκε. *cod. Rhedig.*

*τέστη πρὸς τὸν ἴδιον αὐτοῦ πατέρα. Οὗτος γάρ ἐστι, φησὶν, ὁ υἱὸς τοῦ πατρὸς ὁ προειρημένος, ὁ ἀποσταλεὶς ἐπὶ βοηθείᾳ τῶν υἱῶν τῶν ἀνθρώπων, δι' ἣν εἶδεν ὁ πατὴρ ἀκαταστασίαν ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς ἀγγέλοις· καὶ οὗτός ἐστι, φησὶν, ἡ σωτηρία ἡμῶν, ὁ ἐλθὼν καὶ ἡμῖν μόνοις ἀποκαλύψας ταύτην τὴν ἀλήθειαν. Τοιαῦται μὲν αἱ ῥαψῳδίαι τῆς τοῦ ἀγύρτου μυθοποιΐας. Ἀλλὰ καὶ ἀπεντεῦθεν προκοπτούσης τῆς ἀκαθαρσίας τῆς ἀπὸ τοῦ Σίμωνος ἐναρξαμένης πᾶσαν ἐπιτήδευσιν κακομηχανίας καὶ ἀσελγείας ἐπιτρέπει τοὺς αὐτῷ μαθητευομένους ἐπιτελεῖν, [3] ἄνδρας μετὰ γυναικῶν πολυμιξίαν τινὰ κακῆς ὑποθέσεως τοὺς αὐτῷ πεισθέντας ἐκδιδάσκει. Ὡς λέγει ὁ ἀπόστολος, ἐπὶ τούτοις καὶ τοῖς ὁμοίοις αὐτῶν ἀποκαλύπτεσθαι ὀργὴν θεοῦ, καὶ δικαιοκρισίαν ἐπὶ τοὺς τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατέχοντας. Διὰ ταύτην γὰρ [4] τὴν αἰτίαν τῆς ἡδυπαθείας πολλοὶ εἰς τὴν αἵρεσιν ἐμπίπτουσιν, ἀδεῶς εὑρίσκοντες ἐπιτελεῖν τὴν ἡδονὴν ἑαυτῶν ἐν ταῖς αἰσχρουργίαις.*

Κεφ. δ'. *Διδάσκει δὲ πάλιν καὶ ἀνατρέπει φάσκων μὴ δεῖν μαρτυρεῖν. Ὁ γὰρ μαρτυρῶν ἄμισθος εὑρεθήσεται, μαρτυρῶν ὑπὲρ τοῦ πεποιηκότος τὸν ἄνθρωπον· μαρτυρεῖ γὰρ ὑπὲρ [1] τοῦ ἐσταυρωμένου Σίμωνος. Πόθεν δὲ τούτῳ μισθὸς εἴη, ὁπότε ἀποθνήσκει μὲν ὑπὲρ Σίμωνος τοῦ ἐσταυρωμένου, ὑπὲρ Χριστοῦ δὲ τοῦτο ποιεῖν ὁμολογεῖ ὃ ἀγνοεῖ, ἀποθνήσκων ὑπὲρ οὗ οὐ γινώσκει; Δεῖ τοίνυν ἀρνεῖσθαι, καὶ μὴ προαλόντα ἀποθνήσκειν.*

Κεφ. ε'. *Φωραθήσεται δὲ οὗτος διαβολικὴν δύναμιν εἰςηγούμενος κατὰ τῶν ψυχῶν, ἀπαρνησιθεῖαν αὐτὰς ἐκδιδάσκων, ὁπότε αὐτὸς ὁ κύριός φησι, Τὸν ἀρνούμενόν με ἐνώπιον τῶν ἀνθρώπων ἀρνήσομαι κἀγὼ*
pag. 72. *αὐτὸν ἐνώπιον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. [1] Ἀλλά φησιν ὁ ἀγύρτης, Ἡμεῖς, φησὶν, ἐσμὲν οἱ ἄνθρωποι, οἱ δὲ ἄλλοι πάντες ὗες καὶ κύνες· καὶ διὰ τοῦτο εἶπε, Μὴ βάλητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, μηδὲ δότε τὸ ἅγιον τοῖς κυσί. Κρύπτει γὰρ ἑαυτοῦ τὴν ἀδικίαν ἀπὸ τῶν νοῦν ἐχόντων, ἀποκαλύπτει δὲ [2] τῇ ἑαυτοῦ σχολῇ καὶ τοῖς ὑπ' αὐτοῦ ἠπατημένοις. Ἐπειδὴ γὰρ ἀληθῶς τὰ παρ' αὐτοῖς λεγόμενα καὶ γινόμενα αἰσχρόν ἐστι καὶ λέγειν, λέγει ὅτι ἐνώπιον τῶν ἀνθρώπων δεῖ ὁμολογεῖν τὴν ἀλήθειαν. Ἡμεῖς γάρ ἐσμεν οἱ ἄνθρωποι, οἱ δὲ ἄλλοι ὗες καὶ κύνες ὡς προεῖπον. Φάσκει δὲ μόνον περὶ πατρὸς καὶ τοῦ ἑαυτοῦ μυστηρίου μηδενὶ ἀποκαλύπτειν, ἀλλὰ σιγῇ ἔχειν ἐν ἑαυτοῖς, ἑνὶ δὲ ἀπὸ χιλίων ἀποκαλύπτειν, καὶ δυσὶν ἀπὸ*

3. *Excidit* καὶ, *ni fallor.*

4. τὴν *non est in edit. princ. Habet praeter Vatic., unde reposuit Petavius, Rhedig. quoque liber.*

Cap. IV. — 1. τοῦ, *quod desideratur in cod. Rhedig. et edit. princ., de cod. Va-*

ad patrem suum reversus est. Hic enim est patris ille commemoratus ante filius, qui ad opem humano generi ferendam submissus est, propter eam quam inter homines perinde atque angelos perturbationem coelestis pater animadverterat. Atque idem, inquit, salus est nostra, qui in mundum venit, solisque nobis hanc rei veritatem aperuit. Tales sunt a nebulone isto consarcinatae fabulae. Deinceps vero progressum illa impuritate capiente, cuius auctor Simon fuit, nullum non pravitatis libidinisque genus obeundum discipulis permittit, virorumque ac mulierum promiscuos concubitus et sceleratorum dogmatum congeriem sectatoribus suis proponit. Quod et ab apostolo notatum est, cum ait, *In his et horum similibus iram* Rom. 1. 18.
*dei revelari ac iustum iudicium in eos qui veritatem in iustitia detinent.* Nam ob eas voluptates plerique ad haeresin desciscunt, ubi foedissimis flagitiis impune libidinem suam explere possint.

Quinetiam alio documento suo sectatorum animos corrumpit. Cap. IV.
Ait enim martyrium obire nequaquam oportere. Qui enim id faciat mercede cariturum, cum in eius qui hominem condidit gratiam istud suscipiat, et tamen ad Simonem qui suspensus in cruce sit martyrium referatur. Etenim nndenam ei praemium expectandum qui pro Simone crucifixo mortem oppetens id ipsum se Christi caussa facere profitetur, et quidem imprudens? Nam pro eo quem ignorat morti sese committit. Sufficere ergo nobis istud debet, neque si detenti fuerimus mortis poena subeunda.

Enimvero diabolicam quandam vim ad animarum illum inve- Cap. V.
xisse perniciem facile deprehendemus, ut qui deum eiurare illos edoceat, quandoquidem dominus ipse dicit: *Qui negaverit me coram* Matth. 10, 33.
*hominibus, negabo et ego eum coram patre meo qui in coelis est.* Atenim veterator loquitur. Nos, inquit, homines sumus, caeteri omnes nihil aliud quam sues et canes. Ideoque scriptum est: *Nolite iacere* Matth. 7, 6.
*margaritas ante porcos, neque dare sanctum canibus.* Siquidem de sua improbitate celat eos qui sapientiae nonnihil habent, ac suae duntaxat scholae et circumventis a se hominibus exponit. Quoniam revera quae ab illis dicuntur et fiunt, turpe est etiam eloqui. Igi- Eph. 5, 12.
tur coram hominibus profitendam esse veritatem docet. Nos enim homines sumus, caeteri suum canumque numero, uti diximus. Et illud admonet, ut de patre duntaxat arcanoque suo nemini significent, sed tacitum apud se retineant, aut uni saltem e millibus ac

*tic. auctoritate reposuit Petavius.*
CAP. V. — 1. *Fortasse* Ἄλλα φησὶν ὁ ἄγ.
2. τῇ ἑαυτοῦ *cod. Vatic.* τῇ αὐτοῦ *edit. Petav.* ἡ αὐτοῦ *cod. Rhedig. et edit. princ.*

*μυρίων. Καὶ ὑποτίθεται τοῖς αὐτοῦ μαθηταῖς λέγων ὅτι, Ὑμεῖς πάντα γινώσκετε, ὑμᾶς δὲ μηδεὶς γινωσκέτω. Αὐτὸς δὲ καὶ οἱ ἀπ' αὐτοῦ ἐρωτώμενοι Ἰουδαίους μὲν ἑαυτοὺς μηκέτι εἶναι φάσκουσι, Χριστιανοὺς δὲ μηκέτι γεγενῆσθαι, ἀλλ' ἀρνεῖσθαι πάντοτε, ἔχειν δὲ ἐν ἑαυτῷ σιγῇ τὴν πίστιν, καὶ μηδενὶ ὑποδεικνύναι, τὴν αἰσχύνην ἑαυτοῦ ὑφορώμενος, διὰ τὸ ἀπαρρησίαστον τῆς αἰσχρουργίας καὶ κακῆς αὐτοῦ διδασκαλίας.*

Κεφ. ς'. *Ἔσχε δὲ ἡ ἀρχὴ αὐτῆς τῆς κακῆς προφάσεως τὴν αἰτίαν ἀπὸ τοῦ ζητεῖν καὶ λέγειν πόθεν τὸ κακόν. Πᾶς δὲ ἀπὸ τῆς ἑαυτοῦ πραγματείας δειχθήσεται ὁποῖός ἐστιν.* [1] *Ἔμποροι γοῦν οὗτοι κακῶν* [2] *ἐρασταί, καὶ οὐχὶ ἀγαθῶν, ὡς καὶ ἡ γραφὴ εἶπεν ὅτι, Ζητοῦντας κακά, καταλήψεται κακά. Οὔτε γάρ ποτε κακὸν ἦν, οὔτε ῥίζα γέγονε κακίας, οὔτε ἐνυπόστατον τὸ κακόν ἐστιν. Οὐκ ἦν γάρ ποτε τὸ κακόν· ἐπείσακτον δὲ διὰ προφάσεως ἑκάστῳ τῶν ποιούντων τὸ κακὸν ἔνεστιν. Ἐν τῷ μὴ ποιεῖν οὐκ ἔνεστι, καθάπερ ἐν τοῖς ἄνω λόγοις προδεδήλωται. Λέγει γὰρ ὁ κύριος μετὰ τὸ πάντα πεποιηκέναι, Ἰδοὺ, πάντα καλὰ λίαν, δεικνὺς ὅτι τὸ κακὸν οὐκ ἀρχαΐζει, οὐδὲ ἐξ ὑπαρχῆς ὑπῆρχε πρὸ τοῦ ἀπὸ τοῦ ἀνθρώπου ἐνάρξασθαι. Δι' ἡμῶν γὰρ γίνεται, καὶ δι' ἡμῶν οὐ γίνεται. Ἆρ' οὖν ἐν τῷ πάντα ἄνθρωπον δύνασθαι μὴ ποιεῖν τὸ κακὸν, καὶ δύνασθαι ποιεῖν τὸ κακὸν, ὅταν μέν τοι ποιῇ,*
pag. 73. *ἔστι τὸ κακὸν, ὅταν δὲ μὴ ποιῇ, οὐκ ἔστι τὸ κακόν. Ποῦ τοίνυν τοῦ κακοῦ ἡ ῥίζα,* [3] *ἡ ὑπόστασις τῆς πονηρίας;*

Κεφ. ζ'. *Εἰς δὲ πολλὴν οὗτος ἐλήλακε μωρίαν, φάσκων ὅτι ἡ δύναμις τὸν νοῦν προεβάλετο, ὁ δὲ νοῦς τὸν λόγον, ὁ δὲ λόγος τὴν φρόνησιν, ἡ δὲ φρόνησις δύναμιν καὶ σοφίαν, ἐκ δὲ δυνάμεως καὶ σοφίας ἐξουσίαι καὶ δυνάμεις καὶ ἄγγελοι. Λέγει δὲ τὴν ὑπεράνω τούτων δύναμιν εἶναι καὶ ἀρχὴν Ἀβρασὰξ, διὰ τὸ τὴν ψῆφον τοῦ Ἀβρασὰξ ἔχειν τριακοσιοστὸν ἑξηκοστὸν πέμπτον ἀριθμόν, ὡς ἐκ τούτου τὴν μαρτυρίαν τῆς αὐτοῦ μυθοποιΐας τῶν τριακοσίων ἑξηκονταπέντε οὐρανῶν συνιστᾶν πειρᾶσθαι. Οἷς οὐρανοῖς καὶ τοποθεσίας* [1] *ἴσα τοῖς μαθήμασι διαιρῶν καὶ συνιστᾶν ἐπιτηδεύων οὐ παρέργως μηχανᾶται. Τὰ γὰρ ἐκείνων μάταια θεωρήματα λαβὼν εἰς ἴδιον χαρακτῆρα αὐτός τε καὶ οἱ ὑπ' αὐτὸν εἰς αἰτίαν τῆς ἰδίας εἰδωλοποιοῦ καὶ πεπλανημένης ἐπιπλάστου διδασκαλίας μετήνεγκαν, καὶ βούλονται τὴν σύστασιν τούτων*

CAP. VI. — 1. Ἔμποροι γοῦν οὗτοι cod. *Vatic. Vulgo* Ἔμπορος γοῦν οὗτος.
2. ἐρασταὶ cod. *Vatic. Vulgo* ὁ τοῦ κακοῦ ἐργάτης.
3. *Corrigendum videtur* ἢ *cum Cornario, qui aut vertit.*

CAP. VII. — 1. ἴσα τοῖς μαθήμασι διαιρῶν cod. *Vatic.*, *et inde ed. Petav.*

duobus ex decem millibus aperiant. Quin et suis discipulis ita praecipit: Date, inquit, operam ut omnia cognoscatis, nemo vero vos cognoscat. Caeterum tam ipse quam qui eius sectam amplexi sunt quoties interrogantur Iudaeos quidem se esse negant, Christianos vero nondum fuisse. Sic abnegare perpetuo fidem, eamque tacite apud se custodire, nec ulli patefacere suos instituit; quod nimirum suspectam habeat ipse turpitudinem suam, cum tam immanis foeditas atque impura disciplina audacter evulgari non audeat.

Huius vero pessimae sectae occasionem initiumque dedit illa quaestio ac disputatio, undenam malum originem habuerit. Verum unusquisque cuiusmodi sit, administratione ac negotiatione sua declarabit. Proindeque malorum negotiator non bonorum est ille mali artifex, quemadmodum scriptura testatur: *Qui quaerunt mala, mala eos apprehendent.* Nam neque malum aliquando extitit, neque radix ulla nequitiae fuit, neque omnino malum solidum quiddam est ac consistens. Quippe malum quandoque nullum fuit, sed ex occasione introductum et adscitum in unoquoque inest qui illud committit. Quod si minime committatur non inest, id quod supra demonstravimus. Etenim dominus cum universa creasset, *Ecce,* inquit, *valde bona sunt omnia;* quo istud ipsum ostenderet, non esse vetus admodum malum, neque initio, priusquam ab homine inciperet, extitisse. Per nos enim fit aut non fit. Ex eo ergo scilicet quod quivis hominum malum facere possit, aut minime facere, si faciat, malum existet, si non faciat, nullum erit omnino. Ubi igitur radix illa mali pravitatisque natura subsistens?

Cap. VI. — Eccles. 7, 1. — Gen. 1.

Admodum vero stolidus est, cum a virtute productam Mentem asserit, a Mente Verbum, ac hoc Prudentiam, hanc Virtutem Sapientiamque peperisse, a quibus Potestates et Virtutes Angelique prodierint. Sed his omnibus superiorem quandam Vim statuit ac Principium, quod Abrasax appellat, ideo quod eius vocis literae CCCLXV numerum efficiunt, atque ex eo confictam illam suam de CCCLXV coelis fabulam comprobare nititur. Quibus coelis totidem ex mathematicis rationibus situs ac locorum descriptiones accommodare omni ope ac studio contendit. Nam illorum vanissima theoremata cum ipse, tum qui ex eius disciplina sunt, sic arripuerunt, ut in usum conformata suum ad idolorum propugnatricis falsaeque et adulterinae doctrinae caussam atque originem transferrent. Quae quidem similium supputationum comparatis exemplis cor- Cap. VII.

*Reliqui libri* ἴσας τοῖς ποθητικοῖς (ποιητικοῖς *emendavit Cornarius*) διαιρέσεσι. *Cornarius vertit:* Quibus coelis etiam locorum digestiones poeticis divisionibus pares constituere studens *cett.*

ἀπὸ τῶν ὁμοίων ψήφων ποιεῖσθαι, ὡς προεῖπον, τοῦ Ἀβρασὰξ τῶν τριακοσίων ἑξηκονταπέντε τὸν ἀριθμὸν ἔχοντος δῆθεν, δεικνύντες δι' αὐτοῦ τὸ ἔχειν τὸν ἐνιαυτὸν τριακοσίων ἑξηκονταπέντε ἡμερῶν ἀριθμὸν κατὰ περίοδον. Πέπτωκε δὲ αὐτοῦ ὁ ληρώδης λόγος. Εὑρίσκεται γὰρ ὁ ἐνιαυτὸς τριακοσίων ἑξηκονταπέντε ἡμερῶν καὶ ὡρῶν τριῶν. Εἶτα Ἐντεῦθεν, φησὶ, καὶ ὁ ἄνθρωπος ἔχει τριακόσια ἑξηκονταπέντε μέλη, ὡς ἑκάστῃ τῶν δυνάμεων ἀπονέμεσθαι ἓν μέλος. Ὅθεν καὶ ἐν τούτῳ πέπτωκεν αὐτοῦ ἡ ἐπινενοημένη καὶ νόθος διδασκαλία· [2] ἐν γὰρ τῷ ἀνθρώπῳ ἔστι τξδ' μέλη.

Κεφ. η'. [1] Θαυμαστῶς δὲ ὁ μακάριος Εἰρηναῖος ὁ τῶν ἀποστόλων διάδοχος περὶ τούτου λεπτολογῶν διήλεγξε τούτου τὴν ἀβελτηρίαν καὶ ἀδράνειαν. Ἀνατραπήσεται δὲ καὶ νῦν ἡ φλυαρία τοῦ ἄνωθεν καταβεβηκότος Βασιλείδου, καὶ τὰ ἄνω σαφῶς κατοπτεύσαντος, μᾶλλον δὲ ἄνωθεν πεπτωκότος ἀπὸ τοῦ τῆς ἀληθείας σκοποῦ, ὅτι, εἰ οὗτος ὁ οὐρανὸς ὑπὸ τῶν κατ' αὐτὸν ἀγγέλων γεγένηται, αὐτοὶ δὲ ὑπὸ τῶν ἀνωτέρω, καὶ οἱ ἀνωτέρω ὑπὸ τῶν ἔτι ἀνωτέρω, ἄρ' οὖν ἡ ἄνω δύναμις, ἡ καὶ Ἀβρασὰξ καλουμένη, εὑρεθήσεται ἡ τὰ πάντα πεποιηκυῖα καὶ ἡ αἰτία τῶν ὄντων πάντων, καὶ οὐδὲν δίχα αὐτῆς τι γεγενῆσθαι εὑρε-
pag. 74. θήσεται, ὁπότε αὐτὴ τὸ αἴτιον καὶ τὸ πρῶτον ἀρχέτυπον παρ' αὐτῶν καταγγέλλεται, καὶ τὸ λεγόμενον παρ' αὐτοῖς τοῦ κόσμου τούτου ὑστέρημα ὑπό τινος ἑτέρου μὴ γεγενῆσθαι, ἀλλὰ ἀπὸ τῆς πρώτης ἀρχῆς καὶ αἰτίας τῶν μετέπειτα γεγονότων. Ἐρωτητέον δὲ τὸν αὐτὸν, Τίνι λόγῳ ἐπὶ τοσαύτην πληθὺν ἡμᾶς φέρεις, ὦ οὗτος, καὶ μὴ μᾶλλον ἐπὶ τὴν ἀρχὴν, τουτέστιν ἐπὶ τὸν ἕνα θεὸν, τὸν παντοκράτορα; ὁπότε ἐξάπαντος, ἤτοι οὕτω λέγων, ἢ οὕτω, δεῖ τὸν ἕνα αἴτιον πάντων ὁμολογεῖν δεσπότην. Ἀλλὰ καὶ περὶ τῆς τοῦ Χριστοῦ ὑποθέσεως [2] ἀποκρῖναι, ὦ πλαστουργὲ τῆς μυθοποιοῦ ταύτης πραγματείας. Εἰ Σίμων ἐσταυρώθη ὁ Κυρηναῖος, ἄρα οὐ διὰ Ἰησοῦ ἡ σωτηρία ἡμῶν γεγένηται, ἀλλὰ διὰ Σίμωνος, καὶ οὐκέτι ὁ κόσμος ἐλπίσειε διὰ Ἰησοῦ Χριστοῦ σώζεσθαι τοῦ μὴ παθόντος. Οὔτε γὰρ Σίμων δύναται σώζειν, ἄνθρωπος ὢν ψιλὸς, καὶ οὐδὲν ἕτερον. Ἅμα δὲ καὶ συκοφαντίας καταψηφίζει τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, εἰ ἕτερον ἀντ' αὐτοῦ παραδέδωκεν ὁ ἀγαθὸς κύριος, βιασάμενος εἰς [3] θάνατον. Καὶ ἔσται λοιπὸν ὄναρ, μᾶλλον δὲ κακοηθείας καὶ κυβείας ἔργον [4] τὸ τοιοῦτον, ὅτι ὁ κύριος κυβείᾳ τινὶ ἑαυτὸν κρύψας ἄλλον ἀντ' αὐτοῦ παραδέδωκε· καὶ ἔσται ἡ παρὰ σοῦ μωρολογία συκοφαντοῦσα μὲν τὴν ἀλή-

2. ἐν cod. Rhedig. εἰ editi libri.
Cap. VIII. — 1. θαυμαστὸς cod. Rhedig. — Ceterum cf. Iren. c. Haer. I, 23.
2. ἀπόκριναι ed. Petav. ἀπόκρινε edit. princ. et cod. Rhedig.
3. θάνατον cod. Vatic. φόνον reliqui libri.
4. τὸ τοιοῦτον, quod Petav. recepit ex

roborare conantur. Nam Abrasax, ut ante dixi, CCCLXV numerum continet. Hinc igitur isti totidem diebus confici anni circuitum asserunt. Sed inanis haec oratio per seipsam concidat necesse est. Siquidem annus praeter CCCLXV dies tribus insuper horis constare cernitur. Eadem vero, inquit, haec caussa est cur in homine CCCLXV membra sint, ut quaelibet illarum Virtutum suum sibi vindicare possit. In quo quidem confictum illud adulterinumque dogma non minus corruit. Quippe non plura CCCLXIV membris in homine numerantur.

Ac beatus ille apostolorum successor Irenaeus subtilius ea de re disputans hominis stultitiam cum pari imbecillitate coniunctam sane admirabiliter convicit. Nec minus in praesentia futiles eiusdem Basilidae nugae refellentur qui e coelo delapsus et coelestia manifeste contemplatus est, vel e coelo potius, hoc est scopo veritatis, excidit. Nam si coelum istud ab Angelis quos ille constituit est productum, et ii rursus a superioribus, superiores a supremis procreati sunt, eo res nimirum recidet, ut summa illa Virtus, quae Abrasax dicitur, universa condiderit, sitque omnium quaecumque sunt caussa, nec absque illa quicquam extiterit, cum haec ipsa principium ac primum rerum omnium exemplar ab illis esse dicatur; adeoque sequitur mundi huius quem vocant defectum non ad aliud esse quam ad primum illud principium caussamque eorum quae sunt postea facta referendum. Illud vero de eodem percontari oportet. Quid tu tandem, mi homo, nos in tantam multitudinem compellis? ac non potius ad principium ipsum, hoc est unum deum et omnipotentem, deducis? quandoquidem sive hoc sive alio modo statuas, unum omnino rerum omnium principium ac dominum fateri necesse sit. Quin hoc velim mihi fabulosi huius commenti architecte de Christo respondeas. Si in crucem Simon ille Cyrenaeus est sublatus, non igitur per Christum parta nobis est salus, sed per Simonem, nec iam per Christum mundus salvum fore se sperare debeat, utpote qui minime sit passus. Neque enim salutis esse caussa Simon potest, purus utique ac putus homo, neque quicquam amplius. Ad haec unigenitum dei filium calumniae condemnas, si alterum bonus dominus violenter ad necem suo loco tradiderit. Nec aliud tota res praeter somnium erit, imo malignitatis praestigiarumque specimen, cum semetipsum dominus fraudulentis artibus subducens sui vicarium alterum substituat. Sicque tua illa stultissima cavillatio veritati quidem calumniam struet, nec quod volet tamen assequi poterit, sed de Cap. VIII.

*cod. Vatic., desideratur in cod. Rhedig. et edit. princ.*

θειαν, μὴ δυναμένη δὲ, ἀλλ' ἐλεγχομένη ὑπ' αὐτῆς τῆς ἀληθείας, ἀσυστάτως τὸ ποίημα τοῦτο εἰςηγουμένη.

Κεφ. θ'. Πάντῃ γὰρ ἐλέγχει τοῦτον τὸν αἱρεσιάρχην ἡ ἀλήθεια ἐν παλαιᾷ καὶ καινῇ διαθήκῃ. Παντὶ γάρ [1] τῷ δῆλον ὅτι Χριστὸς ἑκὼν ἐπὶ τὸ πάθος ἦλθε, καὶ θελήματι ἰδίῳ καὶ τοῦ ἰδίου πατρὸς καὶ εὐδοκίᾳ τοῦ ἁγίου πνεύματος ἔλαβε τὴν σάρκα, ἐνανθρωπήσας ἐν ἡμῖν, ἐν τελειότητι θεὸς ὢν, ἀπ' ἀρχῆς ἐκ πατρὸς γεγεννημένος, ἀνάρχως καὶ ἀχρόνως, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ἐν μήτρᾳ παρθένου γενέσθαι καταξιώσας, εἰς ἑαυτόν τε σῶμα ἀναπλασάμενος, καὶ γεννηθεὶς ἐν ἀληθείᾳ, καὶ ἐνανθρωπήσας ἐν βεβαιώσει, ἵνα ἐν αὐτῇ πάθῃ ὑπὲρ ἡμῶν τῇ σαρκὶ, καὶ τὴν ψυχὴν δῷ ὑπὲρ τῶν ἰδίων προβάτων. Ὡς ἐλέγχει τούτους λέγων, Ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται, καὶ ἀποκτανθήσεται, καὶ τῇ τρίτῃ ἡμέρᾳ pag. 75. ἀναστήσεται· τοῖς τε υἱοῖς Ζεβεδαίου φήσας, Δύνασθε πιεῖν τὸ ποτήριον ὃ μέλλω πίνειν. Ὡς καὶ ὁ ἀπόστολος λέγει Πέτρος, Θανατωθεὶς σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι. Καὶ πάλιν, Ὃς ἔπαθεν ὑπὲρ ἡμῶν σαρκί. Πάλιν δὲ Ἰωάννης λέγων, Εἴ τις οὐ λέγει τὸν Χριστὸν ἐν σαρκὶ ἐληλυθέναι, οὗτος Ἀντίχριστός ἐστιν. Ὁ δὲ ἅγιος Παῦλός φησι, Γευσάμενος θανάτου, θανάτου δὲ σταυροῦ. Ὡς καὶ Μωϋσῆς προαναφωνῶν ἔλεγεν, Ὄψεσθε τὴν ζωὴν ἡμῶν κρεμαμένην ἀπέναντι ὑμῶν ἐπὶ ξύλου. Ζωὴ δὲ ἡμῶν οὐχ ὁ Σίμων [2] ὁ Κυρηναῖος, ἀλλ' ὁ ὑπὲρ [3] ἡμῶν πεπονθὼς, ἵνα τὰ ἡμέτερα πάθη διαλύσῃ, καὶ θανὼν σαρκὶ [4] θάνατος θανάτῳ γεγένηται, ἵνα τὸ κέντρον τοῦ θανάτου κλάσῃ, καταβὰς εἰς τὰ καταχθόνια, ἵνα τοὺς ἀδαμαντίνους μοχλοὺς συντρίψῃ. Ὅπερ ποιήσας ἀνήγαγε τῶν ψυχῶν τὴν αἰχμαλωσίαν, ἐκένωσέ τε τὸν ᾅδην.

Κεφ. ι'. Οὐκ ἄρα οὖν αἴτιος θανάτου γέγονεν ὁ Χριστὸς τῷ Σίμωνι αὐτὸς ἑαυτὸν παραδούς. Τί γὰρ λέγεις, ὦ [1] ἄθλιε πάντων ἀνθρώπων; Οὐκ ἠδύνατο ἐλευθεροστομεῖν καὶ ἀναχωρῆσαι ἀπ' αὐτῶν, εἰ μὴ ἐθέλησε σταυρωθῆναι; Ἀλλὰ παίγνιον ἐποίει κυβείας ὁ τοῦ θεοῦ λόγος, καὶ ἄλλον [2] ἀνθ' αὐτοῦ παρεδίδου ἀποθανεῖν καὶ σταυρωθῆναι, ὁ λέγων, Ἐγώ εἰμι ἡ ἀλήθεια, [3] φησὶ, καὶ ἡ ζωή. Ἡ δὲ ζωὴ οὐκ ἂν ἑτέρῳ θάνατον παρασκευάσειε, καὶ ἡ ἀλήθεια οὐκ ἂν κρύψῃ τὸ ἐν ἀληθείᾳ παρ' αὐτῆς γενόμενον, καὶ ἕτερα ἀνθ' ἑτέρων ὑποδείξῃ. Οὐκέτι γὰρ ἡ ἀλήθεια εὑρεθήσεται ἀλήθεια πλάνην ἐργαζομένη καὶ κρύπτουσα τὸ ἑαυτῆς ἔργον, δι' ἐναντίου δὲ πραγματευομένη σοφίσματος. Καὶ ἁπλῶς ἐκ πάντων, ὡς εἰπεῖν, ἵνα μὴ μηκύνω τὸν λόγον, Οὐαὶ

Cap. IX. — 1. *Reposui* τῷ *pro* τοι. 2. ὁ Κυρηναῖος *om. cod. Vatic.* 3. ὑμῶν *cod. Vatic.* 4. θάνατος θανάτῳ γεγένηται, ἵνα *cod. Vatic.* θάνατος θανάτῳ γένηται, ἵνα *edit. Petav.* θάνατον *ed. princ. et cod.*

figmento illo temere ac sine ulla stabilitate proposito vel ab ipsa veritate redarguetur.

Haec enim haeresiarcham istum tam in veteri quam novo testamento omni ex parte convincit. Siquidem nemini est obscurum Christum sua sponte ad supplicium venisse, atque etiam voluntate cum sua tum patris ac sancti spiritus adductum uti carnem indueret, et inter nos hominem se faceret, cum nihilominus perfectus esset deus a patre principio sine ullo initio vel tempore genitus. Qui postremis temporibus in virginis utero formari voluit, sibique corpus effinxit, ac revera genitus et homo sine ullo fuco factus est, uti poenas in ea quam susceperat carne pro nobis experiretur, ac pro ovibus suis animam traderet. In quo haereticos illos perspicue refellit, dum ita loquitur: *Ecce ascendimus Hierosolymam, et filius hominis tradetur et occidetur, et tertia die resurget.* Tum insuper cum Zebedaei filiis ait, *Potestis bibere calicem quem ego bibiturus sum?* Quo illa apostoli Petri verba pertinent: *Mortificatus carne, vivificatus autem spiritu:* ac rursum: *Qui pro nobis in carne passus est.* Sed et Ioannes ita scribens: *Si quis negat Christum in carne venisse, hic est Antichristus.* Ad haec sanctus Paulus, *Qui mortem,* inquit, *gustavit, mortem inquam crucis.* Id quod Moses diu ante praenuncians dicebat, *Videbitis vitam vestram coram vobis e ligno suspensam.* Vita porro nostra non Cyrenaeus Simon, sed ille est ipse qui pro nobis ideo passus est, ut nos passionibus nostris exsolveret, quique ideo mortuus carne mors ipsa mortis esse voluit, eius ut stimulum frangeret, idem terrae ad interiora descendit, ut adamantinos vectes effringeret. Qua re confecta captivas sursum animas evexit, atque inferos exhausit.

Cap. IX. — Matth. 20, 19. — Matth. 20, 22. — 1. Petr. 3, 18. — 1. Petr. 4, 1. — 1. Ioann. 2, 22. — Phil. 2, 8. — Deut. 28, 66.

Tantum igitur abest ut Simoni Christus caussam mortis attulerit, ut ei semetipsum exposuerit. Nam quid tandem ais, mortalium omnium infelicissime? Non libere profiteri quae vellet potuit, et ab illis nisi in cruce suspendi vellet recedere? At scilicet dei verbo adhibendae ioculares praestigiae fuerunt, ut alium ad mortem crucisque supplicium obeundum vice sua traderet; is praesertim qui dixerit, *Ego sum veritas et vita.* Atqui neque vitae est alteri mortem consciscere, neque quod revera inest in sese dissimulare, aliaque pro aliis ostendere, veritatis. Desinet enim veritas esse, si sit fraudis et erroris artifex, suumque ipsamet opus abscondat ac contrariam calliditatem ad negotium suum accommodet. Postremo ut

Cap. X. — Ioann. 14, 6.

*Rhedig.*

Cap. X. — 1. θετήλατε *cod. Vatic.* 2. ἀνθ' αὐτοῦ *cod. Vatic.* ἀντὶ αὐτοῦ *ed. Petav.* ἀντὶ αὐτοῦ *cod. Rhedig. et edit. princ.* 3. φησὶ *om. Vatic. codex.*

τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων καὶ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Πόσοι ἑαυτοῖς σκότος ηὕρηνται, καὶ ἄλλοις τοῖς μετέπειτα τῷ σκότει αὐτῶν πειθομένοις. Τοῖς δὲ συνετοῖς φανήσεται ἡ ἀλήθεια. Ἡ δὲ Βασιλείδου καὶ τῶν τοιούτων πραγματεία πλάνης ἔργον ἐλεγχθήσεται. Καὶ ταῦτά μοι περὶ ταύτης τῆς αἱρέσεως [4] καὶ τοῦ μύθου τούτου εἰρήσθω· ἐντεῦθεν δὲ ἐφ᾽ ἑτέραν αἵρεσιν βαδιοῦμαι.

pag. 76. Τίνι γὰρ οὐ φωρατὴ ἔσται ἡ τοιαύτη αἵρεσις, μῦθός τις οὖσα, καὶ ὡς κεράστου τρόπον ἐν ἄμμῳ κεχωσμένη, διὰ δὲ τοῦ κέρατος ἐν ἀέρι προκύπτουσα, καὶ τὸν ὄλεθρον τοῖς περιτυγχάνουσιν αὐτὴν ἐργαζομένη;· Ἀλλὰ καὶ τὸ κέρας τῶν ἁμαρτωλῶν ὁ κύριος συνέτριψε, τὸ δὲ κέρας τοῦ δικαίου μόνον ὑψωθήσεται, ὅπερ ἐστὶ πίστις ἀληθείας. Διὸ καὶ τοῦτον συντρίψαντες τῇ τῆς ἀληθείας διδασκαλίᾳ ἐπὶ τὰς μετέπειτα διέλθωμεν, θεὸν βοηθὸν ἐπικαλούμενοι, ᾧ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## ΚΑΤΑ ΝΙΚΟΛΑΙΤΩΝ,

### ε΄. ἢ καὶ κε΄.

Κεφ. α΄. Νικόλαος γέγονεν εἷς ἀπὸ τῶν ἑπτὰ διακόνων, τῶν ἐκλελεγμένων ὑπὸ τῶν ἀποστόλων ἅμα Στεφάνῳ τῷ ἁγίῳ καὶ πρωτομάρτυρι, καὶ Προχόρῳ, καὶ Παρμενᾷ, καὶ τοῖς ἄλλοις. Οὗτος ἀπὸ τῶν Ἀντιοχέων ὁρμώμενος προσήλυτος γίνεται· μετέπειτα δὲ καταδεξάμενος τὸν περὶ τοῦ κηρύγματος λόγον τοῦ Χριστοῦ καὶ αὐτὸς συνήφθη τοῖς μαθηταῖς, ἔν τε τοῖς προκριτέοις τὰ πρῶτα ἐξεταζόμενος. [1] Ὅθεν καὶ ἐν τοῖς ἐκλεγεῖσιν εἰς τὴν τῶν χηρῶν τότε ἐπιμέλειαν ἐγκατηριθμήθη. Ὕστερον δὲ τοῦτον ὑπέδυ ὁ διάβολος, καὶ ἐξηπάτησεν αὐτοῦ τὴν καρδίαν τῇ αὐτῇ πλάνῃ τῶν προειρημένων παλαιῶν, κατατρωθῆναι μειζόνως ὑπὲρ τοὺς πρώην. Γύναιον γὰρ οὗτος ἔχων εὔμορφον, καὶ ἀπὸ τοῦ γυναίου ἐγκρατευσάμενος, ὡς κατὰ μίμησιν ὧν ἑώρα θεῷ προσανεχόντων, μέχρι τινὸς ἐκαρτέρει. Οὐ μὴν εἰς τέλος ἤνεγκε κρατεῖν τῆς αὐτοῦ ἀκρασίας, ἀλλὰ βουληθεὶς ὡς κύων ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέφειν, προφάσεις τινὰς οὐκ ἀγαθὰς ἑαυτῷ θηρώμενος ἐπενόει πρὸς ἀπολογίαν τοῦ ἰδίου τῆς ἀκολασίας πάθους, ἃ μᾶλλον [2] συνέφερεν αὐτῷ. Εἶτα οὖν τοῦ σκοποῦ ἐκπεσὼν τῇ ἰδίᾳ γυναικὶ συνήφθη ἀπεριέργως. Οὗτος δὲ αἰσχυνόμενος τὴν ἑαυτοῦ ἧτταν καὶ ὑφορώμενος φωραθῆναι ἐτόλμα λέγειν ὅτι εἰ μή τις καθ᾽ ἑκάστην ἡμέραν λαγνεύει, ζωῆς οὐ δύναται μετέχειν τῆς αἰωνίου. Ἐκ προφάσεως γὰρ εἰς πρόφασιν μετηνέχθη ἑτέραν. Ὁρῶν γὰρ τὴν ἑαυτοῦ σύμβιον κάλλει μὲν διαπρέπουσαν, ταπει-

4. τῆς τοῦ μυθώδους εἰρήσθω cod. Vatic.

Cap. I. — 1. Ὅθεν cod. Vatic. Ἐντεῦθεν reliqui libri.

dicendi finem faciam, *Vae mundo a scandalis*, et operantibus iniquitatem. Matth. 18, 7. Quam multi non modo sibi tenebras offuderunt, sed et aliis quos errori suo postea faciles atque obsequentes nacti sunt! Sed prudentibus veritas apparebit. Basilidae vero, et eiusmodi farinae hominum studium constabit ab errore profectum. Haec habui quae de hac haeresi eiusque fabulis dissererem. A qua deinceps ad aliam me conferam.

Quis enim non illam haeresin facile deprehendat nihil praeter figmentum esse, instarque cerastae in arena defossam solo cornu duntaxat exerto iis qui in ipsam incurrerat exitium afferre. Verum et *peccatorum cornu dominus contrivit, et iusti cornu solum exaltabitur*, hoc est veritatis fides. Psalm. 74, 11. Posteaquam igitur veritatis illud doctrina contrivimus, age caeteras persequamur, conciliato primum nobis adiutore deo, cui gloria et honor et adoratio in secula seculorum, Amen.

## ADVERSUS NICOLAITAS,
## quae est haeresis V., sive XXV.

Nicolaus e numero VII diaconorum fuit qui ab apostolis delecti Cap. I. sunt, una cum S. Stephano protomartyre ac Prochoro, Parmena, sociisque caeteris. Hic oriundus Antiochia sese ad Iudaeorum sectam aggregavit. Postea Christianum dogma complexus ad discipulos Act. 6. adiunctus atque inter primarios adnumeratus est. Inde in eorum ordinem relatus est qui ad viduarum praefecturam electi sunt. Verum postea in eum se diabolus insinuavit, eiusque mentem veterum illorum quos commemoravimus erroribus imbuit, ut etiam maius ipsi quam iisdem illis vulnus infligeret. Nam cum uxorem haberet eleganti specie mulierem, ab ea sibi aliquamdiu temperavit, ut eos imitaretur quos deo penitus addictos cerneret. Sed non intemperantiam suam perpetuo coërcere potuit. Quippe canis instar ad vomitum redire cupiens, et malos quosdam colores excusationesque praetexens, ad libidinis suae patrocinium excogitavit, quae magis ex usu sibi esse viderentur. Qua spe cum excidisset, tum demum sine ulla tergiversatione cum uxore consuetudinem habere instituit. Verum suae sibi ignaviae conscius, ac ne deprehenderetur veritus, iactare illud ausus est: Nisi qui singulis diebus luxuriae vacet, sempiternam salutem neminem posse consequi. Ita ab excusatione una in alteram delapsus est. Cum enim coniugem suam praestanti esse forma

2. συνέφερεν τοῦ ἰδίου σκοποῦ ἐκπεσόντι τῇ ἰδίᾳ γυναικὶ συναφθῆναι ἀπεριέργως cod. *Vatic.*

*νότητι δὲ φερομένην, ἐζηλοτύπησε ταύτην, καὶ κατὰ τὴν ἰδίαν ἀσέλγειαν*
pag. 77. *τοὺς ἄλλους εἶναι νομίσας τὰ πρῶτα μὲν ἐμπαροινῶν εἰς τὴν ἰδίαν γαμετὴν διετέλει,* [3] *καὶ διαβολάς τινας αὐτῇ ἐπιφέρων διὰ λόγων. Τὸ δὲ πέρας ἑαυτὸν κατέσπασεν οὐ μόνον εἰς τὴν χρῆσιν τῆς σαρκὸς τὴν κατὰ φύσιν τῶν ἀνθρώπων, ἀλλὰ καὶ εἰς βλάσφημον ὑπόνοιαν καὶ βλάβην κακοτροπίας καὶ* [4] *πλάνην παρεισδύσεως* [5] *πονηρᾶς.*

Κεφ. β'. *Καὶ ἐντεῦθεν ἄρχονται οἱ τῆς ψευδωνύμου γνώσεως κακῶς τῷ κόσμῳ ἐπιφύεσθαι. φημὶ δὲ Γνωστικοὶ, καὶ Φιβιωνῖται, καὶ οἱ τοῦ Ἐπιφανοῦς καλούμενοι, Στρατιωτικοί τε καὶ Λευιτικοὶ, καὶ ἄλλοι πλείους. Ἕκαστος γὰρ τούτων τὴν ἑαυτοῦ αἵρεσιν τοῖς πάθεσιν αὐτοῦ ἐπισπώμενος μυρίας ὁδοὺς ἐπενόησε κακίας. Τινὲς μὲν γὰρ αὐτῶν Βαρβηλώ τινα δοξάζουσιν, ἣν ἄνω φάσκουσιν εἶναι ἐν ὀγδόῳ οὐρανῷ·* [1] *ταύτην δὲ ἀπὸ τοῦ πατρὸς προβεβλῆσθαί* [2] *φασι. Μητέρα δὲ αὐτὴν εἶναι οἱ μὲν τοῦ Ἰαλδαβαὼθ λέγουσιν, οἱ δὲ τοῦ Σαβαώθ· τὸν δὲ υἱὸν ταύτης κεκρατηκέναι τοῦ ἑβδόμου οὐρανοῦ ἐν θράσει τινὶ καὶ ἐν τυραννίδι. Λέγει δὲ τοῖς ὑποκάτω ὅτι, Ἐγώ εἰμι, φησὶν, ὁ πρῶτος, καὶ ὁ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστιν ἕτερος θεός. Τὴν δὲ Βαρβηλὼ ἀκηκοέναι τὸν λόγον τοῦτον, καὶ κλαῦσαι. Ταύτην δὲ ἀεὶ φαίνεσθαι τοῖς ἄρχουσιν ἐν εὐμορφίᾳ τινὶ, καὶ ἀποσυλᾶν τὸ ἐξ αὐτῶν σπέρμα δι' ἡδονῆς καὶ ἐκχύσεως, ἵνα δῆθεν τὴν* [3] *αὐτῆς δύναμιν τὴν εἰς διαφόρους σπαρεῖσαν αὖθις πάλιν ἀνακομίζῃ. Καὶ οὕτως ἐκ τοιαύτης ὑποθέσεως τὸ τῆς αὐτοῦ αἰσχρολογίας* [4] *μυστήριον τῷ κόσμῳ ὑπεισήνεγκε. Καί τινες, ὡς ἔφην, τῶν προειρημένων διὰ πολλῆς κακομηχανίας, ἃ μὴ θέμις* [5] *λέγειν πῶς, ἐν πολυμιξίᾳ γυναικῶν καὶ ἐν αἰσχροποιΐαις ἀνηκέστοις ἀναστρέφεσθαι ἐδίδαξαν· ὥς καί που ὁ ἁγιώτατος ἀπόστολός φησι, Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν. Τῷ δὲ βουλομένῳ τὴν ἀντίθετον ἰδεῖν ἐκ πνεύματος ἁγίου περὶ τῆς τοιύτου αἱρέσεως ἀνατροπὴν ἰστέον ἐστὶν ἀπὸ τῆς τοῦ ἁγίου Ἰωάννου Ἀποκαλύψεως, ὃς γράφων μιᾷ τῶν ἐκκλησιῶν ἐκ προσώπου κυρίου, τουτέστι τῷ ἐπισκόπῳ τῷ ἐκεῖσε κατασταθέντι, σὺν τῇ δυνάμει τοῦ ἁγίου αγγέλου τοῦ ἐπὶ τοῦ θυσιαστηρίου, φησὶν, Ἔχεις δέ τι καλὸν, ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊτῶν, ἃ καὶ ἐγὼ μισῶ.*

Κεφ. γ'. [1] *Προύνικόν τε* [2] *ἄλλοι τιμῶντες τινὰ ὡς καὶ οὗτοι μυθωδῶς πάλιν*
pag. 78. *εἰς ταύτην τὴν ὑπόνοιαν τῆς αἰσχρουργίας τὰ ἑαυτῶν πάθη ἐπιτελοῦντές φασι τῆς Προυνίκου τὴν δύναμιν συλλέγομεν ἀπὸ τῶν σωμάτων, διά τε τῶν ῥευστῶν, φημὶ δὲ γονῆς καὶ καταμηνίων, περὶ ὧν ὀλίγῳ*

3. καὶ, *quod desideratur in ed. princ. et cod. Rhedig., a Petavio ex cod. Vatic. est restitutum.*

4. πλάνην *cod. Vatic. et ed. Petav.* πλάνης *cod. Rhedig. et edit. princ.*

5. πονηρᾶς *cod. Vatic. et ed. Petav.* πονηρίας *cod. Rhedig. et edit. princ.*

Cap. II. — 1. καὶ ταύτην ἀπὸ *cod. Vatic.*

2. φασὶ *cod. Vatic. et ed. Petav.* φησὶ

videret, humilemque sese praestare, zelotypia commotus, ac de libidine sua caeterorum mores interpretatus, primum uxorem suam contumeliose est aggressus, eique certa crimina per calumniam obiecit: demum vero non solum ad usitatum inter homines ac naturalem usum corporum prolapsus est, verum etiam in plenum illud in deum contumeliae dogma improbitatisque damnum atque errorem pravitatis omnis conciliatorem erupit.

Ab hoc fonte derivati ac pessime in mundum introducti sunt hae- Cap. II.
retici illi qui eam sibi, quam falso nominant, Cognitionem vindicant, cuiusmodi sunt Gnostici, Phibionitae, et quibus ab Epiphane nomen est inditum. Tum etiam Militares, Levitici, aliique complures. Quorum quilibet haeresin propriam ad animi sui affectiones accommodans sexcentas nequitiae vias excogitavit. Nam eorum aliqui Barbelonem nescio quam celebrant, cui in octavo coelo domicilium attribuunt. Hanc a Patre productam affirmant, Matremque alii Ialdabaoth, alii Sabaoth faciunt. Et quidem illius, ut aiunt, filius septimi coeli per summam audaciam ac tyrannidem compos est factus. Isque inferiores alloquens, Ego, inquit, primus sum ac postremus, nec alius praeter me deus est. Quod audiens Barbelo lacrymata est. Eandem porro venusta specie Principibus apparere dicunt, ab iisque semen per voluptatem ac profluvium auferre; nimirum ut vim suam in diversos distractam iterum recuperet. Cuius dogmatis occasione foeditatis suae mysterium in orbem invexit. Atque eorum plerique, quos commemoravimus, quo tandem pacto quod ne proferre quidem licet miro improbitatis artificio in promiscuo mulierum concubitu immanique turpitudine volutari docuerunt? quemadmodum sanctissimus
Paulus alibi declarat his verbis: *Quae enim occulto fiunt ab ipsis,* Eph. 5, 12.
*turpe est vel dicere.* Verum si qui contrariam huic errori refutationem a spiritu sancto profectam videre cupiat, ea ex sancti Ioannis Apocalypsi cognosci poterit, qui ad unam ecclesiarum ex Christi domini persona scribens, sive ad episcopum qui ei praepositus fue-
rat, cum angeli sancti virtute qui in altari erat, ita loquitur: *Sed* Apoc. 2, 6.
*hoc habes boni, quia odisti facta Nicolaitarum, quae et ego odi.*

Alii vero Prunicam quandam eodem quo isti commento veneran- Cap. III.
tes, et ex illo turpitudinis dogmate cupiditatibus suis obsequentes, Prunicae, inquiunt, vires ex corporibus profluviisque colligimus, ex semine nimirum ac menstruis, de quibus paulo post, cum de his par-

cod. *Rhedig. et ed. princ.*
3. αὐτῆς *codd. Vatic., Rhedig. et edit. Petav.* αὐτῶν *edit. princ.*
4. μυστήριον οὐ τόσον Νικόλαος τῷ κόσμῳ *cod. Vatic.*
5. *Vulgata distinctio est* λέγειν, πῶς ἐν πολυμιξίᾳ *cett.*
Cap. III. — 1. Προύνεικον *cod. Vatic.*
2. ἄλλοι *codd. Vatic. et ed. Petav.* ἄλλως *cod. Rhedig.* (*c. rasura*) *et edit. princ.*

ὕστερον, ὅταν περὶ αὐτῶν μονομερῶς λέγειν ἐπιβαλλώμεθα, κατὰ λεπτότητα ὑφηγήσομαι, οὐκ εἰς τὸ χρᾶναι ἀκοὰς τῶν ἀκουόντων ἢ ἐντυγχανόντων, ἀλλ' εἰς τὸ τοῖς συνετοῖς ἀπέχθειαν μᾶλλον ἐργάσασθαι πρὸς αὐτοὺς καὶ ἀποτροπὴν τῆς τῶν κακῶν ἐργασίας, οὐ συκοφαντῶν τοὺς ἀλιτηρίους, ἀλλὰ κατ' ἀλήθειαν τὰ παρ' αὐτῶν γινόμενα εἰς τοὐμφανὲς θριαμβεύων. Ἕτεροι δὲ τῶν προειρημένων Ἰαλδαβαὼθ δοξάζουσι, φάσκοντες αὐτὸν εἶναι πρῶτον υἱὸν, ὡς ἔφην, τῆς Βαρβηλώ· καὶ διὰ τοῦτό φησι δεῖν ἄγειν [3] αὐτῷ τὴν τιμὴν, ὅτι πολλὰ ἀπεκάλυψεν. Ὅθεν καὶ βιβλία τινὰ [4] ἐξ ὀνόματος τοῦ Ἰαλδαβαὼθ ποιητεύονται ἐκτυποῦντες, καὶ ὀνομασίας μυρίας βαρβαρικὰς ἀρχόντων [5] φασὶ καὶ ἐξουσιῶν καθ' ἕκαστον οὐρανὸν ἐναντιουμένων τῇ τῶν ἀνθρώπων ψυχῇ. Καὶ πολλὴ ἁπλῶς ἡ διὰ τῆς πλάνης αὐτῶν γινομένη τῷ γένει τῶν ἀνθρώπων ἐπιβουλή. Ἄλλοι δὲ τὸν [6] Καυλαυκαὺχ ὡσαύτως δοξάζουσιν, ἄρχοντά τινα τοῦτον οὕτω καλοῦντες, φαντασιάζειν φιλοτιμούμενοι τοὺς ἀπείρους διὰ τῆς τῶν ὀνομάτων ἐκπλήξεως καὶ ἐπικλάστου τῆς τοῦ ὀνόματος βαρβαρωνυμίας. Τοῖς δὲ ἐμπείροις καὶ ἐκ θεοῦ λαβοῦσι περὶ ἑκάστης ὀνομασίας καὶ ὑποθέσεως τῆς ἀληθινῆς τοῦ θεοῦ γνώσεως χάριν πῶς οὐκ εὐθυέλεγκτα τὰ τῆς μυθώδους αὐτῶν πλάνης διδάγματα [7] ἐχέγγυα;

Κεφ. δ'. [1] Προύνικον ἐὰν εἴπωσι, τὸ ὅλον ἐστὶν ἡδυπαθείας καὶ [2] ἐκκαρδίας ἐξεύρεσις. Πᾶν γὰρ τὸ προυνικευόμενον λαγνείας ὑποφαίνει τὸ ἐπώνυμον, φθορᾶς δὲ τὸ ἐπιχείρημα. Ἐπὶ [3] τοῖς γὰρ τὰ σώματα διακορεύουσιν Ἑλληνική τίς ἐστιν ἡ λέξις τὸ, [4] Ἐπρουνίκευσε ταύτην· ὅθεν καὶ ἐν μύθοις ἀναγράφουσιν οἱ τὰ Ἑλληνικὰ συγγραψάμενοι Ἑλλήνων ἀπατεῶνες περὶ κάλλους λέγοντες οὕτως ὅτι, Κάλλος προύνικον. Ἀλλὰ καὶ περὶ τοῦ Καυλαυκαὺχ τίς τῶν γινωσκόντων οὐ καταγελάσειεν, ὅτι
pag. 79. τὰς Ἑβραϊστὶ καλῶς εἰρημένας λέξεις, καὶ Ἑλληνιστὶ καλῶς ἑρμηνευθείσας, καὶ νῦν παρὰ τοῖς Ἑλληνιστὶ ἀναγινώσκουσι φανερὰς οὔσας, καὶ οὐδὲν σκολιὸν ἐχούσας, αὐτοὶ εἰς εἰδωλοποιΐας τε καὶ εἰς μορφὰς καὶ εἰς [5] ἐνυποστατικὰς ἀρχὰς, καὶ ὡς εἰπεῖν ἀνδριαντοπλασίας, τοῖς ἀφελέσι διὰ φαντασίας τὴν πλάνην ὑποσπείροντες ἀνατυποῦσιν εἰς τὴν τῆς αἰσχρᾶς αὐτῶν καὶ μυθώδους τέχνης ὑποσπορὰν; Καυλαυκαὺχ γὰρ ἐν τῷ Ἡσαΐᾳ γέγραπται, λέξις τις οὖσα ἐν τῇ δωδεκάτῃ ὁράσει, ἔνθα λέγει, Θλίψιν ἐπὶ θλίψει, ἐλπίδα ἐπ' ἐλπίδι· ἔτι μικρὸν, ἔτι μικρὸν

3. αὐτῷ cod. *Vatic.* et edit. *Petav.* αὐτῇ cod. *Rhedig.* et edit. princ.
4. ἐξ ὀνόματος cod. *Vatic.* ἐπ' ὀνόματος cod. *Rhedig.* et edit. princ.
5. *Rescripsi* φασὶ *pro* φησὶ, *quod in libris vulgo invenitur.*
6. καυλαυκαὺκ cod. *Vatic.*
7. ἐχέγγυα cod. *Vatic.* καὶ ἐχέγγυα cod. *Rhedig.* et editi libri.
Cap. IV. — 1. *Cf. cum hoc capite quae disputat infra haer.* 37, 6.
2. ἐκ καρδίας cod. *Rhedig.* *Cornarius vertit* „id totum est voluptatis ex corde excogitatio.“

ticulatim agemus, subtilius disseremus, non ut audientium legentiumve sensus inquinemus, sed ut prudentioribus vehementius adversus illos odium pessimorumque facinorum detestationem iniicere possimus. Neque vero scelestos illos calumniose traducimus, sed quae ab ipsis geruntur, ea uti se res habet palam omnibus exponimus. Sunt et ex illis aliqui qui Ialdabaoth praecipue colunt, eumque Barbelonis priorem natu filium esse praedicant, ideoque habendus ei honor est, inquiunt, quod recondita multa patefecit. Hinc est quod certos libros Ialdabaoth nomine inscriptos ac commentitios habent, nec non barbaras Principum, ut asserunt, ac Potestatum per unumquodque coelum appellationes innumeras, qui omnes hominum animis sunt contrarii. Sane ingens humano generi fraus est ex istiusmodi hominum errore comparata. Alii Caulaucauch cuidam eandem venerationem deferunt, quo nomine unum ex Principibus appellant. Quibus vocum terriculis commentitiisque ac barbaris appellationibus imperitis hominibus imponere conantur. Sed peritioribus, et iis qui cuiuscumque nominis ac propositae rei notitiam per divinam quandam scientiam eiusdem sunt dei beneficio consecuti quid facilius quam ista fabulosorum ab illis errorum conficta dogmata refellere?

Cap. IV. Cum enim Prunicum nominant, nihil ea vox aliud quam voluptatum excogitatas illecebras indicat. Nam quicquid *προυνικευόμενον* dicitur, id venereae libidinis significationem et tentatam ab aliquo corruptelam demonstrat. Nam ad eorum facinus, qui puellis stuprum offerunt, Graecorum usitata vox est *ἐπρουνίκευσε ταύτην*, hoc est stuprum huic obtulit. Unde etiam impostores illi qui de rebus Graeciae scripserunt, cum de pulchritudine mentionem faciunt, *κάλλος προύνικον* appellant. Quod vero ad vocem Caulaucauch attinet, quis eorum qui nominis huius potestatem noverit risum tenere possit, cum istos videat vocabula quaedam Hebraice bene concepta, nec minus commode Graece reddita, ab iisque qui Graece legunt plane intellecta, cum difficile nihil habeant, haec illos tamen exprimendis suis idolis accommodare, hoc est inanibus formis ac subsistentibus principiis et, ut ita dicam, simulacrorum figmentis, dum vana illa nominum ambitione rudiorum mentibus errorem suum aspergunt, quo turpem illam ac fabulosam artem latius dissipent? Etenim vox illa Caulaucauch apud Esaiam scripta legitur in duodecima visione, cum ita loquitur: *Tribulationem super tribulatione, spem su-* Esai.28, 10.

3. τοῖς *cod. Vatic. et edit. princ.* τούτοις *cod. Rhedig. et ed. princ.*
4. προυνικεῦσαι ταύτην *cod. Vatic.* — *Cf. etiam Nicetas Choniates Thes. Orthod. Fid. IV, 2., qui eadem tradit.*
5. *Repono* ἀνυποστατικὰς.

προςδέχου. Ὡς καὶ αὐτὰ τὰ Ἑβραϊκὰ ῥήματα τελειότατα ἐνταῦθα παραθήσομαι αὐταῖς λέξεσιν, ὥς ἐστι γεγραμμένον. Τὸ γὰρ [6] Σαυλασαῦ Σαυλασαῦ ἑρμηνεύεται θλίψις ἐπὶ θλίψιν, Καυλακαὺκ Καυλακὰκ ἐλπὶς ἐπ' ἐλπίδι, Ζιηρσὰμ Ζιηρσὰμ ἔτι μικρὸν, ἔτι μικρὸν προςδέχου. Ποῦ οὖν ἡ τούτων μυθολογία; ποῦ ἡ κίσσησις τῆς φαντασιολογίας; πόθεν τῷ κόσμῳ τὰ ζιζάνια; τίς ὁ ἀναγκάσας εἰς ἑαυτοὺς ἐπισπάσασθαι ὄλεθρον τοὺς ἀνθρώπους; Εἰ μὲν γὰρ γινώσκοντες μετεποίησαν τὰς ὀνομασίας εἰς φαντασίαν ἀπωλείας, ἑαυτοῖς προφανῶς αἴτιοι γεγόνασιν· εἰ δὲ ἀγνοοῦντες ἃ μὴ ᾔδεισαν ἔφασαν, οὐδὲν αὐτῶν ἀθλιώτερον. Μωρὰ γὰρ ταῦτα ὡς ἀληθῶς, καὶ παντὶ τῷ σύνεσιν κεκτημένῳ ἐν θεῷ ἔνεστιν ἰδεῖν. Ἡδυπαθείας γὰρ χάριν ἑαυτούς τε καὶ τοὺς πειθομένους ἀπώλεσαν καὶ ἀπολλύουσι. Πνεῦμα γάρ ἐστι πλάνης ὥςπερ φύσημα ἐν αὐλῷ διαφόροις κινήμασιν ἕκαστον τῶν ἀφρόνων κινοῦν κατὰ τῆς ἀληθείας. Καὶ γὰρ καὶ αὐτὸς ὁ αὐλὸς μίμημά ἐστι τοῦ δράκοντος, δι' οὗ ἐλάλησεν ὁ πονηρὸς καὶ ἠπάτησε τὴν Εὔαν. Ἀπὸ τοῦ τύπου γὰρ ἐκείνου κατὰ μίμησιν ὁ αὐλὸς τοῖς ἀνθρώποις εἰς ἀπάτην κατεσκευάσθη. Καὶ ὅρα τὸν τύπον ὃν αὐτὸς ὁ αὐλῶν ἐν τῷ αὐλῷ ποιεῖται. Αὐλῶν γὰρ ἄνω ἀνανεύει [7] καὶ κάτω κατανεύει, δεξιά τε κλίνει καὶ εὐώνυμα ὁμοίως ἐκείνῳ. Τούτοις γὰρ καὶ ὁ διάβολος τοῖς σχήμασι κέχρηται, ἵνα κατὰ τῶν ἐπουρανίων ἐνδείξηται τὴν βλασφημίαν, καὶ τὰ ἐπὶ τῆς γῆς ἀφανισμῷ ἀφανίσῃ, καὶ ὁμοῦ συμπεριλάβῃ τὴν οἰκουμένην, δεξιά τε καὶ εὐώνυμα λυμαινόμενος τοὺς τῇ πλάνῃ πειθομένους τε καὶ
pag. 80. θελγομένους, ὥςπερ διὰ μουσικοῦ ὀργάνου ταῖς φωναῖς ταῖς πεπλανημέναις.

Κεφ. ε'. Ἄλλοι δέ τινες ἐξ αὐτῶν κενά τινα ὀνόματα ἀναπλάττουσι, λέγοντες ὅτι, Σκότος ἦν καὶ βυθὸς καὶ ὕδωρ, τὸ δὲ πνεῦμα ἀνὰ μέσον τούτων διορισμὸν ἐποιήσατο αὐτῶν· τὸ δὲ σκότος ἦν χαλεπαῖνόν τε καὶ ἐγκοτοῦν τῷ πνεύματι, ὅπερ σκότος ἀναδραμὸν περιεπλάκη τῷ πνεύματι· καὶ ἐγέννησε, [1] φασὶ, τινὰ Μήτραν καλουμένην, ἥτις γεννηθεῖσα ἐνεκίσσησεν ἐν αὐτῷ τῷ πνεύματι. Ἐκ δὲ τῆς Μήτρας προεβλήθησάν τινες τέσσαρες Αἰῶνες, ἐκ δὲ τῶν τεσσάρων Αἰώνων ἄλλοι δεκατέσσαρες, καὶ γέγονε Δεξιά τε καὶ Ἀριστερὰ, Φῶς καὶ Σκότος. Ὕστερον δὲ μετὰ πάντας τούτους προβεβλῆσθαί τινα αἰσχρὸν Αἰῶνα, μεμίχθαι δὲ τοῦτον τῇ Μήτρᾳ τῇ ἄνω προδεδηλωμένῃ, καὶ ἐκ τούτου τοῦ Αἰῶνος τοῦ αἰσχροῦ καὶ τῆς Μήτρας γεγονέναι θεούς τε καὶ [2] ἀγγέλους καὶ δαί-

6. *Ita cod. Vatic. et ed. Petav.* σαυλᾶ οὐ αὖ σαυλασαῦ *cod. Rhedig. et edit. princ.*

7. καὶ κάτω κατανεύει (κατανέβη *cod. Vatic.*) *e cod. Vaticano supplevit Petavius.*

*per spe: adhuc paululum, paululum adhuc expecta.* Quare ipsamet Hebraica verba totidem ut illic leguntur descripta syllabis hoc loco subiiciam. Quippe Tsau latsau Tsau latsau *tribulationem super tribulationem* significat, Caulacau Caulacac *spem super spem*, Zeer scham Zeer scham *adhuc paululum, paululum adhuc expecta.* Ubinam igitur est illorum commentum? Ubi vanissimum illud somnium fetus instar ab istis conceptum? Unde haec in mundo zizania? Quaenam genus hoc hominum necessitas coëgit, sibi ut voluntarium exitium consciscerent? Si enim eiusmodi vocabula cum eorum vim intelligerent perniciosa ludificatione detorserunt, manifeste sibimetipsis mali auctores fuerunt: sin per ignorantiam quae nescirent usurpaverint, nihil his fingi potest infelicius. Stolida quippe sunt haec atque ridicula, quae quisquis divinitus prudentiam nactus sit nullo negotio pervideat. Siquidem voluptatis gratia cum seipsos, tum quos habent sectatores perdiderunt perduntque quotidie. Et quidem erroris ille spiritus quidam velut in tibia flatus est, qui unumquemque insipientium hominum diversis contra veritatem agitationibus commovet. Atque adeo tibia serpentis figuram imitari videtur, per quem malus daemon locutus est, atque Evam decepit. Ad cuius exemplar expressa et ad humanum genus illudendum confecta tibia est. Tu vero et illam mihi effigiem intuere quam qui tibia canit in sese repraesentat. Hic enim sursum faciem attollit, ac deorsum demittit, tum ad dextra sinistraque perinde ut ille vergit. Quippe diabolus iisce gestibus utitur, ut contumeliam in superos ostentet, et quae in terra sunt funditus evertat, totumque adeo terrarum orbem eodem exitio comprehendat, dum dextra pariter ac sinistra perniciem iis affert qui in eius se fraudem committunt, ac sic tanquam musico instrumento fraudulentis illius sermonibus afficiuntur.

Sunt et alii quidam ex haereticorum illorum grege, qui inania quaedam nomina confingunt, itaque dicunt: Initio tenebras ac voraginem et aquam fuisse, quae a se invicem spiritus secreverit. Verum tenebrae contra spiritum iracundia ac furore percitae sursum excurrentes cum eo congressae sunt. Inde Matrix nescio quae genita prodiit, quae eiusdem Spiritus consuetudinem appetiit. Ex eaque quatuor Aeones producti sunt. Ab his XIV alii procreati. Item Dextra Sinistraque, nec non Lumen ac Tenebrae. Secundum hos omnes turpem quendam Aeonem editum narrant, eumque cum ea quam paulo ante diximus Matrice coïisse, et ab utroque deos atque Cap. V.

*Abest a cod. Rhedig. et ed. princ.*
CAP. V. — 1. *Libri vulgo* φησι. 2. ἀγγέλους *cod. Vatic. Rhedig.* τοὺς ἀγγέλους *libri editi.*

μονας καὶ ἑπτὰ πνεύματα. Φωρατὴ δὲ τούτων ἡ τῆς πλάνης μιμολογία. Ἀπ' ἀρχῆς γὰρ ἕνα πατέρα λέγοντες καὶ ὁριζόμενοι ὕστερον πολλοὺς θεοὺς ὑπέφηναν, εἰς τὸ δεῖξαι αὐτὴν τὴν πλάνην καθ' ἑαυτῆς τὰ ὑπ' αὐτῆς ψευδῆ λεγόμενα ὁπλίζειν, ἑαυτὴν δὲ λύειν, τῆς ἀληθείας ἀεὶ ἐκ παντὸς μέρους εὑρισκομένης.

Κεφ. ϛ'. Τί τοίνυν εἴπω πρὸς σὲ, ὦ Νικόλαε; τί διαλεχθήσομαι; πόθεν, ὦ οὗτος, ἥκεις φέρων ἡμῖν αἰσχρὸν Αἰῶνα, καὶ ῥίζαν πονηρίας, καὶ Μήτραν γεννητικὴν, καὶ θεοὺς πολλοὺς, καὶ δαίμονας; Ὁ γὰρ ἀπόστολος φήσας, Εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, οὐκ εἶναι τούτους ὑποφαίνει. Ἐν τῷ γὰρ εἰπεῖν Λεγόμενοι ἔδειξεν αὐτοὺς ἐν τῷ λέγεσθαι μόνον εἶναι, μὴ ὄντας τῇ ὑποστάσει, ἀλλὰ διὰ τῆς τινων ὑπολήψεως. Ἡμῖν δέ, φησὶν, εἷς θεὸς, δηλονότι τοῖς τὴν γνῶσιν τῆς ἀληθείας ἐπισταμένοις. Καὶ οὐκ εἶπε λεγόμενον θεὸν, ἀλλὰ ὄντα θεόν. Εἰ δὲ ἡμῖν εἷς θεὸς, οὐκέτι πολλοὶ θεοί. Καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ φησὶν, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν, ἵνα ἀνατρέψῃ τὴν διάνοιαν τῶν τὰ μυθώδη λεγόντων καὶ νομιζόντων εἶναι πολυθεΐαν. Εἷς γὰρ ἡμῶν ἐστιν ὁ θεὸς, πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, τρεῖς ὑποστάσεις, μία κυριότης, μία θεότης, μία δοξολογία, καὶ οὐ πολλοὶ
pag. 81. θεοί. Ποῦ δὲ πληροῦται κατὰ σὲ, ὦ Νικόλαε, τὸ ὑπὸ τοῦ σωτῆρος εἰρημένον ὅτι, Εἰσὶν εὐνοῦχοι οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων, καί εἰσιν εὐνοῦχοι οἳ ἐκ [1]γενετῆς ἐγεννήθησαν, καί εἰσιν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν; Εἰ τοίνυν εὐνοῦχοί εἰσι διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, πῶς σὺ σεαυτὸν πεπλάνηκας, καὶ τούς σοι πειθομένους διὰ λαγνείας καὶ αἰσχροποιΐας τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν ἀδικίᾳ κατέχων καὶ διδάσκων; Ποῦ δὲ παρὰ σοὶ πεπλήρωται τὸ, Περὶ τῶν παρθένων [2]δὲ ἐπιταγὴν κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος, τὸ καλὸν οὕτως εἶναι. Καὶ πάλιν, Ἡ παρθένος μεριμνᾷ τὰ τοῦ κυρίου πῶς ἀρέσει τῷ κυρίῳ, ἵνα ᾖ ἁγία ἐν σώματι καὶ ἐν πνεύματι. Καὶ πόσα ἔστι περὶ ἁγνείας καὶ ἐγκρατείας καὶ παρθενίας λέγειν; Παρὰ σοῦ γὰρ ὁ πᾶς βόρβορος τῆς ἀκαθαρσίας ἀναισχύντως ὁρίζεται. Ἀλλὰ διὰ τῶν δύο ἢ τριῶν τούτων ῥητῶν τῆς καταγελάστου αἱρέσεως πρὸς ἀνατροπὴν τοῖς ἐντυγχάνουσιν ὁ σκοπὸς ἐνταῦθά μοι παρακείσθω.

Κεφ. ζ'. Προϊὼν δὲ καθεξῆς τὴν τούτῳ συνεζευγμένην αἵρεσιν ὥσπερ χορτομανήσασαν ὕλην, ἢ δάσος ἀκανθῶν πανταχόθεν [1]συνηγνωμένων, ἢ

CAP. VI. — 1. Vulgo mendose in libris γεννητοῖς.

2. δὲ om. cod. Vatic.

CAP. VII. — 1. συνηγνωμένων rescripsi

angelos et daemones, ac septem spiritus ortum habuisse. Sed histrionica illa figmenta nullo negotio deteguntur. Nam cum unum initio patrem definiant, subinde plures deos ostendunt, ut ipsummet errorem sua contra se quodammodo armare mendacia commonstrent, ac seipsum evertere; cum interim omni ex parte perspicua veritas appareat.

Quid est igitur, Nicolae, tibi quod opponam? quidnam disputabo? Unde nobis turpem illum nescio quem Aeonem ac nequitiae radicem, et fecundam illam Matricem ac denique plures deos ac daemones invehis? Nam quod ad apostolum attinet cum iis verbis utitur, *Si sunt qui appellantur dii*, eos nusquam esse significat. Cum enim, *Qui appellantur*, dicit, sola illos appellatione constare, cum reipsa minime subsistant, nec aliter quam quorundam opinione docuit. *Nobis vero deus*, inquit, *unus est*, nobis, inquam, qui veritatis sumus cognitione praediti. Nec qui appellaretur, sed qui revera esset deus, adiunxit. Quod si unus nobis est deus, plures omnino esse non possunt. Accedit et Christi in evangelio dictum illud: *Ut cognoscant te solum verum deum.* Quo istiusmodi hominum, qui fictas fabulas ac multiplicem divinitatem commenti sunt, sensus ac cogitationes everteret. Unus enim nobis est deus, pater, filius, et spiritus sanctus, personae tres, una dominatio, divinitas una, una laudis omnibus gloriaeque praedicatio: proinde nequaquam plures dii sunt. Iam illud, quod usurpatum a domino est, quomodo te, Nicolae, tandem auctore perficitur? *Esse quosdam eunuchos qui ab hominibus castrati sunt, et alios esse qui tales a nativitate prodierint, alios denique qui se regni coelestis caussa castraverint.* Quod si nonnulli coelestis regni gratia facti sunt eunuchi, cur temetipsum tuosque discipulos libidine ac foedissima voluptate decipis, *divinamque veritatem per summam iniustitiam retines*, ac perperam docendo depravas? Istud porro quo tandem pacto apud te geritur? *De virginibus praeceptum domini non habeo; consilinm autem do, tanquam misericordiam consecutus, ita bonum esse:* ac rursum: *Virgo sollicita est de iis quae sunt domini, quomodo placeat domino, ut sancta sit corpore ac spiritu?* Quam multa de castitate, continentia ac virginitate dici possunt! Nam apud te impuritatis omne coenum sine ullo pudore praefinitur. Verum duabus illis tribusve sententiis, quem mihi scopum evertendae ridiculae huius sectae praefixeram, hactenus lectoribus exposuisse sufficiat.

Cap. VI. — 1. Cor. 8, 5. — Ioann. 17, 3. — Matth. 19, 12. — Rom. 1, 18. — 1. Cor. 7, 25.

Deinceps itaque affinem huic haeresin, velut luxuriantem herbam, aut spinarum densissimam copiam undique collectam, aut ligno- Cap. VII.

*pro* συνηνωμένην, *Cornarium secutus, qui vertit* „spinarum undequaque c o u n i t a r u m densitatem.“ *Petavio placuit* συνηνωμένον.

κατεξηραμμένην ἐν ἀγρῷ πληθὺν ξύλων τε καὶ φρυγάνων εἰς κατάκαυσιν ἑτοιμαζομένην ὑποδείξω, διὰ τὸ τῇ αὐτῇ αἱρέσει τοῦ ἐλεεινοῦ Νικολάου, ὥςπερ δι' ἐγκεντρισμοῦ ἢ ψώρας ἀγρίας ἢ λέπρας ἐξ ἑτέρων σωμάτων ἕτερα σώματα, παραφθείρεσθαι. Οὕτω ἀπὸ μέρους εἰσὶ συνηνωμένοι οἱ λεγόμενοι ἐξ αὐτοῦ καὶ τῶν πρὸ αὐτοῦ, Σίμωνος δέ φημι καὶ τῶν ἄλλων, λαβόντες τὰς προφάσεις Γνωστικοὶ καλούμενοι, κατάγνωστοι δὲ τὸ πᾶν διὰ τὴν ἐν τοῖς πράγμασι τῆς ἀκαθάρτου ἐργασίας αὐτῶν μοχθηρίαν καὶ αἰσχρουργίαν. Ὡς ἀληθῶς γὰρ καὶ τοῦτον πρὸς ὀλίγον ἐγκρατευσάμενον, εἶτα ἀποστάντα τῆς ἐγκρατείας, δίκην ὕδρωπος τοῦ ἑρπετοῦ καλουμένου ἐξ ὑδάτων εἰς γῆν ἀνελθόντος καὶ εἰς ὕδωρ αὖθις ἀναστρέψαντος, καλάμῳ τῷ ἐν χειρὶ δοθέντι Χριστοῦ παίσαντες καὶ ὀλέσαντες ἐπὶ τὰς ἑξῆς αἱρέσεις βαδίσωμεν.

pag. 82.

## ΚΑΤΑ ΤΩΝ ΛΕΓΟΜΕΝΩΝ ΓΝΩΣΤΙΚΩΝ, ἕκτη, ἡ καὶ εἰκοστὴ ἕκτη.

Κεφ. α'. *Πάλιν οὗτοι οἱ Γνωστικοὶ διαφόρως ἀπὸ τούτου φυόμενοι ἠπατημένοι ἄνθρωποι, ὥςπερ ἀπὸ πικρίας καρποὶ, ὡς παντί τῳ δῆλόν ἐστι καὶ φωρατὸν πρὸς δοκιμὴν ἀληθείας, οὐ μόνον εἴποιμι πιστοῖς, ἀλλὰ τάχα καὶ ἀπίστοις, ἐν τῷ κόσμῳ ἐβλάστησαν. Τὸ γὰρ μήτραν [1] καὶ αἰσχρότητα λέγειν, καὶ τὰ ἄλλα, πῶς οὐχὶ καταγέλαστα φανείη πᾶσιν ἀνθρώποις, Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις; Πολλὴ δὲ συμφορὰ καὶ μεγίστη, ὡς εἰπεῖν, ταλαιπωρία, τοὺς ἐν καταγνώσει καὶ ἐν πλάνῃ ἐπισείεσθαι ἡμῖν τῶν αἱρέσεων ἀρχηγοὺς καὶ ἐπανίστασθαι ὥςπερ κνωδάλων πλῆθος, ὀχλήσεις τε καὶ δυςοδμίας, κνισμούς τε καὶ ἐπεντριβὰς ἡμῖν ἐμποιοῦντας διὰ τῆς τοῦ μυθοποιοῦ πλάνης. Οὗτοι δὲ οἱ τούτῳ τῷ Νικολάῳ συνεζευγμένοι, πάλιν ἀπ' αὐτοῦ ὡς ἀπὸ ουρίου ᾠοῦ ὄφεως σκορπίοι ἢ ἐξ ἀσπίδων γεγεννημένοι, τινὰ ἡμῖν παρειςφέρουσι κενοφωνίας ὀνόματα καὶ βίβλους πλάττουσι, Νωρίαν τινὰ βίβλον καλοῦντες, καὶ ἐξ ὑπονοίας Ἑλληνικῆς δεισιδαιμονίας μεταποιοῦντες τὴν παρ' αὐτοῖς τοῖς Ἕλλησι μυθώδη ῥαψῳδίαν καὶ φαντασίαν οὕτω τὸ ψεῦδος τῇ ἀληθείᾳ παραπλέκουσι. Ταύτην γάρ φασι τὴν Νωρίαν εἶναι τοῦ Νῶε γυναῖκα. Καλοῦσι δὲ Νωρίαν, ὅπως τὰ [2] Ἑλληνικῶς παρὰ τοῖς Ἕλλησι ῥαψῳδηθέντα αὐτοὶ βαρβαρικοῖς ὀνόμασι μεταποιήσαντες τοῖς ἠπατημένοις παρ' αὐτῶν φαντασίαν ἐργάσωνται, ἵνα δὴ καθ' ἑρμηνείαν ποιήσωσι τὸ τῆς [3] Πύρρας ὄνομα, Νωρίαν τοῦτο ὀνομάζοντες, ἐπειδὴ γὰρ Νουρὰ ἐν τῇ Ἑβραΐδι πῦρ οὐ κατὰ τὴν*

Cap. I. — 1. *Suspicor* κατ' αἰσχρότητα. 2. Ἑλληνικῶς, *quod Petavius ex cod. Vatic. recepit, non est in cod. Rhedig. et edit. princ.* 3. πυρρᾶς *cod. Vatic.*

rum in agro virgultorumque desiccatam congeriem et ad incendium praeparatam in medium proferam, eo quod eadem illa perditi Nicolai secta, tanquam insitione quadam, vel potius uti ferae scabiei ac leprae contagione alia ex aliis corpora, sic hominum tentantur ac corrumpuntur animi. Hoc itaque modo cum superiore haeresi cohaerens ex aliqua parte, qui a Nicolao ipso eiusque antecessoribus, Simone ac caeteris, occasionem nacti Gnostici nominantur, *κατάγνωστοι* hoc est damnandi penitus, propter impurissimi flagitii quod perpetrare solent turpitudinem ac nequitiam. Quamobrem cum nos illum hactenus continentiae ad breve tempus cultorem, ac subinde desertorem, et hydropis similem (quod serpentis genus ex aquis in terram emergit, et eodem postea se recipit) calamo, qui Christo in manum traditus est, percussum confecerimus, reliquas ad haereses orationem nostram promovebimus.

## ADVERSUS GNOSTICOS,
### quae est haeresis VI., sive XXVI.

Rursum Gnostici isti varie ab illo propagati in mundo pullularunt, homines erroribus implicati, ac velut ex amaritudine procreati fructus, quemadmodum cuivis perspicuum est, et ad veritatis probationem non solum a fidelibus, sed etiam ab infidelibus deprehendi nullo negotio potest. Etenim vulvam, ac turpitudinem, caeteraque id genus in sermone iactare, nonne ridiculum mortalibus omnibus Graecis perinde ac barbaris, sapientibus insipientibusque videbitur? Sed haec magna prorsus calamitas, ac vehemens, ut ita dicam, infelicitas est, damnatos illos, et errore deceptos sectarum artifices incitari contra nos atque insurgere, velut foedas quasdam bestias, quae molestiam nobis ac foetorem et pruritum confictis illis suis mendaciis afferant. Ergo isti cum Nicolao coniuncti, et ab eo velut subventaneo serpentis ovo scorpii sive aspidibus prognati, quaedam nobis inaniter sonantia nomina librosque commenti sunt, velut inter caeteros quem Noriam appellant, atque ex superstitiosis gentilium opinionibus conformatis ad institutum suum nugis illis ac fabulis veritati mendacium admiscent. Quippe Noriam istam Noëmi coniugem faciunt. Quam idcirco Noriam vocant, ut quae a gentilibus concinnata sunt barbaris vocibus dissimulantes circumventis a se hominibus facilius illudant, quo quidem pacto, ut Pyrrhae vocabulum interpretando redderent, Noriae appellationem indiderunt. Nam cum Nura apud Hebraeos ignem, non illa quidem secretiore lingua, sed Sy- Cap. I.

*βαθεῖαν γλῶσσαν ἑμμηνεύεται, ἀλλὰ καὶ Συριακῇ διαλέκτῳ. [4]Ἠσαὺθ γὰρ τὸ πῦρ παρὰ Ἑβραίοις καλεῖται [5]κατὰ τὴν βαθεῖαν γλῶσσαν. Τούτου χάριν αὐτοῖς συμβέβηκε κατὰ ἄγνοιαν καὶ ἀπειρίαν τῷ ὀνόματι τούτῳ κεχρῆσθαι. Οὔτε γὰρ [6]Πύῤῥα ἡ παρ' Ἕλλησιν, οὔτε Νωρία ἡ παρὰ τούτοις μυθευομένη, ἀλλὰ [7]Βαρθενὼς τῷ Νῶε γέγονε γυνή. Καὶ οἱ Ἕλληνες γάρ φασι τὴν Δευκαλίωνος γυναῖκα Πύῤῥαν καλεῖσθαι. Εἶτα τὴν αἰτίαν ὑποτίθενται οὗτοι οἱ τὰ τοῦ Φιλιστίωνος ἡμῖν αὖθις*
pag. 83. *προσφερόμενοι, ὅτι πολλάκις [8]βουλομένῃ μετὰ τοῦ Νῶε ἐν τῇ κιβωτῷ γενέσθαι οὐ συνεχωρεῖτο, τοῦ ἄρχοντος, [9]φασὶ, τοῦ τὸν κόσμον κτίσαντος βουλομένου αὐτὴν ἀπολέσαι σὺν τοῖς ἄλλοις ἅπασιν ἐν τῷ κατακλυσμῷ. Αὐτὴν δέ φασιν ἐπικαθιζάνειν ἐν τῇ λάρνακι, καὶ ἐμπιπρᾶν αὐτὴν, οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ πολλάκις, καὶ πρῶτον, καὶ δεύτερον, καὶ τρίτον. Ὅθεν δὴ εἰς ἔτη πολλὰ ἐλήλακεν ἡ τῆς αὐτοῦ τοῦ Νῶε λάρνακος κατασκευὴ, διὰ τὸ πολλάκις αὐτὴν ὑπ' αὐτῆς ἐμπεπρῆσθαι. Ἦν γὰρ, φασὶν, ὁ Νῶε πειθόμενος τῷ ἄρχοντι, ἡ δὲ Νωρία ἀπεκάλυψε τὰς ἄνω δυνάμεις καὶ τὴν ἀπὸ τῶν δυνάμεων Βαρβηλὼ τὴν ὑπεναντίαν τῷ ἄρχοντι, ὡς καὶ αἱ ἄλλαι δυνάμεις, καὶ ὑπέφαινεν, ὅτι [10]δεῖ τὰ συληθέντα ἀπὸ τῆς ἄνωθεν μητρὸς διὰ τοῦ ἄρχοντος τοῦ τὸν κόσμον πεποιηκότος καὶ τῶν ἄλλων τῶν σὺν αὐτῷ θεῶν τε καὶ ἀγγέλων καὶ δαιμόνων συλλέγειν ἀπὸ τῆς ἐν τοῖς σώμασι δυνάμεως, διὰ τῆς ἀποῤῥοίας ἀῤῥένων τε καὶ θηλειῶν.*

Κεφ. β'. *Καὶ ἁπλῶς περικακῶ τὴν πᾶσαν τούτων τοῦ σκότους πήρωσιν ὑποδεικνύων. [1]Πολὺν γὰρ χρόνον ἀναλώσαιμι ἂν, εἰ ἐνταῦθα τὴν περὶ τούτων γενομένην σύνταξιν ἐθελήσω λεπτολογῆσαι, τὰ ἄτοπα αὐτῶν τῆς ψευδωνύμου γνώσεως διδάγματα καθ' ἑκάστην ὑφηγούμενος. Ἄλλοι δὲ ἐξ αὐτῶν διαφόρως πάλιν ἐπεντριβόμενοι τάς τε ὄψεις [2]ἀνθρώπων κρούοντες καὶ περικρουόμενοι Βαρκαββᾶν τινα προφήτην παρεισάγουσιν, ἄξιον τοῦ αὐτῶν ὀνόματος. Καββᾶ γὰρ ἑρμηνεύεται πορνεία κατὰ τὴν Συριακὴν διάλεκτον, φονοκτονία δὲ κατὰ τὴν Ἑβραϊκήν. Καὶ πάλιν ἑρμηνεύεται τετάρτη μοῖρα τοῦ μέτρου. Χλεύης δὲ καὶ γέλωτος τὸ τοιοῦτον, μᾶλλον δὲ σχετλιασμοῦ ἄξιον παρὰ τοῖς τὸ ὄνομα τοῦτο ἐπισταμένοις κατὰ τὰς ἰδίας γλώσσας. Φέρουσι δὲ ἡμῖν ἐκ τούτου τοῦ θαυμασιωτάτου προφήτου διήγησιν αἰσχρὰν, ὅπως φθοριμαίοις σώμασι πλησιάσαι πεισθῶμεν, καὶ τῆς [3]ἄνωθεν ἐλπίδος ἐκπέσωμεν, οὐκ αἰσχυνόμενοι αὐτοῖς τοῖς ῥήμασι τὰ τῆς πορνείας διηγεῖσθαι [4]παλινερωτικὰ τῆς Κύπριδος ποιητεύματα. Ἄλλοι δὲ ἐξ αὐτῶν πάλιν ἐπι-*

4. ἠσάθ cod. *Vatic.*
5. κατὰ cod. *Vatic.* οὐ κατὰ *reliqui libri, tam scripti quam editi.*
6. πυῤῥὰ cod. *Vatic.*
7. Βαρθενώς cod. *Vatic. et edit. Petav.* βαρθένος cod. *Rhedig. et edit. princ.*
8. *Vulgo* βουλομένη.
9. φησὶ codd. *Vatic., Rhedig.*
10. δεῖ *rescripsi pro* δή, *quod libri vulgo praebent, Cornarii et Petavii emendationem secutus.*

riaca significet, Hebraei siquidem ignem Esauth nominant, illi prae inscitia atque imperitia eo vocabulo sunt abusi. Atqui neque Pyrrha illa Graecorum celebrata scriptis, neque ab illis conficta Noria, sed Barthenus Noëmi coniux fuit. Graeci vero Pyrrham Deucalionis uxorem fuisse memorant. Tum caussam adferunt iidem illi, qui Philistionis mimos iterum nobis obtrudunt. Cum enim, inquiunt, in arca esse cum Noëmo cuperet, nunquam id ei permissum est, quod eam Princeps mundi conditor una cum caeteris omnibus diluvio vellet extinguere. Ergo haec insidens arcae non semel ac secundo, sed saepius, adeoque tertio illam incendit. Quo factum est, ut ad complures annos a Noëmo haec arcae structura prorogata fuerit, cum ab illa saepius esset exusta. Siquidem Noëmus Principi se obsequentem praestabat, Noria vero superas virtutes, et ab iis profectam Barbelonem Principi contrariam indicavit, quemadmodum et aliae fecere Virtutes, atque illud praeterea docuit, oportere quae supremae Parenti a conditore mundi Principe ac reliquis qui cum eo sunt diis atque angelis et daemonibus erepta sunt ex insita corporum vi per marium ac feminarum profluvia colligere.

Atque ut uno verbo dicam, piget me omnem illorum caecitatis caliginem oratione persequi. Multum enim insumendum erit temporis, si universam horum figmentorum ab illis concinnatam seriem hoc loco diligentius explicare voluero, et commentitiae illorum cognitionis absurda dogmata singillatim proponere. Alii porro varie ab illis ad communem perniciem exorti, et intuentium oculis praestigiis illudentes, et ipsimet illusi Barcabban nescio quem prophetam obiiciunt, sua illa appellatione dignum. Cabba enim Syriaca lingua stuprum significat, Hebraice parricidium. Sed et mensurae quadrantem eo nomine vocant. Risu igitur ac ludibrio digna, vel miseranda potius, est eiusmodi nominum accommodatio apud eos qui in suapte lingua vocis illius potestatem intelligunt. Caeterum ex tam admirabili propheta turpem nobis narrationem afferunt, qua ut corruptis consuescamus corporibus persuadeant, atque ab omni spe coelestium excidamus. Nec illos pudet de stupris amatoriisque ac Venereis rebus nudis ac simplicibus verbis disserere. Sunt et ex iis Cap. II.

Cap. II. — 1. πολιῷ *ed. Petav.* πολὺ *cod. Rhedig. et edit. princ.*

2. ἀνθρώπων *emendatio est Petavii. Libri habent* αὐτῶν.

3. ἄνωθεν *cum Petavio recepi ex Vaticano libro. In reliquis desideratur.*

4. *Scripsi* παλινεροτικὰ, *hoc est* mutuae Veneris (*sic Rigalt. ad Tertull. Adv. Natt. II,* 11. Mutuum *et* Tutunum *conficta de Meo et Tuo inter Venereos amplexus vocabula interpretatus est*), *pro* πάλιν ἐρωτικὰ, *quod vulgo extat.*

πλαστον εἰςαγουσιν ἀγώγιμόν τι ποίημα, ᾧ [5] ποιητεύματι ἐπέθεντο ὄνομα Εὐαγγέλιον Τελειώσεως [6] τοῦτο φάσκοντες. Καὶ ἀληθῶς οὐκ εὐαγγέλιον τοῦτο, ἀλλὰ πένθους τελείωσις. Πᾶσα γὰρ ἡ τοῦ θανάτου τε-
pag. 84. λείωσις ἐν τῇ τοιαύτῃ ὑποσπορᾷ τοῦ διαβόλου ἐμφέρεται. Ἄλλοι δὲ οὐκ αἰσχύνονται λέγοντες Εὐαγγέλιον Εὔας. Εἰς ὄνομα γὰρ αὐτῆς δῆθεν, ὡς εὑρούσης τὸ ὄνομα τῆς Γνώσεως ἐξ ἀποκαλύψεως, τοῦ λαλήσαντος αὐτῇ ὄφεως σπορὰν ὑποτίθενται. Καὶ ὥςπερ ἐν ἀστάτῳ γνώμῃ μεθύοντος καὶ παραλαλοῦντος οὐκ ἴσα εἴη τὰ ῥήματα, ἀλλὰ τὰ μὲν γέλωτι πεποιημένα, ἕτερα δὲ κλαυθμοῦ ἔμπλεα, οὕτως ἡ τῶν ἀπατεώνων γέγονε κατὰ πάντα τρόπον τῆς κακίας ἡ ὑποσπορά.

Κεφ. γ΄. Ὁρμῶνται δὲ ἀπὸ μωρῶν μαρτυριῶν καὶ ὀπτασιῶν ἐν ᾧ εὐαγγελίῳ ἐπαγγέλλονται. Φάσκουσι γὰρ οὕτως ὅτι, Ἔστην ἐπὶ ὄρους ὑψηλοῦ, καὶ εἶδον ἄνθρωπον μακρὸν, καὶ ἄλλον κολοβὸν, καὶ ἤκουσα ὡςεὶ φωνὴν βροντῆς, καὶ ἤγγισα τοῦ ἀκοῦσαι, καὶ ἐλάλησε πρὸς μὲ καὶ εἶπεν, Ἐγὼ σὺ, καὶ σὺ ἐγὼ, καὶ ἐγὼ σὺ, καὶ σὺ ἐγώ· καὶ ὅπου ἐὰν ᾖς, ἐγὼ ἐκεῖ εἰμι, καὶ ἐν ἅπασίν εἰμι ἐσπαρμένος· καὶ ὅθεν ἐὰν θέλῃς, συλλέγεις με, ἐμὲ δὲ συλλέγων ἑαυτὸν συλλέγεις. Καὶ ὢ τῆς τοῦ διαβόλου ὑποσπορᾶς, πόθεν τὸν νοῦν ἐξέτρεψε τῆς ἀνθρωπότητος καὶ εἰς μωρὰ καὶ ἀσύστατα περιέσπασεν ἀπὸ τοῦ λόγου τῆς ἀληθείας; Οὐκ ἔστι γὰρ σχεδὸν τῷ νοῦν ἔχοντι χρεία ἀπὸ γραφῆς, ἢ ἀπὸ παραδειγμάτων, ἢ ἑτέρου τινὸς πράγματος ποιεῖσθαι τούτων τὴν ἀνατροπήν. Τῷ γὰρ ὀρθῷ λογισμῷ εὔδηλος αὐτῶν καὶ φωρατὴ ἡ τῆς μωρολογίας δραματουργία καὶ μοιχῶν ἐργασία. Ταῦτά τοι καὶ τὰ τοιαῦτα εἰςηγούμενοι οἱ ἀμφὶ τὴν Γνῶσιν συνεζευγμένοι τῇ τοῦ Νικολάου αἱρέσει τῆς ἀληθείας ἐκπεπτώκασιν, οὐ μόνον τὸν νοῦν τῶν πεισθέντων αὐτοῖς ἐκτρέψαντες, ἀλλὰ καὶ τὰ σώματα καὶ τὰς ψυχὰς δουλώσαντες πορνείᾳ καὶ πολυμιξίᾳ. Αὐτὴν γὰρ [1] δῆθεν τὴν σύναξιν αὐτῶν ἐν αἰσχρότητι πολυμιξίας φύρουσιν, ἔσθοντές τε καὶ παραπτόμενοι καὶ ἀνθρωπίνων σαρκῶν καὶ ἀκαθαρσιῶν· ὡς οὔτε τολμήσω τὸ πᾶν ἐξειπεῖν, εἰ μή τι ἀναγκασθείην διὰ τὴν ὑπερβολὴν τῆς ἐν ἐμοὶ ἀλγούσης διανοίας περὶ τῶν ματαίως ὑπ' αὐτῶν γινομένων, ἐκπληττόμενος εἰς οἷον ὄγκον καὶ κακῶν βυθὸν ὁ ἐχθρὸς τῶν ἀνθρώπων διάβολος ἄγει τοὺς αὐτῷ πειθομένους, ὥςτε μιᾶναι καὶ νοῦν καὶ καρδίαν καὶ χεῖρας καὶ στόματα καὶ
pag. 85. σώματα καὶ ψυχὰς τούτων τῶν ὑπ' αὐτοῦ ἐν τῇ τοσαύτῃ σκοτώσει παγιδευθέντων. Δέδια δὲ μή πη ἄρα τὸν μέγαν τοῦτον ὅλον ἰὸν ἀποκαλύ-

5. *M. Schmidt v. cl. in censura libri Wolfiani, inserta in Mützell Zeitschrift f. d. Gymnasialwesen* 1856. *fasc. VII. p.* 556., *reponendum censuit* γοητεύματι, *vocabulum* ποιήτευμα *ignorare se fassus. Patiatur v. d. se moneri quod idem occurrebat paucis versibus supra, occurrit etiam haer.* 66. *cap.* 46., *et haer.* 42. *p.* 374. *C. ed. Petav. Verbum* ποιητεύειν *inveniet apud eundem scriptorem haer.* 25. *cap.* 3., *haer.* 31. *cap.* 4., *haer.* 35. *cap.* 2., *haer.* 36. *cap.* 1.

6. τοῦτο φάσκοντες, *quod vulgo desi-*

nonnulli qui adulterinum quoddam et adscititium poema venditant, quod opus Perfectionis Evangelium inscribunt, cum revera non evangelium, sed doloris sit ac luctus perfectio. Universa quippe consummataque mortis acerbitas in eo diaboli fetu continetur. Alii Evangelium Evae sine ullo pudore iactitant. Sub huius enim nomine, utpote quae cognitionis nomen a serpente quocum collocuta est, didicerit, perfidiae suae semina sparserunt. Ac quemadmodum ebrii, quorum inconstans animus et inconsideratus est sermo, nequaquam sibi consentanea loquuntur, sed alias ridicula verba, alias moeroris ac doloris plena proferunt, eodem prorsus modo sese habet ab illis impostoribus orta ac propagata nequitia.

Qui quidem stolidis testimoniis ac visis in illo suo quod prae se Cap. III.
ferunt Evangelio nituntur. Ita enim inquiunt: *In arduo monte constiteram, cum ecce video procerum hominem, et mutilum alium: inde vocem tonitrui instar exaudio: propius igitur ad audiendum accedo, tum me hunc in modum est allocutus: Ego idem sum ac tu, et tu idem atque ego, et ubicumque tu es, illic ego sum, ac per omnia sum dispersus; et undecumque volueris me colligis, me vero colligendo temetipsum colligis.* O doctrinam a nequissimo daemone profectam! Undenam humani generis ingenia pervertit, et ad stolida minimeque consentanea a verbo veritatis abripuit? Nihil enim propemodum ei, qui mente atque prudentia praeditus est, scriptura vel exemplis, aut ulla re alia, ad eos refellendos uti necesse est. Siquidem recta ratio stolidas illorum fabulas et adulteriorum ac flagitiorum libidines facile per se ipsa dignoscit. Haec igitur atque his similia commenti Gnostici, qui cum Nicolai secta coniuncti sunt, a veritate exciderunt; nec eorum duntaxat, quibus errorem persuaserunt, depravarunt ingenia, sed et animos corporaque pariter adulteriis ac promiscuae libidini servilem in modum subiecerunt. Etenim suos ipsos conventus multiplicis ac promiscui concubitus foeditate contaminant, ubi et humanis carnibus et turpissimis sordibus vescuntur. Quae omnino commemorare non audeo, nisi me aliqua fortasse necessitas impulerit; ita me animi mei vehemens quidam dolor ob ea quae isti perperam gerunt stupore defixum detinet, illud magnopere mirantem, quantam in malorum gravitatem ac profundam voraginem diabolus illos immittat qui sibi fuerint obsecuti, adeo ut eorum mentes et corda, manus, ora corporaque pariter atque animos inquinet, quos in tantis tenebris irretitos tenere potuerit. Sed illud vereor, ne sic totam illam pestilentissimi veneni vim quasi reguli cuiusdam fa-

*deratur, Petavius recepit ex cod. Vaticano.*

Cap. III. — 1. δῆθεν τὴν *reposui ex emendata cod. Vatic.* ἤδηθεν τὴν *scriptura. Vulgo extat simpliciter* τὴν.

ψαιμι, ὥςπερ βασιλίσκου τινὸς ὄφεως τὸ πρόςωπον, εἰς λύμην μᾶλλον τῶν ἐντυγχανόντων, ἤπερ εἰς διόρθωσιν. Χραίνει μὲν γὰρ τὰ ὦτα ἀληθῶς ἡ τῆς μεγάλης τόλμης βλάσφημος συναγωγὴ, καὶ τῆς αἰσχρότητος αὐτὴ συλλογή τε καὶ διήγησις, καὶ ἡ τῆς ἀγυρτώδους αἰσχρουργίας βορβορώδης κακόνοια. Παρά τισι δὲ φύσει Βορβοριανοὶ καλοῦνται, ἕτεροι δὲ Κοδδιανοὺς αὐτοὺς ἐπιφημίζουσι. Κοδδὰ γὰρ λέγεται κατὰ τὴν Συριακὴν διάλεκτον παροψὶς, ἢ τρυβλίον, ἀπὸ τοῦ μὴ δύνασθαί τινας μετ' αὐτῶν ἐσθίειν, κατ' ἰδίαν δὲ τοῖς μεμιαμμένοις δίδοσθαι τὰ βρώματα. καὶ μή τινα δύνασθαι σὺν αὐτοῖς διὰ τὸν μολυσμὸν κἂν ἄρτον συνεσθίειν. Διά τοι τοῦτο ἀφωρισμένους τούτους ἡγούμενοι οἱ συμμέτοικοι Κοδδιανοὺς ἐπωνόμασαν. Οἱ αὐτοὶ δὲ ἐν Αἰγύπτῳ Στρατιωτικοὶ καλοῦνται, καὶ Φιβιωνῖται, ὡς ἄνω μοι ἐν μέρει λέλεκται. Τινὲς δὲ αὐτοὺς Ζακχαίους καλοῦσιν, ἄλλοι δὲ Βαρβηλίτας. Ὅμως ἐπεὶ οὐδὲ παρελθεῖν δυνήσομαι ὅλα, ἀναγκάζομαι ἐξειπεῖν. Ἐπειδὴ καὶ ὁ ἅγιος Μωϋσῆς ἀπὸ πνεύματος ἁγίου ἐμφορούμενος γράφει ὅτι, Ἐάν τις ἴδῃ φόνον καὶ μὴ ἀναγγείλῃ, ἐπικατάρατος ὁ τοιοῦτος εἴη. Διόπερ οὐ δύναμαι τοῦτον τὸν μέγαν φόνον καὶ τὴν μεγάλην ταύτην φονώδη ἐργασίαν παρελθεῖν καὶ οὐχὶ δηλῶν δηλῶσαι. Δηλώσας γὰρ τάχα τοῖς συνετοῖς τὸ πτῶμα τοῦτο, ὥςπερ τὸ φρέαρ τῆς ἀπωλείας, φόβον καὶ φρίξιν ἐμποιήσω, εἰς τὸ μὴ μόνον ἀποδρᾶναι τοὺς συνετοὺς, ἀλλὰ καὶ καταλιθάσαι τὸν ἐν τῷ βαράθρῳ τοῦτον σκολιὸν ὄφιν καὶ βασιλίσκον, εἰς τὸ μηδὲ πλησιάσαι τινὰ τολμᾶν. Καὶ ταῦτα μὲν ἤδη περὶ αὐτῶν εἰρημένα, ὀλίγα τινὰ ὄντα, ἐν μέρει τετάχθω.

Κεφ. δ'. Παρελεύσομαι δὲ εἰς τὸν οἶκον τοῦ βυθοῦ τῆς θανατώδους αὐτῶν διηγήσεως. Διάφορος γὰρ παρ' αὐτοῖς ἡ τῆς ἡδονῆς αὐτῶν κακοδιδασκαλία, ὅτι πρῶτον μὲν κοινὰς τὰς ἑαυτῶν γυναῖκας ἔχουσι, καὶ εἴ τις ξένος παραγένοιτο τοῦ αὐτῶν δόγματος, σημεῖόν ἐστι παρ' αὐτοῖς
pag. 88. ἀνδρῶν πρὸς γυναῖκας, καὶ γυναικῶν πρὸς ἄνδρας, ἐν τῷ ἐκτείνειν τὴν χεῖρα, δῆθεν εἰς ἀσπασμὸν, ὑποκάτωθεν τῆς παλάμης ψηλάφησίν τινα γαργαλισμοῦ ἐμποιεῖν, διὰ τούτου ὑποφαίνοντες ὡς τῆς αὐτῶν θρησκείας ἐστὶν ὁ παραγενόμενος. Ἐντεῦθεν λοιπὸν ἐπιγνόντες ἀλλήλους τρέπονται εὐθὺς εἰς ἑστίασιν. Δαψιλῆ δὲ τὰ ἐδέσματα κρεωφαγίας καὶ οἰνοποσίας παρατιθέασι, κἂν πένητες εἶεν. Ἐκ τούτου δὲ συμποσιάσαντες καὶ, ὡς ἔπος εἰπεῖν, τὰς φλέβας τοῦ κόρου ἐμπλήσαντες ἑαυτῶν, εἰς οἶστρον τρέπονται. Καὶ ὁ μὲν ἀνὴρ τῆς γυναικὸς ὑποχωρήσας φάσκει λέγων τῇ ἑαυτοῦ γυναικὶ ὅτι, Ἀνάστα, λέγων, ποίησον τὴν ἀγάπην μετὰ τοῦ ἀδελφοῦ. Οἱ δὲ τάλανες μιγέντες ἀλλήλοις — καὶ ὡς ἐπὶ ἀληθείας αἰσχύνομαι εἰπεῖν τὰ παρὰ τοῖς αὐτοῖς αἰσχρὰ πραττόμενα, κατὰ τὸν ἅγιον ἀπόστολον ὅτι, Τὰ παρ' αὐτοῖς γινόμενα αἰσχρόν ἐστι καὶ λέγειν, ὅμως οὐκ αἰσχυνθῶ λέγειν ἃ αὐτοὶ ποιεῖν οὐκ αἰσχύ-

ciem aperiens ita detegam ut ad eorum qui haec nostra legent perniciem potius quam ad emendationem redundet. Siquidem vel aures ipsas polluit tam infinitae audaciae in divinum numen contumeliosa series, ac vel sola narratio turpitudinis ipsius et sordidissimae foeditatis ac lutulentae flagitiosa ratio. Hinc est quod a nonnullis scite admodum Borboriani hoc est coenosi nominantur. Alii Coddianos vocant; est enim Codda idem Syriace quod paropsis, aut catinus; pro eo quod nemo communi cum illis uti cibo possit, sed separatim contaminatis illis apponi soleat, neque quisquam ob eorum spurcitiem vel pane cum illis vesci communiter queat. Quam ob caussam qui cum illis habitant, velut a communi consortio segregatos putantes Coddianos appellarunt. Iidem porro Militares in Aegypto, ac Phibionitae sunt dicti, de qua re nonnihil antea significavimus. Sunt qui Zacchaeos vocent, alii Barbelitas. Enimvero cum universa praetermittere nequeam, nonnulla necessario de illis attingenda sunt. Nam et sanctus Moyses divini spiritus afflatu scripsit: *Si quis parricidium viderit, nec denunciaverit, exécrabilis esto.* Quare non possum ingentem illam caedem ac parricidiale facinus praetermittere, non possum, inquam, illud non omnino detegere. Fortassis enim si praecipitem hanc ruinam, velut exitii puteum, prudentibus ostendero, metum iis ac terrorem incutiam, ut non modo fugiant ipsi, sed et tortuosum illum in ea voragine serpentem ac basiliscum lapidibus obruant, ut nullus deinceps audeat accedere. Atque haec de illis hactenus dicta sunto, pauca de multis atque ex parte solummodo delibata.

Nunc ad pestiferae illorum doctrinae velut sedem ac voraginem me conferam. Varia enim apud illos nefariae disciplina voluptatis est. Primum quod communes inter se feminas habent. Ac si quis eiusdem sectae peregrinus advenerit, signum quoddam viri a feminis, feminae a viris accipiunt. Haec autem eiusmodi est: Cum salutandi ac complectendi caussa manum porrigunt, eam infra palmam contrectando ac defricando leniter titillant, eoque signo eiusdem religionis hospitem esse demonstrant. Inde posteaquam mutuo se agnoverint ad convivium accinguntur. Quod ipsum, tametsi pauperes sint, ingenti epularum apparatu vinoque et carnibus instructissimum praebent. Finito convivio cum satietate venas distenderint, ad libidinem proritantur. Tum vir ab uxore discedens sic eam alloquitur: *Surge, et fratri caritatem exhibe.* Ita ad concubitum venitur. Pudet me bona fide quae apud illos turpissime perpetrantur exponere, quemadmodum ait apostolus: *Quae apud ipsos fiunt, turpe est et dicere.* Verum quae illos facere nihil pudet, neque me

Cap. IV.

Eph. 5, 12.

νονται, ἵνα κατὰ πάντα τρόπον φρίξιν ἐργάσωμαι τοῖς ἀκούουσι τὰ παρ' αὐτῶν γενόμενα αἰσχρουργήματα· μετὰ γὰρ τὸ μιγῆναι πάθει πορνείας προςεπιτούτοις ἀνατείνοντες τὴν ἑαυτῶν βλασφημίαν εἰς οὐρανὸν δέχεται μὲν τὸ γύναιον καὶ ὁ ἀνὴρ τὴν ῥύσιν τὴν ἀπὸ τοῦ ἄῤῥενος εἰς ἰδίας αὐτῶν χεῖρας, καὶ ἵστανται εἰς οὐρανὸν ἀνανεύσαντες, ἐπὶ χεῖρας δὲ ἔχοντες τὴν ἀκαθαρσίαν, καὶ εὔχονται δῆθεν, οἱ μὲν Στρατιωτικοὶ καλούμενοι καὶ Γνωστικοὶ τῷ Πατρί φασι τῶν ὅλων, προςφέροντες αὐτὸ τὸ ἐπὶ ταῖς χερσὶ, καὶ λέγουσιν, Ἀναφέρομέν σοι τοῦτο δῶρον τὸ σῶμα τοῦ Χριστοῦ· καὶ οὕτως αὐτὸ ἐσθίουσι, μεταλαμβάνοντες τὴν ἑαυτῶν ἀκαθαρσίαν, καί φασι, Τοῦτό ἐστι τὸ σῶμα τοῦ Χριστοῦ, καὶ τοῦτό ἐστι τὸ Πάσχα, διὸ πάσχει τὰ ἡμέτερα σώματα, καὶ ἀναγκάζεται ὁμολογεῖν τὸ πάθος τοῦ Χριστοῦ. Ὡςαύτως δὲ καὶ τὸ ἀπὸ τῆς γυναικὸς, ὅταν γένηται αὐτὴν γενέσθαι ἐν ῥύσει τοῦ αἵματος, τὸ καταμήνιον συναχθὲν αὐτῇ αἷμα τῆς ἀκαθαρσίας ὡςαύτως λαβόντες κοινῇ ἐσθίουσι, καὶ, Τοῦτο, φασὶν, ἐστὶ τὸ αἷμα τοῦ Χριστοῦ.

Κεφ. ε'. Διὸ καὶ ἐν ἀποκρύφοις ἀναγινώσκοντες ὅτι, Εἶδον δένδρον φέρον δώδεκα καρποὺς τοῦ ἐνιαυτοῦ,' καὶ εἰπέ μοι, Τοῦτό ἐστι τὸ ξύλον τῆς ζωῆς, ὃ αὐτοὶ ἀλληγοροῦσιν εἰς τὴν κατὰ μῆνα γινομένην γυναικείαν
pag. 87. ῥύσιν. Μισγόμενοι δὲ μετ' ἀλλήλων τεκνοποιΐαν ἀπαγορεύουσιν. Οὐ γὰρ εἰς τὸ τεκνοποιῆσαι παρ' αὐτοῖς ἡ φθορὰ ἐσπούδασται, ἀλλ' ἡδονῆς χάριν, τοῦ διαβόλου ἐμπαίζοντος τοῖς τοιούτοις, καὶ καταχλευάζοντος τὸ ἐκ θεοῦ πλάσμα πεπλανημένον. Ἀλλὰ τὴν μὲν ἡδονὴν ἐπιτελοῦσιν, εἰς ἑαυτοὺς δὲ ἀπολαμβάνουσι τὰ τῆς ἀκαθαρσίας αὐτῶν σπέρματα, μὴ εἰς τεκνογονίαν καταβαλλόμενοι, ἀλλὰ αὐτοὶ τὸ τῆς αἰσχρότητος ἐσθίοντες. Ἐὰν δὲ καὶ προληφθῇ τις αὐτῶν ἐγκατασπεῖραι τὴν καταβολὴν τῆς κατὰ φύσιν αὐτῶν ἀποῤῥοίας, καὶ ἐγκυμονήσῃ ἡ γυνὴ, τί δεινότερον τολμῶσιν οἱ τοιοῦτοι ἄκουε. Κατασπάσαντες γὰρ τὸ ἔμβρυον, καιρῷ οἵῳ δ' ἂν ἐπιχειρήσωσι, λαμβάνουσιν ἐκτρωθὲν τοῦτο τὸ βρέφος, ἐν [1] ὅλμῳ τινὶ κόπτουσιν ὑπέρῳ, καὶ ἐγκαταμίξαντες μέλι καὶ πέπερι καὶ ἄλλα τινὰ ἀρώματα καὶ μῦρα, πρὸς τὸ μὴ ναυτιᾶν αὐτοὺς, οὕτως συναχθέντες πάντες [2] οἱ τελετῆς τῶν χοίρων τούτων καὶ κυνῶν θιασῶται μεταλαμβάνουσιν ἕκαστος τῷ δακτύλῳ ἀπὸ τοῦ κατακοπέντος παιδίου. Καὶ οὕτως τὴν ἀνθρωποβορίαν ἀπεργασάμενοι εὔχονται λοιπὸν τῷ θεῷ, ὅτι, Οὐκ ἐνεπαίχθημεν, φασὶν, ἀπὸ τοῦ Ἄρχοντος τῆς ἐπιθυμίας, ἀλλὰ συνελέξαμεν τὸ παράπτωμα τοῦ ἀδελφοῦ· καὶ δῆθεν τοῦτο τὸ τέλειον Πάσχα ἡγοῦνται. Ἄλλα δὲ ὅσα δεινὰ αὐτοῖς τετόλμηται. Ὅταν γὰρ πάλιν ἐμμανεῖς ἐν ἑαυτοῖς γένωνται, φύραντες ἑαυτῶν τὰς χεῖρας τῆς ἑαυτῶν αἰσχρότητος τῇ ἀποῤῥοίᾳ ἐγείρονται, καὶ τὰς ἑαυτῶν μεμολυσμένας χεῖρας ἔχοντες εὔχονται γυμνοὶ ὅλῳ τῷ σώματι,

Cap. V. — 1. ὁλμῷ *cod. Rhedig. et edit. princ.* 2. οἱ τελετῆς τῶν *mea est emendatio. Libri habent* οἱ τῆς τῶν. *Petavius illud*

pudebit eloqui, ut qui foedissima illorum flagitia audierint, horrore quodam afficiantur. Etenim peracto stupro subinde contumeliosis coelum vocibus appetentes, utrique maris profluvium cavis manibus excipiunt, ac sublatis rursum oculis foedum illud et abominabile manibus praeferentes consistunt, ac preces concipiunt. Militares quidem et Gnostici ad universorum, ut aiunt, parentem, cui et quod manibus gestant offerunt, cum hoc solenni carmine: *Hoc tibi munus, nimirum Christi corpus, offerimus.* Atque ita tum eo vescuntur, et impurissimas suas sordes degustant, itaque dicunt: *Hoc est corpus Christi, et hoc est Pascha: idcirco corpora nostra patiuntur et Christi supplicia confiteri coguntur.* Eodem modo quoties mulier menstruos fluxus patitur, foedissimum illum sanguinem collectum una omnes absorbent. Atque hic est, inquiunt, sanguis Christi.

Propterea in Apocryphis legunt: *Vidi arborem duodecim fructus quotannis ferentem, et dixit mihi, Hoc est lignum vitae.* Idipsum de menstruis mulierum profluviis interpretantur. Caeterum cum inter sese Venerem exerceant, liberos tamen suscipere prohibent. Non enim prolis studio, sed ut libidini suae serviant, ei corruptelae vacant. Ita miseris hominibus diabolus illudit, et opus dei fraudibus suis implicatum per ludibrium traducit. Proinde sic libidini satisfaciunt suae, ut impurissimum semen in seipsos recipiant, neque illud ad propagandam sobolem emittant, sed sua ipsi turpitudine pascantur. Quod si forte quispiam excreti seminis immissionem anteverterit, et ex eo gravida facta sit mulier, audi quid demum flagitiosius aggrediantur. Nam informem adhuc fetum ex utero detractum, quocumque iis tempore visum est, infantem, inquam, abortione proiectum in mortario pistillo tundunt. Cui ad vitandam nauseam mel ac piper cum aliis aromatibus et unguentis admiscent. Tum in unum collecto porcorum ac canum sodalitio unusquisque e comminuto infantuli corpusculo digito delibat. Sic humanis carnibus pasti ad orandum deum sese convertunt, et, *Cupiditatis*, inquiunt, *princeps nequaquam nobis illusit; sed quod exciderat fratri nostro collegimus.* Atque id perfectum esse pascha demum existimant. Praeter haec alia insuper dira atque execranda committunt. Cum enim rursus in se mutuo bacchari ac furere coeperint, respersis spurcissimi humoris profusione manibus consurgunt, atque ita foedatas gerentes Cap. V.

τῆς *uncinis notavit. Quod etiam Cornarius neglegendum putasse videtur, qui vertit* „sic congregati omnes porcorum ac canum horum sodales" cett.

ὡς διὰ τῆς τοιαύτης ἐργασίας εὑρίσκειν πρὸς Θεὸν τὴν παῤῥησίαν. Τὰ σώματα δὲ αὐτῶν νύκτωρ τε καὶ μεθ' ἡμέραν τημελοῦσι γυναικάρια καὶ ἀνθρωπάρια, μυριζόμενοι, λουόμενοι, θοιναζόμενοι, κοίταις τε καὶ μέθαις σχολάζοντες. Καὶ καταρῶνται τὸν νηστεύοντα, λέγοντες οὐ δεῖ νηστεύειν· Τοῦ γὰρ Ἄρχοντος τούτου τοῦ ποιήσαντος τὸν αἰῶνά ἐστιν ἡ νηστεία, δεῖ δὲ τρέφεσθαι εἰς τὸ τὰ σώματα εἶναι ἰσχυρὰ, εἰς τὸ δύνασθαι τὸν καρπὸν ἀποδιδόναι κατὰ καιρὸν αὐτοῦ.

Κεφ. ς'. Χρῶνται δὲ καὶ παλαιᾷ καὶ καινῇ διαθήκῃ. Ἀπαγορεύουσι δὲ τὸν λαλήσαντα ἐν τῇ παλαιᾷ διαθήκῃ. Καὶ ὅταν μὲν ῥῆμα εὕρωσί τι κατ' αὐτῶν δυνάμενον ἔχειν τὸν νοῦν, φασὶν ὅτι τοῦτο ἀπὸ τοῦ πνεύ-
pag 66. ματος τοῦ κοσμικοῦ λελάληται. Ἐὰν δέ τις εἰς ὁμοίωσιν τῆς αὐτῶν ἐπιθυμίας δυνηθείη σχηματίζεσθαι λόγος, οὐχ ὥς ἐστι τὸ ῥῆμα, ἀλλ' ὡς ἔχει ὁ αὐτῶν νοῦς ὁ ἠπατημένος, τοῦτον μετασκευάζοντες εἰς τὴν ἑαυτῶν ἐπιθυμίαν φάσκουσιν ἐκ τοῦ πνεύματος τῆς ἀληθείας λελαλῆσθαι. Καὶ, Τοῦτό ἐστι, φασὶν, ὃ εἶπεν ὁ κύριος περὶ Ἰωάννου, Τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ὅτι οὐκ ἦν, φασὶ, τέλειος ὁ Ἰωάννης· ἐνεπνέετο γὰρ ὑπὸ πολλῶν πνευμάτων κατὰ κάλαμον τὸν ἐπὶ ἑκάστῳ ἀνέμῳ κινούμενον, καὶ ὅτε μὲν ἤρχετο τὸ πνεῦμα τοῦ Ἄρχοντος, Ἰουδαϊσμὸν ἐκήρυττεν, ὅτε δὲ τὸ Πνεῦμα τὸ ἅγιον, περὶ Χριστοῦ ἐλάλει· καὶ τοῦτό ἐστι, φασὶν, ὅτι, Ὁ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, περὶ ἡμῶν, φασὶν, εἶπεν, ὅτι ὁ ἐν ἡμῖν μικρότερος μείζων αὐτοῦ ὑπάρχει.

Κεφ. ζ'. Καὶ εὐθὺς ἐπιστομίζονται οἱ τοιοῦτοι ἀπ' αὐτῆς τῆς ἀληθείας. Ἐκ γὰρ τῶν συνεζευγμένων ἑκάστῃ λέξει ἀναφανδὸν ἡ ἀλήθεια δειχθήσεται, καὶ τὸ ἐχέγγυον τῆς φράσεως ἀποδοθήσεται. Εἰ μὲν γὰρ ὁ Ἰωάννης μαλακὰ ἠμφίεστο, καὶ ἐν οἴκοις βασιλέων ὑπῆρχεν, ὀρθὴ ἂν πρὸς αὐτὸν ἡ λέξις καὶ εὐθεῖα πρὸς ἔλεγχον τοῦ αὐτοῦ ὑπῆρχεν. Εἰ δὲ, Τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; καὶ οὐχ οὕτως εἶχεν, οὐκέτι τὸ ἔγκλημα ἐπὶ τὸν οὐ μαλακὰ φοροῦντα Ἰωάννην τοῦ λόγου ἐπενεκτέον, ἀλλὰ ἐπὶ τοὺς οὕτως εὑρήσειν τὸν Ἰωάννην νομίσαντας, καὶ ὑπὸ τῶν ἔνδον ἐν οἴκοις βασιλέων πολλάκις κατὰ ὑπόκρισιν κολακευομένους. Ἐνόμιζον γὰρ οὗτοι ἐξερχόμενοι καὶ παρὰ Ἰωάννου ἐπαίνους εὑρίσκειν, καὶ μακαρισμοὺς ἐπὶ τοῖς ὑπ' αὐτῶν καθ' ἑκάστην ἡμέραν γινομένοις παραπτώμασιν. Ὡς δὲ οὐχ ηὗρον, ἀνατρεπτικῶς παρὰ τοῦ σωτῆρος πρὸς αὐτοὺς εἴρηται ὅτι, Τί ἐνομίζετέ εὑρίσκειν; συμπεριφερόμενον τοῖς ὑμῶν πάθεσιν ἄνθρωπον, ὡς

toto corpore nudi comprecantur, ut ea re maiorem sibi apud deum fiduciam acquirant. Caeterum in curando corpore dies noctesque pariter mulierculae et homunciones occupantur, ac se et unguento perfundunt, et lavant, et convivia celebrant, et ebrietati ac Veneri indulgent, eosque qui ieiunant execrantur. Negant enim esse ieiunandum, quod ad huius saeculi conditorem principem ieiunium pertineat. Imo alimento potius opus esse dictitant, quo robustiora sint corpora, ut idoneo tempore possint fructui reddendo sufficere.

Porro tam veteri quam novo utuntur testamento; licet eum qui in vetere locutus est abdicent. Et quidem quoties vocem aliquam reperiant quae dogmati suo contrariam habere sententiam videtur, ab huius mundi principe profectam illam esse praedicant. Sin aliquis ad illorum libidinem accommodari locus, et utcumque configurari possit non ipsa quidem potestate verborum, sed pro depravati illorum ingenii captu, eo vero ad id quod cupiunt traducto ab veritatis spiritu pronunciatum esse dictitant. Atque istud ipsum est, inquiunt, quod de Ioanne dominus usurpavit: *Quid existis in desertum videre? Arundinem vento agitatam?* Quod, ut asserunt, nondum esset perfectus Ioannes. Nam a pluribus ventis perflabatur; arundinis more, quae ad unumquemque ventum agitatur. Itaque cum in eum Principis spiritus incumberet, Iudaicum cultum praedicabat; cum vero Spiritus sanctus adveniret, de Christo sermonem instituebat. Quo quidem haec verba pertinere putant. *Qui minor est in regno coelorum maior est illo.* Quippe ad nos ista referuntur, aiunt, ut qui inter nos minor est, is Ioanne sit praestantior. Cap. VI. Matth. 11, 7. Matth. 11, 11.

Verum os illis subinde a veritate ipsa praecluditur. Nam ex iis quae cum unaquaque dictione connexa sunt, perspicue veritas apparebit, ac quid loquendi rationi consentaneum sit certissima fide monstrabitur. Etenim si Ioannes mollioribus vestibus uteretur, atque in principum palatiis degeret, recta ipsum vox illa peteret, et in eius reprehensionem esset sine ulla ambage collata. Cum vero ita locutus fuerit: *Quid existis videre? Hominem mollibus vestimentis indutum?* istud porro ab Ioanne procul abfuerit, nihil est cur huius loci criminationem referri ad Ioannem arbitremur, qui delicatum illum cultum minime omnium adhibuit, sed ad eos potius, qui eiusmodi se Ioannem reperturos putabant, quibusque saepius adulari soleat ii qui principum aulas ac palatia frequentant. Exeuntes enim illi collaudandos se ab Ioanne, et ob ea quae in dies patrabant scelera felices praedicandos existimabant. Qua spe cum essent frustrati, ad eos refellendos ita salvator locutus est: *Quid vos nacturos esse credebatis?* Hominemne qui se pravis animi vestri affectionibus ac- Cap. VII.

*κατὰ τοὺς μαλακὰ φοροῦντας; οὐχ οὕτως· οὐ γάρ ἐστιν Ἰωάννης κάλαμος σαλευόμενος γνώμαις ἀνθρώπων, ὡς δονούμενος κάλαμος ὑπὸ ἑκάστης [1] ἀνθρώπων ὑποκρίσεως καὶ ἀπάτης. Ἐπειδὴ δὲ εἶπεν, Ἐν γεννητοῖς γυναικῶν οὐκ ἔστι μείζων Ἰωάννου, ἵνα μή τινες νομίσωσι*
pag. 89. *καὶ αὐτοῦ τοῦ σωτῆρος μείζονα εἶναι τὸν Ἰωάννην, ὅτι καὶ αὐτὸς ὁ σωτὴρ ὑπὸ γυναικὸς ἐγεννήθη, τῆς ἀειπαρθένου Μαρίας, διὰ πνεύματος ἁγίου, ἀσφαλιζόμενος ἡμᾶς ἔφη ὅτι, Ὁ μικρότερος [2] αὐτοῦ, τουτέστι τῷ χρόνῳ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας, μείζων αὐτοῦ ἐστιν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ἐπειδὴ γὰρ μετὰ ἑξάμηνον ἐγεννήθη ὁ σωτὴρ τῆς Ἰωάννου γεννήσεως, δηλονότι μείζων αὐτοῦ ὤν. Ἦν γὰρ ἀεὶ, καὶ ἔστι. Τίνι δὲ τοῦτο οὐ δῆλόν ἐστιν; [3] Ἆρα γοῦν ματαίως τὰ πάντα παρ' αὐτοῖς πεποιήτευται, ἀπὸ ἀγαθῶν εἰς φαῦλα μεταβεβλημένα.*

Κεφ. η'. *Καὶ τὰ μὲν βιβλία αὐτῶν πολλά. Ἐρωτήσεις γάρ τινας Μαρίας ἐκτίθενται, ἄλλοι δὲ εἰς τὸν προειρημένον Ἰαλδαβαὼθ· εἰς ὄνομα δὲ τοῦ Σὴθ πολλὰ βιβλία ὑποτίθενται. Ἀποκαλύψεις δὲ τοῦ Ἀδὰμ ἄλλας λέγουσιν, εὐαγγέλια δὲ ἕτερα εἰς ὄνομα τῶν μαθητῶν συγγράψασθαι τετολμήκασιν, αὐτόν τε τὸν σωτῆρα ἡμῶν καὶ κύριον Ἰησοῦν Χριστὸν οὐκ αἰσχύνονται λέγειν, ὅτι αὐτὸς ἀπεκάλυψε τὴν αἰσχουργίαν ταύτην. Ἐν γὰρ ταῖς Ἐρωτήσεσι Μαρίας καλουμέναις Μεγάλαις (εἰσὶ γὰρ καὶ μικραὶ αὐτοῖς πεπλασμέναι) ὑποτίθενται αὐτὸν αὐτῇ ἀποκαλύπτειν, παραλαβόντα αὐτὴν εἰς τὸ ὄρος, καὶ εὐξάμενον, καὶ ἐκβαλόντα ἐκ τῆς πλευρᾶς αὐτοῦ γυναῖκα, καὶ ἀρξάμενον αὐτῇ ἐγκαταμίγνυσθαι, καὶ οὕτως δῆθεν τὴν ἀπόρροιαν αὐτοῦ μεταλαβόντα δεῖξαι ὅτι δεῖ οὕτως ποιεῖν ἵνα ζήσωμεν, καὶ ὡς τῆς Μαρίας ταραχθείσης καὶ πεσούσης χαμαὶ, αὐτὸν πάλιν αὐτὴν ἐγείραντα εἰπεῖν αὐτῇ, Ἵνα τί ἐδίστασας ὀλιγόπιστε; Καί φασιν ὅτι καὶ τοῦτό ἐστι τὸ εἰρημένον ἐν τῷ εὐαγγελίῳ ὅτι, Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐκ ἐπιστεύσατε, τὰ ἐπουράνια πῶς [1] πιστεύσετε; καὶ τὸ, Ὅταν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀνερχόμενον ὅπου ἦν τὸ πρότερον, τουτέστι τὴν ἀπόρροιαν μεταλαμβανομένην ὅθεν καὶ ἐξῆλθε· καὶ τὸ εἰπεῖν, Ἐὰν μὴ φάγητέ μου τὴν σάρκα, καὶ πίητέ μου τὸ αἷμα, καὶ τῶν μαθητῶν ταρασσομένων καὶ λεγόντων, Τίς δύναται τοῦτο ἀκοῦσαι; φασὶν ὡς περὶ τῆς αἰσχρότητος ἦν ὁ λόγος, διὸ καὶ ἐταράχθησαν, καὶ ἀπῆλθον εἰς τὰ ὀπίσω. Οὔπω γὰρ ἦσαν, φασὶ, ἐν πληρώματι ἐστερεωμένοι. Καὶ τὸ εἰπεῖν τὸν Δαβὶδ, Ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ*

CAP. VII. — 1. ἀνθρώπων ἀξίας ὑποκρίσεως cod. *Vatic.*

2. αὐτοῦ, τουτέστι τῷ χρόνῳ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας, μείζων αὐτοῦ ἐστιν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ed. *Petav., ex cod. Vaticano. Cod. Rhedig. et edit. princ. habent* ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστι, τουτέστι τῷ

commodaret, quod ii faciunt qui mollioribus vestibus induuntur? Minime vero. Non enim Ioannes arundo quaedam est hominum opinionibus agitata, vel qualibet eorum fraude ac simulatione concussa. Sed quoniam illud adiecerat, *Inter natos mulierum non surrexit maior Ioanne baptista*, ne quis Ioannem sibi persuaderet etiam ipso salvatore esse maiorem, quod is a muliere, nimirum beata semperque virgine Maria per spiritum sanctum esset genitus, ut nos contra hunc errorem instrueret, subiecit, *Qui minor est in regno coelorum, maior est illo.* Quod videlicet ratione temporis est ab eo dictum quo in hunc mundum humana carne praeditus advenit, quoniam sexto a Ioannis nativitate mense Christus est in lucem editus. Qui haud dubie maior erat illo, cum et sit semper et fuerit. Quis hoc vero potest ignorare? Frustra igitur ab illis excogitata sunt omnia, et ex bonis in mala conversa.

Caeterum libri penes illos quamplurimi sunt. Nam Interrogationes quasdam Mariae venditant. Alii de eo quem diximus Ialdabaoth sub Setbi nomine complures libros supposititios obtrudunt. Sed et Adami Revelationes alias, et alia item Evangelia falsa discipulorum nomine conscribere sunt ausi. Nec eos dicere pudet salvatorem nostrum ac dominum Iesum Christum eiusmodi per sese turpitudinem monstrasse. Etenim in Mariae interrogationibus quas Maiores vocant (sunt enim aliae Minores perinde commentitiae) huic illum patefecisse fingunt, cum eam in montem eduxisset, essetque precatus, ac producta de latere suo muliere cum ea rem habere coepisset, tum seminis sui profusione degustata monstrasset, ita, ut vivere possimus, esse faciendum. Addunt et perturbatam fuisse Mariam, atque humi cecidisse, eamque a Christo cum his verbis erectam: *Quare dubitasti modicae fidei?* Atque hoc ipsum esse volunt quod in evangelio dicitur: *Si terrena dixi vobis, et non credidistis, coelestia quomodo credetis?* Item illud: *Cum videritis filium hominis eo ascendentem ubi erat prius*, hoc est, inquiunt, profluens semen exsorptum, ut eo unde exierat revertatur. Tum quod alibi scriptum est: *Nisi manducaveritis carnem meam, et biberitis meum sanguinem.* Ad quae perturbatis discipulis, ac dicentibus, *Quis hoc potest audire?* de turpitudine sermonem eum institutum ferunt, ideoque turbatos retro pedem retulisse. Nondum enim perfecte corroborati erant ac stabiliti. Quo etiam Davidis illud dictum referunt:

[Marginal notes: Cap. VIII. — Ioann. 3, 12. — Ioann. 6, 53.]

χρόνῳ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας. 3. ἄρα cod. *Rhedig.*

Cap. VIII. — 1. πιστεύσετε cod. *Vatic. et ed. Petav.* πιστεύσητε cod. *Rhedig. et edit. princ.*

*τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐ-
pag. 90. τοῦ, περὶ τῆς αἰσχρότητος τοῦ ἀνδρὸς,* [2] *φασὶ, λέγει, Ἐπὶ τὴν ἔξο-
δον τῶν ὑδάτων, καὶ, Ὃ τὸν καρπὸν αὐτοῦ δώσει, τὴν τῆς ἡδονῆς
ἐπίρροιαν,* [3] *φασὶ, λέγει, καὶ, Τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται,
ὅτι οὐκ ἐῶμεν αὐτὸ χαμαὶ πεσεῖν, ἀλλὰ αὐτοὶ αὐτὸ ἐσθίομεν.*

Κεφ. Θ'. *Καὶ ἵνα μὴ τὰς μαρτυρίας αὐτῶν ἐν μέσῳ ἄγων βλάψω μᾶλλον
ἤπερ ὠφελήσω, τούτου χάριν τὰ πολλὰ ὑπερβήσομαι,* [1] *ἐπεὶ ἂν τὰ
πάντα παρ' αὐτοῖς* [2] *λεγόμενα κακῶς ἐνταῦθα παρατιθέμενος διηγό-
ρευον. Τὸ γὰρ εἰπεῖν,* [3] *φασὶ, τεθεικέναι τὴν Ῥαὰβ κόκκινον ἐν τῇ
θυρίδι, οὐκ ἦν,* [4] *φασὶ, κόκκινον, ἀλλὰ τὰ μόρια τῆς γυναικείας φύ-
σεως, καὶ τὸ κόκκινον αἷμα τῶν καταμηνίων λέγει. Καὶ τὸ εἰπεῖν,
Πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων, περὶ τούτου λέγει. Φασὶ δὲ εἶναι τὴν
σάρκα ἀπολλυμένην, καὶ μὴ ἐγειρομένην· εἶναι δὲ ταύτην τοῦ Ἄρχοντος.
Τὴν δὲ δύναμιν τὴν ἐν τοῖς καταμηνίοις καὶ ἐν ταῖς γοναῖς ψυχὴν εἶ-
ναί φασιν, ἣν συλλέγοντες ἐσθίομεν· καὶ ἅπερ ἡμεῖς ἐσθίομεν κρέα,
ἢ λάχανα, ἢ ἄρτον, ἤ τι ἕτερον, χάριν ποιοῦμεν ταῖς κτίσεσι, συλλέ-
γοντες ἀπὸ πάντων τὴν ψυχὴν καὶ μεταφέροντες μεθ' ἑαυτῶν εἰς τὰ
ἐπουράνια. Διόπερ καὶ πάντων μεταλαμβάνουσι κρεῶν, λέγοντες, ἵνα
ἐλεήσωμεν τὸ γένος ἡμῶν. Φάσκουσι δὲ τὴν αὐτὴν ψυχὴν εἶναι ἔν τε
τοῖς ζώοις καὶ ἐν κνωδάλοις καὶ ἰχθύσι καὶ ὄφεσι καὶ ἀνθρώποις ἐγκα-
τεσπάρθαι, καὶ ἐν λαχάνοις καὶ ἐν δένδρεσι καὶ ἐν γεννήμασι. Καὶ οἱ
μὲν αὐτῶν Φιβιωνῖται καλούμενοι ἀναφέρουσι τὰς αἰσχρὰς αὐτῶν θυ-
σίας* [5] *τῆς πορνείας, τὰς ὑφ' ἡμῶν ἐνταῦθα προειρημένας, ὀνόμασι
τριακοσίοις ἑξηκονταπέντε, οἷς αὐτοὶ ἔπλασαν Ἀρχόντων δῆθεν, ἐμ-
παίζοντες τοῖς γυναικαρίοις καὶ λέγοντες, Μίγηθι μετ' ἐμοῦ, ἵνα σε
ἀνενέγκω πρὸς τὸν Ἄρχοντα. Καθ' ἑκάστην δὲ μίξιν ὀνομάζουσιν
ἑνὸς ὄνομά τινος βάρβαρον τῶν παρ' αὐτοῖς* [6] *πεπλασμένων, καὶ δῆθεν
εὔχονται λέγοντες, Προσφέρομέν σοι τῷ δεῖνι, ἵνα προσενέγκῃς τῷ
δεῖνι. Τῇ δὲ ἄλλῃ πάλιν μίξει ἄλλῳ ὑποτίθενται ὡσαύτως προσφέρειν,
ἵνα καὶ αὐτὸς τῷ ἄλλῳ. Καὶ ἕως ἂν ἔλθῃ, μᾶλλον δὲ κατέλθῃ τρια-
κοσίας ἑξηκονταπέντε πτώσεις τῆς λαγνείας, καθ' ἑκάστην ὄνομά τι
ἐπικαλεῖται τὸ τοιοῦτο ἐργαζόμενος, καὶ ἄρχεται πάλιν κατιέναι διὰ
τῶν αὐτῶν, τὰ αὐτὰ αἰσχρὰ ἐπιτελῶν καὶ ἐμπαίζων ταῖς ἠπατημέναις.
pag. 91. Ὅταν οὖν εἰς τοσοῦτον ἀριθμοῦ ὄγκον ἐλάσῃ ἑπτακοσίων τριάκοντα
πτώσεων, λέγω δὴ μίξεων αἰσχρῶν, καὶ ὀνομάτων τῶν παρ' αὐτοῖς*

2. φησὶ *cod. Vatic.*
3. φησὶ *cod. Vatic.*
Cap. IX. — 1. ἐπεὶ πῶς ἂν *placuit Petavio.*
2. λεγόμενα κακῶς ἐνταῦθα *cod. Vatic., recte.* κακῶς λεγόμενα ἐνταῦθα *edit. Petav.* λεγόμενα ἐνταῦθα *cod. Rhedig. et edit. princ.*

*Erit tanquam lignum quod plantatum est secus decursus aquarum, quod fructum suum dabit in tempore suo.* Atque in eo quod scriptum est, *Secus decursus aquarum*, indicari viri foeditatem asseruit: istud vero, *Quod fructum suum dabit in tempore suo*, voluptatis demonstrare proluviem. Nam quod additum est, *Et folium eius non defluet*, tum a nobis, inquiunt, perficitur, cum in terram decidere non patimur, sed ipsimet illud absumimus. Psalm. 1, 3.

Ac ne prolatis illorum testimoniis plus detrimenti quam utilitatis adferam, idcirco pleraque silentio praetermittam. Alioquin omnia quae ab illis dicuntur hoc loco explicando commemorarem. Nam quod in scriptura legimus Rhaab coccinum in fenestra posuisse, non coccinum erat, inquiunt, sed muliebre pudendum, in quo coccineus color menstruum sanguinem significat. Quin etiam eodem illud spectat: *Bibe aquam de tuis vasis.* Siquidem interire carnem, nec excitari denuo praedicant, eamque ad Principem pertinere. Vim autem illam, quae in menstruis est ac semine, animam esse, quam collectam comedimus. Unde cum carnibus aut oleribus, aut pane, aut alio quopiam vescimur, bene de creatis rebus meremur, dum ex his omnibus animam corrogamus ac nobiscum in coelum evehimus. Ideoque genere omni carnium utuntur, ut generis, aiunt, nostri misereamur. Caeterum eandem inesse putant animalibus et bestiis et piscibus ac serpentibus animam, quae hominibus insit, nec non et oleribus et arboribus ac germinibus infusam. Iam vero qui ex iis Phibionitae vocantur execranda illa libidinis sacra, quae a nobis explicata sunt, CCCLXV nominibus adscribunt, quae Principum esse propria commenti sunt. Ita mulierculis illudentes, *Congredere mecum*, inquiunt, *ut te ad Principem perducam.* Tum ad singulos coitus barbarum aliquod unius ex illis nomen temere ab iis excogitatum pronunciant, ac nimirum hac formula precantur: *Tibi N. offerimus, ut N. vicissim offeras.* Inde alio rursus in congressu alteri se offerre praedicant, ut et is alteri repraesentet. Ita donec per CCCLXV libidinis ac lasciviae gradus ascenderint, vel descenderint potius, quoties Venerem repetunt, eiusmodi aliquod nomen appellant. Inde per eadem illa turpitudinis vestigia relabuntur, ac circumventis a se mulierculis illudunt. Postquam autem iterando saepius concubitu, ac fictis illis nominibus repetendis DCCXXX numerum impleruut, deinceps qui id egerit, palam de se praedi-

Cap. IX. Iosua 2. Prov. 5, 15.

3. φησὶ codd. Vatic. et Rhedig.
4. φησὶ codd. Vatic. et Rhedig.
5. τὰ (repone τὰς) τῆς cod. Vatic.
6. πεπλασμένων cod. Vatic. Reliqui libri πεπλανημένων.

πεπλασμένων, τότε λοιπὸν τολμᾷ ὁ τοιοῦτος καὶ λέγει, Ἐγώ εἰμι ὁ Χριστός· ἐπειδὴ ἄνωθεν καταβέβηκα διὰ τῶν ὀνομάτων τῶν τξε´ Ἀρχόντων.

Κεφ. ί. Τὰ δὲ τῶν μειζόνων κατ᾽ αὐτοὺς Ἀρχόντων ὀνόματα ταῦτα εἶναι [1] λέγουσι. Πολλοὺς λέγοντες, ἐν μὲν τῷ πρώτῳ οὐρανῷ εἶναι τὸν Ἰαὼ ἄρχοντα, καὶ ἐν τῷ δευτέρῳ φασὶν εἶναι τὸν Σακλᾶν ἄρχοντα τῆς πορνείας, ἐν δὲ τῷ τρίτῳ τὸν Σὴθ ἄρχοντα, ἐν δὲ τῷ τετάρτῳ εἶναί φασι τὸν Δάδην· τέταρτον γὰρ ὑποτίθενται οὐρανὸν, καὶ τρίτον· πέμπτον δὲ ἄλλον οὐρανὸν, ἐν ᾧ φασιν εἶναι τὸν Ἐλωαῖον, τὸν καὶ Ἀδωναῖον. Ἐν δὲ τῷ ἕκτῳ φασὶν εἶναι οἱ μὲν τὸν Ἰαλδαβαὼθ, οἱ δὲ τὸν Ἠλιλαῖον. Ἄλλον δὲ ἕβδομον οὐρανὸν ὑποτίθενται, ἐν ᾧ λέγουσιν εἶναι τὸν Σαβαώθ· ἄλλοι δὲ λέγουσιν οὐχὶ, ἀλλ᾽ ὁ Ἰαλδαβαώθ ἐστιν ἐν τῷ ἑβδόμῳ· ἐν δὲ τῷ ὀγδόῳ οὐρανῷ τὴν Βαρβηλὼ καλουμένην, καὶ τὸν Πατέρα τῶν ὅλων, καὶ κύριον τὸν αὐτὸν αὐτοπάτορα, καὶ Χριστὸν ἄλλον αὐτολόχευτον· καὶ Χριστὸν τοῦτον τὸν κατελθόντα καὶ δείξαντα τοῖς ἀνθρώποις ταύτην τὴν Γνῶσιν· ὃν καὶ Ἰησοῦν φασι, μὴ εἶναι δὲ αὐτὸν ἀπὸ Μαρίας γεγεννημένον, ἀλλὰ διὰ Μαρίας δεδειγμένον, σάρκα δὲ αὐτὸν μὴ εἰληφέναι, ἀλλ᾽ ἢ μόνον δόκησιν εἶναι. Φασὶ δὲ τὸν Σαβαὼθ οἱ μὲν ὄνου μορφὴν ἔχειν, οἱ δὲ χοίρου. Διόπερ ἐνετείλατο, φασὶ, τοῖς Ἰουδαίοις, χοῖρον μὴ ἐσθίειν· εἶναι δὲ αὐτὸν ποιητὴν οὐρανοῦ καὶ γῆς, καὶ τῶν μετ᾽ αὐτὸν οὐρανῶν καὶ ἀγγέλων τῶν ἑαυτοῦ. Τὴν δὲ ψυχὴν ἐν τῷ ἐξέρχεσθαι ἐντεῦθεν διαβαίνειν διὰ τῶν Ἀρχόντων τούτων, μὴ δύνασθαι δὲ διαπεράσαι, εἰ μή τι ἂν [2] τῆς Γνώσεως ἐν πληρώματι γένηται, μᾶλλον δὲ ταύτης τῆς καταγνώσεως, καὶ ἐμφορηθεῖσα διαδράσειε τῶν Ἀρχόντων καὶ τῶν Ἐξουσιῶν τὰς χεῖρας. Εἶναι δὲ δρακοντοειδῆ τὸν Ἄρχοντα τὸν κατέχοντα τὸν κόσμον τοῦτον, καὶ καταπίνοντα μὲν τὰς ψυχὰς τὰς μὴ ἐν γνώσει ὑπαρχούσας, καὶ διὰ τῆς κέρκου πάλιν ἐπιστρέφοντα εἰς τὸν κόσμον, [3] κἀντεῦθεν εἰς χοίρους καὶ εἰς ἄλλα ζῶα, καὶ πάλιν διὰ τῶν αὐτῶν ἀναφερομένας. Εἰ δέ τις, [4] φασὶν, ἐν τῇ Γνώσει γένηται ταύτῃ, καὶ συλλέξει ἑαυτὸν ἐκ τοῦ κόσμου διὰ τῶν ἐμμηνίων καὶ διὰ τῶν ῥύσεων

pag. 92. τούτων τῆς ἐπιθυμίας, μηκέτι ἐνταῦθα κατέχεσθαι αὐτὸν, ἀλλὰ ὑπερβαίνειν τοὺς προειρημένους Ἄρχοντας, ἔρχεσθαι δὲ, [5] φασὶ, παρὰ τὸν Σαβαὼθ, καὶ πατεῖν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ἀθυρογλώττως βλασφημοῦντες, καὶ οὕτως ὑπερβαίνειν εἰς τὸ ἄνω μέρος, ὅπου ἡ μήτηρ τῶν ζώντων ἡ Βαρβηρὼ, ἤτοι Βαρβηλὼ, καὶ οὕτω τὴν ψυχὴν σώζεσθαι. Ἔχειν δὲ καὶ τρίχας ὡς γυναικὸς τὸν αὐτὸν λέγουσιν οἱ τάλανες, νο-

Cap. X. — 1. *Vulgata distinctio est in editis* λέγουσι, πολλοὺς λέγοντες. ἐν μὲν *etc.*

2. τῆς γνώσεως ταύτης, μᾶλλον δὲ τῆς καταγνώσεως ἐν πληρώματος (*sic*) γένηται, καὶ ἐμφορηθεὶς (*sic*) διαδράσειε *etc. cod. Vatic.*

care non dubitat: Ego sum Christus; nam per CCCLXV nomina Principum ex alto descendi.

Maiorum porro Principum nomina haec esse memorat. In supremo, inquiunt, orbe residet Iao, in secundo Saclan, is qui stupris ac libidinibus praeest; in tertio Sethus, in quarto Daden statuunt: quippe quartum esse coelum asseverant, et tertium; ac rursus quintum, in quo Eloaeum collocant, qui idem et Adonaeus dicitur. At sextum occupare volunt alii Ialdabaoth, Elilaeum alii. Sed et septimum esse nonnulli definiunt, cui Sabaoth insideat. Quod ab aliis negatur, qui Ialdabaoth septimam illam stationem attribuunt. In octavo Barbeloni domicilium esse fingunt, nec non et universorum Parenti illi qui idem dominus sit, et suimetipsius pater, quemadmodum et alteri cuidam Christo, qui per sese sit in lucem editus. Tum vero Christum ibidem ipsum collocant, qui de coelo descendit, et eiusmodi Cognitionem humano generi contulit, quem etiam appellatum fuisse Iesum praedicant. Verum eundem negant de Maria natum, sed per Mariam ostensum asserunt; neque carnem aliter quam specie ipsa suscepisse. Quod ad Sabaoth pertinet, hunc asini quidam, alii porci figura constare censent. Ob idque Iudaeis, aiunt, suillis carnibus interdixerat. Hunc esse coelo terraeque conditorem, tum eorum qui consequuntur coelestium orbium, angelorumque suorum. Porro digredientem hinc animam per illos transire Principes, neque tamen penetrare posse, nisi Cognitione illa plenissime perfusa fuerit, vel comdemnatione potius; qua quidem cumulata Principum istorum ac Potestatum manus effugiat. Addunt et huius mundi Praesidem draconis effigiem habere, ab eoque animas absorberi Cognitione illa destitutas, rursumque per caudam in hunc mundum refundi. Ex quo deinceps in porcorum aliorumque animantium corpora transfusae per eadem denuo vestigia sursum efferantur. Quod si quis, aiunt, ea fuerit Cognitione praeditus, seseque per menstrua illa ac libidinis profusionem ex hoc mundo collegerit, eum nihil hic detineri amplius, sed eos quos diximus praetergredi Principes, et ad Sabaoth usque pervenire, atque illius proculcare caput (ita enim sacrilege atque impudenter effutiunt), indeque ad supremum illud domicilium evadere, ubi viventium mater est Barbero, quae et ab illis Barbelo dicitur. Hanc esse animae rationem adipiscendae salutis. Illud vero praeterea infelices illi ad fabulam ad- Cap. X.

3. ἐνταῦθα cod. Vatic.
4. φησὶν codd. Vatic. Rhedig.
5. φησὶ codd. Rhedig. Vatic.

*μίζοντες τὸ ὄνομα τὸ Σαβαὼθ ἄρχοντά τινα εἶναι, οὐκ εἰδότες ὅτι ὅπου λέγει, Τάδε λέγει κύριος Σαβαὼθ, οὐκ ὄνομά τινος εἶπεν, ἀλλ' ὄνομα δοξολογίας τῆς θεότητος. Σαβαὼθ γὰρ ἑρμηνεύεται ἀπὸ τῆς Ἑβραϊκῆς διαλέκτου Κύριος τῶν δυνάμεων. Ὅπου γὰρ ἐν τῇ παλαιᾷ διαθήκῃ τὸ Σαβαὼθ ὄνομά ἐστι γεγραμμένον, δύναμιν ὑποφαίνει, ὅθεν ὁ Ἀκύλας πανταχοῦ τὸ Ἀδωναΐ Σαβαὼθ ἑρμηνεύει λέγων, Κύριος στρατιῶν. Οὗτοι δὲ κατὰ πάντα τρόπον ἐμμανέντες κατὰ τοῦ αὐτῶν δεσπότου τὸν μὴ ὄντα ζητοῦσι, καὶ τὸν ὄντα ἀπολωλέκασι, μᾶλλον δὲ ἑαυτοὺς ἀπώλεσαν.*

Κεφ. ια'. *Ἄλλα δὲ ὅσα* [1] *φλυαροῦσιν ἐν οἷς περικακεῖν ἐστι τὰ τῆς αὐτῶν μανίας λέγειν. Τινὲς δὲ ἐξ αὐτῶν γυναιξὶ μὴ πλησιάζοντες ταῖς ἰδίαις χερσὶ αὐτῶν ἑαυτοὺς φθείρουσι, τὴν δὲ αὐτῶν φθορὰν λαμβάνουσιν εἰς τὰς χεῖρας, καὶ οὕτως ἐσθίουσι, χρώμενοι σεσυκοφαντημένῃ μαρτυρίᾳ,* [2] *τῷ, Αἱ χεῖρες αὗται ἐπήρκεσαν οὐ μόνον ἐμοὶ, ἀλλὰ καὶ τοῖς σὺν ἐμοὶ, καὶ* [3] *τῷ πάλιν,* [4] *Ἐργαζόμενοι ταῖς ἰδίαις χερσὶν, ἵνα* [5] *δύνησθε καὶ τοῖς μὴ ἔχουσι μεταδοῦναι. Ὡς καὶ περὶ τούτων, οἶμαι, ἐκινήθη τὸ ἅγιον πνεῦμα ἐν τῷ ἀποστόλῳ Ἰούδᾳ, λέγω δὴ ἐν τῇ ὑπ' αὐτοῦ γραφείσῃ καθολικῇ ἐπιστολῇ. Ἰούδας δέ ἐστιν οὗτος ὁ ἀδελφὸς Ἰακώβου καὶ κυρίου λεγόμενος. Ὑπέδειξε γὰρ αὐτοὺς τὸ ἅγιον πνεῦμα διὰ τῆς φωνῆς τοῦ Ἰούδα κατὰ τὰ κτήνη φθειρομένους καὶ φθείροντας, ὡς λέγει ὅτι, Ὅσα μὲν οὐκ οἴδασιν, ἀγνοοῦντες ἁλίσκονται, ὅσα δὲ οἴδασιν, ὡς τὰ ἄλογα ζῶα φθείρονται. Κυνῶν γὰρ δίκην καὶ χοίρων τὴν ἀπ' αὐτῶν φθορὰν ἐπιτελοῦσιν. Οἱ κύνες γὰρ καὶ οἱ χοῖροι, οὐ μὴν ἀλλὰ καὶ ἄλλα ζῶα, οὕτως φθείρονται, καὶ τὴν ἀπόρρυ-*
pag. 93. *σιν τὴν ἀπὸ τῶν σωμάτων αὐτῶν ἐσθίουσι. Καὶ γὰρ ἀληθῶς ἐνυπνιαζόμενοι σάρκα μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσι· Μιχαὴλ δὲ ὁ ἀρχάγγελος διαλεγόμενος τῷ διαβόλῳ περὶ τοῦ Μωϋσέως σώματος οὐκ ἤνεγκε λόγον βλασφημίας, ἀλλὰ εἶπεν, Ἐπιτιμήσαι σοι ὁ κύριος· οὗτοι δὲ ὅσα οὐκ οἴδασι, φυσικῶς βλασφημοῦσιν, ὅτι τὰ ἅγια τῶν ἁγίων τὰ μετὰ ἁγιασμοῦ ἡμῖν παραδοθέντα βλασφημοῦσιν, εἰς αἰσχρότητα αὐτοὶ μεταβαλλόμενοι. Καὶ ταῦτά ἐστιν ἅτινα κατὰ τῶν ἀποστόλων ἐτόλμησαν λέγειν, ὡς καὶ ὁ μακάριος Παῦλός φησιν, Ὥς τέ τινας τολμᾶν ἡμᾶς λέγειν, Ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ ἐφ' ἡμᾶς τὰ ἀγαθὰ, ὧν τὸ κρίμα ἔνδικόν ἐστι. Πόσας δὲ ἄλλας ἀγάγοιμι μαρτυρίας κατὰ τῶν βλασφήμων; Οὗτοι γὰρ οἱ ταῖς ἰδίαις*

Cap. XI. — 1. φλυαροῦσιν *non habet cod. Vatic.*
2. *Libri vulgo* τὸ.
3. *Libri vulgo* τὸ.
4. ἐργαζόμενος *codd. Vatic. Rhedig.*
5. δύνηται *cod. Vatic.*

iunxerunt, eidem Sabaoth capillos esse muliebres; quod scilicet vocem illam Sabaoth Principis alicuius esse nomen arbitrentur, neque illud intelligant, ubicumque ita dicitur, *Haec dicit dominus Sabaoth*, non cuiuspiam id esse proprium nomen, sed praedicando potius numini velut quoddam laudationis vocabulum adhiberi. Quippe dominus Sabaoth idem Hebraice quod exercituum significat. Et quidem ubicumque vox illa Sabaoth in vetere testamento legitur, exercitum sonat. Itaque pro eo quod Hebraice scriptum est, *Adonai Sabaoth*, Aquila perpetuo, *Dominus exercituum* reddit. Sed isti furore atque amentia perciti ad domini sui iniuriam eum qui nusquam est inquirunt, et eum qui est reipsa, vel semetipsos potius, perdiderunt.

Sunt et aliae eorumdem innumerabiles nugae, nec sine taedio potest omnis istorum insania commemorari. Sed illud praetermitti non potest, quosdam ex horum esse numero, qui ita mulierum consuetudine abstinent, ut seipsos manibus suis conspurcent, iisque foedissimum libidinis virus excipiant atque eo vescantur, ad quod testimonium illud per summam calumniam detorquent: *Manus istae suppeditarunt non mihi solum, sed et iis qui mecum sunt.* Item istud: *Operantes manibus propriis, ut possitis iis qui non habent communicare.* De quibus adeo mihi commotus videtur in apostolo Iuda spiritus sanctus, hoc est in catholica illius epistola (Iudas ille porro est qui Iacobi, atque etiam domini frater appellatus est). In qua per apostoli vocem spiritus, inquam, sanctus, corruptos illos corruptores esse demonstrat, ut ibidem loquitur: *Quae enim nesciunt ignorantes in illis capiuntur: quae vero norunt, in iis tanquam muta animalia corrumpuntur.* Siquidem canum instar ac porcorum sua se corruptela turpitudinis inquinant. Hoc enim modo tam canes ac porci quam caetera se animantia corrumpunt, et profluentem e corporibus suis libidinis humorem delingunt. Atque illi revera carnem suam erumpente velut per somnium fluxione commaculant. *Dominationem autem spernunt, maiestatem autem blasphemant: at Michael archangelus cum diabolo disputans de Moysi corpore blasphemiae sermonem non tulit, sed dixit, Increpet te dominus: hi autem quaecumque ignorant naturaliter blasphemant;* dum sacrosanctis illis mysteriis quae cum sanctissimis religionibus nobiscum communicantur contumeliose illudunt, et ad spurcissimam flagitiosissimamque libidinem convertunt. Haec sunt quae adversus apostolos effutire sunt ausi, quemadmodum beatus apostolus scribit: *Adeo ut quidam haec a nobis dici iactare audeant, Faciamus mala, ut eveniant bona; quorum iustum est iudicium.* Quam vero multa testimonia suppetunt quae contra blasphemos illos in medium afferre possimus! Sed illi qui

Cap. XI. — Act. 20, 34. — Eph. 4, 28. — Ep. Iud. v. 10. — Ep. Iud. v. 8. — Rom. 3, 8.

*χερσὶ φθειρόμενοι, οὐ μόνον δὲ, ἀλλὰ καὶ οἱ ταῖς γυναιξὶ πλησιάζοντες, λοιπὸν κόρον μὴ λαβόντες τῆς μετὰ τῶν γυναικῶν πολυμιξίας, εἰς ἀλλήλους ἐκκαίονται, Ἄνδρες ἐν ἀνδράσι, κατὰ τὸ γεγραμμένον, τὴν ἀντιμισθίαν τῆς πλάνης ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. Ἐξώλεις γὰρ οἱ αὐτοὶ γενόμενοι μακαρίζουσιν ἀλλήλους,* [6] *ὡς τὸ προκριτέον πρᾶγμα ἀναδεξάμενοι. Ἀλλὰ καὶ ἀπατῶντες τὸ αὐτοῖς πειθόμενον γυναικεῖον γένος, τὸ σεσωρευμένον ἁμαρτήμασι καὶ ἠγμένον ποικίλαις ἐπιθυμίαις, φάσκουσι ταῖς ἠπατημέναις ὑπ' αὐτῶν ὅτι, Ἡ δεῖνα παρθένος, ἡ τοσαῦτα ἔτη ἐφθαρμένη, καὶ φθειρομένη καθ' ἑκάστην ἡμέραν. Κόρον γὰρ οὐκ ἔχει παρ' αὐτοῖς ἡ λαγνεία, ἀλλ' ὅσον τις παρ' αὐτοῖς αἰσχρουργὸς ἄνθρωπος, τοσοῦτον παρ' αὐτοῖς ἐπαινετός. Ἐκείνας δέ φασιν εἶναι παρθένους, τὰς μηδέποτε ἐν κοσμικῇ μίξει γάμου κατὰ φύσιν τῆς συνηθείας γενομένας, ἕως καταβολῆς σπέρματος, ἀλλὰ μιγνυμένας μὲν ἀεὶ καὶ πορνευούσας, πρὸ δὲ τοῦ ἀπαρτισθῆναι τὴν ἡδονὴν ἀφιστώσας τὸν πονηροποιὸν αὐτῶν τῆς κοινωνίας φθορέα, καὶ λαμβανούσας τὴν προειρημένην αἰσχρότητα εἰς ἐδωδὴν, ὡς κατὰ τὸ ὅμοιον τοῦ Σηλὼμ πρὸς τὴν Θάμαρ κακοτροπίας, ἀλλὰ ἀπὸ παρθενίας τὴν τέχνην ταύτην* [7] *ἐπανῃρημένας, τοῦ φθείρεσθαι μὲν, μὴ ὑποδέχεσθαι δὲ τῆς φθορᾶς τὴν μίξιν καὶ τὴν ἀπόρροιαν. Βλασφημοῦσι δὲ οὐ μόνον τὸν Ἀβραὰμ καὶ τὸν Μωϋσέα καὶ τὸν Ἠλίαν, καὶ πάντα*
pag. 94. [8] *τὸν χορὸν τῶν προφητῶν, ἀλλὰ καὶ τὸν θεὸν τὸν ἐκλεξάμενον αὐτούς.*

Κεφ. ιβ'. *Ἄλλα δὲ μυρία παρ' αὐτοῖς πεπλασμένα γραφεῖα τετόλμηται. Γένναν μὲν γὰρ Μαρίας βιβλίον τί φασιν εἶναι, ἐν ᾧ δεινά τε καὶ ὀλέθρια ὑποβάλλοντές τινα ἐκεῖσε λέγουσιν. Ἐκ τούτου γάρ φασι τὸν Ζαχαρίαν ἀπεκτάνθαι ἐν τῷ ναῷ, ἐπειδὴ,* [1] *φασὶ, ὀπτασίαν ἑώρακε, καὶ ἀπὸ τοῦ φόβου θέλων εἰπεῖν τὴν ὀπτασίαν ἀπεφράγη τὸ στόμα. Εἶδε γὰρ,* [2] *φασὶν, ἐν τῇ ὥρᾳ τῆς θυμιάματός τινα, ὡς ἐθυμία, ἄνθρωπον ἑστῶτα* [3] *ὄνου μορφὴν ἔχοντα. Καὶ ἐξελθόντος,* [4] *φασὶ, καὶ θέλοντος εἰπεῖν, Οὐαὶ ὑμῖν, τίνι προςκυνεῖτε; ἀπέφραξεν αὐτοῦ τὸ στόμα ὁ ὀφθεὶς αὐτῷ ἔνδον ἐν τῷ ναῷ, ἵνα μὴ δύνηται λαλῆσαι. Ὅτε δὲ ἠνοίγη τὸ στόμα αὐτοῦ, ἵνα λαλήσῃ, τότε ἀπεκάλυψεν αὐτοῖς, καὶ ἀπέκτειναν αὐτὸν, καὶ οὕτως,* [5] *φασὶν, ἀπέθανε Ζαχαρίας. Διὰ τοῦτο γὰρ* [6] *ὁ ἱερεὺς προςετάγη ὑπ' αὐτοῦ τοῦ νομοθετήσαντος, φασὶν, ἔχειν*

6. *Suspicor* ὥς τι.
7. ἐπανῃρημένας *ego rescripsi pro* ἐπανειρημένας, *quod in libris vulgo extat.*
8. τὸν *cum Petavio adieci ex cod. Vatic. Non extat in ed. princ. et cod. Rhedig.*

Cap. XII. — 1. φησὶ *codd. Vatic. Rhedig.*
2. φησὶν *codd. Vatic. Rhedig.*
3. *Hinc illa fabula de Onocoete Christianorum deo, de qua Tertull. Apolog. cap. 16.*

suis ipsi manibus abominandam libidinem exercent, qui cum mulieribus se commiscent, assiduo illarum usu nequaquam exsatiati in semetipsos exardescunt, *Viri*, inquam *in viros*, sicut scriptum est, Rom. 1, 27.
*mercedem erroris sui in semetipsis recipientes.* Etenim perditi profligatique homines beatos se invicem praedicant, tanquam praecipuum quiddam facinus ac singulare susceperint. Quinetiam mulierculis quas sibi morigeras habent, illudentes, *Mulierculis*, inquam, *onu-* 2. Tim. 3, 6.
*stis peccatis, ac multiplicibus cupiditatibus abductis*, identidem narrant, hanc, quam videlicet nominant, esse virginem, cum ante multos iam annos vitiata fuerit, ac quotidie constupretur. Apud illos quippe satietas libidinis nulla; et quo foediora quisque perpetraverit, eo maiori omnium laude ac praedicatione celebratur. Virgines porro illas appellant quae nunquam legitimo nuptiarum usu ac naturali illa consuetudine ita perfunctae sunt, ut infusum semen exciperent, sed quae licet assiduis se stupris flagitiisque contaminent, tamen antequam libido omnis impleatur perditissimum suum illum admissarium excutiunt, illasque quas diximus turpissimas sordes ad vescendum excipiunt. In quo immane illud horrendumque Sellomi Gen. 38.
cum Thamare facinus imitantur, utpote quae servandae virginitatis artificium illud susceperint, ut cum assidue corrumpantur, nullam tamen ex ea corruptela infusionem seminis admittant. Neque vero aut Abraamum, duntaxat, aut Moysen atque Eliam, adeoque prophetas omnes sed et deum ipsum a quo sunt electi contumeliose traducunt.

Infinita porro penes illos sunt supposititia atque impudenter con- Cap. XII.
ficta monumenta. Cuiusmodi est qui De Progenie Mariae liber inscribitur, in quo horribilia quaedam ac detestanda illorum dicta continentur. Velut inter alia, eam Zachariae necis in templo caussam extitisse, quod cum visum quoddam illi esset oblatum, idque prae metu significare vellet, os ei primo praeclusum sit. Viderat autem, inquiunt, cum incensi hora suffiret, asini figura stantem hominem, ac cum egredi vellet, itaque proloqui, Vae vobis, quem enim tandem adoratis? ab eo qui in templo intus apparuit oris illi, ne efferre posset, usus interclusus est; post autem ubi vox eidem est restituta, atque hoc in Iudaeos arcanum evulgavit ab illis interfectus est. Haec, inquiunt, Zachariae mortis occasio fuit. Addunt eandem illam ob caussam iussum a legislatore pontificem tintinnabula gestasse, ut quoties ad functionem suam obeundam ingrederetur, cre-

4. φησὶ *cod. Vatic.*
5. φησὶν *cod. Vatic.*
6. ὁ ἱερεὺς προςετάγη ὑπ' αὐτοῦ τοῦ νομοθετήσαντος, φασὶν *codd. Vatic. Rhedig.* ὁ ἱερεὺς ὑπ' αὐτοῦ τοῦ νομοθετήσαντος προςετάγη, φασὶν *ed. Petav. In edit. princ. desideratur vox* προςετάγη.

*κώδωνας, ἵν' ὅταν εἰςέρχηται ἱερατεῦσαι, τὸν [7] κτύπον ἀκούων τῶν κωδώνων κρύπτηται ὁ προςκυνούμενος, ἵνα μὴ φωραθῇ τὸ [8] ἰνδαλματικὸν τῆς μορφῆς αὐτοῦ πρόςωπον. Ἔστι δὲ τὸ πᾶν τῆς εὐηθείας αὐτῶν ἐπιτήδευμα εὐθυέλεγκτον καὶ χλεύης ἔμπλεον. Εἰ γὰρ ἦν ὅλως ὁρατὸς ὁ ἱερουργούμενος, οὐδὲ κρυβῆναι ἠδύνατο· εἰ δὲ ὅλως κρυβῆναι ἠδύνατο, οὐκέτι ἦν ὁρατός. Καὶ ἑτέρως πάλιν πρὸς αὐτοὺς ῥητέον ὅτι εἰ ὁρατὸς ἦν, σῶμα ἄρα ἦν, καὶ οὐκ ἦν πνεῦμα, εἰ δὲ πνεῦμα ἦν, οὐκέτι ἐν ὁρατοῖς ἐξετάζεται. Πῶς οὖν τὸ οὐκ ἐν ὁρατοῖς ἐξεταζόμενον ἀπὸ τοῦ κτύπου τῶν κωδώνων τῆς ἑαυτοῦ συστολῆς προενοεῖτο; Ἔχον γὰρ τὸ ἀόρατον κατὰ φύσιν οὐκ ἂν ὠπτάνετο, εἰ μὴ ἤθελεν. [9] Εἰ καὶ ὤφθη δὲ, οὐκέτι κατὰ ἀνάγκην ἐφαίνετο, τῆς φύσεως αὐτὸν ἀγούσης εἰς τὸ φαίνεσθαι, ἀλλὰ κατὰ χάριν, οὐ φόβῳ καὶ προλήψει, παρὰ προςδοκίαν [10] ἄνευ κτύπου εἰς τὸ δῆλον καθιστῶντος τὴν αὐτοῦ ὀπτασίαν. Καὶ οὕτως κατὰ πάντα τρόπον διέπεσεν ὁ αὐτῶν ψευδὴς καὶ παραπεποιημένος λόγος. Καὶ πολλά ἐστιν ἄλλα ἃ λέγουσι ληρώδη· καί τοί γε τοῦ Ζαχαρίου μὴ ἀποκτανθέντος εὐθὺς, ἀλλὰ καὶ ἐπιμείναντος ἡμέρας μετὰ τὴν τοῦ Ἰωάννου γέννη-*
pag. 96. *σιν, καὶ προφητεύσαντος περὶ τοῦ Ἰωάννου καὶ περὶ τῆς παρουσίας κυρίου καὶ ἐνσάρκου γεννήσεως ἀπὸ τῆς ἁγίας παρθένου Μαρίας διὰ πνεύματος ἁγίου, ὥς λέγει, Καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προςώπου κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει, καὶ τὰ ἑξῆς. Πόσα δὲ ἄλλα ἔστιν εἰπεῖν περὶ τῆς αὐτῶν ψευδηγορίας καὶ τοῦ αὐτῶν μιασμοῦ;*

Κεφ. ιγ'. *Οἱ δὲ Λευῖται παρ' αὐτοῖς καλούμενοι οὐ μίσγονται γυναιξὶν, ἀλλὰ ἀλλήλοις μίσγονται. Καὶ οὗτοί εἰσιν οἱ προκριτέοι παρ' αὐτοῖς δῆθεν καὶ ἐπαινετοί. Καταγελῶσι δὲ λοιπὸν τῶν τὴν πολιτείαν ἀσκούντων, καὶ ἁγνείαν, καὶ παρθενίαν, ὡς εἰς μάτην τὸν κάματον ἀναδεδεγμένων. Προςφέρουσι δὲ εἰς ὄνομα Φιλίππου τοῦ ἁγίου μαθητοῦ εὐαγγέλιον πεπλασμένον, ὅτι φησὶν, Ἀπεκάλυψέ μοι ὁ κύριος τί τὴν ψυχὴν δεῖ λέγειν ἐν τῷ ἀνιέναι εἰς τὸν οὐρανὸν, καὶ πῶς ἑκάστῃ τῶν ἄνω Δυνάμεων ἀποκρίνεσθαι· ὅτι ἐπέγνων ἐμαυτήν, φησὶ, καὶ συνέλεξα ἐμαυτὴν πανταχόθεν, καὶ οὐκ ἔσπειρα τέκνα τῷ Ἄρχοντι, ἀλλὰ ἐξερρίζωσα τὰς ῥίζας αὐτοῦ, καὶ συνέλεξα τὰ μέλη τὰ διεσκορπισμένα, καὶ οἶδά σε τίς εἶ· ἐγὼ γὰρ, φησὶ, τῶν ἄνωθέν εἰμι. Καὶ οὕτως, φησὶν, ἀπολύεται. Ἐὰν δὲ, φησὶν, εὑρεθῇ γεννήσασα υἱὸν, κατέχε-*

7. κτύπον *codd. Vatic. Rhedig.* τύπον *ed. princ.*
8. ἰνδαλτικὸν *cod. Vatic.*
9. εἰ καὶ ὤφθη δὲ *cod. Vatic.* εἰ δὲ καὶ ὤφθη δὲ *cod. Rhedig., et editorum uterque.*

pitaculorum strepitu is qui adorabatur admonitus sese e medio subtraheret, ne eum larva illa ac turpi effigie deprehenderetur. Enimvero stolidum illud stultissimorum hominum commentum cum ad convincendum perfacile est, tum risu ac ludibrio dignum. Etenim sive is erat omnino, cui haec sacra faciebant, aspectabilis, occultari minime poterat: sive occultari penitus poterat, non iam erat aspectabilis. Quod item alio modo contra eosdem urgeri potest. Si enim videri poterat, corpus utique erat, non spiritus: sin fuisse spiritum dixerint, non inter ea censendus erit quae discerni oculis possunt. Quid igitur attinebat eum qui oculorum sensu percipi nequiret illo tintinnabulorum sonitu fugae suae latebraeque consulere? Cum enim id natura insitum haberet ut videri non posset, profecto nisi vellet a nemine videretur. Quod vero esset ab aliquo conspectus, non illud necessitate contingeret, quasi eum in lucem et apertum natura produxisset, sed indulgentia quadam potius, neque ita ut subito metu atque ex improviso praeterque expectationem, suppresso illo sonitu, palam se videndum praeberet. Ita omni ex parte falsa illorum atque ementita ratio concidit. Sed alia quaedam plurima sunt quae nugatorie atque inaniter iactare solent. Atqui neque illico est interfectus Zacharias et post ortum Ioannis adhuc vixit, deque eo ac de Christi adventu et eiusdem secundum carnem per spiritum sanctum e beata virgine Maria generatione vaticinatus est his verbis: *Et tu puer propheta altissimi vocaberis: praeibis enim ante faciem domini parare vias eius, ad convertenda corda patrum in filios et inobsequentes ad prudentiam* etc. Quanta vero ad eorum mendacia convincenda, contraque abominandam illam libidinem a nobis afferri possunt! Luc. 1, 76.

Atque ut de illorum Levitis, sic enim appellant, nonnihil dicamus, isti non cum mulieribus, sed secum invicem miscentur, ac scilicet praecipua inter illos dignitate ac laude commendantur. Tum vero eos omnes derident qui monasticum vitae genus amplexi sunt, aut castitatem virginitatemque profitentur, quod frustra id sibi molestiae ac laboris imponant. Praeterea Evangelium quoddam sub Philippi sanctissimi Christi discipuli nomine circumferunt, in quo ista narrantur: *Mihi*, inquit, *dominus aperuit, quibus anima verbis uti cum in coelum ascendit, ac quemadmodum unicuique coelestium Virtutum respondere debeat: nimirum, Ego meipsam agnovi, atque undiquaque collegi: neque Principi filios genui, sed eius radices extirpavi, ac dissipata membra in unum coegi, teque adeo qui sis novi: Sum enim e coelestium numero.* Atque hoc modo, inquiunt, illa dimittitur. Sin Cap. XIII.

10. *Male vertit Petavius* „suppresso illo sonitu“, *praveque distinxit, non post* προλήψει, *sed post* κτύπου.

ται κάτω, ἕως ἂν τὰ ἴδια τέκνα δυνηθῇ ἀναλαβεῖν καὶ ἀνελκύσαι εἰς ἑαυτήν. Καὶ ταῦτά ἐστι τὰ ληρώδη αὐτῶν καὶ μυθώδη. Ὡς καὶ περὶ τοῦ ἁγίου Ἠλία τολμῶσι βλασφημεῖν καὶ λέγειν, ὅτι φησὶν, Ὅτε ἀνελήφθη, κατεβλήθη πάλιν εἰς τὸν κόσμον. Ἦλθε γὰρ, φησὶ, μία δαίμων, καὶ ἐκράτησε, καὶ εἶπεν αὐτῷ ὅτι, Ποῦ πορεύῃ; ἔχω γὰρ τέκνα ἀπὸ σοῦ, καὶ οὐ δύνασαι ἀνελθεῖν καὶ ὧδε ἀφεῖναι τὰ τέκνα σου. Καὶ, φησὶ, λέγει, Πόθεν ἔχεις τέκνα ἀπ' ἐμοῦ, καὶ ἐγὼ ἤμην ἐν ἁγνείᾳ; Λέγει, φησὶ, Ναὶ, ὅτε ἐνυπνίοις ἐνυπνιαζόμενος πολλάκις ἐν τῇ ἀπορροίᾳ τῶν [1] σπερμάτων ἐκενώθης, ἐγὼ ἤμην ἡ μεταλαβοῦσα ἀπὸ σοῦ τὰ σπέρματα καὶ γεννῶσά σοι υἱούς. Πολλὴ δὲ μωρία τῶν τὰ τοιαῦτα λεγόντων. Πῶς γὰρ δύναται δαίμων πνεῦμα ὂν ἀκάθαρτον καὶ ἀσώματον [2] σωμάτων μεταλαμβάνειν; Εἰ δὲ καὶ ἀπὸ σωμάτων μεταλαμβάνει καὶ κυίσκει, οὐκέτι ἐστὶ πνεῦμα, ἀλλὰ σῶμα·
pag. 96. σῶμα δὲ ὂν, πῶς ἐστιν ἀόρατον καὶ πνεῦμα; Καὶ πολλὴ ἀτοπία τῆς αὐτῶν μωρολογίας. Βούλονται γὰρ τὴν κατ' αὐτῶν μαρτυρίαν τὴν ἀπὸ τῆς ἐπιστολῆς τοῦ Ἰούδα μᾶλλον εἰς ἑαυτοὺς δῆθεν ἐπάγεσθαι, ἐν τῷ λέγειν, Καὶ οἱ μὲν ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ [3] βλασφημοῦσι. Οὐκ εἶπε δὲ ὁ μακάριος Ἰούδας ἀδελφὸς τοῦ κυρίου περὶ ἐνυπνιαζομένων ἐν σώμασιν. Εὐθὺς γὰρ ἐπιφέρει καὶ δεικνύει ὅτι περὶ τῶν ἐνυπνιαζομένων λέγει τῶν λαλούντων ὡς δι' ὀνειράτων τὰ αὐτῶν ῥήματα, καὶ οὐκ ἀνανήψει γρηγορήσεως λογισμῶν. Καὶ γὰρ καὶ περὶ τῶν ἐν Ἱερουσαλὴμ διδασκάλων λέγει Ἡσαΐας, Πάντες κύνες [4] ἐνεοὶ οὐ δυνάμενοι ὑλακτεῖν, ἐνυπνιαζόμενοι κοίτην, καὶ τὰ ἑξῆς. Καὶ ὧδε δὲ ἐν τῇ τοῦ Ἰούδα ἐπιστολῇ δείκνυσι λέγων, Ἐνυπνιαζόμενοι κοίτην, ἃ οὐκ οἴδασι λέγοντες· καὶ ἔδειξεν ὅτι οὐ περὶ τῆς ἐνυπνιάσεως λέγει τοῦ ὕπνου, ἀλλὰ περὶ τῆς μυθώδους αὐτῶν τραγῳδίας καὶ ληρολογίας, ὡς διὰ ὕπνου λεγομένης, καὶ οὐκ ἀπὸ ἐρρωμένης διανοίας.

Κεφ. ιδ'. Περικακῶ δὲ ὡς ἀληθῶς τὰ πάντα ἐξειπεῖν. Θεοῦ γάρ ἐστι μόνου ἀποκλεῖσαι τὸν βυθὸν τῆς δυσοδμίας ταύτης. Καὶ παρελεύσομαι ἐκ τοῦ τύπου, εὐξάμενος τῷ παμβασιλεῖ θεῷ, μηδένα εἰς τὸν βόρβορον ἐγκαταπαγῆναι, μηδὲ ἐμαυτοῦ τὴν ἔννοιαν μεταλαβεῖν τῆς δυσώδους ἀκαθαρσίας. Πρῶτον μὲν γὰρ ὁ ἀπόστολος Παῦλος ἐκκόπτει αὐτῶν πᾶσαν ῥίζαν τῆς κακίας, περὶ χηρῶν νεωτέρων παραγγέλλων, Χήρας, φησὶν, νεωτέρας παραιτοῦ· μετὰ γὰρ τὸ καταστρηνιᾶσαι τοῦ Χριστοῦ

Cap. XIII. — 1. σπερμάτων reposui pro σωμάτων, quod omnes libri retinent. 2. Pro σωμάτων forlasse est σπέρματα rescribendum. 3. βλασφημοῦσιν cod. Vatic. βλασφη-

autem sobolem propagasse reperitur, tamdiu infra detinetur, donec filios suos recipere potuerit et ad semetipsam attrahere. Hae sunt nugae illorum ac somnia. Velut etiam illa sunt quae in sanctum Eliam execrandae cuiusdam plena contumeliae praedicare non verentur: eum cum in coelum evectus esset rursus in hunc mundum fuisse deiectum. Venit enim, inquiunt, e numero feminarum daemonum una quae illum superavit. Et quo tu tandem dixit? Ego enim a te liberos habeo, neque sursum evolare potes atque hic tuos relinquere. Ad haec respondente Elia, Et undenam de me filios illos habuisti, cum ego castimoniam perpetuo servaverim? Sane, inquit illa: cum enim in somnis effusione seminis saepe corpus exhaurires, ego abs te illud excepi, tibique filios peperi. Quam vero ab illis inepte ista dicuntur! Quomodo enim daemon impurus experssque corporis spiritus de corporibus participare quidpiam potest? Nam si a corporibus ei communicatur aliquid ut pariat, corpus erit, non spiritus. Si corpus est, quomodo fugere oculorum conspectum aut spiritus esse poterit? Sed et illorum absurda cumprimis stoliditas est, cum illud ex epistola Iudae testimonium, quo eorum error convincitur, ad huius ipsius patrocinium accommodant: *In somnis*, Ep.Iud. v. 8.
inquit, *carnem maculant, dominationem autem spernunt, maiestatem autem blasphemant.* Verum beatus Iudas domini frater non de iis loquitur qui per insomnium fluxione venerea contaminantur. Statim quippe subiungit ostenditque de eiusmodi se somniantibus loqui qui sermones suos velut in somnis, non experrecti ac vigilantes, instituunt. Siquidem et de Hierosolymitanis doctoribus Esaias ita loquitur: *Omnes canes muti non valentes latrare, somniantes in cubili*, et Esai. 56, 11.
caetera. Quod idem in hac Iudae epistola declaratur his verbis, *Somniantes cubile, quae nesciunt dicentes.* Ubi de dormientium insomniis minime se loqui velle demonstrat, sed de falsis illorum tragoediis ac nugis, quas sic tanquam in somnis, nec firmo et constanti animo pronunciant.

Enimvero pudet me omnia illorum arcana detegere? Solius enim Cap. XIV.
est dei profundissimam hanc tanti foetoris voraginem obstruere. Quamobrem ab eo loco digrediar, hoc unum ab omnium moderatore deo postulans, ne quis in illud coenum demergatur, neve animum meum foedissima haec impuritatis labes inficiat. Primum enim apostolus Paulus omnes istiusmodi nequitiae radices excidit, cum de iunioribus viduis ista praescribit. *Viduas*, inquit, *adolescentiores de-* 1. Tim. 5, 11.
*vita: cum enim luxuriatae fuerint in Christo, nubere volunt, habentes*

μοῦσι *edit. Petav.* ἀθετοῦσιν *cod. Rhedig. et edit. princ. Cf. supra cap.* 11. 4. ἐννεοὶ *cod. Rhedig. et edit. princ.* ἐνεοὶ *edit. Petav.*

*γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν· ἀλλὰ γαμείτωσαν, τεκνοποιείτωσαν, οἰκοδεσποτείτωσαν. Εἰ δὲ ὁ ἀπόστολος λέγει τεκνογονεῖν, οἰκοδεσποτεῖν, οὗτοι δὲ παραιτοῦνται τὴν τεκνογονίαν, ὄφεώς ἐστι καὶ κακῆς διδασκαλίας τὸ ἐπιχείρημα. Ἡττώμενοι γὰρ τῇ ἡδονῇ τῆς πορνείας ἐπινοοῦσιν ἑαυτοῖς ἀκαθαρσίας προφάσεις, ὅπως δόξωσι πληροφορεῖν τὴν ἑαυτῶν ἀσέλγειαν. Καὶ ἔδει μὲν ἀληθῶς ταῦτα μήτε λέγεσθαι, μήτε ἐν συντάγμασι καταξιοῦσθαι γράφεσθαι, θάπτεσθαι δὲ ὥςπερ νεκρόν τινα ὀδωδότα καὶ λοιμώδη ἀποφορὰν πνέοντα, ἵνα μὴ καὶ δι' ἀκοῆς λυμήνηται τοὺς ἀνθρώπους.*
pag. 97. *Καὶ εἰ μὲν παρεληλύθει ἡ τοιαύτη αἵρεσις, καὶ οὐκέτι ἦν ἐν τῷ βίῳ, ἀγαθὸν ἦν ταύτην θάψαι, καὶ μήτε ὅλως περὶ αὐτῆς εἰπεῖν. Ἐπειδὴ δὲ καὶ ἔστι καὶ πράττεται, προετράπημεν δὲ ὑπὸ τῆς ὑμῶν τιμιότητος περὶ πάντων εἰπεῖν, μέρη αὐτῆς διηγησάμην ἀναγκασθεὶς, ἵνα τὸ φιλάληθες μὴ παρασιωπήσω, ἀλλὰ ὑφηγήσομαι, εἰς ἀποτροπὴν μὲν τῶν ἀκουόντων, εἰς αἰσχύνην δὲ τῶν πραττόντων. Πόθεν γὰρ οὐκ ἔχομεν δεῖξαι τοὺς παρ' αὐτοῖς φόνους καὶ τερατώδη ἔργα καὶ τελετὰς διαβόλου ἐξ ἐπινοίας τοῦ αὐτοῦ διαβόλου τοῖς ἐμβεβροντημένοις δοθείσας;*

Κεφ. ια'. *Καὶ εὐθὺς μὲν οὖν ἐλέγχονται εἰς ὃ φαντασιοῦνται καὶ προφασίζονται περὶ τοῦ ξύλου τοῦ ἐν τῷ πρώτῳ Ψαλμῷ εἰρημένου ὅτι, Δώσει τὸν καρπὸν αὐτοῦ ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται. Ἀνωτέρω γὰρ κεῖται ὅτι, Ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. Νόμον δὲ οὗτοι καὶ προφήτας ἀρνοῦνται. Εἰ δὲ νόμον κυρίου ἀρνοῦνται, σὺν τῷ νόμῳ καὶ τὸν λαλήσαντα ἐν τῷ νόμῳ συκοφαντοῦσι. Πλανῶνται δὲ καθ' ὑπόνοιαν καὶ ἐκπεπτώκασι τῆς ἀληθείας, κρίσιν τε οὐχ ἡγοῦνται, οὔτε ἀνάστασιν ὁμολογοῦσιν. Ὅσα δὲ πράττουσιν ἐν τῷ σώματι ἡδονῆς ἔμπλεοι γινόμενοι, ταῦτα ἀποκαρποῦνται ἐκβακχευόμενοι ταῖς τοῦ διαβόλου ἡδοναῖς τε καὶ ἐπιθυμίαις, ὡς πάντη καὶ πανταχοῦ ἐλέγχονται ἀπὸ τοῦ τῆς ἀληθείας λόγου. Ἰωάννης γὰρ λέγει, Εἴ τις ἔρχεται, φησὶ, πρὸς ὑμᾶς, καὶ οὐ φέρει τὴν διδαχὴν ταύτην — καὶ ποίαν; φησίν· ἢ οὐχ ὁμολογεῖ Χριστὸν ἐν σαρκὶ ἐληλυθότα — Ἀντίχριστός ἐστι. Καὶ νῦν Ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὡς μὴ τῶν ὁμολογούντων τὸν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα Ἀντιχρίστων ὑπαρχόντων. Ἀλλὰ καὶ αὐτὸς ὁ σωτὴρ λέγει, Οἱ καταξιωθέντες τῆς βασιλείας τῶν οὐρανῶν οὔτε γαμοῦσιν, οὔτε γαμίζονται, ἀλλ' ἰσάγγελοί εἰσιν. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἵνα δείξῃ τὴν σαφῆ ἁγνείαν καὶ τὴν διὰ τοῦ ἁγιάζειν ἁγιαστείαν, φάσκει τῇ Μαρίᾳ,*

*damnationem, quia primam fidem irritam fecerunt: nubant igitur, et filios procreent, matres familias sunto.* Cum ergo procreare liberos ac familiae praeesse iubeat apostolus, isti vero a susceptione liberorum abhorreant, plane hoc a venenato serpente pessimaque disciplina facinus profectum est. Dum enim libidinum suarum voluptati succumbunt, certas sibi perpetrandorum flagitiorum occasiones arcessunt, quo effrenatae suae cupiditati ac luxuriae satisfaciant. Sane illa omnia ne commemorari quidem oportebat, neque ullam eorum in scriptis extare memoriam, sed tanquam mortui cadaver foetidi ac pestiferi cuiusdam afflatus in sepulcrum abiici, ne vel auditu ipso mortalium generi perniciem afferret. Et quidem si ea penitus praeterisset haeresis, neque in mundo superesset amplius, sepeliri operae pretium erat, neque ullam eius mentionem fieri. Nunc cum et revera hodie sit, et factis ipsis exprimatur, meque vos ut de omnibus dicerem hortati fueritis, aliqua illam ex parte coactus a vobis attigi, ne susceptum veritatis studium praetermittam, sed id omne partim, ad eos qui audierint deterrendos, partim ad eos qui ista perpetrant pudore afficiendos exponam. Quae enim probandi ratio est, qua non id efficere possimus parricidia illa immaniaque quae ab iis committuntur scelera, malique daemonis ritus ac ceremonias, eiusdem instinctu daemonis furiosis illis ac vecordibus constituta fuisse?

Atqui primum illud statim quod sibi fingunt, atque e priore Psalmo de arbore commemoratum proferunt, nullo negotio refellitur: Cap. XV.
*Quod fructum suum dabit in tempore suo, et folium eius non defluet.* Psalm. 1, 3.
Paulo enim ante scriptum est, *Et in lege eius meditabitur die ac nocte.* At isti legem pariter ac prophetas repudiant. Quam quidem legem si respuunt, cum hac illum quoque calumniantur, qui in lege locutus est. Verum et hac opinione sua falluntur, et a veritate longius aberrant. Neque ullum vero iudicium fore, neque mortuos ad vitam excitandos esse pronunciant. Quae porro in voluptatem ac luxuriem effusi suamet in corpora committunt, eorum fructum percipiunt, dum a daemone libidinum illecebris ac cupiditatum stimulis agitantur; quemadmodum ipsa veritatis oratione perpetuo atque ubique redarguuntur. Sic enim inter alios Iohannes loquitur: *Si quis* 2. Ioann. 7.
*venit ad vos, et non affert hanc doctrinam.* Quamnam? inquit. *Quae* 1. Ioann. 2, 22. 18.
*scilicet Christum cum carne venisse non confitetur: Antichristus est: et nunc Antichristi multi prodierunt.* Quasi qui Christum cum carne venisse negent sint Antichristi. Quinetiam hoc ab ipso salvatore
dictum est: *Qui in regnum coelorum admissi sunt, neque ducunt uxo-* Matth. 22, 30.
*res neque nubunt, sed angelis aequales sunt.* Neque illud tantum; sed ut insuper manifestam absolutamque castimoniam ac sanctitudinem, qua et caeteros sanctos efficiebat, ostenderet, sic Mariam alloqui-

*Μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα· ἵνα δείξῃ τὴν ἁγνείαν ἀμέτοχον σωμάτων καὶ ἀμιγῆ. Ἀλλὰ καὶ ἐν ἄλλῳ τόπῳ λέγει* [1] *προθεσπίζον τὸ ἅγιον πνεῦμα, καὶ διὰ τοὺς πρώην καὶ μετέπειτα,* pag. 98. *Μακαρία στεῖρα ἡ ἀμίαντος, ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι, καὶ εὐνοῦχος, ὃς οὐκ εἰργάσατο χερσὶν ἀνόμημα· ἵνα παρακόψῃ καὶ τὰ διὰ τοῦ μύθου αὐτῶν ἐν χερσὶν αἰσχρουργήματα.*

Κεφ. ιϛ'. *Πόσα δὲ ἄλλα ἔστιν εἰπεῖν, ὡς τοῦ ἀποστόλου λέγοντος, Ἡ μὲν ἄγαμος καὶ ἡ παρθένος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ. Τοῦτο δέ φησι δεῖξαι τὴν ἁγνείαν ἐν ἀληθείᾳ ἐκ τοῦ ἁγίου πνεύματος ἐπιτρεπόμενος οὐ παρέργως. Ἔπειτα δὲ περὶ τῶν τὸν γάμον ἐχόντων τὸν σεμνὸν λέγει, Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος, πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. Ἀλλὰ καὶ κατ' αὐτῶν ἐκβοᾷ, γράφων Ῥωμαίοις τὰ αἰσχρὰ ἀποκαλύπτων, τῶν τὰς κακοπραγίας ἐργαζομένων, λέγων, Αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν· καὶ περὶ τῶν ἀῤῥένων ὅτι, Ἄῤῥενες ἐν ἄῤῥεσι τὴν αἰσχημοσύνην κατεργαζόμενοι. Ἀλλὰ καὶ ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ περὶ τούτων λέγει ὅτι, Ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί· ἔσονται γὰρ οἱ ἄνθρωποι φιλήδονοι μᾶλλον ἢ φιλόθεοι. Καὶ πάλιν, Κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, κεκαυτηριασμένων τὴν συνείδησιν· ὅτι τὸ μὲν γαμεῖν μετὰ σωφροσύνης καὶ τεκνογονεῖν κωλύουσι, καιόμενοι δέ εἰσι τῇ συνειδήσει λαγνεύοντες μὲν καὶ φθειρόμενοι, κωλύοντες δὲ τεκνογονεῖν. Καὶ γὰρ καὶ αὐτὴ ἡ παρ' αὐτοῖς λεγομένη θυσία βορβορώδης τις οὖσα ἤδη καὶ ἀπὸ τῶν ἀνέκαθεν διὰ τοῦ προφήτου ὑποδείκνυται ὄφεως οὖσα σάρξ, καὶ οὐχὶ τοῦ κυρίου, μὴ γένοιτο, λέγοντος οὕτως ὅτι, Σὺ συνέτριψας τὰς κεφαλὰς τοῦ δράκοντος, καὶ ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι. Βρῶμα γὰρ ὡς ἀληθῶς ὄφεως ἡ τούτων μυσαρὰ θρησκεία, καὶ Αἰθίοπες μεμελανωμένοι τῇ ἁμαρτίᾳ οἱ ταύτην τὴν* [1] *τελετὴν τοῦ νῦν μὲν δαίμονος Διός, πάλαι δὲ γόητος, τοῦ παρά τισι θεοῦ μάτην νενομισμένου, τελοῦντες. Ἐκ γὰρ Ἑλληνικῶν μύθων πᾶσαι αἱ αἱρέσεις συνάξασαι ἑαυταῖς τὴν πλάνην κατέβαλον, μεταποιήσασαι εἰς ἄλλην διάνοιαν χείρονα. Παρεισφέρουσι γὰρ οἱ ποιηταὶ τὸν Δία τὴν Μῆτιν θυγατέρα ἑαυτοῦ καταπιόντα. Βρέφος δὲ οὐκ ἂν καταπίοι, ὡς καὶ ὁ* pag. 99. *ἅγιος Κλήμης καταγελῶν τῆς τῶν θεῶν τῶν Ἑλλήνων αἰσχρουργίας εἶπεν, ὅτι τὴν Μῆτιν καταπιὼν οὐχὶ βρέφος ἠδύνατο καταπιεῖν, ἀλλὰ τὴν γονὴν τὴν ἰδίαν.*

Cap. XV. — 1. *Vulgo* προθεσπίζων. Cap. XVI. — 1. *Cod. Rhedig. cum edit. princ.* τελευτήν.

tur: *Noli me tangere: nondum enim ascendi ad patrem meum;* ut expertem corporum castitatem nullaque contagione pollutam exprimeret. Ad haec alio in loco spiritus sanctus tam ob priores illos quam posteriores hoc modo vaticinatus est: *Beata sterilis incoinquinata, quae nescivit torum in delicto, et spado qui non operatus est manibus suis iniquitatem;* ut vel ea voce illam quam fabulis suis commendare ac manibus exercere solent foeditatem praecideret. Ioann. 20, 17. Sap. 3, 13.

Quam multa proponi alia possunt! ut cum apostolus ita loquitur: *Mulier innupta, et virgo sollicita est de iis quae sunt domini, quomodo placeat domino.* Hoc autem idcirco dicit, quod non perfunctorie commendandae castitatis potestas esset a spiritu sancto commissa. Tum vero de iis qui honestis nuptiis illigati sunt ita disputat: *Honorabile connubium et torus immaculatus: fornicatores autem et adulteros iudicabit dominus.* Praeterea contra eosdem exclamat ad Romanos scribens, et eorum qui in eiusmodi flagitiis volutantur turpitudinem detegit his verbis: *Nam et feminae eorum immutaverunt naturalem usum in eum usum, qui est contra naturam.* Tum de maribus subiicit: *Masculi in masculos turpitudinem operantes.* Praeterea in epistola ad Timotheum de iisdem ita loquitur: *Quod in novissimis diebus instabunt tempora periculosa: et erunt homines voluptatum magis amatores quam dei.* Et rursum: *Prohibentium nubere, abstinere a cibis, cauteriatam habentium suam conscientiam.* Ex eo videlicet quod caste matrimonio coniungi ac prolem suscipere prohibent, ardente interim illorum conscientia, dum assiduis in scortationibus corruptelisque versantur, ac procreatione sobolis interdicunt. Nam quod ad illud attinet quod isti sacrificium vocant, lutulentum quiddam et impurum, iam tum olim a propheta demonstratum est serpentis esse carnem, non domini. Absit. Sic enim loquitur: *Contrivisti capita draconis, et dedisti eum escam populis Aethiopum.* Sane enim serpentinae cuiusdam escae genus est illorum abominanda superstitio, iidemque Aethiopes illi sunt scelerum suorum nigrore deformati, qui eiusmodi ritus nunc daemonis Iovis, olim praestigiatoris, qui et frustra a nonnullis habetur deus, religioso cultu celebrant. Siquidem haereses universae de Graecorum fabulis ea collegerunt ex quibus novam sibi erroris sectam condiderunt, cum ea deteriorem alium ad sensum transtulissent. Nam et a poetis Metin (quam Prudentiam appellare possis) filiam suam absorbens introductus est Iupiter. Nemo porro infantem absorbeat, quemadmodum sanctus Clemens ait, cum deorum qui a Graecis coluntur turpitudinem deridet. Quod enim devorasse Metin dicitur, non de infante ullo, sed de proprio semine par est intelligi. Cap. XVI. 1. Cor. 7, 34. Hebr. 13, 4. Rom. 1, 26. 2. Tim. 3, 1. 1. Tim. 4, 2. Psalm. 73, 14.

Κεφ. ιζ. *Τί δὲ ἕτερον εἴποιμι; ἢ πῶς ἀποσείσομαι τὸν κηλῶδη τοῦτον πόνον; βουλόμενος μὲν εἰπεῖν, καὶ μὴ βουλόμενος, ἀναγκαζόμενος δὲ, ἵνα μὴ δόξω τι τῶν ὄντων παρακρύπτειν, καὶ φοβούμενος, ἵνα μὴ ἀποκαλύπτων τὰ δεινὰ αὐτῶν ἢ χράνω ἢ πλήξω εἰς τὸ περιεργάσασθαι περὶ τούτου τοὺς ἀπαγομένους ἡδοναῖς καὶ ἐπιθυμίαις* [1] *ἐποτρύνων. Ὅμως ἐγὼ μὲν ἀθῷος εἴην, καὶ πᾶσα ἡ τῆς ἁγίας καθολικῆς ἐκκλησίας ἐλπὶς, καὶ πάντες οἱ τούτῳ τῷ γράμματι ἐντυγχάνοντες, ἀπὸ τῆς τοιαύτης τοῦ διαβόλου ὑποσπορᾶς καὶ κακομηχανίας. Ἐὰν γὰρ θελήσω λέγειν τὰ ἄλλα τὰ παρ' αὐτοῖς λεγόμενα καὶ γινόμενα ὅσα ἐστὶ τοιαῦτα καὶ τοσαῦτα, καὶ τούτων ἔτι μείζονα καὶ ἐλάττω, θελήσω δὲ καὶ ὡς φάρμακον ἰάσεως ἀλεξητήριον ἀντιδότων δίκην πρὸς ἑκάστην λέξιν ἀντιθεῖναι, εἰς πολὺν ὄγκον ἐλάσω τῆς συντάξεως τὴν πραγματείαν. Ταύτῃ γὰρ τῇ αἱρέσει, ἐπιπόθητοι, καὶ αὐτὸς περιέτυχον. Ἐκ στόματος δὲ τῶν ταύτῃ ἐπιχειρούντων φύσει αὐτὰ αὐτοπροςώπως ἐνηχήθην. Γυναῖκες δὲ οὕτω ἠπατημέναι οὐ μόνον τὴν λαλιὰν ταύτην ἡμῖν προέτειναν, καὶ τὰ τοιαῦτα ἡμῖν ἀπεκάλυψαν, ἀλλὰ καὶ κατὰ τὴν Αἰγυπτίαν ἐκείνην τὴν τοῦ ἀρχιμαγείρου τὴν ὀλετήριον καὶ μοχθηρὰν καὶ αὗται ἀθυρογλώττῳ τόλμῃ κατασπάσαι ἡμᾶς ἐν τῇ νέᾳ ἡμῶν ἡλικίᾳ ὀρεχθεῖσαι ἐπεχείρουν. Ἀλλὰ ὁ τότε συμπαραστὰς τῷ ἁγίῳ Ἰωσὴφ καὶ ἡμῖν παρέστη, καὶ τὸν ἐκεῖνον ἐκεῖ ῥυσάμενον ἐπικεκλημένοι, οἱ ἀνάξιοι καὶ ἀνίκανοι, ἐλεηθέντες καὶ ἀποδράντες τὰς ὀλετηρίους αὐτῶν χεῖρας, Θεῷ τῷ* [2] *παναγίῳ ὕμνον ᾄσαντες, ἠδυνήθημεν καὶ αὐτοὶ λέγειν, τὸ, Ἄισωμεν τῷ κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται, ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν. Οὐ γὰρ ὁμοίᾳ δυνάμει τῆς ἐκείνου δικαιοσύνης, ἀλλὰ στεναγμῷ τῷ πρὸς* [3] *τῷ Θεῷ ἐλεηθέντες ἐσώθημεν. Ὀνειδιζόμενος γὰρ ὑπ' αὐτῶν τῶν ὀλετηρίων γυναικῶν κατεγελώμην ἐγὼ, ὡς ὑπέφαινον αἱ τοιαῦται ἀλλήλαις ἐπι-*
pag. 199. *σκώπτουσαι δῆθεν ὅτι, Οὐκ ἠδυνήθημεν σῶσαι τὸν νεανίσκον, ἀλλὰ ἀφήκαμεν αὐτὸν ἐν χερσὶ τοῦ Ἄρχοντος ἀπόλλυσθαι. Ἐπειδήπερ ἥτις αὐτῶν εὐμορφοτέρα εἴη, δέλεαρ ὥςπερ ἑαυτὴν προτίθησιν, ὥςτε δι' αὐτῆς τοὺς* [4] *ἠπατημένους ἀντὶ τοῦ ἀπολλύειν σώζειν ἐπιφημίζειν. Καὶ ὄνειδος λοιπὸν τῶν ἀμόρφων γίνεται παρὰ τῶν εὐμορφοτέρων, ὅτι, Ἐγὼ, φησὶ, σκεῦός εἰμι ἐκλογῆς, δυναμένη σώζειν τοὺς ἀπατωμένους, σὺ δὲ οὐκ ἴσχυσας. Ἦσαν μὲν οὖν αἱ τὸν ἀγώγιμον μῦθον τοῦτον ὑφηγούμεναι τῇ μορφῇ τῆς αὐτῶν πτώσεως εὐπροςωπόταται, τῷ δὲ νῷ τῆς αὐτῶν μοχθηρίας τὴν πᾶσαν τοῦ διαβόλου ἀμορφίαν κεκτημέναι. Ἀλλὰ ὁ ἐλεήμων Θεὸς τῆς μοχθηρίας αὐτῶν ἡμᾶς ἐῤῥύσατο,*

CAP. XVII. — 1. *Rescripsi* ἐποτρύνων *pro* ἐποτρύνω, *quod vulgo exstat.*
2. παναγίῳ *codd. Vatic. Rhedig. et ed. Petav.* πανέργῳ *ed. princ.*
3. τὸν Θεὸν *suspicatus est Petavius.*
4. ἀπατωμένους *cod. Rhedig. Et sic legit etiam in cod. Vaticano A. Schottus.*

Quid iam aliud deinceps eloquar? aut quomodo coenosam hanc disputationem abiiciam? cum et velim et nolim una dicere, ac quadam dicendi necessitate constringar, ne quid eorum quae insunt revera dissimulasse videar, et illud verear tamen, ne illorum detestandis flagitiis patefactis quemquam aut inficiam aut extimulem, et ad illa curiosius indaganda faces iis subiiciam qui voluptatum ac cupiditatum illecebris abducuntur. Sed nihilominus ab eiusmodi daemonis satu et improbitate tam ego quam sanctae atque catholicae ecclesiae spes omnis, ac quisquis in hoc nostrum opus inciderit, integer inviolatusque servetur. Quod si caetera quae ab illis dicuntur aut fiunt quanta sunt, atque eiusmodi qualia iam commemoravimus, aut iis etiam maiora vel minora complecti voluero, et ad singulas voces salubre quoddam medicamentum velut depellendi mali caussa comparatum remedium adhibuero, in immensam molem susceptum opus excurret. Nam et nos, carissimi, in illam haeresin incurrimus, et ex ipsomet eorum, qui hanc proprie et ex instituto tractant, ore ac magisterio didicimus. Ad id vero comparatae deceptaeque mulieres non solum istiusmodi nobis sermones iniecerunt, sed insuper Aegyptiae illius perditae ac nequissimae mulieris instar, quae coquorum principis uxor erat, petulanti nos conatu detrahere tum, cum florenti adhuc aetate essemus, aggressae sunt. Verum is qui sanctissimo Iosepho tum adstitit, nobis quoque adfuit, et hunc ipsum, qui illum eo periculo liberavit implorantes, licet indigni ac tanto beneficio impares essemus, eiusdem benignitate ac misericordia perniciosas illarum manus effugimus, ac sanctissimo deo gratulatorium carmen cecinimus, ut id usurpare merito possemus: *Cantemus domino; gloriose enim magnificatus est: equum et ascensorem deiecit in mare.* Neque enim similiter ut ille patriarcha vi quadam virtutis ac iustitiae nostrae, sed fuso ad deum gemitu eius sumus miseratione servati. Cum etiam mihi pestes illae per ludibrium exprobrarent, ac secum invicem illudentes ita loquerentur: Hunc iuvenem servare non potuimus, sed in manibus Principis perire sivimus. Nam quae forma inter illas liberaliore est, semetipsam velut escam atque illecebram obiicit, ut quos in fraudem ipsa pellexerit, non eos profligare ac perdere, sed eripere dicatur. Unde et deformibus elegantiores identidem exprobrare solent: Ego sum, inquiunt, vas electum, quae errore circumventos extrahere possum, quod tu facere nequivisti. Et erant sane quae tum his verborum blandimentis ac lenociniis utebantur corporis quo ad peccandum abutebantur venusta cumprimis specie, sed animo quem consceleratum gerebant omni daemonis turpitudine deformatae. Sed misericors deus ab illarum im-

Cap. XVII. Gen. 39. Exod. 15, 1.

*ὥςτε μετὰ τὸ ἀναγνῶναι ἡμᾶς αὐτῶν τὰς βίβλους καὶ ἐπιστῆσαι τὸν νοῦν τῇ ἀληθείᾳ, καὶ μὴ συναπαχθῆναι, ἀποδρᾶσαι τε καὶ μὴ δελεασθῆναι, τὸ τηνικαῦτα ἐσπουδάσαμεν καὶ τοῖς ἐπισκόποις τοῖς ἐν τῷ τόπῳ ἐκείνῳ αὐτοὺς ὑποδεῖξαι, καὶ τὰ ὀνόματα ἐν τῇ ἐκκλησίᾳ κεκρυμμένα φωρᾶσαι, καὶ τοὺς αὐτοὺς [5] ἀπελαθῆναι τῆς πόλεως, ὀνόματα περί που ὀγδοήκοντα, καὶ τὴν πόλιν τῆς αὐτῶν ζιζανιώδους ὕλης καὶ ἀκανθώδους καθαρθῆναι.*

Κεφ. ιη'. *Μνημονεύσας δέ τις τῆς ἄνω ἡμῶν ὑποσχέσεως τάχα καὶ ἐπαινέσειεν, ὡς ἡμῶν προαγγειλάντων ὅτι τισὶν αὐτῶν παρετύχομεν, τινὰ δὲ διὰ συγγραμμάτων ἐγνώκαμεν, τινὰ δὲ δι' ἐνηχήσεών τε καὶ μαρτυρίων ἀξιοπίστων ἀνδρῶν, δυναμένων ἡμῖν τὴν ἀλήθειαν ὑποδεικνύναι. Ὡς καὶ ἐνταῦθα φιλαλήθως οὐχ ὑπερβεβήκαμεν τὸν τόπον, ἀλλὰ ἐδείξαμεν ὡς μία ἐστὶν αὕτη τῶν ἡμῖν περιτυχουσῶν αἱρέσεων. Καὶ σαφῶς περὶ ταύτης ἠδυνήθημεν λέγειν [1] ἐξ ὧν, μὴ γένοιτο, οὐ πράξαντες, ἀλλὰ μεμαθηκότες ἀκριβῶς παρὰ τῶν ἡμᾶς εἰς τοῦτο πειθόντων, καὶ μὴ κατισχυσάντων, ἀλλὰ τὴν ἑαυτῶν ἐλπίδα τῆς εἰς ἡμᾶς ἀπωλείας ἀπολεσάντων καὶ μὴ ἐπιτυχόντων τοῦ σκοποῦ τῆς εἰς τὴν τάλαιναν ἡμῶν ψυχὴν ἐπιχειρουμένης ὑπ' αὐτῶν τε καὶ τοῦ ἐν αὐτοῖς διαβόλου σκευῆς· ὡς καὶ συνῳδὰ ἡμᾶς λέγειν τῷ ἁγιωτάτῳ Δαβὶδ ὅτι, Βέλη νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, καὶ τὰ ἑξῆς· καὶ ὅτι,*
pag. 101. *Ἐπιστρέψει ὁ πόνος αὐτῶν εἰς κεφαλὴν αὐτῶν, καὶ ἡ ἀδικία αὐτῶν ἐπὶ κορυφὴν αὐτῶν καταβήσεται. Ὡς οὖν περιτυχόντες καὶ ἀποδράντες, καὶ ἀναγνόντες καὶ γνόντες καὶ καταγνόντες, σωθέντες δὲ ὑπερβεβήκαμεν, οὕτω καί σε τὸν ἀναγινώσκοντα παρακαλοῦμεν ἀναγνόντα καὶ καταγνόντα [2] τοῦτο ὑπερβῆναι, εἰς τὸ μὴ ἐμπεσεῖν ἐν τῷ ἰῷ τῆς τῶν ἑρπετῶν τούτων μοχθηρίας. Ἀλλ' εἰ καί ποτε περιτύχοις τισὶ τῶν ἀπὸ τῆς ὀφιώδους ταύτης σχολῆς, εὐθὺς τὸ ξύλον ἀναλαβὼν τὸ διὰ τοῦ κυρίου ἡμῖν ἑτοιμασθὲν, ἐν ᾧ ὁ κύριος ἡμῶν προσεπάγη Χριστὸς, κατὰ τῆς κεφαλῆς τοῦ ὄφεως εὐθὺς λαβὼν εἴποις ὅτι, Χριστὸς ἐσταύρωται ὑπὲρ ἡμῶν, ὑπογραμμὸν ἡμῖν ὑπολιμπάνων σωτηρίας, ὅτι οὐκ ἂν ἐσταυροῦτο, εἰ μὴ σάρκα εἶχε· σάρκα δὲ ἔχων, καὶ σταυρωθεὶς, ἐσταύρωσεν ἡμῶν τὰς ἁμαρτίας. Πίστει ἔχομαι τῆς ἀληθείας, καὶ οὐχ ὑπάγομαι [3] πλανητῇ νωθείᾳ τοῦ ὄφεως, καὶ παραψιθυρισμῷ τῆς αὐτοῦ διδασκαλίας.*

Κεφ. ιθ'. *Λοιπὸν ταύτην παρελθὼν, ἀγαπητοὶ, ἐφεξῆς βαδιοῦμαι ἐπὶ τὰς*

5. ἀπελθῆναι *ed. princ. mendose.*

Cap. XVIII. — 1. *Solve* ταῦτα ἐξ ὧν ἠδυνήθημεν λέγειν οὐ πράξαντες, μὴ γένοιτο, ἀλλὰ *cett.*

2. τοῦτο *ego rescripsi. Libri habent* τοῦ. *Petavio placuit* τούτων.

probitate nos eripuit; adeo ut postquam istorum libros perlegimus, et ad veritatis cognitionem animum adiecimus, nec abducti, vel eorum illecebris capti sumus, sed effugimus tandem, mox ad episcopos, qui in illo loco erant, deferre studuerimus, et eorum hactenus ignota nomina in ecclesia detegere. Ex quo factum est ut LXXX fere capita exulare iussa ab lolio spinisque suis repurgatam urbem reliquerint.

Quamobrem si quis quod initio polliciti sumus memoria repetat, Cap. XVIII. fortasse institutum nostrum approbabit, quod ita praefati sumus, quae ad illas sectas attinent nos partim usu ac consuetudine didicisse, partim ex monumentis accepisse, partim fide dignorum hominum, qui rei veritatem indicare possent, narratione ac testimonio fuisse perdoctos. Itaque pro eo quod prae nobis ferimus veritatis studio praetermittere hunc locum noluimus, sed ostendimus unam illam ex iis haeresibus esse quarum usum habuimus, de qua certi exploratique aliquid afferre possemus; non ex eo quod gesserimus ipsi — avertat hoc a nobis deus, — sed ex eo quod ab iis accurate didicimus, qui illam nobis persuadere frustra voluerunt, et conceptam de nostro exitio spem penitus abiecerunt, cum insidiae omnes ac fraudes, quas ad infelicis animae nostrae perniciem tam ipsi quam qui in illis inest diabolus machinati fuerant, irritae atque inanes extitissent, ut hoc a Davide dictum accommodatissime usurpare possimus: *Sagittae parvulorum factae sunt plagae eorum* etc. Ps. 63, 8. Tum illud: *Convertetur labor eorum in caput ipsorum, et iniquitas eorum in verticem ipsorum descendet.* Ps. 7, 17. Igitur quemadmodum sic nos in illorum errorem incurrimus, ut illius noxam effugeremus, eumque simulatque legimus ac cognovimus damnantes salvi atque incolumes praetergressi sumus, ita te quisquis es qui ista legis hortamur ut lecta pariter ac damnata transilias, ne in serpentum eiusmodi velut improbitatis quoddam virus incidas. Ac si quando forsitan ex hac serpentum schola quempiam offenderis, subito lignum illud quod nobis a domino comparatum est, et in quo Christus affixus est, contra serpentis caput arripiens, ita loquere: Christus nostra est in cruce caussa suspensus, et formam nostrae salutis expressam ac delineatam reliquit. Quod nisi carnem habuisset, nunquam esset suffixus. Eo vero quod carne praeditus et affixus est cruci, nostra simul peccata defixit. Equidem veritati per fidem inhaereo, nec tardissimi serpentis errore vel eius doctrinae sibilis abduci me patior.

Sed nunc haeresi illa praetermissa deinceps, carissimi, ad prae- Cap. XIX.

3. *Correxi* πλανητῇ. *Libri habent* *dum videbatur* νοθείᾳ *pro* νωθείᾳ. *vulgo* πλάνῃ τῇ. — *Petavio rescriben-*

ἄλλας τραχείας τρίβους, οὐχ ἵνα βαδίσω, ἀλλ' ἵνα ἀπὸ μήκοθεν ὑποδείξω τοῖς βουλομένοις τὰ τραχύτερα μὲν ἐπιγινώσκειν, φεύγειν δὲ διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ τῆς φερούσης εἰς ζωὴν αἰώνιον, καὶ καταλιμπάνειν τὴν πλατεῖαν καὶ εὐρύχωρον καὶ ἀκανθώδη καὶ προςκομμάτων ἔμπλεων ὁδὸν βορβορώδη, καὶ ἀσελγείας καὶ πορνείας ἐμπεπλησμένην, ἧς πορνείας καὶ ἀσελγείας τὸ ὅμοιον ἔστιν ἰδεῖν ἐν τῷ ἑρπετῷ τῷ δεινοτάτῳ ᾧ ἐπέθεντο τὸ ὄνομα ἀπειρώδινον ἔχιδναν οἱ παλαιοί. Ἔστι γὰρ τῆς τοιαύτης ἐχίδνης ἡ φύσις ὁμοία τῆς τούτων μοχθηρίας. Διὰ γὰρ τῆς ἀνδρείας φύσεως ἢ γυναικείας τὴν αἰσχρότητα ἐπιτελοῦντες ταύτην ἀπαγορεύουσι τὴν τῶν σπερμάτων καταβολὴν, ἀφανίζοντες τὴν ἐκ θεοῦ τοῖς κτίσμασι γενομένην τεκνογονίαν, ὡς καὶ ὁ ἀπόστολός φησι, Τὴν γὰρ ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης ἐν ἑαυτοῖς ἀπολαμβάνοντες, καὶ τὰ ἑξῆς. Οὕτω γάρ φασι τὴν Ἀπειρώδινον ἔχιδναν θελχθεῖσαν τῷ πάθει τῆς ἐπιθυμίας τήν τε θήλειαν πρὸς τὸν ἄρρενα καὶ τὸν ἄρρενα πρὸς τὴν θήλειαν περιπλακείσας μὲν ὁμοῦ διὰ τοῦ στόματος χαινούσης τῆς θηλείας τὸν ἄρρενα τὴν κεφα-
pag. 102. λὴν εἰςβάλλειν, ἐκείνης δὲ πάθει συσχεθείσης ἀποτέμνειν τὴν τούτου κεφαλὴν, καὶ οὕτως τὸν ἀπὸ τοῦ στόματος σταλάξαντα ἰὸν καταπιοῦσαν ἐν ἑαυτῇ ἐγκυμονεῖν μὲν τοιοῦτο ζεῦγος ἀρρενόθηλυ, ὅπερ ζεῦγος [1] ἀδρυνθὲν ἐν τῇ κοιλίᾳ, καὶ μὴ ἔχον πόθεν γεννηθῆναι, τὴν πλευρὰν τῆς μητρὸς τιτρώσκειν, καὶ οὕτως γεννᾶσθαι, ὥςτε ἀπολέσθαι τόν τε τούτων πατέρα καὶ τὴν μητέρα. Διόπερ Ἀπειρώδινον αὐτῇ ἐπέθεντο ὄνομα, ὅτι ὠδίνων οὐ πειρᾶται. Δεινὴ δὲ καὶ φοβερὰ παρὰ πάντα τὰ ἑρπετὰ τυγχάνει, ἐν ἑαυτῇ τὸν [2] ἀφανισμὸν ἐξεργαζομένη, καὶ διὰ στόματος τὴν αἰσχρότητα ἀπολαμβάνουσα. Ἧι ἔοικεν αὕτη ἡ [3] φρενοβλαβὴς αἵρεσις, ἧς τὴν κεφαλὴν καὶ τὸ σῶμα καὶ τὰ ἐξ αὐτῆς γεγεννημένα ἐνταῦθα συντρίψαντες τῷ ξύλῳ τῆς ζωῆς τὰς ἑτέρας διασκοπεῖν [4] προέλθωμεν, θεὸν [5] ἀρωγὸν ἐπικαλούμενοι, ᾧ τιμὴ καὶ κράτος εἰς αἰῶνας αἰώνων, ἀμήν.

## ΚΑΤΑ ΚΑΡΠΟΚΡΑΣΙΩΝ,

### ἑβδόμη, ἡ καὶ εἰκοστὴ ἑβδόμη.

Κεφ. α'. Καρποκρᾶς τις ἕτερος γίνεται, συστήσας ἑαυτῷ ἀθέμιτον διδασκαλίαν τῆς ψευδωνύμου αὐτοῦ γνώμης, χείρονας πάντων οὗτος τοὺς τρόπους κεκτημένος. Ἐκ πάντων γὰρ τούτων Σίμωνός τε καὶ Μενάνδρου, Σατορνίλου τε καὶ Βασιλείδου καὶ Νικολάου, καὶ αὐτοῦ τοῦ Καρποκρᾶ, ἔτι δὲ ἐκ προφάσεως Οὐαλεντίνου, ἡ τῆς ψευδωνύμου

Cap. XIX. — 1. *Libri habent* ἀνδρυνθὲν, *tam scripti quam editi. Cf. haer.* 30, 7. 28, 1. 58, 4.

2. ἀφισμὸν *cod. Rhedig. et cod. Paris. Petavius suspicabatur* ἀφρισμὸν *vel* ἀφροδισιασμόν.

3. *Vulgo* φρονοβλαβής.

4. προέλθωμεν *cod. Rhedig.* προςε-

ruptas alias vias ac salebrosas me conferam, non ut iter per illas faciam, sed ut eminus iis commonstrem qui asperitates illas cognoscere, et ad arctam illam angustamque viam, quae ad aeternam vitam perducit, confugere voluerint, latam vero ac spatiosam aliam relinquere, quae spinis intercepta et offendiculis impedita, coeno obsita et libidinibus ac flagitiis omnibus est referta. Cuius quidem impudicitiae ac libidinis similitudinem refert genus illud serpentis atrocissimum cui *partus expertis viperae* nomen vetustas indidit. Huius enim natura illorum nequitiae quam simillima est; qui cum masculis aut feminis turpitudinem patrantes semen infundere prohibent, insitamque creatis rebus a deo propagandorum vim fetuum extingunt. Unde et apostolus ita scripsit: *Mercedem quam oportuit erroris sui* Rom. 1, 27.
*in seipsis recipientes* etc. Sic enim ferunt: partus expertem illam viperam titillante libidinis voluptate marem simul ac feminam inter se commisceri, ac per os congredi; hiante siquidem femina marem caput inserere. Illam prae libidinis suavitate caput huius abscindere, exhaustoque quod ex ore destillat veneno fetum maris ac feminae par in utero gerere. Id ubi creverit, cum nullum quo in lucem erumpat exitum reperit, maternum latus pertundere, itaque cum utriusque parentis interitu nasci. Inde *partus expertem* cognominari. Est vero prae caeteris dira serpentibus ac formidabilis, quae intra sese marem enecat, atque ore ipso foeditatem excipit. Huic porro gemina insana illa haeresis est, cuius nos capite ac corpore, eiusque fetu omni vitae baculo contritis ad alias transeamus, implorata numinis ope, cui honor et imperium in saecula saeculorum, Amen.

## CONTRA CARPOCRASIOS,
### quae est haeresis VII., vel XXVII.

Secundum hos alius quidam Carpocras extitit, qui ex mendaci Cap. I.
ingenio suo propriam quandam ac nefariam sectam excogitavit, et omnibus morum fuit pravitate deterior. Haec enim haeresis ex omnium erroribus effloruit, Simonis, inquam, et Menandri, Saturnili ac Basilidae et Nicolai, adeoque Carpocratis ipsius, tum Valentini, a quo propagata illa perperam dicta cognitio, quae Gnostico-

ϑῶμεν *ed. princ., unde Petavius in sua edit. effinxit* προςϑῶμεν.

5. ἀρρωγὸν *cod. Rhedig. et edit. princ., pro more.*

*Γνώσεως ἐφύη αἵρεσις, ἥτις Γνωστικοὺς τοὺς αὐτῆς ὀνόμασεν, ἀφ' ἧς οἱ Γνωστικοὶ ἤδη μοι δεδήλωνται, καταγνωστικοὶ ὄντες τὸν τρόπον.*

Κεφ. β'. *Οὗτος δὲ πάλιν ἄνω μὲν μίαν Ἀρχὴν λέγει καὶ Πατέρα τῶν ὅλων, καὶ ἄγνωστον καὶ ἀκατονόμαστον, ἴσα τοῖς ἄλλοις εἰςάγειν βουλόμενος, τὸν δὲ κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ ὑπὸ Ἀγγέλων γεγενῆσθαι, τῶν πολύ τι ὑπὸ τοῦ Πατρὸς τοῦ ἀγνώστου ὑποβεβηκότων. Τούτους γὰρ λέγει ἀποστάντας ἀπὸ τῆς ἄνω δυνάμεως οὕτω τὸν κόσμον πεποιηκέναι. Ἰησοῦν δὲ τὸν κύριον ἡμῶν ἀπὸ Ἰωσὴφ λέγει γεγεννῆσθαι, καθάπερ καὶ πάντες ἄνθρωποι ἐκ σπέρματος ἀνδρὸς καὶ γυναικὸς ἐγεννήθησαν· εἶναι δὲ αὐτὸν ὅμοιον τοῖς πᾶσι, βίῳ δὲ διενηνοχέναι, σωφροσύνῃ τε καὶ ἀρετῇ καὶ βίῳ δικαιοσύνης. Ἐπειδὴ δὲ, φησὶν,*
pag. 103. *εὔτονον ἔσχε ψυχὴν παρὰ τοὺς ἄλλους ἀνθρώπους, καὶ ἐμνημόνευε τὰ ὁραθέντα ὑπ' αὐτῆς ἄνω, ὅτε ἦν ἐν τῇ περιφορᾷ τοῦ ἀγνώστου Πατρὸς, ἀπεστάλθαι ὑπὸ τοῦ αὐτοῦ Πατρὸς, φησὶν, εἰς τὴν αὐτοῦ ψυχὴν δυνάμεις, ὅπως τὰ ὁραθέντα αὐτῇ ἀναμνημονεύσασα καὶ ἐνδυναμωθεῖσα φύγῃ τοὺς κοσμοποιοὺς Ἀγγέλους, ἐν τῷ διὰ πάντων χωρῆσαι τῶν ἐν τῷ κόσμῳ πραγμάτων καὶ πράξεων τῶν ὑπὸ τῶν ἀνθρώπων γινομένων καὶ ἐν παραβύστῳ ἀτόπων ἔργων καὶ ἀθεμίτων, καὶ ὅπως διὰ πασῶν τῶν πράξεων ἐλευθερωθεῖσα ἡ αὐτὴ ψυχὴ, φησὶ, τοῦ Ἰησοῦ ἀνέλθῃ πρὸς τὸν αὐτὸν Πατέρα τὸν ἄγνωστον, τὸν δυνάμεις αὐτῇ ἀποστείλαντα ἄνωθεν ἵνα διὰ πασῶν τῶν πράξεων χωρήσασα καὶ ἐλευθερωθεῖσα διέλθοι πρὸς αὐτὸν ἄνω· οὐ μὴν δὲ, ἀλλὰ καὶ τὰς ὁμοίας αὐτῇ ψυχὰς, τὰ ἴσα αὐτῇ ἀσπασαμένας, τὸν αὐτὸν τρόπον ἐλευθερωθείσας ἄνω πτῆναι πρὸς τὸν ἄγνωστον Πατέρα, ἐν τῷ τὰς πάσας πράξεις πραξάσας ὁμοίως τῶν πάντων ἀπαλλαγείσας λοιπὸν ἐλευθερωθῆναι. Τὴν δὲ ψυχὴν τοῦ Ἰησοῦ ἐν τοῖς τῶν Ἰουδαίων ἔθεσιν ἀνατραφεῖσαν καταφρονῆσαι αὐτῶν, καὶ διὰ τοῦτο δυνάμεις εἰληφέναι δι' ὧν τὰ ἐπὶ κολάσεσι πάθη προςόντα τοῖς ἀνθρώποις δυνηθεὶς πρᾶξαι ὑπερβῆναι τοὺς κοσμοποιοὺς ἴσχυσεν. Οὐ μόνον δὲ αὐτὴν τὴν ψυχὴν τοῦ Ἰησοῦ τοῦτο δεδυνῆσθαι, ἀλλὰ καὶ τὴν δυναμένην διὰ τῶν πράξεων χωρήσασαν ὑπερβῆναι τοὺς κοσμοποιοὺς αὐτοὺς Ἀγγέλους, καὶ αὐτὴ ἐὰν λάβῃ δυνάμεις, καὶ τὰ ὅμοια πράξῃ, καθάπερ τοῦ Ἰησοῦ, ὡς προεῖπον. Ὅθεν εἰς τύφον οὗτοι ἐληλακότες μέγαν οἱ ὑπὸ τοῦ ἀπατεῶνος τούτου ἀπατηθέντες ἑαυτοὺς προκριτέους ἡγοῦνται καὶ αὐτοῦ τοῦ Ἰησοῦ. Ἄλλοι δὲ ἐξ αὐτῶν οὐχ Ἰησοῦ φασιν, ἀλλὰ Πέτρου καὶ Ἀνδρέου καὶ Παύλου καὶ τῶν λοιπῶν ἀποστόλων ἑαυτοὺς ὑπερφερεστέρους εἶναι διὰ τὴν ὑπερβολὴν τῆς Γνώσεως καὶ τὸ περισσότερον τῆς διαπράξεως διαφόρων διεξόδων. Ἄλλοι δὲ ἐξ αὐτῶν φάσκουσι μηδὲν διενηνοχέναι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Αἱ γὰρ ψυχαὶ*

rum nomen suis omnibus affinxit, indidemque Gnostici illi, de quibus proxime disputavimus, Catagnostici potius, hoc est *Damnates* appellandi.

Sed ut ad Carpocratem redeam, is supremum quidem principum Cap. II.
unum asserit, eundemque parentem omnium, et incognitum, nec ullo nomine significatum perinde ut caeteri studet asserere. Mundum vero et quae mundo continentur ab angelis esse facta, qui incognito illo parente longe inferiorem dignitatis ordinem tenent. Eos vero statuit ab suprema virtute deficientes mundum istum fabricasse. Iesum porro dominum nostrum a Iosepho genitum, uti caeteri mortales ex viri mulierisque semine procreantur. Hunc qui nihil omnino reliquis ab hominibus differret, vitae solum genere, ac temperantia, et virtute, ac institia praestitisse. Sed cum firmiori vegetiorique quam alii homines esset anima praeditus, eorumque quae sursum in incogniti parentis comitatu viderat meminisset, immissas ab eodem parente in eius animam virtutes esse dicunt, ut eorum quae aspexerat recordata corroborataque conditores orbis angelos effugeret, hoc ipso quod per omnia rerum quae in mundo sunt, actionumque quae ab hominibus suscipiuntur, genera transiret, adeoque scelesta execrandaque clanculum facinora perpetraret, ut ita demum actionibus omnibus perfuncta, liberaque eadem Iesu anima incognitum ad parentem evolaret, a quo illae erant virtutes immissae quarum beneficio per omnia uti diximus actionum genera traducta exsolutaque sursum ad eum penetraret. Sic quae eius similes essent animae, iisdem addictas studiis, eodemque modo liberatas, ad incognitum parentem evolare sursum, dum functionibus omnibus obitis, et ab universis pariter expeditae deinceps in libertatem asseruntur. Verum quod anima Iesu in Iudaeorum ritibus enutrita angelos illos contempsisset, ob id virtutes accepisse, quibus cum constitutis ad poenas hominum perpessionibus defungi potuisset, mundi illos architectos transcenderit. Neque vero id unam Iesu animam perficere potuisse, sed et aliam quamlibet, quae per actiones eiusmodi progressione facta super conditores orbis angelos efferri potuerit; haec enim si vires acceperit paria cum Iesu eademque praestabit, ut paulo ante diximus. Ex quo miseri isti impostoris illius fraude decepti tam intolerabili arrogantia sunt, ut se vel ipsimet Iesu anteponendos existiment. Horum alii non quidem Iesu, sed Petro, Andreae, Paulo, ceteris apostolis praestare sese dicunt cum abundantia quadam scientiae, tum quod progressiones varias ac decursus longe iis cumulatius obierint. Nonnulli vero sunt qui inter se ac dominum nostrum Iesum Christum nihil interesse censeant. Quippe animae ex eadem

ἐκ τῆς αὐτῆς περιφορᾶς εἰσι, καὶ ὁμοίως κατὰ τὴν τοῦ Ἰησοῦ πάντων καταφρόνησιν ποιησάμεναι· καὶ αἱ πᾶσαι, φασὶ, ψυχαὶ τῆς αὐτῆς δυνάμεως ἠξιώθησαν ἧς καὶ τοῦ Ἰησοῦ ἠξίωται. Διὸ καὶ ταῦτά φασι χωρεῖν διὰ πάσης πράξεως, καθάπερ ἀμέλει καὶ ἡ τοῦ Ἰησοῦ διελή-
pag. 104. λυθεν. Εἰ δὲ καί τις πάλιν δυνηθείη ὑπὲρ τὸν Ἰησοῦν καταφρονῆσαι, διαφορώτερος ἔσται αὐτοῦ.

Κεφ. γ'. Ἐπιχειροῦσι δὲ οἱ τῆς ἀθεμίτου ταύτης σχολῆς παντοίας ἐπιχειρήσεις δεινῶν ἔργων καὶ ὀλετηρίων. [1] Μαγεία γὰρ παρ' αὐτοῖς ἐπινενόηται, ἐπῳδάς τε διαφόρους πρὸς πᾶσαν μηχανὴν ἐφηύραντο πρὸς φίλτρα καὶ [2] ἀγώγιμα. Οὐ μὴν δὲ ἀλλὰ καὶ παρέδρους δαίμονας ἑαυτοῖς ἐπισπῶνται, εἰς τὸ διὰ πολλῆς μαγγανείας ἐν ἐξουσίᾳ μεγάλῃ πάντων, [3] φασὶ, κυριεύειν ὧν τε ἂν ἐθέλοι ἕκαστος καὶ ᾗ πράξει ἐπιχειρεῖν τολμήσειε δῆθεν ἑαυτοὺς ἐξαπατῶντες πρὸς πληροφορίαν τῆς τετυφλωμένης αὐτῶν διανοίας, ὅτι αἱ τοιαῦται ἐγχειρήσεις κατισχύσασαι διὰ τῶν τοσούτων πράξεων, καὶ καταφρονήσασαι τῶν κοσμοποιῶν Ἀγγέλων, καὶ τῶν ἐν τῷ κόσμῳ ὑπερβαίνουσι τὴν τῶν αὐτῶν μυθοποιῶν (οὐ γὰρ ἂν εἴποιμι κοσμοποιῶν) ἐξουσίαν, ὅπως ἂν τὴν ἄνω ἐλευθερίαν ἀσπάσωνται, καὶ τὴν ἄνω πτῆσιν [4] κτήσαιντο. Εἰσὶ δὲ ἐκ τοῦ Σατανᾶ παρεσκευασμένοι καὶ προβεβλημένοι εἰς ὄνειδος καὶ σκάνδαλον τῆς τοῦ θεοῦ ἐκκλησίας. Ἐπέθεντο γὰρ ἑαυτοῖς ἐπίκλην Χριστιανοὶ, πρὸς τὸ σκανδαλίζεσθαι τὰ ἔθνη δι' αὐτῶν καὶ ἀποστρέφεσθαι τὴν τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὠφέλειαν καὶ τὸ ἀληθινὸν κήρυγμα διὰ τῆς ἐκείνων ἀθεμιτουργίας καὶ ἀνεικάστου κακοπραγίας, εἰς τὸ τὰ ἔθνη κατανοοῦντα αὐτῶν τὰ ἐπάλληλα ἔργα τῶν ἀθεμιτουργιῶν, νομίσαντα καὶ τοὺς τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας τοιούτους εἶναι, ἀποστρέφειν, ὡς καὶ προεῖπον, τὴν ἀκοὴν ἀπὸ τῆς τοῦ θεοῦ κατὰ ἀλήθειαν διδασκαλίας, ἢ καὶ ὁρῶντάς τινας [5] πάντας ὁμοίως βλασφημεῖν. Καὶ τούτου ἕνεκα οἱ πλείους τῶν ἐθνῶν [6] ὅπου γ' ἂν ἴδωσι τοιούτους, οὔτε ἐπὶ κοινωνίᾳ ἡμῖν προςφέρονται ληψοδοσίας, ἢ γνώμης, ἢ ἀκοῆς λόγου θείου, οὔτε τὴν ἀκοὴν ἐντιθέασιν, ἐκτυρμένοι ἀπὸ τῆς τῶν ἀθεμίτων ἀνοσιουργίας.

Κεφ. δ'. Εἰσὶ δὲ ἐν ἀσωτίᾳ διατελοῦντες οὗτοι, καὶ πᾶν ὁτιοῦν ἐργαζόμενοι πρὸς εὐπάθειαν σωμάτων, ἡμῖν δὲ ὅλως οὐκ ἐγγίζοντες, εἰ μή τι ἄρα πρὸς τὸ δελεάσαι ψυχὰς ἀστηρίκτους ἐν τῇ αὐτῶν κακοδιδασκαλίᾳ. Εἰς οὐδὲν γὰρ ἡμῖν ὁμοιοῦνται· ἢ μόνον ὀνόματι καλεῖσθαι σεμνύνονται, ὅπως διὰ τοῦ ὀνόματος τοῦ ἐπιπλάστου τὰ τῆς ἑαυτῶν
pag. 105. κακίας ἐργάσωνται. Τὸ δὲ κρίμα τούτων κατὰ τὸ γεγραμμένον ἔνδι-

Cap. III. — 1. μείγαλη ed. princ. ad Arnobium lib. I., p. 42.
2. Cf. de hoc vocabulo Desid. Herald. 3. φησι cod. Rhedig.

omnes circuitione sunt, eundemque quem Iesus contemptum rerum omnium susceperunt. Universae porro, inquiunt, eadem qua Iesu anima vi sunt ac virtute praeditae. Ideoque perinde illas per actionum genera omnia traduci, quemadmodum Iesu anima progressa sit. Quod si reperiri aliqua possit, quae maiorem quam Iesus contemptum suscipiat, ea ipsi demum antecellet.

Caeterum detestandae disciplinae huius alumni horribilium ac teterrimorum facinorum varia genera moliuntur. Nam et maleficas artes exercent, et ad machinanda quaelibet, veneficia et cantiones excogitarunt, velut ad philtra et amoris illecebras; imo etiam familiares sibi quosdam daemones alliciunt, ut multiplicibus iis praestigiis summam sibi, ut aiunt, in omnia potestatem vindicent, ac quod cuique libuerit, et quodcumque agere in animum induxerit, id ipsum audeat suscipere. Hoc autem eo consilio faciunt quod, uti miserandum in modum decepti sunt, certo sibi persuadeant, per tot tamque diversa facinora mundi fabricatoribus angelis, omnibusque quae in mundo sunt prostratis ac contemptis, illorum se non mundi, sed fabularum potius artificum potestatem transgredi; quo coelestem libertatem obtineant, et sursum aspirare atque evolare possint. Quod hominum genus ad ecclesiae dei probrum et offendiculum adornasse ac submisisse Satanas videtur; quippe qui Christianorum sibi nomen indiderint, ut propter illos offensae nationes ab sanctae dei ecclesiae utilitate abhorreant, nuntiatamque veritatem ob immania illorum facinora, et incredibilem nequitiam repudient, ut, inquam, frequentibus illorum sceleribus animadversis, eos quoque qui e sancta dei ecclesia sunt tales esse sibi persuadeant, atque ita ab verissima dei, uti diximus, doctrina aures avertant, aut certe paucorum improbitate conspecta in universos eadem maledicta coniiciant. Atque ea demum caussa est cur plerique gentilium, ubicumque istius sectae homines deprehenderint, nullam nobiscum velint neque dati acceptique neque consilii neque audiendi divini verbi societatem coniungere, ac ne aures quidem praebere sustineant; usque adeo nefariis illorum flagitiis consternati ac deterriti sunt. Cap. III.

Porro isti in luxu atque deliciis assidue versantur, nihilque non ad corporum voluptatem ac iucunditatem suscipiunt; neque ad nos penitus accedunt, nisi forte ut imbecilles animos ad impia sua dogmata pelliciant. Neque enim alia re nobis similes sunt, quam quod solo Christiani nomine gloriantur, ut ementiti huius vocabuli specie improbitatem suam exerceant. Sed horum, uti scriptum est, *iudicium* Cap. IV.

4. κτήσαντο *cod. Rhedig. et edit. princ.*
5. *Vulgo* πάντως.
6. ὅπου γ' ἂν *ego rescripsi pro* ὅπου δ' ἂν, *quod omnes libri habent.*

κόν ἐστιν, ὡς ὁ ἅγιος Παῦλος ὁ ἀπόστολος ἔφη. Διὰ γὰρ τὰς κακὰς αὐτῶν πράξεις τὸ ἀνταπόδομα ἀποδοθήσεται αὐτοῖς. Ἀδεῶς γὰρ τὸν νοῦν αὐτῶν εἰς οἶστρον ἐκδεδωκότες πάθεσιν ἡδονῶν μυρίων ἑαυτοὺς παραδεδώκασι. Φασὶ γὰρ ὅτι ὅσα νομίζεται παρὰ ἀνθρώποις κακὰ εἶναι, οὐ κακὰ ὑπάρχει, ἀλλὰ φύσει καλά. Οὐδὲν γάρ ἐστι φύσει κακὸν, τοῖς δὲ ἀνθρώποις νομίζεται εἶναι φαῦλα. Καὶ ταῦτα πάντα ἐάν τις πράξῃ ἐν τῇ μιᾷ ταύτῃ παρουσίᾳ, οὐκέτι μετενσωματοῦται αὐτοῦ ἡ ψυχὴ εἰς τὸ πάλιν ἀντικαταβληθῆναι, ἀλλὰ ὑπὸ ἓν ποιήσασα πᾶσαν πρᾶξιν ἀπαλλαγήσεται, ἐλευθερωθεῖσα καὶ μηκέτι χρεωστοῦσά τι τῶν πρὸς πρᾶξιν ἐν τῷ κόσμῳ. Ποίαν δὲ πρᾶξιν εἰπεῖν, δέδια πάλιν, μὴ βορβόρου δίκην κεκαλυμμένον ὀχετὸν ἀποκαλύψω καί τισι δόξω λοιμώδους δυςοδμίας ἐργάζεσθαι τὴν ἐμφόρησιν. Ἀλλ' ὅμως ἐπειδήπερ ἐξ ἀληθείας συνεχόμεθα τὰ παρὰ τοῖς ἠπατημένοις ἀποκαλύψαι, σεμνότερον εἰπεῖν τε καὶ τῆς ἀληθείας μὴ ἔξω βαίνειν ἐμαυτὸν καταναγκάσω. Τί δὲ, ἄλλο τι πᾶσαν ἀρρητουργίαν καὶ ἀθέμιτον πρᾶξιν, ἣν οὐ θεμιτὸν ἐπὶ στόματος φέρειν, οὗτοι πράττουσι; καὶ πᾶν εἶδος ἀνδροβασιῶν καὶ λαγνιεστέρων ὁμιλιῶν πρὸς γυναῖκας ἐν ἑκάστῳ μέλει σώματος, μαγείας τε καὶ φαρμακείας καὶ [1] εἰδωλολατρείας ἐκτελοῦντες; Καὶ τοῦτο εἶναί φασιν ἐργασίαν ἀποδόσεως τῶν ἐν τῷ σώματι ὀφειλημάτων εἰς τὸ μηκέτι ἐγκαλεῖσθαι, ἢ μέλλειν τι πράξεως ἔργον ἀπαιτεῖσθαι· καὶ τούτου ἕνεκα μὴ ἀποστρέφεσθαι τὴν ψυχὴν μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν καὶ πάλιν εἰς μετενσωμάτωσιν καὶ μεταγγισμὸν χωρεῖν.

Κεφ. ε'. Οὕτως γὰρ ἔχει τὰ αὐτῶν συντάγματα, ὡς ἀναγνόντα τὸν συνετὸν θαυμάζειν καὶ ἐκπλήττεσθαι καὶ ἀπιστεῖν εἰ ταῦτα οὕτως ὑπὸ ἀνθρώπων γενήσεται, οὐ μόνον τῶν καθ' ἡμᾶς πόλιν κατοικούντων, ἀλλὰ καὶ τῶν μετὰ θηρῶν καὶ ὁμοίων θηρσὶ καὶ κτήνεσι, καὶ σχεδὸν εἰπεῖν τὰ κυνῶν καὶ ὑῶν πράττειν τολμώντων. Φασὶ γὰρ, Δεῖ πάντως πᾶσαν χρῆσιν τούτων ποιεῖσθαι, ἵνα μὴ ἐξελθοῦσαι καὶ ὑστερήσασαί τινος ἔργου τούτου ἕνεκα καταστραφῶσιν εἰς σώματα πάλιν αἱ ψυχαὶ, εἰς τὸ πρᾶξαι αὖθις ἃ μὴ ἔπραξαν. Καὶ τοῦτό ἐστι, φασὶν, ὅπερ ὁ Ἰησοῦς ἐν τῷ εὐαγγελίῳ εἶπε διὰ παραβολῆς ὅτι, Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου, ἐν ᾧ ἧς ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, καὶ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ' αὐτοῦ, μή πως ὁ ἀντίδικος παραδῷ σε τῷ κριτῇ, καὶ ὁ κριτὴς τῷ ὑπηρέτῃ, καὶ ὁ ὑπηρέτης βάλλῃ σε εἰς φυλακήν· ἀμὴν, ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην. Μῦθον δέ τινα πλάττουσιν οἱ αὐτοὶ πρὸς [1] ἐπίλυσιν τῆς

pag. 106.

Cap. IV. — 1. εἰδωλολατρίας ed. princ.

*legitimum est*, id quod Paulus apostolus tradidit. Siquidem propter abominanda ipsorum facta, merces illis consentanea reddetur. Nam cum animum suum rapi libidinis impetu ac furore permiserint, in infinita sese voluptatum genera praecipites committunt. Ita enim disputant, quae ab hominibus mala iudicantur, ea minime mala esse, sed honesta natura. Nihil enim natura malum est, sed ab hominibus duntaxat prava censentur. Quae si quis omnia in hac una praesenti vita perfecerit, eius anima non amplius in alia corpora transfunditur, ut in hanc lucem denuo procreetur, sed omni actionum genere perfuncta libera atque immunis abscedet, cum nullius adhuc in hoc mundo debito actionis obligetur. Cuiusmodi vero actionem intelligant rursum explicare vereor, ne velut opertum coenum, ita graveolentem hanc cloacam aperiam, ac pestiferae cuiusdam exhalationis ac foetoris occasionem quibusdam videar praebuisse. Sed nihilominus, cum me veritas ipsa quodammodo cogat, ut hoc errore laborantium hominum arcana patefaciam, eam mihi necessitatem imponam, ut et honestioribus ea verbis enarrem, et a rei veritate nequaquam abhorream. Quid igitur isti aliud praeter execrandum illud ac detestabile flagitium committunt, quod ne sermone quidem exprimere licet, hoc est praeposteram marium consuetudinem, aut libidinosissimos cum feminis qualibet corporis parte concubitus, tum magicas insuper artes ac veneficia, idolorumque cultus. Atque hanc dissolvendorum corporis debitorum rationem esse confirmant, ne appellari amplius possint, aut ab iis ipsis opus aliquod repetatur, eoque modo illud obtineri, ut ne posteaquam hinc excesserit anima denuo revertatur, et ad illos aliena in corpora transitus ac migrationes sese referat.

Eiusmodi enim illorum monumenta sunt, ut si quis ea sapiens legerit, vehementer obstupescat, vixque ab hominibus fieri ista posse sibi persuadeat, non modo iis nostri generis hominibus, qui in republica versantur, sed etiam iis qui in medio ferarum earundem ac pecudum similes degunt, quique cum canibus ac suibus paria propemodum perpetrant. Siquidem experiri omnia oportere dicunt, ne egressae istinc animae, opere aliquo praetermisso, ob id rursus in corpora compingandum perficiant. Hoc vero ipsum esse, quod in evangelio Iesus hac parabola significat: *Esto*, inquit, *consentiens adversario tuo, dum adhuc es in via cum ipso, et da operam ut ab eo libereris, ne forte tradat te adversarius iudici, et iudex tradat te ministro, et minister in carcerem te mittat. Amen, amen dico tibi, non exies inde, donec reddas novissimum quadrantem.* Cui quidem inter- Cap. V. Matth. 5, 25.

Cap. V. — 1. ἐπίλυσιν *rescripsi Cornarii et Petavii emendationem secutus, quam firmare videtur cod. Rhedig., in quo legitur* ἐπιλῦ. *Vulgo extat* ἐπίληψιν.

*παραβολῆς ταύτης, καί φασιν εἶναι τὸν ἀντίδικον ἐκεῖνον τῶν τὸν κόσμον πεποιηκότων Ἀγγέλων ἕνα, καὶ εἰς αὐτὸ τοῦτο κατεσκευάσθαι, εἰς τὸ ἀπάγειν τὰς ψυχὰς πρὸς τὸν κριτὴν, τὰς ἐντεῦθεν ἐξερχομένας ἐκ σωμάτων, ἐκεῖσε δὲ ἐλεγχομένας μὴ ποιησάσας πᾶσαν ἐργασίαν, παραδίδοσθαι δὲ ἀπὸ τοῦ ἄρχοντος τῷ ὑπηρέτῃ. Ἄγγελον δὲ εἶναι τὸν ὑπηρέτην, ἐξυπηρετούμενον τῷ κριτῇ τῷ κοσμοποιῷ εἰς τὸ φέρειν τὰς ψυχὰς πάλιν καὶ εἰς σώματα καταγγίζειν διάφορα. Εἶναι δὲ τὸν ἀντίδικον τοῦτον ὃν ἔφημεν τὸν κύριον εἰρηκέναι ἐν τῷ εὐαγγελίῳ, ὃν αὐτοὶ Ἄγγελον ἕνα τῶν κοσμοποιῶν φασιν, ὄνομα ἔχοντα Ἄβολον. Φασὶ γὰρ εἶναι τὴν φυλακὴν τὸ σῶμα, τὸν δὲ ἔσχατον κοδράντην θέλουσιν εἶναι τὴν μετενσωμάτωσιν, [2] καθ' ἑκάστην παρουσίαν ἐπιτελεῖν σωμάτων ἐσχάτην πρᾶξιν, καὶ μηκέτι ὑπολείπεσθαι πρὸς τὸ ἀθέμιτόν τι πρᾶξαι. Δεῖ γὰρ, φασὶν, ὡς προείπομεν, [3] πάντη ἐλθοῦσαν, καὶ πράξασαν καθ' ἕκαστον, καὶ ἐλευθερωθεῖσαν, ἀνελθεῖν [4] πρὸς ἄνω ἄγνωστόν, ὑπερβᾶσαν τοὺς κοσμοποιοὺς καὶ τὸν κοσμοποιόν. Φασὶ δὲ πάλιν ὅτι δεῖ κἄν τε ἐν μιᾷ παρουσίᾳ τῆς μετενσωματώσεως πραξάσας λοιπὸν ἄνω ἐλευθερωθείσας ἀπιέναι, εἰ δὲ μὴ ἐν μιᾷ παρουσίᾳ πράξουσι, καθ' ἑκάστην παρουσίαν μετενσωματώσεως [5] κατὰ βραχὺ ποιησάσας ἑκάστου ἔργου ἀθεμίτου τὴν ἐργασίαν λοιπὸν ἐλευθερωθῆναι. Λέγουσι δὲ πάλιν ὅτι, Τοῖς ἀξίοις ταῦτα καταξιοῦμεν διηγεῖσθαι, ἵνα πράξωσι τὰ δοκοῦντα εἶναι κακὰ, οὐκ ὄντα δὲ φύσει κακὰ, ἵνα μαθόντες ἐλευθερωθῶσι. Σφραγῖδα δὲ ἐν καυτῆρι, ἢ διʼ ἐπιτηδεύσεως ξυρίου ἢ ῥαφίδος ἐπιτιθέασιν οὗτοι οἱ ὑπὸ Καρποκρᾶ ἐπὶ τὸν δεξιὸν λοβὸν τοῦ ὠτὸς τοῖς ὑπʼ αὐτῶν ἀπατωμένοις.*

Κεφ. ϛ'. *Ἦλθε μὲν εἰς ἡμᾶς ἤδη πως Μαρκελλίνα τις ὑπʼ αὐτῶν ἀπατηθεῖσα,* pag. 107. *καὶ πολλοὺς ἐλυμήνατο ἐν χρόνοις Ἀνικήτου ἐπισκόπου Ῥώμης, τοῦ κατὰ τὴν διαδοχὴν Πίου, καὶ τῶν ἀνωτέρω. Ἐν Ῥώμῃ γὰρ γεγόνασι πρῶτοι Πέτρος καὶ Παῦλος οἱ ἀπόστολοι αὐτοὶ καὶ ἐπίσκοποι, εἶτα Λῖνος, εἶτα Κλῆτος, εἶτα Κλήμης, σύγχρονος ὢν Πέτρου καὶ Παύλου, οὗ ἐπιμνημονεύει Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ. Καὶ μηδεὶς θαυμαζέτω ὅτι πρὸ αὐτοῦ ἄλλοι τὴν ἐπισκοπὴν διεδέξαντο ἀπὸ τῶν ἀποστόλων, ὄντος τούτου συγχρόνου Πέτρου καὶ Παύλου· καὶ οὗτος γὰρ σύγχρονος γίνεται τῶν ἀποστόλων. Εἴτʼ οὖν ἔτι περιόντων αὐτῶν ὑπὸ Πέτρου λαμβάνει τὴν χειροθεσίαν τῆς ἐπισκοπῆς, καὶ παραιτησάμενος ἤργει (λέγει γὰρ ἐν μιᾷ τῶν ἐπιστολῶν αὐτοῦ, Ἀναχωρῶ, ἄπειμι, ἐνσταθήτω ὁ λαὸς τοῦ θεοῦ, τισὶ τοῦτο συμβουλεύων· εὕρομεν γὰρ ἔν τισιν ὑπομνηματισμοῖς τοῦτο ἐγκείμενον), ἤτοι μετὰ τὴν τῶν ἀποστόλων διαδοχὴν ὑπὸ Κλήτου τοῦ ἐπισκόπου οὗτος καθίσταται, οὐ πάνυ σαφῶς ἴσμεν. Πλὴν ἀλλὰ καὶ οὕτως ἠδύνατο ἔτι*

2. „Deest nonnihil" *annotavit Petavius. Nihil desidero. Verba* καθ' ἑκάστην *et quae sequuntur per epexegesin subiuncta explicant* μετενσωμάτωσιν *quam novissimum esse quadrantem interpretati sint.*

pretandae parabolae fabulam quandam commenti sunt, et adversarium illum unum esse ex mundi fabricatoribus angelis putant, qui huius rei caussa sit constitutus ut exsolutas corporis vinculis, atque hinc migrantes animas ad iudicem deducat; ubi nondum omnia praestitisse convictae a principe ministro traduntur, qui ex angelorum grege unus opifici mundi huius iudici ad transferendas, et in varia corpora deportandas animas operam suam collocat. Esse porro adversarium illum quem a domino commemoratum in evangelio diximus, unum ex mundi artificibus angelis nomine Abolum. Nam et custodiam esse corpus interpretantur, et novissimum quadrantem migrationem animarum, quas accessionibus ad corpora singulis ultimas actiones obire necesse sit, nullum ut amplius scelus ac flagitium supersit. Oportet enim, ut antea dictum est, pervagatam omnia singulisque perfunctam animam, ac solutam, mundi effectoribus ac praecipuo huius auctore superatis, ad supremum illum ignotumque penetrare. Addunt insuper vel in prima migratione confectis omnibus sursum evolare liberas opus esse, vel nisi unico illo adventu universa perfecerint, tum vero unaquaque transitione paulatim omnibus facinoribus flagitiisque defunctas sese in libertatem asserere. Praeterea nos iis qui digni sunt, inquiunt, arcana ista committimus, ut quae esse videntur mala, natura autem minime sunt, exequantur, eaque re cognita liberentur. Solent vero Carpocratiani quos ad suam sectam fraudulenter pellexerint, iis candente ferro, vel novacula, vel acu notam quandam ad imam auriculam imprimere.

Ex horum factione Marcellina quaedam ad nos venit, quae Aniceti Romani episcopi tempore plerosque labefactavit, Aniceti inquam illius qui Pio aliisque pontificibus successit. Etenim Romae primi omnium Petrus et Paulus apostoli pariter atque episcopi fuerunt. Inde Linus, tum Cletus. Post hunc Clemens, Petri et Pauli temporum aequalis, de quo Paulus meminit ad Romanos scribens. Neque vero miretur aliquis quod ante ipsum in pontificiam dignitatem alii apostolis successerint, cum Petri ac Pauli esset aequalis, iisdem enim ille temporibus vixit. Utrum illis adhuc superstitibus impositis manibus episcopus a Petro consecratus, eaque detrectata provincia ab omni administratione vacaverit (ita enim in quadam epistola scripsit: *Recedo, exeo, instet populus dei*, nonnullis videlicet hoc modo consulens, nam in quibusdam commentariis ita scriptum reperimus), an potius secundum apostolos ab episcopo Cleto sit constitutus, liquido non constat. Quamquam vel hac quidem ratione poterant vi-

Cap. VI.

Imo ad Philipp. 4, 3.

3. πάντῃ *cod. Rhedig. Vulgo* πάντα. *Petavio placuit* εἰς πάντα.

4. *Suspicor* πρὸς τὸν ἄνω ἄγνωστον.

5. *Vulgo* καταβραχύ.

περιόντων τῶν ἀποστόλων, φημὶ δὲ τῶν περὶ Πέτρον καὶ Παῦλον, ἐπισκόπους ἄλλους καθίστασθαι, διὰ τὸ τοὺς ἀποστόλους πολλάκις ἐπὶ τὰς ἄλλας πατρίδας τὴν πορείαν στέλλεσθαι, διὰ τὸ κήρυγμα τοῦ Χριστοῦ, μὴ δύνασθαι δὲ τὴν τῶν Ῥωμαίων πόλιν ἄνευ ἐπισκόπου εἶναι. Ὁ μὲν γὰρ Παῦλος καὶ ἐπὶ τὴν Ἱσπανίαν ἀφικνεῖται, Πέτρος δὲ πολλάκις Πόντον τε καὶ Βιθυνίαν ἐπεσκέψατο. Ἐνεχώρει δὲ μετὰ τὸ κατασταθῆναι Κλήμεντα καὶ παραιτήσασθαι (εἴ γε οὕτως ἐπράχθη, διανοοῦμαι γὰρ, οὐχ ὁρίζομαι) ὕστερον μετὰ τὸ τετελευτηκέναι Λῖνον καὶ Κλῆτον ἐπισκοπεύσαντας πρὸς δεκαδύο ἔτη ἕκαστον μετὰ τὴν τοῦ ἁγίου Πέτρου καὶ Παύλου τελευτὴν τὴν ἐπὶ τῷ δωδεκάτῳ ἔτει Νέρωνος γενομένην, τοῦτον αὖθις ἀναγκασθῆναι τὴν ἐπισκοπὴν κατασχεῖν. Ὅμως ἡ τῶν ἐν Ῥώμῃ ἐπισκόπων διαδοχὴ ταύτην ἔχει τὴν ἀκολουθίαν· Πέτρος καὶ Παῦλος, Λῖνος καὶ Κλῆτος, Κλήμης, Εὐάρεστος, Ἀλέξανδρος, Ξύστος, Τελέσφορος, Εὐάρεστος, Ὑγῖνος, Πῖος, Ἀνίκητος, ὁ ἄνω ἐν τῷ καταλόγῳ προδεδηλωμένος. Καὶ μή τις θαυμάσῃ ὅτι ἕκαστα οὕτως ἀκριβῶς διήλθομεν. Διὰ γὰρ τούτων ἀεὶ τὸ σαφὲς δείκνυται. Ἐν χρόνοις τοίνυν, ὡς ἔφημεν, Ἀνικήτου ἡ προδεδηλωμένη Μαρκελ-
pag. 108. λίνα ἐν Ῥώμῃ γενομένη, τὴν λύμην τῆς Καρποκρᾶ διδασκαλίας ἐξεμέσασα, πολλοὺς τῶν ἐκεῖσε λυμηναμένη ἠφάνισε. Καὶ ἔνθεν γέγονεν ἡ ἀρχὴ Γνωστικῶν τῶν καλουμένων. Ἔχουσι δὲ εἰκόνας ἐνζωγράφους διὰ χρωμάτων, τινὲς δὲ ἐκ χρυσοῦ καὶ ἀργύρου καὶ λοιπῆς ὕλης, ἅτινα ἐκτυπώματά φασιν εἶναι τοῦ Ἰησοῦ, καὶ ταῦτα ὑπὸ Ποντίου Πιλάτου γεγενῆσθαι τὰ ἐκτυπώματα τοῦ αὐτοῦ Ἰησοῦ, ὅτε ἐνεδήμει τῷ τῶν ἀνθρώπων γένει. Κρύβδην δὲ τὰς τοιαύτας ἔχουσιν εἰκόνας· ἀλλὰ καὶ φιλοσόφων τινῶν, Πυθαγόρου καὶ Πλάτωνος καὶ Ἀριστοτέλους, καὶ λοιπῶν, μεθ' ὧν φιλοσόφων καὶ ἕτερα ἐκτυπώματα τοῦ Ἰησοῦ τιθέασιν, ἱδρύσαντές τε προσκυνοῦσι καὶ τὰ τῶν ἐθνῶν ἐπιτελοῦσι μυστήρια. Στήσαντες γὰρ ταύτας τὰς εἰκόνας τὰ τῶν ἐθνῶν ἔθη λοιπὸν ποιοῦσι. Τίνα δέ ἐστιν ἐθνῶν ἔθη, ἀλλ' ἢ θυσίαι καὶ τὰ ἄλλα; Ψυχῆς δὲ εἶναι μόνης σωτηρίαν φασὶ, καὶ οὐχὶ σωμάτων.

Κεφ. ζ'. Δεῖ τοίνυν τούτους ἀνατρέπειν παντὶ σθένει· μηδεὶς γὰρ καταφρονείτω λόγου, καὶ μάλιστα παρὰ ἀπατεῶνος. Ἀλλ' εἴποι τις ἄν, Οὐ γάρ ἐστι φωρατὰ καὶ μωρίας ἔμπλεα; Ἀλλ' ἴσθ' ὅπῃ καὶ τὰ μωρὰ πείθει τοὺς ἄφρονας καὶ τοὺς συνετοὺς παρεκτρέπει, ἐὰν μὴ παρῇ ὁ νοῦς ὁ ἐν τῇ ἀληθείᾳ ἠσκημένος. Ἐμπεσόντος τοίνυν καὶ τούτου [1] τῇ Σίμωνος μαγείᾳ καὶ τῶν λοιπῶν, τοῖς αὐτοῖς καὶ τοῦτον ἀνατρέψομεν. Εἰ γὰρ ἡ ἄγνωστος καὶ ἀκατονόμαστος δύναμις αἰτία γέγονεν ἄλλων

CAP. VII. — 1. τῇ codd. Vatic. Rhedig. Vulgo τοῦ. — In seqq. pro ἡ ἄγνωστος edit. Petav. vitium habet ὁ ἄγν.

ventibus adhuc apostolis, Petro scilicet ac Paulo episcopi alii surrogari, quod iidem illi praedicandi evangelii gratia in alias urbes regionesque profectionem susciperent, carere autem episcopo Roma non posset. Siquidem Paulus in Hispaniam pervenit, Petrus vero Pontum ac Bithyniam saepenumero peragravit. Ac fieri sane potuit, ut primum Clemente constituto, cum is defugeret (si ita tamen contigit, quod ego opinando potius quam asseverando dixerim) postea Lino, Cletoque mortuis, qui XII annorum spatio singulatim episcopatum obtinuerunt, post apostolorum Petri Paulique necem, quae in annum Neronis XII. incurrit, tum demum pontificatum capessere sit coactus. Sed utcumque sese res habuerit, Romanorum pontificum ista successio est: Petrus et Paulus, Linus ac Cletus, Clemens, Euaristus, Alexander, Xystus, Telesphorus, Euaristus, Hyginus, Pius, Anicetus, qui est a me paulo ante in episcoporum ordine numeratus. Ac nemini sane mirum videatur cur singula tanta cum diligentia percurrerim. Per haec enim perpetuo certa accurrataque veritas ostenditur. Quamobrem Aniceti, ut dictum est tempore, Marcellina illa Romam veniens, et Carpocratianae doctrinae virus evomens, multos illic errore suo depravatos in exitium impulit; indidemque Gnosticorum sunt excitata primordia. Habent porro Carpocratiani depictas coloribus imagines, quidam etiam aureas aut argenteas, vel ex alia materia factas, quas esse Iesu effigies affirmant, easdemque a Pontio Pilato ad Christi similitudinem effictas, quo tempore inter homines degebat. Sed eiusmodi imagines occultas habent, nec non et philosophorum quorundam, ut Pythagorae, Platonis, Aristotelis, aliorumque, quibus eas quas dixi Christi effigies miscent, et erectas simul omnes adorant, ad easque gentilium ritus instituunt. Collocatis enim simulacris istis, quae a gentilibus fieri solent deinceps perficiunt. Quinam vero sunt gentiles ii ritus alii quam sacrificia, caeteraque generis eiusdem? Caeterum ita soli animae salutem attibuunt ut ab eius communione corpora segreganda putent.

Quamobrem omni illos ope profligare oportet atque evertere. Cap. VII.
Neque enim est quod eiusmodi dogmata praesertim a tali impostore profecta quispiam contemnat. Atenim dicat aliquis, Nonne ea sunt cognitu facilia stultitiaque plenissima? Sunt ea vero. Sed insipientibus stulta plerumque persuadentur, imo etiam prudentes a recta via deflectunt, nisi animi vis adsit veritatis exercitatione firmata. Quamobrem cum in iisdem quibus Simon magicis artibus caeteraque errorum faece Carpocras haereat, nos easdem quoque ad illum evertendum rationes adhibebimus. Si enim ignota illa nec ullo nomine

Ἀγγέλων, ἥ ἐστιν ἄγνοια παρὰ τῇ αὐτῇ, τουτέστι τῷ Πατρὶ τῶν ὅλων, εἰ μὴ ᾔδει ἃ μέλλουσι πράττειν οἱ ὑπ' αὐτοῦ κατασκευαζόμενοι Ἄγγελοι, ἀγνοήσας ὅτι ἀποστήσονται καὶ ποιήσουσιν ἃ μὴ [2]αὐτὸς ἐβούλετο· ἢ τούτους μὲν ἐποίησε γινώσκων ὅτι ποιήσουσιν ὃ αὐτὸς οὐ βούλεται, παρ' αὐτῶν δὲ γέγονε, καὶ ἔσται διὰ τῆς γνώσεως καὶ εὐδοκίας αὐτὸς ποιήσας ἃ ἐκεῖνοι τετολμήκασιν. Εἰ τοίνυν, ὡς προεῖπον, ἐγίνωσκε μὲν ἃ ποιήσουσιν, οὐκ ἠβούλετο δὲ ἵνα ποιήσωσι, τίνι τῷ λόγῳ τοὺς πεποιηκότας ἐποίει εἰς τὸ πράττειν ἃ μὴ αὐτὸς ἐβούλετο; Εἰ δὲ αὐτὸς μὲν πεποίηκε τοὺς Ἀγγέλους ἵνα ποιήσωσι τὰ ὑπ' αὐτῶν γινόμενα, ἄρα
pag. 169. ἤθελε γενέσθαι, διὸ καὶ τοὺς πεποιηκότας προκατεσκεύασεν Ἀγγέλους. Καὶ εἰ προκατεσκεύασεν εἰς τὸ ποιῆσαι, ἀπαγορεύει δὲ τὰ ὑπ' αὐτῶν γενόμενα, συκοφαντία ἂν εἴη ἐν μέσῳ. Εἰ δὲ συνεχώρει μὲν τοῦ ποιεῖν αὐτούς, βούλεται δὲ τὰ ὑπ' αὐτῶν γενόμενα, τουτέστιν ἀνθρώπους καὶ ψυχάς, πάλιν πρὸς ἑαυτὸν ἀναλαμβάνειν παρὰ τὴν τούτων βούλησιν, ἄρα ἔσται πλεονεξία ἐν μέσῳ, καὶ οὐδὲν ἕτερον, ἁρπαζομένων τῶν ὑπὸ τῶν Ἀγγέλων ἀνθρώπων ὑπὸ τοῦ ἄνω παρὰ τὴν τούτων βούλησιν. Ἀλλὰ καὶ ἀδράνεια εἴη, ἐπειδὴ μὴ αὐτὸς δυνάμενος ἑαυτοῦ ποιεῖν ἁρπάζει τὰ ὑπὸ τῶν ὑπ' αὐτοῦ γενομένων γενόμενα. Καὶ ἔσται λοιπὸν μῦθος καὶ μωρολογία, τῶν μὲν κάτω δυνάμεων ὑπερβῆναι τοὺς ἐν μέσῳ, τοὺς δὲ ἐν μέσῳ τιμωρεῖσθαι αἰτίους ὄντας τῶν κάτω, καὶ τοὺς κάτω ὑπὲρ τοὺς μέσους πρὸς τὸν ἄνω σώζεσθαι καὶ ἐλευθεροῦσθαι, λέγω δὴ τὰς ψυχὰς τῶν ἐν τῇδε τῇ κτίσει. Εἴη δ' ἂν ὁ μὲν ἄνω μὴ δυνηθεὶς ποιῆσαι ἀσθενὴς κρινόμενος, οἱ δὲ ὑπ' αὐτοῦ γενόμενοι δυνάμενοι ποιῆσαι ἃ αὐτὸς μὲν οὐκ ἐβούλετο καὶ οὐκ ἠδύνατο. Οὐ γὰρ δύναται ἃ ἐκεῖνος ἐπιποθεῖ εἶναι αὐτῷ κακόν, οὐδὲ ὑπὸ κακῶν γεγονέναι. Εἰ γὰρ ἦν κακόν, ἐχρῆν ἀπόλλυσθαι. Εἰ δὲ ὅλως μέρος τι τοῦ ἔργου σώζεται, οὐκέτι τὸ ἔργον φαῦλον, κἄν τε μέρος αὐτοῦ σωζόμενον εὑρίσκοιτο, οὔτε οἱ ποιήσαντες φαῦλοι τὸν σωζόμενον τεχνησάμενοι. Εἰ δὲ ὅλως ἐξ Ἀγγέλων ἡ ψυχή, καὶ ἄνωθεν λαμβάνει δύναμιν παραχθεῖσα, [3]ἄρα γε οἱ Ἄγγελοι πλέον σωτηρίας τεύξονται, ὅτι ἡ ἀπ' αὐτῶν ψυχὴ σώζεται, καὶ φαύλων οὖσα· σωζομένης δὲ αὐτῆς οὐκέτι φαῦλος οὔτε αὐτὴ ἡ ψυχὴ ἡ γενομένη ὑπὸ τῶν Ἀγγέλων, οὔτε οἱ Ἄγγελοι, ἐξ ὧν αὐτὴ ἡ ψυχὴ ὑπάρχει.

Κεφ. η'. Παντὶ δὲ τῷ τὸν νοῦν ἐρρωμένον ἔχοντι ἰστέον ἂν εἴη ὅτι ἀνοίας

2. αὐτὸς cod. Vatic., et inde ed. Petav. οὗτος cod. Rhedig. et edit. princ. 3. Vulgo ἄρα.

explicabilis virtus aliorum angelorum causa fuit, vel ei tribuenda erit ignorantia qui sit universorum parens, quod iguarus eorum fuerit quae iidem illi quos designabat effectori erant angeli, neque istud sciverit, subtracturos se ab eius potestate, eaque quae minime vellet aliquando esse facturos: vel sic illos procreasse dicendus est, ut quod fieri nollet facturos esse cognosceret, quod iis auctoribus postea sit secutum, atque hoc modo quicquid ausi isti fuerint, hoc ille et scientia ipsa et consensione ac voluntate perfecit. Igitur si, ut ante dictum est, ea nosset quae facturi erant angeli, neque tamen fieri vellet, cur eos qui id egerint produxit unquam, ut quae nollet auderent aliquando facere? Sin angelos ipse condidit, sua ut illa opera praestarent, fieri igitur ea non noluit, cum ideo auctores illorum angelos ante produxerit. Quod si ad eadem illa facienda produxit, et ea tamen quae facta sunt interdixit, enimvero calumnia ac malitia quaedam intercessit. Si vero illis ut efficerent permisit, quae vero sunt ab iis effecta, homines videlicet et animas, praeter istorum voluntatem ad sese aggregare studet, hoc demum nihil erit aliud nisi cupiditas quaedam alienorum appetens, cum homines ab angelis effecti iisdem ipsis invitis a supremo illo dominatore rapiuntur. Imo etiam imbecillitatis istud erit, cum ipse sibi moliri nequeat quae sunt ab iis facta quorum est auctor per vim ac violentiam auferre. Quo fit ut ad inane commentum ac fabulam tota illorum doctrina recidat, quae hoc asserat; tametsi infimae virtutes mediocribus subiaceant, a mediocribus tamen, quae illarum caussae sunt, poenas expeti, infimasque mediocribus superatis ad supremum omnium auctorem evolare, ac libertatem consequi, hoc est animas quae in hac rerum conditarum universitate continentur. Quamobrem supremus ille, qui eas creare nequiverit, imbecillitatis arguetur. Quos ipse vero produxerit, eiusmodi esse videbuntur qui ea facere possint quae vel ille noluerit, vel ut maxime vellet, facere nullo modo potuerit. Neque enim quorum ille desiderio tenetur, ea ipsi mala esse possunt, vel a malis producta. Nam si mala sunt, perire funditus oportuit. Sin pars est operis aliqua servanda, malum ipsum esse non potest, si vel eius ulla pars salva reperitur, neque ipsimet artifices mali sunt, qui eum qui servandus est fabricati fuerint. Iam si ab angelis omnino propagata sit anima, atque in lucem producta vim quandam coelitus acceperit, multo igitur magis salutem obtinebunt angeli, cum ab ipsis anima etiam malis procreata servetur. Denique si salva esse possit anima, neque ipsa mala erit ab angelis producta, neque angeli, a quibus haec ortum habuerit.

Ac quicumque firmo et constanti ingenio praeditus est, intelli- Cap. VIII.

*ἐστὶ τὸ πᾶν τοῦτο ἀγυρτῶδες ἐργαστήριον. Καταισχυνθήσονται δὲ αὖθις οὗτοι καὶ ἀπὸ τῶν αὐτῶν λόγων. Εἰ γὰρ Ἰησοῦς οὐκ ἀπὸ παρθένου Μαρίας, ἀλλὰ ἐκ σπέρματος Ἰωσὴφ καὶ τῆς αὐτῆς Μαρίας, σώζεται δὲ οὗτος,* [1] *ἄρα καὶ αὐτοὶ σωθήσονται οἱ τοῦτον γεγεννηκότες. Καὶ εἰ ἡ Μαρία καὶ Ἰωσὴφ ἀπὸ τοῦ δημιουργοῦ ὑπάρχουσιν, ἄρα τὸν δημιουργὸν κτιστὴν ἔφασαν, καὶ οὐκέτι ἐν ὑστερήματι ἔσται ὁ τὸν Ἰω-*
pag. 110. *σὴφ καὶ τὴν Μαρίαν ποιήσας, ἐξ ὧν ὁ Ἰησοῦς παρὰ τοῦ ἄνω ἀγνώστου Πατρὸς ὑπάρχει. Εἰ δὲ καὶ αὐτὸς ὁ Ἰησοῦς ἀπὸ τῶν Ἀγγέλων ἐστὶ, καὶ ὁ δημιουργὸς εἷς ἐστι τῶν Ἀγγέλων,* [2] *ἄρα γε ἀτοπήματι τῷ ἑνὶ πάντες περιπεσοῦνται, ὁποίῳ καὶ οἱ Ἄγγελοι περιπεπτώκασι· καὶ ἀσύστατον εἴη ἂν τὸ παρ' αὐτῶν δραματούργημα, δηλητηρίου ἔμπλεων, καὶ πάσης ἰώδους διδασκαλίας μεμεστωμένον. Ταύτην δὲ αὖθις ὀπίσω τρέψαντες, ὥςπερ δράκοντος κεφαλὴν ξύλῳ τῆς πίστεως καὶ τῆς ἀληθείας ἐπὶ γῆς λακήσαντες, ταῖς ἄλλαις θηριομόρφοις προςπελάσαντες, ἐπ' ὀλέθρῳ τούτων καὶ τῶν τοιούτων βαδιούμεθα.*

## ΚΑΤΑ ΚΗΡΙΝΘΙΑΝΩΝ,

### ἤτοι Μηρινθιανῶν, ὀγδόη, ἡ καὶ εἰκοστὴ ὀγδόη.

Κεφ. α'. *Κήρινθος δὲ αὖθις, ἀφ' οὗπερ οἱ Κηρινθιανοὶ λεγόμενοι, ἀπὸ ταύτης τῆς θηριώδους σπορᾶς τὸν ἰὸν τῷ κόσμῳ φέρων ἥκει, σχεδὸν δὲ οὐδὲν ἕτερον παρὰ τὸν προειρημένον Καρποκρᾶν, ἀλλὰ τὰ αὐτὰ τῷ κόσμῳ κακοποιὰ φάρμακα ἐκβλυστάνει. Τὰ* [1] *ἴσα γὰρ τῷ προειρημένῳ εἰς τὸν Χριστὸν συκοφαντήσας ἐξηγεῖται καὶ οὗτος, ἐκ Μαρίας καὶ ἐκ σπέρματος Ἰωσὴφ τὸν Χριστὸν γεγενῆσθαι, καὶ τὸν κόσμον ὁμοίως ὑπὸ Ἀγγέλων γεγενῆσθαι. Οὐδὲν γὰρ οὗτος παρὰ τὸν πρῶτον διήλλαξε τῇ εἰςαγωγῇ τῆς αὐτοῦ διδασκαλίας, ἀλλ' ἢ ἐν τούτῳ μόνον, ἐν τῷ προςέχειν τῷ Ἰουδαϊσμῷ ἀπὸ μέρους. Φάσκει δὲ οὗτος τὸν νόμον καὶ τοὺς προφήτας ὑπὸ Ἀγγέλων δεδόσθαι, καὶ τὸν δεδωκότα νόμον ἕνα εἶναι τῶν Ἀγγέλων τῶν τὸν κόσμον πεποιηκότων. Ἐγένετο δὲ οὗτος ὁ Κήρινθος ἐν τῇ Ἀσίᾳ διατρίβων, κἀκεῖσε τοῦ κηρύγματος τὴν ἀρχὴν πεποιημένος. Ἤδη δὲ περὶ τούτου εἴπομεν, ὡς καὶ οὗτος ἐκήρυττεν οὐκ ἀπὸ τῆς πρώτης καὶ ἄνωθεν δυνάμεως τὸν κόσμον γεγενῆσθαι, ἄνωθεν δὲ ἐκ τοῦ ἄνω θεοῦ μετὰ τὸ ἁδρυνθῆναι τὸν Ἰησοῦν τὸν ἐκ σπέρματος Ἰωσὴφ καὶ Μαρίας γεγεννημένον κατεληλυθέναι τὸν Χριστὸν εἰς αὐτὸν, τουτέστι τὸ πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς ἐν τῷ Ἰορδάνῃ, καὶ ἀποκαλύψαι αὐτῷ καὶ δι' αὐτοῦ τοῖς μετ' αὐτοῦ τὸν ἄγνωστον Πατέρα. Καὶ διὰ τοῦτο ἐπειδὴ ἦλθεν ἡ δύναμις εἰς αὐτὸν ἄνωθεν, δυνάμεις*
pag. 111. *ἐπιτετελεκέναι, καὶ αὐτοῦ πεπονθότος τὸ ἐλθὸν ἄνωθεν ἀναπτῆναι ἀπὸ*

Cap. VIII. — 1. *Vulgo* ἆρα. 2. *Vulgo* ἆρα.

gere istud debet, nihil esse tota hac circulatorum officina stultius. Quos quidem suis ipsorum verbis ignominiose convincere hoc modo possumus. Etenim si Iesus Christus non de virgine Maria natus, sed de Iosephi semine, eademque Maria propagatus est, et is salutem adipiscitur, etiam illos qui ipsum genuerint esse salvos oportet. Qui si a summo illo opifice facti sunt, sane hunc esse creatorem inter illos convenit, neque qui Iosephum Mariamque condidit defectui amplius ascribetur, a quibus Iesus ortus est, qui ab ignoto illo parente profectus est. Sin Iesus etiam ab angelis creatus est, et est angelorum unus opifex ipse, in unum et idem absurdum relabi universos necesse est, in quod et angeli ipsimet incurrerunt, neque illorum fabula constabit, letalis cuiusdam veneni ac pestiferae doctrinae referta. Sed nos, profligata hac haeresi et in fugam conversa, perinde ac serpentis capite fidei ac veritatis baculo humi illiso, ad alias monstrorum horrendas effigies promoto gradu funditus eas delere atque evertere conabimur.

## ADVERSUS CERINTHIANOS,
### sive Merinthianos, quae est haeresis VIII., vel XXVIII.

Sequitur Cerinthus, a quo Cerinthiani haeretici nominantur, Cap. I.
qui eodem ex ferino satu procreatus virus suum in orbem terrarum profudit. Atque is nihil propemodum aliud quam a nobis supra commemoratus ille Carpocras asseruit, eademque cum eo letalia in mundum venena propagavit. Siquidem pari in Christum calumnia censet, hunc e Maria Iosephique semine esse prognatum, mundumque similiter ab angelis fabricatum. Neque ulla alia re discrepantem ab illo doctrinam invexit, nisi quod Iudaicos etiam ritus adscivit. At idem legem ac prophetas ab angelis profectos asserit, eumque qui legem tulerit ex eorum angelorum esse numero, a quibus orbis est conditus. Porro Cerinthus iste in Asia versatus doctrinam suam proferre istic coepit. Qui, ut ante diximus, minime a prima illa supremaque Virtute fabricatum esse mundum censuit. Tum ita docuit: Postquam ille Iesus adolevit, qui ex Iosephi Mariaeque semine natus est, in hunc delapsum a summo illo deo esse Christum, hoc est spiritum sanctum columbae specie ad Iordanem, ac tum ei incognitum Parentem, et per illum posteris patefecisse. Ob idque mox ut in ipsum coelestis illa sese virtus infudit, portenta ac miracula patrasse, ac demum posteaquam passus est, quod e coelo venerat,

Cap. I. — 1. ἶσα *Vett. Epiphanii libri habent plerumque, non* ἴσα.

τοῦ Ἰησοῦ ἄνω. Πεπονθότα δὲ τὸν Ἰησοῦν καὶ πάλιν ἐγηγερμένον, Χριστὸν δὲ τὸν ἄνωθεν ἐλθόντα εἰς αὐτὸν ἀπαθῆ ἀναπτάντα, ὅπερ ἐστὶ τὸ κατελθὸν ἐν εἴδει περιστερᾶς, καὶ οὐ τὸν Ἰησοῦν εἶναι Χριστόν.

Κεφ. β'. Ἐκπέπτωκε δὲ καὶ οὗτος, ὡς ὁρᾶτε πάντες οἱ τῆς ἀληθείας ἐρασταί. Φάσκει γὰρ τὸν νόμον δεδωκότα οὐκ ἀγαθὸν, οὗ τῷ νόμῳ πείθεσθαι δοκεῖ, δῆλον δὲ ὅτι ὡς ἀγαθῷ. Πῶς οὖν ὁ πονηρὸς τὸν ἀγαθὸν νόμον δέδωκεν; Εἰ γὰρ καλὸν τὸ μὴ μοιχεύειν, καὶ καλὸν τὸ μὴ φονεύειν, πόσῳ γε μᾶλλον ὁ ἐντειλάμενος βελτίων εἴη, ἐάν γε ὁ μὴ πράξας ἀγαθὸς [1] ὁμολογῆται; πῶς δὲ κατηγορηθήσεται κακὰ πράττων ὁ τὸ ἀγαθὸν συμβουλεύων καὶ ἀγαθὸν διδοὺς νόμον; Ἀλλὰ μανιώδης ὁ ἀνὴρ τοιούτοις ἐγχειρῶν. Οὗτος δέ ἐστιν, ἀγαπητοὶ, εἷς τῶν ἐπὶ τῶν ἀποστόλων ὁ τὴν ταραχὴν ἐργασάμενος, ὅτε οἱ περὶ Ἰάκωβον γεγράφασιν εἰς τὴν Ἀντιόχειαν ἐπιστολὴν, λέγοντες ὅτι, Ἔγνωμέν τινας ἐξ ἡμῶν πρὸς ὑμᾶς ἐλθόντας καὶ ταράξαντας ὑμᾶς λόγοις, οἷς οὐ διετειλάμεθα. Καὶ οὗτος εἷς ἐστι τῶν ἀντιστάντων τῷ ἁγίῳ Πέτρῳ, ἐπειδὴ εἰςῆλθε πρὸς Κορνήλιον τὸν ἅγιον, ὅτε μετεστείλατο αὐτὸν καταξιωθεὶς ὀπτασίας ἀγγέλου, καὶ ὁ Πέτρος ἐδίσταζε, καὶ εἶδε τὸ ὅραμα τῆς ὀθόνης καὶ τὰ ἐν αὐτῇ, καὶ ἤκουσε παρὰ κυρίου μηδὲν κοινὸν λέγειν ἢ ἀκάθαρτον. Οὗτος οὖν παρεκίνει περὶ τοῦ Πέτρου ἀνελθόντος εἰς Ἱερουσαλὴμ τὰ πλήθη τῶν ἐκ περιτομῆς λέγων ὅτι, Εἰςῆλθε πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας. Ἐποίησε δὲ τοῦτο Κήρινθος πρὶν ἢ ἐν τῇ Ἀσίᾳ κηρύξαι τὸ αὐτοῦ κήρυγμα, καὶ ἐμπεσεῖν εἰς τὸ περισσότερον τῆς ἑαυτοῦ ἀπωλείας βάραθρον. Διὰ γὰρ τὸ εἶναι αὐτὸν ἐμπερίτομον δῆθεν ἀντιδικίας ἕνεκα τῶν ἐν ἀκροβυστίᾳ πιστῶν διὰ τῆς περιτομῆς τὴν πρόφασιν ἐθηράσατο.

Κεφ. γ'. Τοῦ δὲ κυρίου πάντοτε τὴν ἐπιμέλειαν τῆς ἀνθρωπότητος ποιουμένου, καὶ τὸ σαφὲς τῆς ἀληθείας ἐν τοῖς τῆς ἀληθείας υἱοῖς ἀσφαλιζομένου, καὶ δόντος Πέτρῳ τῷ ἁγίῳ ἀποστόλῳ ποιήσασθαι [1] τοὺς πρὸς αὐτὸν καὶ τοὺς αὐτοῦ ἐλέγχους, φανερὰ γίνεται ἡ τοῦ Κηρίνθου ἄνοια. Φησὶ γὰρ ὁ ἅγιος Πέτρος, Ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ, καὶ εἶδον ἐν
pag. 112 μέσῃ τῇ ἡμέρᾳ περὶ ὥραν ἕκτην ὀθόνην καθιεμένην ἐν τέτρασιν ἀρχαῖς, ἐν ᾗ ἦν πάντα τὰ τετράποδα καὶ ἑρπετά· καὶ εἶπέ μοι, Θῦσον καὶ φάγε· ἐγὼ δὲ εἶπον, Κύριε μηδαμῶς, ὅτι οὐδέποτε κοινὸν ἢ ἀκάθαρτον εἰςῆλθεν εἰς τὸ στόμα μου· ἀπεκρίθη δέ μοι ἐκ δευτέρου φωνὴ ἐκ τοῦ οὐρανοῦ, Ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου· καὶ ἐξ αὐτῆς ἰδοὺ, δύο

CAP. II. — 1. *In libris vulgo extat* ὁμολογεῖται.

CAP. III. — 1. *Rescripsi* τοὺς *pro* τὸν, *quod in libris est.*

eodem relicto Iesum revolasse: Iesum porro et obiisse mortem, et ad vitam excitatum esse: Christum vero qui descenderat poenae omnis expertem eo unde venerat reversum, qui idem ille est qui columbae specie delapsus fuerat; ita Iesum minime esse Christum.

Verum et hic non minus quam reliqui omnes excidit, ut intueri Cap. II. facile potestis quicumque veritatis amore tenemini. Nam eum a quo lex tradita sit bonum negat esse, cuius tamen legi utique tanquam bonae obtemperare videtur. Qui vero convenit, ut qui malus sit bonam legem praescripserit? Si enim non adulterari, vel non occidere est honestum, quanto melior is est qui ista praecepit, si is qui ea non commisit confessione omnium bonus habetur. Quonam pacto mali cuiusdam facinoris accusari potest qui bona consulit, ac tam bonam legem hominibus descripsit? Enimvero furiosus et amens est qui ea iactare non est veritus. Atque idem ille, carissimi, fuit, qui apostolorum tempore tumultum illum excitavit, cum Iacobus caeterique apostoli literas Antiochiam scripserunt his verbis: *Quoniam co-* Act. 15, 24.
*gnovimus, quosdam a nobis ad vos esse profectos, suisque vos perturbasse sermonibus, quibus non mandavimus* etc. Idem quoque eorum Act. 10.
unus est qui se Petro opposuerant, cum ad sanctum Cornelium ivisset, a quo post oblatum per visum angelum erat arcessitus. Quo tempore dubitante Petro linteum illud cum iis quae continebat obiectum est, et a domino istud ipsum audiit, ne quid commune vel impurum appellaret. Igitur Cerinthus circumcisorum gregem adversus Petrum revertentem commovit Hierosolymis, dicens: *Ingressus est* Act. 11, 3.
*ad viros praeputium habentes.* Quod quidem ab eo factum est, antequam suum in Asia dogma praedicaret, seque in exitii sui gurgitem profundius immitteret. Nam cum circumcisus hic esset, ut eos qui retento praeputio fideles erant ulcisceretur, occasionem e circumcisione nactus est.

Sed cum dominus humani generis curam perpetuo gerat, et in Cap. III. veritatis amantibus filiis certam ac constantem illius fidem stabilire ac confirmare soleat, cum sanctissimo apostolo Petro confutandi illius facultatem ac rationem dedisset, manifeste omnibus est Cerinthi comperta stoliditas. Ita enim apostolus locutus est: *Ego eram in civi-* Act. 11, 5 sqq.
*tate Ioppe: et vidi media luce circa horam sextam linteum quatuor initiis summitti de coelo, in quo erant omnia quadrupedia et reptilia. Et dixit mihi, Occide et manduca. Dixi autem, Nequaquam, domine; quia nihil unquam commune vel immundum introivit in os meum. Respondit autem mihi vox de coelo, Quae deus mundavit, tu ne communia dixeris. Et confestim ecce duo viri astiterunt in domo. Et dixit*

ἄνδρες εἱστήκεισαν εἰς τὴν οἰκίαν, καὶ εἶπέ μοι τὸ πνεῦμα, Πορεύου σὺν αὐτοῖς μηδὲν διακρινόμενος. Καὶ λοιπὸν διηγεῖται ὡς ἐν παραβολῇ ταῦτα ἃ πρὸς αὐτὸν εἴρηται, καὶ ὡς οὐ τότε [2] ἐδίδαξεν, ἕως ὅτε ὁ κύριος ἐναργῶς ἔδειξεν αὐτῷ ἃ διὰ τῶν λόγων καὶ τύπων αὐτὸν ἐδίδασκεν. Εὐθὺς γὰρ αὐτοῦ ἀνοίξαντος τὸ στόμα, ὅτε ἦλθεν εἰς Καισάρειαν, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ Κορνήλιον, καὶ ἰδὼν Πέτρος εἶπε, Μή τις δύναται κωλῦσαι τὸ ὕδωρ ἀπὸ τούτων τῶν καταξιωθέντων τὸ πνεῦμα τὸ ἅγιον λαβεῖν, ὡς καὶ ἡμεῖς ἐξ ἀρχῆς; Τὸ πᾶν δὲ ἦν τοῦτο μυστήριον καὶ τῆς τοῦ θεοῦ φιλανθρωπίας ἔργον, ὅπως ὅ τε ἅγιος Πέτρος καὶ πᾶς τις γνώσεται ὅτι οὐκ ἀπ' ἀνθρώπων ἡ τῶν ἐθνῶν σωτηρία, ἀλλ' ἐκ θεοῦ. Προὔλαβε γὰρ ὁ θεὸς δοῦναι τὴν δωρεὰν τοῦ πνεύματος καὶ τὴν τοῦ ἀγγέλου ὀπτασίαν, καὶ τὴν ἀποδοχὴν τῆς εὐχῆς καὶ νηστειῶν καὶ ἀγαθοποιϊῶν, ἵνα ὃ ἐπιστεύθησαν οἱ ἀπόστολοι, μάλιστα ὁ ἅγιος Πέτρος, καὶ οἱ λοιποὶ ἀπόστολοι, μὴ ἀποστερήσωσι τὸν ἐκ θεοῦ κατὰ ἀλήθειαν κεκλημένον.

Κεφ. δ'. Ἀλλὰ ταῦτα μὲν τότε ἐπραγματεύθη, κινηθέντα ὑπὸ τοῦ προειρημένου ψευδαποστόλου Κηρίνθου. Ὡς καὶ ἄλλοτε στάσιν αὐτός τε καὶ οἱ μετ' αὐτοῦ εἰργάσαντο ἐν αὐτῇ [1] τῇ Ἱερουσαλὴμ, ὁπηνίκα Παῦλος ἀνῆλθε μετὰ Τίτου, ὡς καὶ οὗτος ἔφη ὅτι, Ἄνδρας ἀκροβύστους εἰςήνεγκε μεθ' ἑαυτοῦ, ἤδη περὶ τούτου λέγων, Κεκοίνωκε, φησὶ, τὸν ἅγιον τόπον. Διὸ καὶ Παῦλος λέγει, Ἀλλ' οὐδὲ Τίτος ὁ σὺν ἐμοὶ, Ἕλλην ὢν, ἠναγκάσθη περιτμηθῆναι· διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους, οἵτινες παρειςῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, ἣν ἔχομεν ἐν Χριστῷ, οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ. Καὶ τοῖς ἐν ἀκροβυστίᾳ παραγγέλλων ἔλεγεν, Μὴ περιτέμνεσθε, [2] ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. Διήρκεσε δὲ ἡ περιτο-
pag. 113. μὴ χρόνῳ ὑπηρετήσασα, ἕως ἡ μείζων περιτομὴ παρεγένετο, τουτέστι τὸ λουτρὸν τῆς παλιγγενεσίας, ὡς παντί τῳ δῆλόν ἐστι, καὶ σαφέστερον δείκνυται ἀπὸ τῶν παρὰ τοῖς ἀποστόλοις εἰρημένων, μάλιστα παρὰ τῷ ἁγίῳ ἀποστόλῳ. Φάσκει γὰρ οὕτως· Οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ. Παντὶ δὲ τῷ βουλομένῳ κατανοεῖν τὰ παρὰ τοῖς ἀποστόλοις τότε πεπραγματευμένα θαυμάσαι ἔπεστι πῶς τὰ παρὰ τῇ αἱρέσει ταύτῃ ἐξ ἐπινοίας πνεύματος πλάνης ἐνεργηθέντα τὸν χαρακτῆρα ὑποδείκνυσι τῶν διὰ τῶν αἱρέσεων τούτων ἐν τοῖς ἀποστόλοις τὴν κίνησιν ἐργασαμένων. Ἀποστάντων γὰρ τούτων καὶ εἰς ψευδαποστόλους τραπέντων, καὶ ἄλλους ψευδαποστόλους ἀποστειλάντων, ὡς καὶ ἤδη προείρηται, εἰς τὴν Ἀντιόχειαν ἐν ἀρχῇ καὶ εἰς ἄλλους τόπους, λέγοντας ὅτι, Ἐὰν μὴ περιτμηθῆτε καὶ φυλάξητε τὸν νόμον Μωϋσέως, οὐ δύνασθε σωθῆναι, οὐχ ἡ τυχοῦσα τότε ταραχὴ ἐγένετο, ὡς προείρηται. Καὶ οὗτοί

2. ἐδίσταξεν *cod. Vatic.*

CAP. IV. — 1. τῇ *ex cod. Vatic. inseruit primum Petavius. Om. et cod. Rhedig. et edit. princ.*

*mihi spiritus, Vade cum ipsis nihil haesitans.* Atque ita deinceps, quae sibi nuntiata sunt velut per parabolam edisserit, nec se prius ad docendum accessisse quam aperte dominus ea monstraret quae verbis antea figurisque significaverat. Etenim simulatque os aperire coepit tum cum Caesaream attigit, spiritus sanctus in Cornelium delapsus est. Quod ubi Petrus conspexit, *Numquid,* ait, *aquam quis prohibere potest ab his qui spiritu sancto, uti et nos initio, dignati sunt?* Hoc vero totum mysterium quoddam ac divinae benignitatis opus erat, ut tam Petrus quam caeteri omnes intelligerent non hominibus, sed deo gentilium salutem esse tribuendam. Etenim munus illud divini spiritus et angeli aspectum largiri antea voluit, nec non et illius approbare preces ac ieiunia, reliquaque ab eo praeclare gesta, ut quod apostolis, praecipueque Petro, commissum fuerat, eo ne privatum hominem illum vellent, quem deus reipsa vocaverat.

Atque haec quidem eo modo tunc administrata sunt, quae fal- Cap. IV.
sus ille apostolus Cerinthus seditiose commoverat. Quemadmodum
alias Hierosolymis cum suis idem ille tumultus concivit, quando sci- Act. 21, 28.
licet cum Tito Paulus advenit, atque ita idem ille locutus est: *Viros praeputium habentes secum induxit,* quibus de Tito significabat: *Locum,* inquit, *sanctum profanum fecit.* Quare ita Paulus dixit: *Sed* Galat. 2, 3.
*neque Titus qui mecum erat, cum esset gentilis compulsus est circumcidi: sed propter subintroductos falsos fratres, qui subintroierunt explorare libertatem nostram, quam habemus in Christo: quibus neque ad horam cessimus subiectione.* Deinde praeputio praeditos his verbis hortabatur: *Nolite circumcidi; nam si circumcidamini, Christus nihil vobis proderit.* Circumcisio porro tamdiu suum tempus habuit, donec maior circumcisio eius est loco substituta, nempe illa lotionis iterata generatio; id quod nemini obscurum est, evidentiusque per ea quae cum ab aliis apostolis, tum praecipue a Paulo dicta sunt,
ostenditur. Ita enim ille: *Quibus neque ad horam cessimus subiectione.* Galat. 2, 5.
Quod si quis ea quae tum ab apostolis gesta sunt animadvertere voluerit, huic admirari cumprimis occurret, quemadmodum quae tum ab hac haeresi mendacis instinctu spiritus administrata sunt, proprias illorum notas exprimant, qui per istiusmodi haereses motus illos in apostolis concitarunt. Nam cum isti a fidei integritate defecissent, et in falsos apostolos essent conversi, aliosque perinde falsos apostolos misissent, qui dicerent, *Nisi circumcidamini, et custodiatis legem Moysi, non potestis salvari,* ingens inde facta commotio est, ut

2. *Verba* ὅτι ἐὰν περιτέμνησθε, *quae desiderantur tam in cod. Rhedig. quam in edit. princ., ex cod. Vaticano primum inseruit Petavius.*

εἰσιν οἱ παρὰ τῷ Παύλῳ εἰρημένοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ.

Κεφ. ε'. Χρῶνται γὰρ τῷ κατὰ Ματθαῖον εὐαγγελίῳ ἀπὸ μέρους, καὶ οὐχὶ ὅλῳ, ἀλλὰ διὰ τὴν γενεαλογίαν τὴν ἔνσαρκον, καὶ ταύτην μαρτυρίαν φέρουσι ἀπὸ τοῦ εὐαγγελίου, πάλιν λέγοντες ὅτι, Ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος. Τί οὖν; φασὶ, Περιετμήθη ὁ Ἰησοῦς, [1] περιτμήθητι καὶ αὐτός. Χριστὸς κατὰ νόμον, φασὶν, ἐπολιτεύσατο, καὶ αὐτὸς τὰ ἴσα ποίησον. Ὅθεν καί τινες ἐκ τούτων, ὡς ὑπὸ δηλητηρίων ὑφαρπαχθέντες, πείθονται ταῖς πιθανολογίαις διὰ τὸ τὸν Χριστὸν περιτετμῆσθαι. Τὸν δὲ Παῦλον ἀθετοῦσι, διὰ τὸ μὴ πείθεσθαι τῇ περιτομῇ. Ἀλλὰ καὶ ἐκβάλλουσιν αὐτὸν, διὰ τὸ εἰρηκέναι, Ὅσοι ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε· καὶ ὅτι, Ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.

Κεφ. ς'. Οὗτος δὲ ὁ Κήρινθος ἀνόητος καὶ ἀνοήτων διδάσκαλος φάσκει πάλιν τολμήσας Χριστὸν πεπονθέναι καὶ ἐσταυρῶσθαι, μήπω δὲ ἐγηγέρθαι, μέλλειν δὲ ἀνίστασθαι ὅταν ἡ καθόλου γένηται νεκρῶν ἀνάστασις. Ἀσύστατα τοίνυν ταῦτα παρ' ἐκείνοις τά τε ῥήματα καὶ νοήματα. Ὅθεν καὶ ὁ Παῦλος ἐκπληττόμενος τοῖς μὲν ἀπιστοῦσι τῇ ἀναστάσει τῶν νεκρῶν τῇ μελλούσῃ ἔσεσθαι λέγει, Εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται, καὶ τὸ, Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀπο-
pag. 114. θνήσκομεν, καὶ τὸ, Μὴ πλανᾶσθε· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. Πάλιν δὲ τοῖς λέγουσι τὸν Χριστὸν μηδέπω ἐγηγερμένον, ὡςαύτως τὸν ἔλεγχον ἐπιφέρει, λέγων, Εἰ Χριστὸς οὐκ ἐγήγερται, μάταιον τὸ κήρυγμα ἡμῶν, ματαία καὶ ἡ πίστις ὑμῶν· εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ, ὅτι ἤγειρε τὸν Χριστὸν, ὃν οὐκ ἤγειρεν· ὡς τῶν μὲν ἀποστόλων κηρυττόντων Χριστὸν ἐγηγέρθαι, τινῶν δὲ αἱρέσεων λεγουσῶν Χριστὸν μὲν ἐγηγέρθαι, νεκροὺς δὲ μὴ ἐγείρεσθαι. Ἐν ταύτῃ γὰρ τῇ πατρίδι, φημὶ δὲ Ἀσίᾳ, ἀλλὰ καὶ ἐν τῇ Γαλατίᾳ πάνυ ἤκμασε τὸ τούτων διδασκαλεῖον, [1] ἐν οἷς καί τι παραδόσεως πρᾶγμα ἦλθεν εἰς ἡμᾶς, ὥς τινων μὲν παρ' αὐτοῖς προφθανόντων τελευτῆσαι ἄνευ βαπτίσματος, ἄλλους δὲ ἀντ' αὐτῶν εἰς ὄνομα ἐκείνων βαπτίζεσθαι, ὑπὲρ τοῦ μὴ ἐν τῇ ἀναστάσει ἀναστάντας αὐτοὺς δίκην δοῦναι τιμωρίας, βάπτισμα μὴ εἰληφότας, γίνεσθαι δὲ ὑποχειρίους τῆς τοῦ κοσμοποιοῦ ἐξουσίας. Καὶ τούτου ἕνεκα ἡ παράδοσις ἡ ἐλθοῦσα εἰς ἡμᾶς φησι τὸν αὐτὸν ἅγιον ἀπόστολον εἰρηκέναι, Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν; Καλῶς δὲ ἄλλοι τὸ ῥητὸν ἑρμηνεύοντές φα-

Cap. V. — 1. *Ita cod. Vatic. Edit. pr. habet* περιετμήθη.

Cap. VI. — 1. *Cornarius*: de quibus etiam ex traditione res quaedam ad nos devenit.

ante diximus. Atque illi ipsi sunt quos Paulus *falsos apostolos* vocat, *operarios subdolos, transformantes se in apostolos Christi.* 2. Cor. 11, 13.

Matthaei enim evangelio non integro, sed ex parte duntaxat utuntur, nimirum propter genealogiam, quae eius est carnis propria, quod quidem evangelii testimonium afferunt, atque ita praedicant: *Sufficit discipulo, si sit sicut magister eius.* Quid igitur, inquiunt? Circumcisus est Iesus: tu quoque ipse circumcidere. Christus ex legis praescripto vitam instituit: tu igitur eadem facito. Hinc nonnulli sic ab illis tanquam venenatis serpentibus abrepti verisimilibus illorum rationibus assentiuntur, ex eo maxime quod et Christus circumcisionem susceperit. Quod ad Paulum pertinet, hunc penitus explodunt, propterea quod circumcisionem abdicarit, et eundem idcirco reiiciunt, quod istud usurpaverit: *Quicunque in lege iustificamini, a gratia excidistis:* et, *Si circumcidamini, Christus nihil vobis proderit.* Cap. V. Matth. 10, 25. Galat. 5, 2. 4.

Ad haec Cerinthus homo stolidus, ac stolidorum magister, dicere nihil est veritus, passum quidem ac crucifixum esse Christum, nondum tamen a mortuis excitatum, ac tum demum cum mortui resurgent omnes excitandum. Itaque eiusmodi illorum et dicta et dogmata cohaerere nullo modo possunt. Indidemque Paulus sic eos qui resurrecturos mortuos diffiderent redarguit. *Si mortui non resurgunt, neque Christus resurrexit.* Eodemque pertinet illud: *Edamus et bibamus, cras enim moriemur.* Tum istud: *Nolite errare; corrumpunt bonos mores colloquia prava.* Ac rursum eos, qui Christum adhuc resurrexisse negarent, hoc modo convincit: *Si Christus non resurrexit, vana est praedicatio nostra, inanis et fides vestra: invenimur autem et falsi testes dei, quoniam suscitavit Christum, quem non suscitavit.* Quibus indicat, Christum a mortuis excitatum praedicasse quidem apostolos, quasdam vero haereses tametsi surrexisse Christum assererent, mortuorum tamen resurrectionem negasse. Etenim in hac ipsa regione Asiae, nec non et in Galatia illorum eiusmodi schola cumprimis ac disciplina floruit. De quo istud a maioribus traditum accepimus, nonnullos ex eo genere citra baptismum excessisse, ac pro iis alios baptismum eorumdem suscepisse nomine, ne cum extrema demum resurrectione revocati ad vitam essent, praetermissi baptismi poenas dependerent, atque eius qui mundum condidit dominationi subessent. Cuius rei gratia usurpatum illud ab apostolo eadem ad nos auditione perlatum est: *Si omnino mortui non resurgunt, quid est quod baptizantur pro ipsis?* Verum alii commode hoc apostoli dictum interpretantur de iis qui in- Cap. VI. 1. Cor. 15, 13. et 32. et 33. 1. Cor. 15, 29.

σιν ὅτι οἱ μέλλοντες τελευτᾶν, ἐὰν ὦσι κατηχούμενοι, ἐπὶ ταύτῃ τῇ ἐλπίδι πρὸ τῆς τελευτῆς λουτροῦ καταξιοῦνται, δεικνύντες ὅτι ὁ τελευτήσας καὶ ἀναστήσεται, καὶ διὰ τοῦτο ἐπιδέεται τῆς διὰ τοῦ λουτροῦ ἀφέσεως ἁμαρτημάτων. Τούτων δὲ οἱ μὲν τὸν Χριστὸν μηδέπω ἐγηγέρθαι κεκηρύχασιν, ἀνίστασθαι δὲ μετὰ πάντων, οἱ δὲ, ὅτι ὅλως νεκροὶ οὐκ ἀναστήσονται. Διὸ μέσος χωρήσας ὁ ἀπόστολος πρὸς ἀμφοτέρους τούτους καὶ τὰς λοιπὰς αἱρέσεις ἐν τῇ μιᾷ ἐργασίᾳ τὴν ἀνατροπὴν πεποίηται ἐν τῇ περὶ νεκρῶν ἀναστάσει, καὶ ἐν ταῖς μαρτυρίαις αἷς κατὰ λεπτότητα διεξιὼν τὴν βεβαίαν σύστασιν ἐποιήσατο τῆς τῶν νεκρῶν ἀναστάσεως καὶ σωτηρίας καὶ ἐλπίδος, φάσκων, Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν· καὶ πάλιν, Ὅτι Χριστὸς ἐγήγερται ἀπαρχὴ τῶν κεκοιμημένων· ἵνα τὰς [2] ἀμφοτέρας σχίσεις τῶν αἱρέσεων ἐλέγξας τὸ ἀμόλυντον τῆς διδασκαλίας κήρυγμα ἐξ ἀληθείας διδάξῃ τοὺς βουλομένους εἰδέναι τὴν τοῦ θεοῦ ἀλήθειαν καὶ σωτηριώδη διδασκαλίαν.

Κεφ. ζ. Πανταχόθεν τοίνυν φωρατὸς ἂν εἴη Κήρινθος, καὶ οἱ ἀπ' αὐτοῦ
pag. 115. ἀπατηθέντες, οἱ τάλανες, καὶ ἄλλοις αἴτιοι γεγονότες ἀπωλείας, τῶν θείων γραφῶν σαφῶς ἡμῖν κατὰ λεπτότητα περὶ πάντων διηγουμένων. Οὔτε γὰρ ἐκ σπέρματος Ἰωσὴφ ὁ Χριστὸς, ἐπεὶ πῶς ἔτι σημεῖον εἴη τὸ γένημα; καὶ τὸ παρὰ τῷ Ἡσαΐᾳ εἰρημένον, πῶς ἔτι συσταθήσεται, ὡς εἶπεν αὐτὸς ὁ κύριος, Δώσει ὑμῖν σημεῖον, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ τὰ ἑξῆς. Πῶς δὲ ἔτι πληρωθήσεται τὸ εἰρημένον παρὰ τῆς ἁγίας παρθένου πρὸς τὴν Γαβριὴλ, Πῶς ἔσται τοῦτο, ὅτι ἄνδρα οὐ γινώσκω; καὶ αὐτοῦ λέγοντος, Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, καὶ τὰ ἑξῆς. Πῶς δὲ πάλιν οὐκ ἐλεγχθήσεται αὐτῶν ἡ ἄνοια τοῦ εὐαγγελίου σαφῶς λέγοντος ὅτι, Εὑρέθη ἐν γαστρὶ ἔχουσα, πρὶν ἢ συνελθεῖν αὐτοὺς· ἔστι δὲ γνῶναι σαφῶς ὅτι οὐδὲ ὅλως συνῆλθον. Μὴ γένοιτο γὰρ τοῦτο εἰπεῖν, ἐπεὶ οὐκ ἂν μετὰ σταυρὸν προενόει παραθέσθαι αὐτὴν Ἰωάννῃ τῷ ἁγίῳ παρθένῳ, ὡς λέγει, Ἴδε ἡ μήτηρ σου, καὶ τῇ αὐτῇ, Ἴδε ὁ υἱός σου. Ἔδει γὰρ αὐτὸν παραδοῦναι αὐτὴν τοῖς αὐτῆς συγγενέσιν, ἢ τοῖς τέκνοις τοῦ Ἰωσὴφ, εἴπερ ἦσαν ἐξ αὐτῆς, Ἰακώβῳ φημὶ καὶ Ἰωσῇ καὶ Ἰούδα καὶ Συμεῶνι, υἱοῖς οὖσι τοῦ Ἰωσὴφ ἀπὸ τῆς ἄλλης γυναικός. Οὐδὲ γὰρ ὅτι κέχρηται τῇ παρθένῳ ὅλως εὑρίσκεται μετὰ τὸ γεγεννηκέναι ἡ παρθένος ἄχραντος. Ἀλλὰ περὶ τούτων ἤδη ἐν ἄλλῳ μοι λόγῳ σαφῶς πεπραγμάτευται, καὶ πραγματευθήσεται. Ὧδε δὲ ἐν μέρει, ὡς ἐν παρεκδρομῇ, περὶ τῆς τούτων ὑποθέσεως εἴρηται, ἵνα μὴ ἑτέρων δηγμάτων βουλόμενος ποιῆσαι ἴασιν, καὶ ἑτέρων δηλητηρίων ἄκος

2. *Libri habent* ἀμφοτέρους σχέσεις.

stante morte, si quidem catechumeni sint, ea spe freti sacra lavatione purgantur, ac mortuos surrecturos esse demonstrant, ob idque condonatione illa scelerum quae per baptismum obtinetur indigere. Sed illorum alii nondum Christum surrexisse praedicant, ac cum caeteris omnibus esse surrecturum, alii mortuos surrecturos unquam funditus negant. Itaque medium quoddam iter ingressus apostolus cum utrosque illos, tum reliquas omnes haereses eadem opera disturbat, cum de mortuorum excitatione disputat, atque eiusmodi testimoniis utitur quibus singillatim expositis mortuorum resurrectionem ac salutem et spem nostram solidissimis rationibus confirmat, his verbis: *Oportet hoc corruptibile induere incorruptionem, et* Ibid. *hoc mortale induere immortalitatem.* Ac rursum, *Christus resurrexit primitiae dormientium,* ut ambarum haereseum respondentibus sibi ex adverso opinionibus convulsis veram ac sinceram Christianae fidei disciplinam iis traderet qui divinam veritatem salutaremque doctrinam vellent percipere.

Quocirca deprehensus undique Cerinthus ac convictus tenetur, Cap. VII. una cum iis, qui eodem in errore versantur, infelices homines atque eiusdem secum exitii aliis insuper auctores quippe cum haec omnia sacrae literae perspicue accurateque nobis edisserant. Nam neque de Iosephi semine natus est Christus: qui enim prodigium posset illius esse generatio, ac quod ab Isaia dictum est probari omnino posset? *Dominus ipse dabit vobis signum: Ecce virgo conci-* Esai. 7, 14. *piet, et pariet filium* etc. Quanam vero ratione perfici poterit illud quod Gabrieli virgo sanctissima dixit: *Quomodo fiet istud, quoniam* Luc. 1, 34. *virum non cognosco?* Cui ille respondit: *Spiritus sanctus superveniet in te, et virtus altissimi obumbrabit tibi* etc. Nonne illorum ex eo stultitia facile convincitur, quod diserte in evangelio scriptum est, *Inventa est in utero habens antequam convenirent?* Illud autem cer- Matth. 1, 18. tissimum est, nunquam illos omnino convenisse. Absit enim ut id unquam dicamus. Alioqui cum in cruce penderet, non sancto Ioanni, qui et ipse virginitatem servavit, matrem commendaret suam, cum ita locutus est: *Ecce mater tua.* Et illam alloquens: *Ecce filius* Ioann. 19, 27. *tuus.* Hanc enim vel cognatis suis committere oportuit, vel Iosephi liberis, si quos ex ipsa sustulerat, puta Iacobo, Iose, Iudae, Simeoni, quos Iosephus alia ex uxore genuerat. Neque enim illum cum Maria consuevisse ullo modo reperimus, posteaquam incorrupta illa et castissima virgo peperit. Verum de his alio in libro accurate tractavimus, tractabimusque postea. Interim hoc in loco pauca quaedam de hoc argumento velut obiter attigimus, ne dum aliis mederi morsibus aliisque venenatis serpentibus remedium afferre volumus,

καὶ ἀλεξητήριον, εἰς ἄλλα τοὺς ἐντυγχάνοντας παρεκτρέψω. Πλὴν ἐκ παντὸς τῷ τὴν σύνεσιν κεκτημένῳ μάταιος ἡ τούτων καταχλεύαστος διδασκαλία συσταθήσεται, παρὰ μὲν ἀποστόλοις ἐλεγχομένη, παρὰ δὲ τοῖς συνετοῖς καταγινωσκομένη, ἐκ Θεοῦ δὲ καὶ τοῦ αὐτοῦ τῆς ἀληθείας κηρύγματος ἐκβαλλομένη.

Κεφ. η'. Καλοῦνται δὲ πάλιν οὗτοι Μηρινθιανοὶ, ὡς ἡ ἐλθοῦσα εἰς ἡμᾶς φήμη περιέχει. Εἴτε γὰρ ὁ αὐτὸς Κήρινθος Μήρινθος πάλιν ἐκαλεῖτο (οὐ πάνυ τι σαφῶς περὶ τούτου ἴσμεν), εἴτε ἄλλος τις ἦν Μή-
pag. 116. ρινθος ὀνόματι, συνεργὸς τούτῳ, Θεῷ ἔγνωσται. Ἤδη γὰρ εἴπομεν ὅτι οὐ μόνον αὐτὸς ἐν Ἱεροσολύμοις πολλάκις ἀντέστη τοῖς αποστόλοις, ἀλλὰ καὶ οἱ σὺν αὐτῷ ἐν τῇ Ἀσίᾳ. Πλὴν ἤτοι αὐτὸς εἴη, ἢ καὶ ἄλλος σὺν αὐτῷ συνεργὸς, τὰ ὅμοια αὐτῷ φρονῶν καὶ συμπράττων καὶ τὰ ἴσα, οὐδὲν διαφέρει. Ἡ γὰρ πᾶσα αὐτῶν κακοτροπία τῆς διδασκαλίας τοῦτον ἔχει τὸν χαρακτῆρα, Κηρινθιανοί τε ὁμοῦ καὶ Μηρινθιανοὶ οὗτοι καλοῦνται.

Καὶ ταῦτα περὶ τῆς δεινῆς καὶ ἑρπετώδους μοχθηρίας αὐτῶν διεξιόντες πάλιν ἐπὶ τὰς ἑξῆς προβαίνομεν, εὐχαριστοῦντες μὲν, ὅτι τὸ πέλαγος τούτων τῶν κακῶν δογμάτων ἀβλαβῶς διενηξάμεθα, εὐχόμενοι δὲ, ἵνα ἐν ταῖς ἑξῆς παρεντυχόντες, ὡς εἰς διαθαλάττια καὶ θηριώδη βράχη παρεμπεσόντες, μὴ ἀδικηθῶμεν, ἀλλὰ σωτηρίας τύχωμεν τῆς ἀπὸ τῆς μελλούσης ἡμῖν καθ' ὑφήγησιν ἀναφαίνεσθαι ἀληθείας, ἐν τῷ ἡμᾶς [1] συνιστᾶν αὐτήν τε καὶ τὴν ἐν αὐτῇ κενοφωνίαν. Τῷ γὰρ βουλομένῳ σκοπεῖν, καὶ τὰς τούτων ἰδέας ἀναγράφειν, καὶ αὕτη παρεικασθήσεται ὡς ἀληθῶς δικεφάλῳ τινὶ ὄφει, διὰ τὸ διώνυμον, καὶ τῇ καλουμένῃ σηπεδόνι ἐχίδνῃ, τῇ κομώσῃ μὲν πᾶν τὸ σῶμα αὐτῆς ἐν θριξὶν ἐρυθραῖς, οὐκ ἐχούσῃ δὲ οὐδὲ αἰγὸς οὐδὲ προβάτου φύσιν ἢ δορὰν, ἀλλὰ ἑρπετοῦ, καὶ τὴν λύμην ἐργαζομένῃ διὰ τοῦ δήγματος τοῖς παρεντυγχάνουσιν, ἀνατρεπούσῃ δὲ τοὺς αὐτῇ πειθομένους πῇ μὲν ἀπὸ παλαιᾶς θρησκείας τὰ τῆς νέας διαθήκης ἀφανιζούσῃ, πῇ δὲ διὰ λόγων ψευδῶν, ὡς ἀπὸ νέας διαθήκης, κατὰ τῶν ἀπὸ περιτομῆς εἰς Χριστὸν πεπιστευκότων ἀποστόλων τὰς ψευδηγορίας περιφερούσῃ, ἧς τήν τε σῆψιν καὶ τὸν ἰὸν καὶ τοὺς ὀδόντας τῷ ξύλῳ τῆς ἀληθείας παίσαντες καὶ συντρίψαντες ἐπὶ τὰς μετέπειτα, ὡς προεῖπον, χωρῆσαι ἐν τῇ Θεοῦ δυνάμει σπεύσωμεν.

CAP. VIII. — 1. *Hoc est* committere, componere.

in alia quaedam mala transversos lectores abripiamus. Enimvero si quis iudicii nonnihil habeat, inanis omnino et ridicula illorum doctrina comprobabitur, quae et ab apostolis falsitatis convicta, et a sapientibus damnata, et a deo ipsaque adeo veritatis praedicatione est eiecta.

Caeterum iidem illi Merinthiani, sic enim accepimus, appellantur. Utrum vero Cerinthus ipse Merinthus alio nomine sit dictus liquido nescire me fateor: an praeter hunc alter eo nomine appellatus extiterit, adiutor illius et socius, id quidem soli deo compertum est. Hoc enim saepe iam diximus, non ipsum solum Hierosolymis frequenter apostolis restitisse, sed et qui eum in Asia sunt secuti. Atque ut unus idemque sit, aut alius eiusdem cum illo opinionis et partium fautor, nihil admodum refert. Forma quidem nequissimae illorum doctrinae ac velut nota quadam eiusmodi est qualem descripsimus, et Cerinthianos simul ac Merinthianos appellari constat. Cap. VIII.

His igitur de horrenda illorum ac serpentum simili improbitate disputatis ad eas quae deinceps consequuntur promovenda est oratio. Sed habendae imprimis gratiae sunt, quod pessimorum dogmatum pelagus istud sine ulla noxa transmisimus, et illud suppliciter postulandum, ut cum in reliquas haereses incurrerimus, quasi in maritima quaedam ac monstris referta brevia delati nihil ab his incommodi patiamur, sed ab ea quae inter disputandum illuxerit veritate salutem consequamur, cum et huius soliditatem adstruemus, et contrariarum haereseon inanitatem erroremque demonstrabimus. Quod si quispiam considerare et aliqua illas adumbrare similitudine voluerit, quam hactenus refutavimus, ob duplicem illam appellationem cum bicipiti quodam serpente reipsa comparandam putabit, eoque viperae genere quam Sepedonem vocant, quae pilis toto corpore est sparsa rubentibus, neque caprae, aut ovis ei natura vel pellis est, sed serpentis, eademque morsu obviis quibusque letum affert, ut et haeresis illa sectatores suos enecat, cum aut vetere testamento rituque ad evertendum novum utitur, aut fraudulentis rationibus ex novo testamento depromptis apostolos, qui e circumcisione ad Christi se fidem applicarunt, falso impugnare nititur. Cuius quidem tabificum virus atque dentes quoniam veritatis quasi fuste contudimus et contrivimus, ad eas quae consequuntur refellendas, uti diximus, progreditur ac festinat oratio.

# ΚΑΤΑ ΝΑΖΩΡΑΙΩΝ,

## ἐνάτη, ἢ καὶ εἰκοστὴ ἐνάτη.

Κεφ. α'. Ναζωραῖοι καθεξῆς τούτοις ἕπονται, ἅμα τε αὐτοῖς ὄντες, ἢ καὶ πρὸ αὐτῶν, ἢ σὺν αὐτοῖς, ἢ μετ' αὐτοὺς, ὅμως σύγχρονοι· οὐ γὰρ
pag. 117. ἀκριβέστερον δύναμαι ἐξειπεῖν τίνες τίνας διεδέξαντο. Καθὰ γὰρ ἔφην, σύγχρονοι ἦσαν ἀλλήλοις, καὶ ὅμοια κέκτηνται τὰ φρονήματα. Οὗτοι γὰρ ἑαυτοῖς ὄνομα ἐπέθεντο οὐχὶ Χριστοῦ, οὔτε αὐτὸ τὸ ὄνομα τοῦ Ἰησοῦ, ἀλλὰ Ναζωραίων. Καὶ πάντες δὲ Χριστιανοὶ Ναζωραῖοι τότε ὡςαύτως ἐκαλοῦντο. Γέγονε δὲ ἐπ' ὀλίγῳ χρόνῳ καλεῖσθαι αὐτοὺς Ἰεσσαίους, πρὶν ἢ ἐπὶ τῆς Ἀντιοχείας ἀρχὴν λάβωσιν οἱ μαθηταὶ καλεῖσθαι Χριστιανοί. Ἐκαλοῦντο δὲ Ἰεσσαῖοι διὰ τὸν Ἰεσσαὶ, οἶμαι, ἐπειδήπερ ὁ Δαβὶδ ἐξ Ἰεσσαὶ, ἐκ δὲ τοῦ Δαβὶδ κατὰ διαδοχὴν σπέρματος ἡ Μαρία, πληρουμένης τῆς θείας γραφῆς κατὰ τὴν παλαιὰν διαθήκην, τοῦ κυρίου λέγοντος πρὸς τὸν Δαβὶδ, Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.

Κεφ. β'. Δέδια δὲ καθ' ἑκάστην ὑπόθεσιν λέξεως, ὡς ταύτην τὴν ὑπόμνησιν ποιοῦμαι, παρακινούσης με τῆς ἀληθείας τὰς ἐν αὐτῇ τῇ λέξει θεωρίας ὑποφαίνειν, διὰ τὸ μὴ πολὺ πλάτος περιποιήσασθαι τῇ συντάξει τῆς διηγήσεως. Τοῦ γὰρ κυρίου φήσαντος τῷ Δαβὶδ, Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου, καὶ τὸ, Ὤμοσε κύριος τῷ Δαβὶδ, καὶ οὐ μεταμεληθήσεται, δῆλον ὡς ἡ τοῦ θεοῦ ἀμετάθετός ἐστιν ἐπαγγελία, καὶ πρῶτον μὲν ὅτι ὅρκος παρὰ θεῷ τί ἐστιν ἀλλ' ἢ ὅτι, Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος; Οὐ γὰρ κατὰ μείζονος ἔχει ὅρκον θεός. Ἀλλὰ οὐδὲ ὄμνυσι τὸ θεῖον, εἰς παράστασιν δὲ βεβαιώσεως ὁ λόγος ἔχει τὴν δύναμιν, μεθ' ὅρκου γὰρ ὤμοσε κύριος τῷ Δαβὶδ ἐκ καρποῦ τῆς κοιλίας θήσειν ἐπὶ τὸν θρόνον αὐτοῦ. Μαρτυροῦσι δὲ οἱ ἀπόστολοι ὅτι ἐκ σπέρματος Δαβὶδ ἔδει τὸν Χριστὸν γεννηθῆναι, ὥςπερ οὖν καὶ ἐγεννήθη ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. Παρήσω δὲ τὸ πλῆθος τῶν μαρτυριῶν, ἵνα μὴ εἰς πολὺν ὄγκον ἀγάγω τὸν λόγον, ὥς γε προεῖπον. Εἴποι δ' ἄν τις ἴσως, τοῦ Χριστοῦ γεννηθέντος ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα, τουτέστιν ἀπὸ τῆς ἁγίας παρθένου Μαρίας, τίνι τῷ λόγῳ ἐπὶ τοῦ θρόνου Δαβὶδ οὐ καθέζεται. Ἦλθον γὰρ, φησὶ τὸ εὐαγγέλιον, χρῖσαι αὐτὸν εἰς βασιλέα, καὶ γνοὺς ἀνεχώρησε, καὶ ἐκρύβη ἐν Ἐφραῒμ πόλει τῆς ἐρήμου. Φθάσαντες δὲ ἡμεῖς ἐπὶ τὸν τόπον τοῦ ῥητοῦ τούτου, καὶ ἐρωτώμενοι περὶ τῆς μαρτυρίας ταύτης καὶ τῆς ὑποθέσεως, ὅτι τίνι τῷ λόγῳ κατὰ τὸ σαρκικὸν
pag. 118. οὐ πεπλήρωται [1] ἐπὶ τὸν σωτῆρα τὸ καθίσαι ἐπὶ τὸν θρόνον Δαβίδ.

Cap. II. — 1. Suspicor περὶ τὸν σωτῆρα.

## ADVERSUS NAZARAEOS,
## quae est ordine IX., vel XXIX.

Exinde Nazaraei proximi sunt, qui sive priores illis, sive ae- Cap. I.
quales, sive posteriores extiterint, in idem fere tempus incurrunt. Neque enim affirmare certo possumus utri utris successerint. Eadem enim ut diximus aetate vixerunt, et in iisdem dogmatibus sunt opinionibusque versati. Atque illi quidem non a Christo, neque ab Iesu nomen acceperunt, sed se Nazaraeos appellarunt. Siquidem Christiani tum omnes Nazaraei vocabantur. Quamquam pro exiguo tempore, Iessaeorum penes illos nomen resedit, antequam Christiani Antiochiae nominari coeperint. Ac Iessaei, ut opinor, ab Iesse vocati sunt. David enim Iesse filius erat, a quo generis continuata serie Maria prodiit, in eoque scripturae sacrae vaticinium ad exitum perductum est, cum in vetere testamento Davidi dominus ista respondisset: *De fructu ventris tui ponam super sedem tuam.* Psalm. 131, 11.

Sed illud in singulis scripturae verbis afferendis vereri mihi Cap. II.
succurrit, de quo saepius commonere soleo, ne dum eas quae verbis ipsis insunt sententias expendere veritatis studium cogit, longius quam par sit instituti moles operis excrescat. Cum igitur dominus Davidi dixerit: *De fructu ventris tui ponam super sedem tuam,* et illud, *Iuravit dominus David, et non poenitebit eum,* manifestum Psalm. 109, 4.
est dei promissionem revocari non posse. Atque imprimis iusiurandum illud, quod deo tribuitur, quidnam est aliud, nisi istud ipsum quod alibi dicitur, *Per memetipsum iuravi, dicit dominus?* Neque enim per maiorem aliquem iusiurandum deus concipit, sed nec iurat quidem omnino. Sed ea loquendi ratio ad astruendam rei firmitatem pertinet. Nam Davidi iureiurando promisit dominus, *De fructu ventris ipsius super sedem eius se esse positurum.* Ita porro testantur apostoli de Davidis stirpe nasci Christum oportuisse; uti revera Iesus Christus dominus noster indidem oriundus est. Verum ego ne prolixiorem, ut ante dixi, sermonem instituam, testimoniorum amplissimam copiam praetermitto. Atenim, dicat aliquis, cum ex Davidis stirpe, quatenus carne constat, procreatus sit Christus, hoc est, e beata virgine Maria, quid ita tandem in Davidis solio minime consedit? *Venerunt enim,* ait evangelium, *ut ipsum ungerent in re-* Ioann. 6, 15.
*gem;* et cum id cognovisset, recessit, atque Ephraimi, quod oppidum in deserto situm est, delituit. Itaque quoniam opportune ad huius evangelici dicti mentionem sumus delapsi, deque eiusmodi testimonio argumentoque nata quaestio est, cur scilicet quod a propheta praedictum fuerat, in Davidis solio consessurum esse Christum,

Ἐνομίσθη γὰρ τοῦτό τισι μὴ πεπληρῶσθαι· ὅμως ὡς ἔστιν ἐροῦμεν Οὐδεμία γὰρ λέξις τῆς ἁγίας τοῦ θεοῦ γραφῆς διαπίπτει.

Κεφ. γ΄. Θρόνος γὰρ Δαβὶδ καὶ βασιλικὴ ἕδρα ἐστὶν ἡ ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ ἱερωσύνη, ὅπερ ἀξίωμα βασιλικόν τε καὶ ἀρχιερατικὸν ὁμοῦ ἐπιτοαυτὸ συνάψας ὁ κύριος δεδώρηται τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ, τὸν θρόνον μεταγαγὼν ἐν αὐτῇ τὸν τοῦ Δαβὶδ μὴ διαλείποντα εἰς τὸν αἰῶνα. Ἐκεῖσε γὰρ κατὰ διαδοχὴν διήρκεσε θρόνος Δαβὶδ ἕως αὐτοῦ τοῦ Χριστοῦ, μὴ διαλειπόντων τῶν ἐξ Ἰούδα ἀρχόντων ἕως ἦλθεν ᾧ τὰ ἀποκείμενα ἦν, καὶ αὐτὸς προσδοκία ἐθνῶν, φησίν. Ἔληξαν γὰρ ἐν τῇ τοῦ Χριστοῦ παρουσίᾳ οἱ κατὰ διαδοχὴν ἐξ Ἰούδα ἄρχοντες, ἕως αὐτοῦ τοῦ Χριστοῦ ἡγούμενοι. Διέπεσε γὰρ ἡ τάξις, καὶ ἔστη, ἐξότε αὐτὸς γεννᾶται ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐπὶ Ἀλεξάνδρου τοῦ ἀπὸ γένους ἱερατικοῦ καὶ βασιλικοῦ. Ἀφ' οὗ Ἀλεξάνδρου διέπεσεν οὗτος ὁ κλῆρος ἀπὸ χρόνων αὐτοῦ τε καὶ Σααλίνας, τῆς καὶ Ἀλεξάνδρας καλουμένης, ἐπὶ τοῖς χρόνοις Ἡρώδου τοῦ βασιλέως καὶ Αὐγούστου τῶν Ῥωμαίων αὐτοκράτορος. Ὃς καὶ διάδημα ἐπέθετο ἑαυτῷ, ὁ Ἀλέξανδρος οὗτος, εἷς τῶν χριστῶν καὶ ἡγουμένων ὑπάρχων. Συναφθεισῶν γὰρ τῶν δύο φυλῶν τοῦ τε βασιλικοῦ καὶ ἱερατικοῦ, Ἰούδα δέ φημι καὶ Ἀαρὼν, καὶ πάσης τῆς τοῦ Λευὶ, οὕτω βασιλεῖς καὶ ἱερεῖς ἐγίνοντο. Οὐ γὰρ διήμαρτέ τι τῶν ἀπὸ τῆς ἁγίας γραφῆς αἰνιγμάτων. Τότε δὲ λοιπὸν ἀλλόφυλος βασιλεὺς Ἡρώδης, καὶ οὐκέτι οἱ ἀπὸ τοῦ Δαβὶδ διάδημα ἐπέθεντο. Μεταπεσούσης δὲ τῆς βασιλικῆς καθέδρας ἐν Χριστῷ ἐπὶ τὴν ἐκκλησίαν ἀπὸ μὲν οἴκου τοῦ σαρκικοῦ Ἰούδα καὶ [1] Ἰσραὴλ τὸ βασιλικὸν μετέστη ἀξίωμα, ἵδρυται δὲ ὁ θρόνος ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ εἰς τὸν αἰῶνα, ἐκ δύο προφάσεων ἔχων τὸ ἀξίωμα, τοῦ τε βασιλικοῦ καὶ τοῦ ἀρχιερατικοῦ. Καὶ τὸ μὲν βασιλικὸν ἀπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ δύο τρόπους, διά τε τὸ εἶναι αὐτὸν ἐκ σπέρματος Δαβὶδ τοῦ βασιλέως κατὰ σάρκα,
pag. 119. καὶ τὸ εἶναι αὐτὸν, ὅπερ ἐστὶ, βασιλέα μείζονα ἀπ' αἰῶνος κατὰ τὴν θεότητα· τὸ δὲ ἱερατικὸν, ὅτι αὐτὸς ἀρχιερεὺς καὶ ἀρχιερέων πρύτανις, κατασταθέντος εὐθὺς Ἰακὼβ τοῦ ἀδελφοῦ κυρίου καλουμένου καὶ ἀποστόλου ἐπισκόπου, πρώτου υἱοῦ τοῦ Ἰωσὴφ φύσει ὄντος, ἐν τάξει δὲ ἀδελφοῦ τοῦ κυρίου κληθέντος διὰ τὴν συναναστροφήν.

Cap. III. — 1. *Editus liber uterque habet* Ἱερουσαλὴμ, *quamquam in Cornarii quidem versione recte legitur* Israel. *Vitii origo quaerenda in siglo* ἰηλ *male intellecto.*

non sit in salvatore, quod ad carnem pertinet, aliquando perfectum. Hoc enim sunt qui negent impletum fuisse; nos tamen plane ita contigisse monstrabimus. Nulla enim vel minima divinae scripturae dictio potest excidere.

Quocirca thronus ille Davidis ac regale solium nihil aliud est Cap. III.
quam ecclesiae sanctae sacerdotium, quod regia simul ac pontificia dignitate in unum contracta ei dominus attribuit, ac Davidis aeternum illud neque periturum unquam solium in eandem contulit. Illic enim Davidica sedes perpetua successione ad Christum usque permansit, cum nullo unquam tempore de Iudae tribu principes desiissent, donec ille venit *cui reposita erant. Et ipse,* inquit, *expectatio* Gen. 49, 10.
*gentium.* Etenim sub adventum Christi domini desiit de tribu Iudae principum illa successio, qui ad id usque tempus populi duces fuerant. Nam tum illa series intercidit ac suppressa penitus est, a quo Christus Bethleemi, quod est Iudaeae oppidum, in hanc lucem editus est, idque adeo sub Alexandro contigit, qui e sacerdotum pariter ac regum stirpe erat oriundus. Ab huius igitur Alexandri nec non et Saalinae, quae et Alexandra vocata est, tempore sors est illa regni conditioque sublata, cum Herodes Iudaeae, Augustus vero Romanorum imperium obtineret. Et quidem Alexander ille unus e Christorum, hoc est unctorum, ducumque numero diadema sibimet imposuit. Cum enim duae invicem tribus coniunctae fuissent, quarum altera regni, sacerdotii altera ius habebat, eratque Iudae prior, posterior Aaronis ac Leviticae gentis universae, inde factum est iidem ut reges ac sacerdotes essent. Neque enim ullum ex obscuris sacrarum literarum oraculis veritate sua caruit. Tum igitur Herodes rex alienigena summotis Davidis posteris diadema sumpsit. Atque imperii demum solio peregrinum in hominem translato a carnalis Iudae familia ac Hierosolymis per Christum regia est in ecclesiam transfusa dignitas. Cuius sedes ad omnium perpetuitatem temporum in eadem ipsa constituta, ex ambarum dignitatum, regni videlicet ac sacerdotii amplitudine coalescit. Nam quod ad regiam maiestatem attinet, eam a Christo Iesu domino nostro duplici iure communicatam accepit, quod et ille quatenus carne constat, de Davidis stirpe propagatus fuerit, et rex divinitatis quam idem habet ratione longe sit amplior et aeternus. Sacerdotii vero dignitatem ideo sortitus est quod et pontifex sit, et pontificum omnium moderator ac princeps. Quare Iacobus ille, qui domini frater appellatus est, et eiusdem apostolus, primus omnium est episcopus constitutus; qui cum Iosephi naturalis esset filius, domini frater ob id vocatus est, quod in eius convictu ac consuetudine versaretur.

Κεφ. δ'. Ἦν γὰρ ὁ Ἰάκωβος οὗτος υἱὸς τοῦ Ἰωσὴφ ἐκ γυναικὸς τοῦ Ἰωσήφ, οὐκ ἀπὸ Μαρίας, ὡς καὶ εἰς πολλοὺς τόπους τοῦτο ἡμῖν εἴρηται, καὶ σαφέστερον ἡμῖν πεπραγμάτευται. Ἀλλὰ καὶ εὑρίσκομεν αὐτὸν ἐκ τοῦ Δαβὶδ ὄντα, διὰ τὸ υἱὸν εἶναι τοῦ Ἰωσὴφ Ναζωραῖον γενόμενον. Ἦν γὰρ πρωτότοκος τῷ Ἰωσήφ, καὶ ἡγιασμένος. Ἔτι δὲ καὶ ἱερατεύσαντα αὐτὸν κατὰ τὴν παλαιὰν ἱερωσύνην εὕρομεν. Διὸ καὶ ἠφίετο αὐτῷ ἅπαξ τοῦ ἐνιαυτοῦ εἰς τὰ ἅγια τῶν ἁγίων εἰςιέναι, ὡς τοῖς ἀρχιερεῦσιν ἐκέλευσεν ὁ νόμος, κατὰ τὸ γεγραμμένον. Οὕτω γὰρ ἱστόρησαν πολλοὶ πρὸ ἡμῶν περὶ αὐτοῦ, Εὐσέβιός τε καὶ Κλήμης, καὶ ἄλλοι. Ἀλλὰ καὶ τὸ πέταλον ἐπὶ τῆς κεφαλῆς ἐξῆν αὐτῷ φέρειν, καθὼς οἱ προειρημένοι ἀξιόπιστοι ἄνδρες ἐν τοῖς ὑπ' αὐτῶν ὑπομνηματισμοῖς ἐμαρτύρησαν. Ἱερεὺς τοίνυν, ὡς ἔφην, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, βασιλεύς τε ὁμοῦ κατὰ τὴν τάξιν τὴν ἄνωθεν, ἵνα μεταγάγῃ τὴν ἱερωσύνην ἅμα τῇ νομοθεσίᾳ. Τοῦ δὲ σπέρματος Δαβὶδ διὰ τὴν Μαρίαν καθεζομένου ἐν θρόνῳ εἰς τὸν αἰῶνα καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Ἔδει γὰρ αὐτὸν νῦν μεταγαγεῖν τὴν τάξιν τοῦ [1] γε βασιλείου. Καὶ γὰρ ἡ βασιλεία αὐτοῦ οὐκ ἔστιν ἀπὸ τῆς γῆς, ὡς ἔλεγεν ἐν τῷ εὐαγγελίῳ Ποντίῳ Πιλάτῳ, Ἡ βασιλεία μου οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου. Τοῦ γὰρ Χριστοῦ τὰ πάντα πληροῦντος δι' αἰνιγμάτων, ἕως τινὸς μέτρου αἱ ὑποθέσεις ἔφθανον. Οὐ γὰρ ἦλθεν ἵνα προκοπὴν λάβῃ βασιλείας ὁ βασιλεύων ἀεί· ἐχαρίσατο δὲ τοῖς ὑπ' αὐτοῦ καθισταμένοις τὸ βασίλειον, ἵνα μὴ ὀνομασθῇ ἀπὸ τῶν μικρῶν ἐπὶ τὰ μείζονα προκόπτειν. Μένει γὰρ αὐτοῦ ὁ θρόνος, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος, καὶ κάθηται ἐπὶ τὸν θρόνον Δαβὶδ, τὸ βασίλειον τοῦ Δαβὶδ μεταστήσας, καὶ χαρισάμενος τοῖς ἑαυτοῦ δούλοις ἅμα τῇ ἀρχιεpag. 120. ρωσύνῃ, τουτέστι τοῖς ἀρχιερεῦσι τῆς καθολικῆς ἐκκλησίας. Καὶ πολλά ἐστι περὶ τούτου λέγειν, ἀλλ' ὅμως ἐπειδὴ εἰς τὸν τόπον ἐλήλυθα, εἰπεῖν δι' ἣν αἰτίαν Ἰεσσαῖοι ἐκαλοῦντο πρὶν τοῦ καλεῖσθαι Χριστιανοὶ οἱ εἰς Χριστὸν πεπιστευκότες, τούτου ἕνεκα ἔφημεν ὅτι ὁ Ἰεσσαὶ πατὴρ γίνεται τοῦ Δαβίδ. Καὶ ἤτοι τοῦ Ἰεσσαὶ, ἤτοι ἐκ τοῦ ὀνόματος Ἰησοῦ τοῦ κυρίου ἡμῶν ἐπεκλήθησαν Ἰεσσαῖοι, διὰ τὸ ἐξ Ἰησοῦ ὁρμᾶσθαι, μαθηταὶ ὄντες αὐτοῦ, ἢ διά [2] τοι τῆς ἐτυμολογίας τοῦ ὀνόματος τοῦ κυρίου. Ἰησοῦς γὰρ κατὰ τὴν Ἑβραϊκὴν διάλεκτον θεραπευτὴς καλεῖται, ἤτοι ἰατρὸς καὶ σωτήρ. Ὅμως τούτῳ τῷ ὀνόματι, πρὶν τοῦ Χριστιανοὺς αὐτοὺς καλεῖσθαι, τὴν ἐπωνυμίαν ἐκέκτηντο. Ἀπὸ Ἀντιοχείας δὲ, καθάπερ ἄνω ἐπεμνήσθημεν, ὡς ἔχει ἡ τῆς ἀληθείας ὑπόθεσις, ἤρξαντο οἱ μαθηταὶ καὶ πᾶσα ἡ ἐκκλησία τοῦ θεοῦ Χριστιανοὶ καλεῖσθαι.

CAP. IV. — 1. *Libri omnes* τοῦ τε βασιλείου. 2. *Reposui* τοι *pro* τὸ, *quod in libris vulgo extat.*

Hic enim Iosephi ex alia fuit quam Maria coniuge filius, id quod Cap. IV.
pluribus locis a me commemoratum est manifestiusque disputatum. Quinetiam e Davidis genere propagatum illum reperimus, utpote Iosephi filium, eundemque Nazaraeum. Nam Iosephi liberorum hic primus ac consecratus fuit. Imo et sacerdos ex veteris illius ritu sacerdotii fuisse perhibetur. Quamobrem semel ei quotannis in sancta sanctorum concessum est ingredi, quemadmodum summis sacerdotibus lege esse praescriptum e sacris literis didicimus. Quod quidem de Iacobo plerique ante nos memoriae prodiderunt, ut Eusebius, Clemens et alii. Sed et bracteam eidem in capite gestare licuisse quos proxime nominavi idonei scriptores commentariis suis testatum reliquerunt. Quocirca, *Sacerdos,* uti diximus, *Iesus Chri-* Hebr. 6, 10
*stus dominus noster in aeternum fuit, secundum ordinem Melchisedec,* idemque rex secundum superiorem ac coelestem ordinem, ut una cum lege sacerdotium transferret. Fuit vero propter B. Mariam e Davidis oriundus stirpe, atque in regali solio *sedet in aeternum, et regni illius non erit finis.* Nimirum transferre illum non minus regni quam sacerdotii ordinem oportuit; quippe cum eius regnum minime ex hoc mundo sit, ut Pontio Pilato in evangelio respondisse fertur:
*Regnum meum non est de hoc mundo.* Cum enim Christus sub qui- Ioann. 18, 36.
busdam aenigmatum involucris universa compleret, quod hactenus gerebatur par fuit aliquo tenus pervenire. Neque vero ideo venit ut qui regnasset hactenus imperare porro pergeret, sed iis regnum, quos constituerat ipse dilargitus est, ne a minoribus progredi ad maiora dici possit. *Manet quippe sedes illius, et regni eius non erit finis,* atque in Davidis solio considet, propterea quod Davidis regnum transtulit, idque ipsum una cum pontificatu servis suis indulsit, hoc est catholicae ecclesiae pontificibus. Sed multa de ea re disputari possunt. Quoniam vero ad eum locum delapsi sumus ut reddenda caussa nobis esset cur ii qui Christo nomen dederant priusquam Christianorum nomen essent adepti Iessaei vocarentur, idcirco monuimus Iessaeum Davidis patrem fuisse. Aut ab illo igitur Iessae, aut a Iesu Christi domini nostri appellatione Iessaeorum nomen obtinuerunt, quod ab Iesu disciplina profecti, eiusdemque discipuli forent; aut illud denique ex notatione ipsa nominis, quo dominus vocatus est, originem accepit. Iesus enim Hebraice curatorem, hoc est medicum ac servatorem, significat. Quicquid sit, constat eo nomine, priusquam Christiani vocarentur, appellatos fuisse. Atque ab urbe demum Antiochia, uti supra meminimus, adeoque ipsa rei veritas comprobat, cum discipuli ipsi, tum omnis ecclesia dei Christianorum vocabulo comprehensa.

Κεφ. ε'. Εὕροις δ' ἄν, ὦ [1] φιλολόγε, καὶ τούτου τὴν ὑπόθεσιν ἐντυχὼν τοῖς τοῦ Φίλωνος ὑπομνήμασιν, ἐν τῇ περὶ Ἰεσσαίων αὐτοῦ ἐπιγραφομένῃ βίβλῳ, ὅς τούτων τὴν πολιτείαν καὶ τὰ ἐγκώμια διεξιὼν, καὶ τὰ αὐτῶν μοναστήρια ἐν τῇ κατὰ τὴν Μαρίαν λίμνῃ ἱστορῶν περιοικίδι, οὐ περί τινων ἑτέρων ὁ ἀνὴρ ἱστόρησεν, ἀλλὰ περὶ Χριστιανῶν. Οὗτος γὰρ γενόμενος ἐν τῇ χώρᾳ (Μαρεώτην δὲ τὸν τόπον καλοῦσι), καὶ καταχθεὶς παρ' αὐτοῖς ἐν τοῖς κατὰ τὸν χῶρον τοῦτον μοναστηρίοις ὠφέληται. Ἐν ἡμέραις γὰρ τῶν [2] Πάσχων ἐκεῖ γενόμενος τάς τε αὐτῶν πολιτείας ἐθεάσατο, καὶ ὥς τινες ἑβδομάδα τὴν ἁγίαν τῶν [3] Πάσχων ὑπερτιθέμενοι διετέλουν, ἄλλοι δὲ διὰ δύο ἐσθίοντες, ἄλλοι δὲ καὶ καθ' ἑσπέραν. Ἦν δὲ τῷ ἀνδρὶ πάντα ταῦτα πεπραγματευμένα εἰς τὴν περὶ πίστεώς τε καὶ πολιτείας τῶν Χριστιανῶν ὑπόθεσιν. Ὡς οὖν τότε ἐκαλοῦντο Ἰεσσαῖοι, ἐπ' ὀλίγῳ χρόνῳ μετὰ τὴν ἀνάληψιν τοῦ σωτῆρος, καὶ Μάρκου τῇ τῶν Αἰγυπτίων χώρᾳ κηρύξαντος, κατὰ τοὺς χρόνους τούτους τινὲς ἐξεληλύθασι πάλιν, τῶν ἀποστόλων δῆθεν ἀκόλουθοι (λέγω δὲ οἱ ἐνταῦθά μοι δηλούμενοι Ναζωραῖοι), ὄντες μὲν κατὰ τὸ γένος Ἰουδαῖοι, καὶ τῷ νόμῳ δὲ προσανέχοντες καὶ περιτομὴν κεκτημένοι· ἀλλ' ὥσπερ ἀπὸ σκοποῦ τινες θεασάμενοι πῦρ, καὶ μὴ νοήσαντες δι' ἣν αἰτίαν οἱ τὴν πυρὰν ταύτην ἐξάψαντες, ἢ χρησι-
pag. 121. μότητα, τοῦτο ποιοῦσιν, ἢ τὰ τῆς ζωῆς ἑαυτῶν ὀψώνια πρὸς ἐδωδὴν διὰ τῆς πυρᾶς κατασκευάζοντες, ἢ ἐπὶ ἀφανισμῷ τινων καυστικῶν ξύλων ἢ φρυγάνων τῶν ὑπὸ πυρὸς εἰωθότων ἀναλίσκεσθαι, οὕτω καὶ αὐτοὶ μιμησάμενοι, πῦρ ἀνάψαντες ἑαυτοὺς ἐνέπρησαν. Ἀκούσαντες γὰρ μόνον ὄνομα Ἰησοῦ, καὶ θεασάμενοι τὰ θεοσήμεια τὰ διὰ χειρῶν τῶν ἀποστόλων γινόμενα, καὶ αὐτοὶ εἰς Ἰησοῦν πιστεύουσι, γνόντες δὲ αὐτὸν ἐκ Ναζαρὲτ ἐν γαστρὶ [4] ἐγκυμονηθέντα, καὶ ἐν οἴκῳ Ἰωσὴφ ἀνατραφέντα, καὶ διὰ τοῦτο ἐν τῷ εὐαγγελίῳ Ἰησοῦν τὸν Ναζωραῖον καλεῖσθαι, ὡς καὶ οἱ ἀπόστολοί φασιν, Ἰησοῦν τὸν Ναζωραῖον ἄνδρα ἀποδεδειγμένον ἔν τε σημείοις καὶ τέρασι, καὶ τὰ ἑξῆς, τοῦτο τὸ ὄνομα ἐπιτιθέασιν αὐτοῖς, [5] τὸ καλεῖσθαι Ναζωραίους, [6] οὐχὶ δὲ Ναζιραίους, τὸ ἑρμηνευόμενον Ἡγιασμένους. Τοῦτο γὰρ τοῖς τὸ παλαιὸν πρωτοτόκοις καὶ θεῷ ἀφιερωθεῖσιν [7] ὑπῆρχεν τὸ ἀξίωμα, ὧν εἷς ὑπῆρχεν ὁ Σαμψὼν, καὶ ἄλλοι μετ' αὐτὸν, καὶ πρὸ αὐτοῦ πολλοί. Ἀλλὰ καὶ Ἰωάννης ὁ Βαπτιστὴς τῶν αὐτῶν [8] ἀφηγιασμένων τῷ θεῷ καὶ αὐτὸς εἷς [9] ὑπῆρχε, καὶ οἶνον καὶ σίκερα οὐκ ἔπινεν. [10] Ὥριστο γὰρ τοῖς τοιούτοις [11] αὕτη ἁρμόδιος τῷ ἀξιώματι [12] ἡ πολιτεία.

Cap. V. — 1. *Sic cod. Vatic. Cod. Rhedig. et edit. princ. vitiose* φιλόλογε.

2. πασχῶν *cod. Rhedig. et edit. princ. Quod mutavit Petav. in* πάσχων, *ex auctoritate cod. Vatic.*

3. πάσχων *cod. Vatic. et ed. Petav.* πασχῶν *cod. Rhedig. et edit. princ.*

4. *Vocem* ἐγχυμονηθέντα *non agnoscit cod. Vatic.*

5. τοῦ χαλεῖσθαι *cod. Venetus.*

6. *Verba* οὐχὶ δὲ Ναζιραίους *non habet cod. Venet.*

7. ὑπῆρχεν *codd. Venet. et Rhedig. Vulgo* ὑπῆρχε.

Quod quidem argumentum uberius pertractatum, quisquis es studiosus in Philonis commentariis invenies, eoque libro quem de Iessaeis inscripsit; ubi illorum vitae disciplinam ac praeconia celebrans, eorumque monasteria, quae ad Marianam paludem circumquaque posita sunt describens non de aliis ullis, quam de Christianis ista narravit. Nam cum eam regionem lustrasset (Mareotes hic vulgo locus dicitur) atque ad ipsos, eorumque monasteria divertisset, magnam ab iis utilitatem accepit. Etenim cum ipsis paschalibus feriis illuc accessisset, omnem eorum vitae rationem diligenter inspexit, observavitque nonnullos totam illam sacrosanctam hebdomadem sine ullo cibo transigere, alios alternis illum diebus capere, quosdam vero sub vesperam. Quamobrem quaecumque toto illo opere a Philone tractata sunt, ea Christianorum ad fidem vivendique rationem omnino pertinent. Cum igitur Iessaei tunc temporis dicerentur, paulo post ascensum Christi domini, postquam Marcus in Aegypto divinum verbum praedicavit, nonnulli tunc prodierunt apostolorum asseclae, Nazaraei videlicet isti de quibus praesens institutus est sermo. Erant illi genere quidem Iudaei, atque ad legem et circumcisionem adhaeserant, sed quemadmodum qui e specula procul ignem aspiciunt, neque cuius rei gratia, quemve ad usum hoc incendium excitatum fuerit sciunt, utrumnam ad obsonia coquenda, cibosque victui praeparandos, an ut cremia aridaque virgulta, ut assolet, concremarent, sic illi istud ipsum imitati semetipsos incendio consumpserunt. Siquidem solo Iesu nomine audito, conspectisque quae ab apostolis fierent portentis ac miraculis, in illum et ipsi quoque crediderunt. Quem cum Nazareti scirent in virginis utero genitum, atque in Iosephi domo nutritum, et idcirco Iesum Nazarenum in evangelio nominari, quemadmodum apostoli loquuntur, *Iesum Nazarenum virum approbatum signis ac prodigiis*, ex eo nomen sibi istud imponunt, ut Nazaraei vocentur, non Naziraei, quae vox sanctificatum significat. Hic enim quondam primogenitis deoque consecratis dignitatis honor est habitus, quorum e numero Sampson, aliique post ipsum vel ante ipsum complures extiterunt. Imo et Ioannes baptista ex illo dedicatorum deo hominum genere fuit, qui vinum aut siceram non bibit. Fuit enim hominibus eiusmodi eorum dignitati consentanea vivendi ratio constituta.

Cap. V.

Act. 2, 22.

8. ἀφηγιασμένων *emendatio est Ios. Scaligeri, quam firmat cod. Venet. praebens* ἀφηγιασμένον. *Cod. Rhedig. et editi libri habent* ἀφηγησαμένων. *Petavius suspicabatur* αὐτοὺς ἀφιερωσαμένων.

9. ὑπῆρχεν. οἶνον γὰρ καὶ *cod. Venet.*

10. ὡρίζετο *cod. Venet.*

11. αὔτι *cod. Venet.*

12. ἡ *om. cod. Venet.*

Κεφ. ϛʹ. [1] Ἀλλὰ οὐδὲ Νασαραίους ἑαυτοὺς ἐκάλεσαν· ἦν γὰρ ἡ αἵρεσις τῶν Νασαραίων πρὸ Χριστοῦ, καὶ Χριστὸν οὐκ ᾔδει. Ἀλλὰ καὶ πάντες ἄνθρωποι τοὺς Χριστιανοὺς [2] Ναζωραίους ἐκάλουν, ὡς προεῖπον, ὥς λέγουσι κατηγοροῦντες Παύλου τοῦ ἀποστόλου, Τοῦτον τὸν ἄνθρωπον εὕρομεν λοιμὸν, καὶ διαστρέφοντα τὸν λαὸν, πρωτοστάτην τε ὄντα τῆς τῶν Ναζωραίων αἱρέσεως. Ὁ δὲ ἅγιος ἀπόστολος οὐκ ἀρνεῖται μὲν τὸ ὄνομα, οὐχὶ τὴν τούτων αἵρεσιν ὁμολογῶν, ἀλλὰ τὸ ὄνομα τὸ ἀπὸ τῆς τῶν ἀντιλεγόντων κακονοίας διὰ τὸν Χριστὸν ἐπενεχθὲν αὐτῷ ἀσμένως καταδεχόμενος. Φησὶ γὰρ ἐπὶ τοῦ [3] βήματος, Οὔτε ἐν τῷ ἱερῷ [4] εὗρόν με πρός τινα διαλεγόμενον, ἢ ἐπισύστασίν τινα ὄχλου ποιοῦντα, οὐδὲ ὧν μου κατηγοροῦσιν οὐδὲν [5] πεποίηκα. Ὁμολογῶ δέ σοι τοῦτο, ὅτι κατὰ τὴν ὁδὸν, ἣν αἵρεσιν οὗτοι φάσκουσιν, οὕτω λατρεύω, πιστεύων πᾶσι τοῖς ἐν τῷ νόμῳ καὶ ἐν τοῖς προφήταις. Καὶ οὐ θαῦμα ὅτι ὁ ἀπόστολος [6] ὁμολογεῖ ἑαυτὸν Ναζωραῖον, πάντων καλούντων τοὺς Χριστιανοὺς τότε τούτῳ τῷ ὀνόματι, διὰ Ναζαρὲτ τὴν
pag. 122. πόλιν, ἄλλης μὴ οὔσης χρήσεως τῷ ὀνόματι πρὸς τὸν καιρὸν, ὥςτε τοὺς ἀνθρώπους καλεῖν τοὺς τῷ Χριστῷ πεπιστευκότας. Περὶ οὗ [7] καὶ γέγραπται ὅτι Ναζωραῖος κληθήσεται. Καὶ γὰρ καὶ νῦν ὁμωνύμως οἱ ἄνθρωποι πάσας τὰς αἱρέσεις, Μανιχαίους τέ φημι καὶ Μαρκιωνιστὰς, Γνωστικούς τε καὶ ἄλλους, Χριστιανοὺς τοὺς μὴ ὄντας Χριστιανοὺς καλοῦσι, καὶ ὅμως ἑκάστη αἵρεσις, καίπερ ἄλλως λεγομένη, καταδέχεται τοῦτο χαίρουσα, ὅτι διὰ τοῦ ὀνόματος κοσμεῖται. Δοκοῦσι γὰρ ἐπὶ τῷ τοῦ Χριστοῦ σεμνύνεσθαι ὀνόματι, οὐ μὴν τῇ πίστει καὶ τοῖς ἔργοις. Οὕτω καὶ οἱ ἅγιοι τοῦ Χριστοῦ μαθηταὶ τότε μαθητὰς Ἰησοῦ ἑαυτοὺς ἐκάλουν, ὥςπερ οὖν καὶ ἦσαν· ἀκούοντες δὲ παρὰ ἄλλων Ναζωραῖοι οὐκ ἠναίνοντο, τὸν σκοπὸν θεωροῦντες τῶν τοῦτο αὐτοὺς καλούντων, ὅτι διὰ Χριστὸν αὐτοὺς ἐκάλουν. Ἐπειδὴ καὶ αὐτὸς ὁ κύριος Ἰησοῦς Ναζωραῖος ἐκαλεῖτο, ὥςπερ ἔχει τὰ εὐαγγέλια, καὶ αἱ Πράξεις τῶν ἀποστόλων, διὰ τὸ ἐν τῇ πόλει Ναζαρὲτ αὐτὸν, κώμῃ δὲ τὰ νῦν οὔσῃ, ἀνατετράφθαι ἐν οἴκῳ Ἰωσήφ, γεννηθέντα κατὰ σάρκα ἐν Βηθλεὲμ ἀπὸ Μαρίας τῆς ἀειπαρθένου, τῆς μεμνηστευμένης Ἰωσὴφ τῷ ἐν τῇ αὐτῇ Ναζαρὲτ μετῳκηκότι, μετὰ τὸ ἀπὸ Βηθλεὲμ αὐτὸν μεταναστάντα ἐν τῇ Γαλιλαίᾳ κατοικισθῆναι.

Κεφ. ζʹ. Οὗτοι δὲ οἱ προειρημένοι αἱρεσιῶται, περὶ ὧν ἐνταῦθα τὴν ἀφήγησιν ποιούμεθα, παρέντες τὸ ὄνομα τοῦ Ἰησοῦ οὔτε Ἰεσσαίους ἑαυτοὺς κεκλήκασιν, οὔτε τῶν Ἰουδαίων ἔμειναν ἔχοντες τὸ ὄνομα, οὔτε Χριστιανοὺς ἑαυτοὺς ἐπωνόμασαν, ἀλλὰ Ναζωραίους, δῆθεν ἀπὸ τῆς τοῦ τόπου τῆς Ναζαρὲτ ἐπωνυμίας. Τὰ πάντα δέ εἰσιν Ἰουδαῖοι, καὶ

Cap. VI. — 1. Ἀλλὰ οὐδὲ codd. Venet. et Vatic. Ἄλλοι δὲ cod. Rhedig. et editi libri. 2. ἐκάλουν Ναζωραίους cod. Venet. 3. ῥήματος cod. Venet.

Sed alii Nazaraeos seipsos appellant. Quippe Nazaraeorum secta Christum antecessit, nec eum cognovit. Verum Christiani, ut initio monui, ab omnibus Nazaraei nuncupati sunt, quemadmodum illi dixerunt, qui Paulum apostolum accusarunt: *Hunc*, inquiunt, *hominem invenimus pestiferum, et corrumpentem populum, et auctorem sectae Nazarenorum*. At sanctus apostolus neque nomen istud eiurat, tametsi ab illorum haeresi abhorreret, et quod sibi adversariorum improbitate propter Christum impositum erat vocabulum, libenter admisit. Ita enim ante tribunal dixit, *Neque in templo invenerunt me cum aliquo disputantem, aut concursum facientem turbae, neque quicquam eorum quibus me accusant admisi. Confiteor autem hoc tibi, quod secundum sectam, quam dicunt haeresin, sic deservio, credens omnibus quae in lege et prophetis scripta sunt.* Neque vero mirum est apostolum semetipsum Nazarenum confiteri, cum universi tunc eo nomine Christianos vocarent, ab oppido Nazaret, nec ullus alterius esset vocis usus illis temporibus, qua eos qui Christo nomen dederant possent exprimere. De quo sane scriptum est, *quoniam Nazarenus vocabitur*. Nam et hodie haereses omnes, Manichaei scilicet, Marcionistae, Gnostici, caeterique qui Christiani non sunt, Christianorum tamen ab omnibus nomine comprehendi solent, et unaquaeque secta, licet alio nomine censeatur, id sibi nominis libenter asciscit, quod hoc esse sibi decori atque ornamento iudicat. Quippe solo Christi vocabulo non fide atque operibus gloriari videntur. Eodem modo sancti Christi discipuli sese tum id quod erant Iesu discipulos vocabant: neque tamen cum ab aliis Nazareni dicerentur nomen istud recusabant, cum ad eorum a quibus sic appellabantur finem scopumque respicerent, qui hoc sese nomine Christi caussa donabant; quandoquidem et Iesus ipse Nazarenus appellatus est, ut in evangeliis et apostolorum Actibus legitur, pro eo quod in oppido Nazareti, qui hodie pagus est, in aedibus Iosephi fuerit educatus, posteaquam Bethleemi de virgine Maria secundum carnem natus est, quae quidem Iosepho desponsa fuerat, qui Nazareti tunc habitabat, cum relicto Bethleemo in Galilaea domicilium collocasset.

Cap. VI. — Act. 24, 5. — Ibid. 12. — Matth. 2, 23.

Quod vero ad haereticos illos attinet, de quibus modo sermonem instituimus, omisso Iesu nomine, neque Iessaeos seipsos vocant, neque Iudaeorum vocabulum retinent, neque se Christianos, sed Nazarenos de illa loci appellatione nuncupant, cum interim meri ipsi Iudaei, neque aliud praeterea sint. Porro non solum novo, Cap. VII.

4. ηὗρον *cod. Venet.*
5. πεποιηκότα *cod. Venet.*
6. ὁμολόγει *cod. Venet.*
7. καὶ, *quod abest a libris vulgatis, inserui de auctoritate cod. Vatic.*

οὐδὲν ἕτερον. Χρῶνται δὲ οὗτοι οὐ μόνον νέᾳ διαθήκῃ, ἀλλὰ καὶ παλαιᾷ, καθάπερ καὶ οἱ Ἰουδαῖοι. Οὐ γὰρ ἀπηγόρευται παρ' αὐτοῖς νομοθεσία καὶ προφῆται καὶ γραφεῖα τὰ παρὰ Ἰουδαίοις καλούμενα βιβλία, ὥςπερ παρὰ τοῖς προειρημένοις, οὐδέ τι ἕτερον οὗτοι φρονοῦσιν, ἀλλὰ κατὰ τὸ κήρυγμα τοῦ νόμου, καὶ ὡς οἱ Ἰουδαῖοι πάντα καλῶς ὁμολογοῦσι, χωρὶς τοῦ εἰς Χριστὸν δῆθεν πεπιστευκέναι. Παρ' αὐτοῖς γὰρ καὶ νεκρῶν ἀνάστασις ὁμολογεῖται, καὶ ἐκ Θεοῦ τὰ πάντα γεγενῆσθαι. Ἕνα δὲ Θεὸν καταγγέλλουσι, καὶ τὸν τούτου παῖδα Ἰησοῦν Χριστόν· Ἑβραϊκὴν δὲ διάλεκτον ἀκριβῶς εἰσιν ἠσκημένοι. Παρ' αὐτοῖς γὰρ πᾶς ὁ νόμος, καὶ οἱ προφῆται, καὶ τὰ Γραφεῖα λεγόμενα, pag. 123. φημὶ δὲ τὰ στιχήρη, καὶ αἱ Βασιλεῖαι, καὶ Παραλειπόμενα, καὶ Αἰσθὴρ, καὶ τἄλλα πάντα Ἑβραϊκῶς ἀναγινώσκεται, ὥςπερ ἀμέλει καὶ παρὰ Ἰουδαίοις. Ἐν τούτῳ δὲ μόνον πρὸς Ἰουδαίους διαφέρονται καὶ Χριστιανοὺς, Ἰουδαίοις μὲν μὴ συμφωνοῦντες, διὰ τὸ εἰς Χριστὸν πεπιστευκέναι, Χριστιανοῖς δὲ μὴ [1] ὁμογνωμονοῦντες, διὰ τὸ ἔτι νόμῳ πεπεδῆσθαι, περιτομῇ τε καὶ σαββάτῳ καὶ τοῖς ἄλλοις. Περὶ Χριστοῦ δὲ οὐκ οἶδα εἰπεῖν, εἰ καὶ αὐτοὶ τῇ τῶν προειρημένων περὶ Κήρινθον καὶ Μήρινθον μοχθηρίᾳ ἀχθέντες ψιλὸν ἄνθρωπον νομίζουσιν, ἢ, καθὼς ἡ ἀλήθεια ἔχει, διὰ πνεύματος ἁγίου γεγεννῆσθαι ἐκ Μαρίας διαβεβαιοῦνται. Ἔστι δὲ αὕτη ἡ αἵρεσις ἡ Ναζωραίων ἐν τῇ Βεροιαίων περὶ τὴν Κοίλην Συρίαν, καὶ ἐν τῇ Δεκαπόλει περὶ τὰ τῆς Πέλλης μέρη, καὶ ἐν τῇ Βασανίτιδι τῇ λεγομένῃ Κωκάβῃ, Χωχάβῃ δὲ Ἑβραϊστὶ λεγομένῃ. Ἐκεῖθεν γὰρ ἡ ἀρχὴ γέγονε μετὰ τὴν ἀπὸ τῶν Ἱεροσολύμων μετάστασιν, πάντων τῶν μαθητῶν τῶν ἐν Πέλλῃ ᾠκηκότων, Χριστοῦ φήσαντος καταλεῖψαι τὰ Ἱεροσόλυμα, καὶ ἀναχωρῆσαι, ἐπειδὴ ἤμελλε πάσχειν πολιορκίαν. Καὶ ἐκ τῆς τοιαύτης ὑποθέσεως τὴν Περαίαν οἰκήσαντες ἐκεῖσε, ὡς ἔφην, διέτριβον. Ἐντεῦθεν ἡ κατὰ τοὺς Ναζωραίους αἵρεσις ἔσχε τὴν ἀρχήν.

Κεφ. η'. Πεπλάνηνται δὲ καὶ οὗτοι, περιτομὴν αὐχοῦντες, καὶ ἔτι οἱ τοιοῦτοι ὑπὸ κατάραν εἰσὶ, μὴ δυνάμενοι τὸν νόμον πληρῶσαι. Πῶς γὰρ δυνήσονται πληροῦν τὰ ἐν τῷ νόμῳ εἰρημένα, ὅτι τρὶς τοῦ ἔτους ὀφθήσῃ ἐνώπιον κυρίου τοῦ Θεοῦ σου, κατά τε τὰ Ἄζυμα καὶ Σκηνοπηγίαν καὶ τὴν Πεντηκοστὴν, ἐν τῷ τόπῳ Ἱεροσολύμων; Ἀποκλεισθέντος γὰρ τοῦ νόμου, καὶ τῶν ἐν τῷ νόμῳ μὴ δυναμένων πληροῦσθαι, παντὶ τῷ νοῦν ἔχοντι σαφὲς ἂν εἴη ὅτι Χριστὸς ἦλθε πληρωτὴς τοῦ νόμου, οὐ τὸν νόμον καταλύσων, ἀλλὰ τὸν νόμον πληρώσων, καὶ ἀφελεῖν τὴν κατάραν τὴν κατὰ τῆς παραβάσεως τοῦ νόμου ὁρισθεῖσαν. Μετὰ γὰρ τὸ ἐντείλασθαι τὸν Μωϋσέα πᾶσαν ἐντολὴν, ἦλθεν ἐπὶ τὸ τέρμα τῆς βίβλου, καὶ συνέκλεισε τὸ πᾶν εἰς κατάραν, λέγων, Ἐπι-

CAP. VII. — 1. ὁμογνωμονοῦντες *edit. princ.* ὁμογνωμοῦντες *cod. Rhedig. et edit. Petav.*

sed et veteri testamento Iudaeorum instar utuntur. Neque enim apud illos legis libri, prophetae, aut hagiographa prohibentur, quae Iudaei Biblia nuncupant, ut et a Iudaeis approbantur; a quibus Nazaraei nulla in re dissentiunt, qui ad legis praescriptum ac Iudaeorum more omnia sua dogmata profitentur, nisi quod in Christum credunt. Nam et mortuos excitari putant, et a deo universa producta. Unum esse deum, eiusque filium Iesum Christum praedicant. Hebraicae vero linguae scientissimi sunt; ac cum universa lex apud illos, tum prophetae et hagiographa, hoc est libri illi qui versibus distincti sunt, et prophetae, Paralipomena, Esther, caeteraque id genus Hebraice ut et a Iudaeis leguntur. Hoc igitur uno tam a Iudaeis quam a Christianis differunt; ab illis quidem, quod in Christum credant, a Christianis vero, quod Iudaicis adhuc ritibus implicentur, velut circumcisione, sabbato, aliisque ceremoniis. De Christo vero certo illud affirmare nequeo, utrum Cerinthi vel Merinthi impietate illa decepti, simplicem illum hominem asseverent, an uti sese res habet, per spiritum sanctum de Maria virgine genitum esse fateantur. Caeterum haec Nazaraeorum secta in Beroeensi civitate potissimum viget, ac Coelen Syriam, atque etiam in Decapoli iuxta Pellam, et in Basanitide, in ea quae vulgo Cocabe, Hebraice Chochabe, dicitur. Hinc enim post illam ab Hierosolymis secessionem, illorum initia profecta sunt, cum Pellae discipuli omnes habitarent, a Christo de relinquenda Hierosolymorum urbe migrandoque praemoniti, quod eius immineret obsidio. Qua quidem occasione factum est, ut in Peraea iis quibus diximus locis degerent. Indeque Nazaraeorum haeresis sunt deducta primordia.

Verum et isti nihilominus aberrant, cum de circumcisione glo- Cap. VIII.
riantur; et execratione etiam nunc obstricti sunt, quod legem penitus observare nequeant. Quomodo enim legis observare mandatum istud poterunt: *Ter quotannis apparebis coram domino deo tuo per* Exod. 23, 17.
*azymorum dies, et scenopegiam, et pentecosten, in Hierosolymitano loco?* Cum enim lex interclusa sit, et quae ab ea praescribuntur perfici amplius non possint, cuilibet prudenti perspicuum est advenisse Christum, non ut legem everteret, sed ut eam ipsam impleret, et eam execrationem solveret, quae contra violatae legis crimen fuerat constituta. Posteaquam enim Moyses universam legem promulgavit, ad finem voluminis pervenit, ac sub maledicto cuncta conclusit: *Maledictus omnis qui non permanserit in omnibus quae scripta* Deut. 27, 26.

*κατάρατος πᾶς ὃς οὐκ ἐμμένει πᾶσι τοῖς λόγοις τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τούτῳ, τοῦ ποιῆσαι αὐτούς. Ἦλθεν οὖν λύων μὲν τὰ πε-*
pag. 124. *πεδημένα δεσμοῖς τοῖς τῆς κατάρας, χαριζόμενος δὲ ἡμῖν ἀντὶ τῶν μικρῶν τῶν μὴ δυναμένων πληροῦσθαι τὰ μείζονα, καὶ οὐ μαχόμενα θάτερον θατέρῳ πρὸς τὴν τοῦ ἔργου πλήρωσιν, ὡς τὰ πρότερα. Οὕτως γὰρ κατὰ πᾶσαν αἵρεσιν φθάνοντες ἐν τῇ περὶ σαββατισμοῦ καὶ περιτομῆς καὶ τῶν ἄλλων πολλάκις ἐπειργασάμεθα, πῶς ὁ κύριος ἡμῖν τὰ ἐντελέστερα κεχάρισται. Πῶς οὖν οἱ τοιοῦτοι δυνήσονται ἀπολογίαν ἔχειν, μὴ τῷ πνεύματι τῷ ἁγίῳ ὑπακούσαντες, τῷ διὰ τῶν ἀποστόλων εἰρηκότι τοῖς ἐξ ἐθνῶν πεπιστευκόσι, μὴ βάρος ἐπιτίθεσθαι, πλὴν τῶν ἐπάναγκες, ἀπέχεσθαι αἵματος καὶ πνικτοῦ καὶ πορνείας καὶ εἰδωλοθύτου; πῶς δὲ οὐκ ἐκπεσοῦνται τῆς τοῦ θεοῦ χάριτος, λέγοντος Παύλου τοῦ ἁγίου ἀποστόλου ὅτι, Ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει, οἵτινες ἐν νόμῳ καυχᾶσθε, τῆς χάριτος ἐξεπέσατε;*

Κεφ. θ΄. *Ἀρκέσει οὖν καὶ ἐν ταύτῃ τῇ αἱρέσει ἡ διὰ τῆς συντομίας παρ' ἡμῶν διάλεξις. Εὐθυέλεγκτοι γὰρ οἱ τοιοῦτοι, καὶ εὐάλωτοι, καὶ Ἰουδαῖοι μᾶλλον, καὶ οὐδὲν ἕτερον· πάνυ δὲ οὗτοι ἐχθροὶ τοῖς Ἰουδαίοις ὑπάρχουσιν. Οὐ μόνον γὰρ οἱ τῶν Ἰουδαίων παῖδες πρὸς τούτους κέκτηνται μῖσος, ἀλλὰ ἀνιστάμενοι [1] ἕωθεν, καὶ μέσης ἡμέρας, καὶ περὶ τὴν ἑσπέραν, τρὶς τῆς ἡμέρας, ὅτε εὐχὰς ἐπιτελοῦσιν ἐν ταῖς αὐτῶν συναγωγαῖς, ἐπαρῶνται αὐτοῖς καὶ ἀναθεματίζουσι φάσκοντες ὅτι, Ἐπικαταράσαι ὁ θεὸς τοὺς Ναζωραίους. Καὶ γὰρ τούτοις περισσότερον ἐνέχουσι, διὰ τὸ ἀπὸ Ἰουδαίων αὐτοὺς ὄντας Ἰησοῦν κηρύσσειν εἶναι Χριστὸν, ὅπερ ἐστὶν ἐναντίον πρὸς τοὺς ἔτι Ἰουδαίους, τοὺς Χριστὸν μὴ δεξαμένους. Ἔχουσι δὲ τὸ κατὰ Ματθαῖον εὐαγγέλιον πληρέστατον Ἑβραϊστί. Παρ' αὐτοῖς γὰρ σαφῶς τοῦτο, καθὼς ἐξ ἀρχῆς ἐγράφη, Ἑβραϊκοῖς γράμμασιν ἔτι σώζεται· οὐκ οἶδα δὲ εἰ καὶ τὰς γενεαλογίας, τὰς ἀπὸ τοῦ Ἀβραὰμ ἄχρι Χριστοῦ περιεῖλον. Ἀλλὰ καὶ ταύτην φωράσαντες ὡς βληχρὸν καὶ ὀδύνης ἐμποιητικὸν διὰ τοῦ ἰοῦ σφηκίον, καταθλάσαντές τε τοῖς τῆς ἀληθείας λόγοις, ἐπὶ τὰς ἑξῆς ἴωμεν, ὦ ἐπιπόθητοι, παρὰ θεοῦ αἰτοῦντες τὴν βοήθειαν.*

pag. 125.

## ΚΑΤΑ ΕΒΙΩΝΑΙΩΝ,
## δεκάτη, ἡ καὶ τριακοστή.

Κεφ. α΄. *Ἐβίων, ἀφ' οὗπερ Ἐβιωναῖοι, καθεξῆς ἀκολουθῶν, καὶ τὰ ὅμοια τούτοις φρονήσας, πολύμορφον τεράστιον, καὶ ὡς εἰπεῖν τῆς*

Cap. IX. — 1. ἕωθεν *emendatio Cornarii est, qui vertit* mane. *Editi libri Graeci et cod. Rhedig. habent* ἔσωθεν.

*sunt in libro hoc, ut faciat ea.* Eo itaque Christus advenit, ut quae dirae cuiusdam vinculis imprecationis erant obstricta solveret. Qui quidem pro exiguis illis, quae perfici non poterant, nobis magna concessit, in quibus exequendis nihil, ut in prioribus illis, est quod cum altero repugnet. Atque hoc fere modo in omni confutanda haeresi, quae sabbati, vel circumcisionis, vel alterius huiusmodi ritus observationem praescriberet, istud ipsum demonstrare studuimus, dominum nobis quae essent perfectiora tribuisse. Ecquidnam igitur ad sui excusationem afferre illi poterunt, qui spiritui sancto parere detrectant, ei inquam spiritui qui per apostolos edixerit, *ne gentilibus ad Christianam religionem traductis onus imponeretur aliud, quam haec necessaria, ut a sanguine, et suffocato, et fornicatione et idolis immolato sese continerent?* An non divina eos excidere gratia necesse est, cum ita sanctus Paulus apostolus scripserit: *Si circumcidamini, Christus nihil vobis proderit: quicumque in lege gloriamini a gratia excidistis?*

Act. 15, 20 — Galat. 5, 2.

Cap. IX. Quamobrem contra hanc etiam haeresin brevis ista nostra disputatio sufficiet. Facile enim isti refelli convincique possunt, ac Iudaei potius quam cuiusvis alterius generis sunt, tametsi Iudaeis sint inimicissimi. Neque enim Iudaeorum posteri solum capitali illos odio persequuntur, sed et mane, ac meridie, et ad vesperam, ter de die, cum in synagogis suis ad orandum conveniunt diris illos devovent, ac solenni imprecatione proscribunt. Ac Nazaraeos, inquiunt, deus execretur. In hos enim offensiore et acerbiore animo sunt, quod cum e Iudaeorum numero sint, nihilominus Iesum esse Christum praedicent, quod iis qui Iudaeorum adhuc ceremonias colunt, imprimis est contrarium, qui Christum videlicet repudiant. Est vero penes illos evangelium secundum Matthaeum, Hebraice scriptum, et quidem absolutissimum. Hoc enim certissime, prout Hebraicis literis initio scriptum est, in hodiernum tempus usque conservant. Verum illud nescio, num genealogias illas amputarint quae ab Abraamo ad Christum usque perductae sunt. Postremo cum illam haeresin sic tanquam imbecillem quendam et venenatum crabronem deprehenderimus ac veritatis oratione obtriverimus, nos ad alias deinceps, o carissimi, divino freti praesidio conferamus.

## ADVERSUS EBIONAEOS,
## quae est haeresis X., vel XXX.

Cap. I. Nazaraeos Ebion, a quo Ebionitae dicti, proxime consequitur, eademque cum illis dogmata profitetur. Quod horrendum monstrum

μυθευομένης πολυκεφάλου Ὕδρας ὀφιώδη μορφὴν ἐν ἑαυτῷ ἀνατυπωσάμενος, πάλιν ἐπανέστη τῷ βίῳ, ἐκ τῆς τούτων μὲν σχολῆς ὑπάρχων, ἕτερα δὲ παρὰ τούτους κηρύττων καὶ ὑφηγούμενος. Ὡς γὰρ εἴ τις συνάξειεν ἑαυτῷ ἐκ διαφόρων λίθων τιμίων κόσμον, καὶ ποικίλης ἐσθῆτος ἔνδυμα, καὶ διαφανῶς ἑαυτὸν κοσμήσει, οὕτω καὶ οὗτος τὸ ἀνάπαλιν πᾶν ὁτιοῦν δεινὸν καὶ ὀλετήριον καὶ βδελυκτὸν κήρυγμα, ἄμορφόν τε καὶ ἀπίθανον, ἀζηλίας ἔμπλεων, παρ' ἑκάστης αἱρέσεως λαβὼν ἑαυτὸν ἀνετύπωσεν εἰς ἁπάσας. Σαμαρειτῶν μὲν γὰρ ἔχει τὸ βδελυρὸν, Ἰουδαίων δὲ τὸ ὄνομα, Ὀσσαίων δὲ καὶ Ναζωραίων καὶ Νασαραίων τὴν γνώμην, Κηρινθιανῶν τὸ εἶδος, Καρποκρατιανῶν τὴν κακοτροπίαν, καὶ Χριστιανῶν βούλεται ἔχειν τὴν προσηγορίαν (οὐ γὰρ δήπουθεν τήν τε πρᾶξιν καὶ τὴν γνώμην καὶ τὴν γνῶσιν, καὶ τὴν τῶν εὐαγγελίων καὶ ἀποστόλων περὶ πίστεως συγκατάθεσιν)· μέσος δὲ, ὡς εἰπεῖν, ἁπάντων τυγχάνων οὐδὲν πέφυκεν, ἀλλὰ ἐπ' αὐτῷ πληροῦται τὸ γεγραμμένον, Παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ, μέσον ἐκκλησίας καὶ συναγωγῆς. Σαμαρείτης μὲν οὖν ὢν διὰ τῆς βδελυρίας τοὔνομα ἀρνεῖται, Ἰουδαῖον δὲ ἑαυτὸν ὁμολογῶν Ἰουδαίοις ἀντίκειται, καίτοι συμφωνῶν αὐτοῖς ἐν μέρει, ὡς ὕστερον ἐν ταῖς περὶ τούτου ἀποδείξεσι [1] καὶ τοῦ κατ' αὐτῶν ἐλέγχου παραστήσομεν, θεοῦ ἐπιβοηθοῦντος.

Κεφ. β'. Οὗτος γὰρ ὁ Ἐβίων σύγχρονος μὲν τούτων ὑπῆρχεν, ἀπ' αὐτῶν δὲ σὺν αὐτοῖς ὁρμᾶται. Τὰ πρῶτα δὲ ἐκ παρατριβῆς καὶ σπέρματος ἀνδρὸς, τουτέστι τοῦ Ἰωσὴφ, τὸν Χριστὸν γεγεννῆσθαι ἔλεγεν, ὡς
pag. 126. καὶ ἤδη ἡμῖν προείρηται ὅτι τὰ ἴσα τοῖς ἄλλοις ἐν ἅπασι φρονῶν ἐν τούτῳ μόνῳ διεφέρετο, ἐν τῷ τῷ νόμῳ τοῦ Ἰουδαϊσμοῦ προσανέχειν κατὰ σαββατισμὸν καὶ κατὰ τὴν περιτομὴν, καὶ κατὰ τὰ ἄλλα πάντα, ὅσαπερ παρὰ Ἰουδαίοις καὶ Σαμαρείταις ἐπιτελεῖται. Ἔτι δὲ πλεῖον οὗτος παρὰ τοὺς Ἰουδαίους ὁμοίως τοῖς Σαμαρείταις διαπράττεται. Προσέθετο γὰρ τὸ παρατηρεῖσθαι ἅπτεσθαί τινων τῶν ἀλλοεθνῶν, καθ' ἑκάστην δὲ ἡμέραν, εἴ ποτε γυναικὶ συναφθείη, καὶ ἀπ' αὐτῆς ἀναστῇ, βαπτίζεσθαι ἐν τοῖς ὕδασιν, εἴπου δὲ ἂν εὐποροίη, ἢ θαλάσσης, ἢ ἄλλων ὑδάτων. Ἀλλὰ καὶ εἰ συναντήσειέ τινι ἀνιὼν ἀπὸ τῆς τῶν ὑδάτων καταδύσεως καὶ βαπτισμοῦ, ὡσαύτως πάλιν ἀνατρέχει βαπτίζεσθαι, πολλάκις καὶ σὺν τοῖς ἱματίοις. Τὰ νῦν δὲ ἀπηγόρευται παν-

Cap. I. — 1. *Sic cod. Rhedig. et editus liber uterque. Reponendum videtur aut* κἀκ τοῦ κατ' αὐτῶν ἐλέγχου *aut* κἂν τῷ κατ' αὐτῶν ἐλέγχῳ. *Cornarius*

ac multiplex, et, ut ita dicam, fabulosae illius ac multorum capitum Hydrae serpentinam in sese figuram exprimens, rursus ad exitium humani generis erupit. Ac licet ex illorum disciplina prodierit, nonnulla tamen praeterquam ab illis doceantur asseruit atque proposuit. Ut enim si quis variis ex lapillis ornatum sibi aliquem conficiat, aut variegatam coloribus vestem induat, atque exquisitam quandam elegantiam adhibeat, sic ille contra omnibus undique perniciosis ac pestiferis dogmatibus arcessitis, quicquid unaquaeque haeresis horrendum imprimis et exitiabile ac detestandum asserit, turpe inquam et absonum absurditatisque plenum et odiosum e singulis dogma concinnans omnium in se formas speciesque transtulit. Nam Samaritanorum impuram superstitionem affectavit. A Iudaeis porro nomen accepit, ab Ossaeis, Nazaraeis et Nasaraeis dogmata, Cerinthianorum deinde formam, Carpocratianorum nequitiam, Christianorum denique appellationem usurpare contendit. Neque enim ab his postremis cum nomine facta ipsa pariter, ac mentem cognitionemque, et evangeliorum atque apostolorum de fide consensionem expressit. Qui cum medius sit, ut ita dicam, inter omnes, proprie nullus est, in eoque quod scriptum est impletur, *Paulo minus versatus sum in omni* Prov. 5, 14.
*malo, in medio ecclesiae, et synagogae.* Igitur cum revera Samaritanus ob execrandam nequitiam sit, istiusmodi tamen appellationem reiicit, et cum se idem Iudaeum faciat Iudaeis refragatur, quamquam cum his aliqua ex parte consentit, uti postea, cum ad eius rei probationem, et haereticorum eiusmodi confutationem perventum fuerit, deo adiuvante monstrabimus.

Siquidem Ebion iste priorum illorum aequalis fuit, et eandem Cap. II.
cum ipsis originem accepit. Ac primum e virili concubitu ac semine, puta Iosephi, natum esse Christum asseruit, ut ante significavimus, cum ita diximus, hunc ceteris in rebus eadem cum aliis sentientem, hac una re discrepare quod Iudaeorum ritus ac ceremonias amplexus sit, veluti sabbatum ac circumcisionem, aliaque id genus perinde atque a Iudaeis ac Samaritanis observantur. Quinetiam plura iste quam Iudaei Samaritanorum imitatione complectitur. Nam et hoc adiecit, ut ab externorum hominum tactu sese contineret, utque diebus singulis quoties mulierem attigisset, ab eiusque complexu surgeret, aqua sese prolueret, sicubi eius esset copia, marinae videlicet aut alterius generis. Quod si ab illa lotione ac mersione rediens in quempiam incurrat, denuo ad abluendum sese, saepe etiam cum ipsis vestimentis regreditur. Hodie vero virginitas apud illos

*vertit:* in demonstrationibus de hoc et in ipsius confutatione deo opitulante declarabimus.

τάπασι παρ' αὐτοῖς παρθενία τε καὶ ἐγκράτεια, ὡς καὶ παρὰ ταῖς ἄλλαις ὁμοίαις ταύτῃ αἱρέσεσι. Ποτὲ γὰρ παρθενίαν ἐσεμνύνοντο, δῆθεν διὰ τὸν Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου, καὶ τὰ αὐτῶν συγγράμματα πρεσβυτέροις καὶ παρθένοις γράφουσι. Γέγονε δὲ ἡ ἀρχὴ τούτου μετὰ τὴν τῶν Ἱεροσολύμων ἅλωσιν. Ἐπειδὴ γὰρ πάντες οἱ εἰς Χριστὸν πεπιστευκότες τὴν Περαίαν κατ' ἐκεῖνο καιροῦ κατῴκησαν τὸ πλέον, ἐν Πέλλῃ τινὶ πόλει καλουμένῃ τῆς Δεκαπόλεως τῆς ἐν τῷ εὐαγγελίῳ γεγραμμένης, πλησίον τῆς Βαταναίας καὶ Βασανίτιδος χώρας, τὸ τηνικαῦτα ἐκεῖ μεταναστάντων, καὶ ἐκεῖσε διατριβόντων αὐτῶν, γέγονεν ἐκ τούτου πρόφασις τῷ Ἐβίωνι. Καὶ ἄρχεται μὲν τὴν κατοίκησιν ἔχειν ἐν Κωκάβῃ τινὶ κώμῃ ἐπὶ τὰ μέρη τῆς Καρναΐμ, Ἀρνὲμ καὶ Ἀσταρὼθ, ἐν τῇ Βασανίτιδι χώρᾳ, ὡς ἡ ἐλθοῦσα εἰς ἡμᾶς γνῶσις περιέχει. Ἔνθεν ἄρχεται τῆς κακῆς αὐτοῦ διδασκαλίας, ὅθεν δῆθεν καὶ οἱ Ναζαρηνοὶ οἱ ἄνομοι προδεδήλωνται. Συναφθεὶς γὰρ οὗτος ἐκείνοις, καὶ ἐκεῖνοι τούτῳ, ἑκάτερος ἀπὸ τῆς ἑαυτοῦ μοχθηρίας τῷ ἑτέρῳ μετέδωκε. Καὶ διαφέρονται μὲν ἕτερος πρὸς τὸν ἕτερον κατά τι, ἐν δὲ τῇ κακονοίᾳ ἀλλήλους ἀπεμάξαντο. Ἤδη δέ μοι καὶ ἐν ἄλλοις λόγοις καὶ κατὰ τὰς ἄλλας αἱρέσεις περὶ τῆς τοποθεσίας Κωκάβων καὶ τῆς Ἀραβίας διὰ πλάτους εἴρηται.

Κεφ. γ'. Καὶ τὸ μὲν πρῶτον [1] οὗτος ὁ Ἐβίων, ὡς ἔφην, Χριστὸν ἐκ σπέρματος ἀνδρὸς, τουτέστι τοῦ Ἰωσὴφ, ὡρίζετο. Ἐκ χρόνου δέ τινος καὶ δεῦρο οἱ αὐτοῦ ὡς εἰς ἀσύστατον καὶ ἀμήχανον τρέψαντες τὸν ἴδιον
pag. 127. νοῦν ἄλλοι ἄλλως παρ' αὐτοῖς [2] περὶ Χριστοῦ διηγοῦνται. Τάχα δὲ οἶμαι ἀπὸ τοῦ συναφθῆναι αὐτοῖς Ἠλξαῖον τὸν ψευδοπροφήτην, τὸν παρὰ τοῖς [3] Σαμψηνοῖς καὶ Ὀσσηνοῖς καὶ Ἐλκεσσαίοις καλουμένοις, ὡς ἐκεῖνος φαντασίαν τινὰ περὶ Χριστοῦ διηγεῖται, καὶ περὶ πνεύματος ἁγίου. Τινὲς γὰρ ἐξ αὐτῶν καὶ Ἀδὰμ τὸν Χριστὸν εἶναι λέγουσι, τὸν πρῶτον πλασθέντα τε καὶ ἐμφυσηθέντα ἀπὸ τῆς τοῦ θεοῦ ἐπιπνοίας. Ἄλλοι δὲ ἐν αὐτοῖς λέγουσιν ἄνωθεν μὲν ὄντα, πρὸ πάντων δὲ κτισθέντα πνεῦμα ὄντα, καὶ ὑπὲρ ἀγγέλους ὄντα, πάντων τε κυριεύοντα, καὶ Χριστὸν λέγεσθαι, τὸν ἐκεῖσε δὲ αἰῶνα κεκληρῶσθαι· ἔρχεσθαι δὲ ἐνταῦθα ὅτε βούλεται, ὡς καὶ ἐν τῷ Ἀδὰμ ἦλθε καὶ τοῖς πατριάρχαις ἐφαίνετο ἐνδυόμενος τὸ σῶμα. Πρὸς Ἀβραὰμ τε ἐλθὼν καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὁ αὐτὸς ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἦλθε, καὶ αὐτὸ τὸ σῶμα τοῦ Ἀδὰμ ἐνεδύσατο, καὶ ὤφθη ἄνθρωπος, καὶ ἐσταυρώθη, καὶ ἀνέστη, καὶ ἀνῆλθεν. Πάλιν δὲ ὅτε βούλονται λέγουσιν, οὐχὶ, ἀλλὰ

CAP. III. — 1. *Pronomen* οὗτος *adieci ex cod. Vatic.*

2. περὶ *desideratur in edit. Petaviana, certe Lipsiensi.*

3. *Sic cod. Vatic. In cod. Rhedig. et in ed. pr. legitur* ἀμψηνοῖς. *Illud restituendum iam vidit Cornarius, qui convertit:* Fortasse autem ab eo quod coniunctus fuit ipsis Elxaeus pseudopropheta, apud Sampsenos et Ossenos ac

et castitas omnino prohibetur, id quod et ceterae omnes eiusmodi haereses usurpant. Nam olim de virginitate gloriari solebant, nimirum ob Iacobum fratrem domini, adeoque libros suos ad seniores et virgines inscribunt. Sed huius factionis exordium post Hierosolymitanae urbis excidium coepit. Quo tempore Christiani omnes cum in Peraea degerent, atque in urbe Pella potissimum, quae in Decapolitana provincia est, cuius extat in evangelio mentio, prope Batanaeam ac Basanitidem: cum illic, inquam, domicilium collocassent, Matth. 4, 25. hinc Ebioni data est propagandi erroris occasio. Qui in pago quo- Marc. 5, 20. et 7, 31. dam Cocabe in regione Carnaimorum, Arnemi et Astarotharum, et Basanitidis tractu habitare coepit, quemadmodum vetus ad nos usque fama pertulit. Inde igitur pessimi praedicandi dogmatis initium sumpsit, unde et impios Nazarenos coepisse docuimus. Ambo enim collatis inter se capitibus suam alter cum altero improbitatem ac nequitiam communicavit. Atque etsi quadamtenus a se mutuo dissideant, in excogitando tamen pravissimo dogmate sese invicem expresserunt. Ceterum memini me aliis in locis, cum adversus alias haereses contenderem, de Cocaborum situ atque Arabia disputasse.

Cap. III. Principio igitur Ebion, ut dixi, Christum e viri semine, nimirum Iosephi, genitum affirmabat. Verum aliquanto abhinc tempore in hodiernum usque diem qui eius errorem secuti sunt, animis eorum in absurda ac perplexa quaedam abreptis, alii aliter de Christo pronuntiant. Ac suspicari sane licet ab eo tempore quo se illis Elxaeus adiunxit falsus quidam propheta, qui apud Sampsenos et Ossenos atque Elcessaeos extitit, ab eodem edoctos confictum de Christo ac spiritu sancto nescio quid effutire coepisse. Nonnulli enim ex iis Adamum fuisse Christum praedicant, illum inquam Adamum, qui primus a deo formatus eiusdem est animatus afflatu. Alii e coelo Christum esse confitentur, sed ante omnia creatum, ac spiritum esse quendam, angelisque praestare, atque omnium rerum dominatum tenere, appellari porro Christum. Qui cum perpetuam illic habitationem sortitus sit, quoties libuerit in haec infima delabitur, quemadmodum in Adamo descendit, et patriarchis corpore circumfusus apparuit, velut cum ad Abrahamum, Isaacum, et Iacobum adiit. Idem denique postremis temporibus venit, Adami corpore contectus, et homo visus est, in crucem sublatus resurrexit, et ascendit in coelum. Rursus ubi libuerit ita sese rem habere ne-

Helcessaeos appellatos, velut ille imaginationem quandam de Christo et de sancto Spiritu recensent. *Verterim ego:* „cum ille figmentum quoddam ac nugas nescio quas de Christo et de sancto spiritu narret.“

εἰς αὐτὸν ἦλθε τὸ πνεῦμα, ὅπερ ἐστὶν ὁ Χριστὸς, καὶ ἐνεδύσατο αὐτὸν τὸν Ἰησοῦν καλούμενον. Καὶ πολλὴ παρ' αὐτοῖς σκότωσις, ἄλλοθι ἄλλως καὶ ἄλλως αὐτὸν ὑποτιθεμένοις. Καὶ δέχονται μὲν καὶ αὐτοὶ τὸ κατὰ Ματθαῖον εὐαγγέλιον. Τούτῳ γὰρ καὶ αὐτοὶ, ὡς καὶ οἱ κατὰ Κήρινθον χρῶνται μόνῳ· καλοῦσι δὲ αὐτὸ κατὰ Ἑβραίους, ὡς τὰ ἀληθῆ ἐστιν εἰπεῖν ὅτι Ματθαῖος μόνος Ἑβραϊστὶ καὶ Ἑβραϊκοῖς γράμμασιν ἐν τῇ καινῇ διαθήκῃ ἐποιήσατο τὴν τοῦ εὐαγγελίου ἔκθεσίν τε καὶ κήρυγμα. Ἤδη δέ που καί τινες πάλιν ἔφασαν καὶ ἀπὸ τῆς Ἑλληνικῆς διαλέκτου καὶ τὸ κατὰ Ἰωάννην μεταληφθὲν εἰς Ἑβραΐδα ἐμφέρεσθαι ἐν τοῖς τῶν Ἰουδαίων γαζοφυλακίοις, φημὶ δὲ τοῖς ἐν Τιβεριάδι, καὶ ἐναποκεῖσθαι ἐν ἀποκρύφοις, ὥς τινες τῶν ἀπὸ Ἰουδαίων πεπιστευκότων ὑφηγήσαντο ἡμῖν κατὰ λεπτότητα. Οὐ μὴν ἀλλὰ καὶ τῶν Πράξεων τῶν Ἀποστόλων τὴν βίβλον ὡσαύτως ἀπὸ Ἑλλάδος γλώσσης εἰς Ἑβραΐδα μεταβληθεῖσαν λόγος ἔχει, καὶ ἐκεῖσε κεῖσθαι ἐν τοῖς γαζοφυλακίοις, ὡς καὶ ἀπὸ τούτου τοὺς ἀναγνόντας Ἰουδαίους τοὺς ἡμῖν ὑφηγησαμένους εἰς Χριστὸν πεπιστευκέναι.

Κεφ. δ'. Ἦν δέ τις αὐτῶν Ἰώσηπος, οὐχ ὁ συγγραφεὺς καὶ ἱστοριογράφος
pag. 128. καὶ παλαιὸς ἐκεῖνος, ἀλλ' ὁ ἀπὸ Τιβεριάδος, ὁ ἐν χρόνοις τοῦ μακαρίτου Κωνσταντίνου τοῦ βασιλεύσαντος, τοῦ γέροντος, ὃς καὶ παρ' αὐτοῦ τοῦ βασιλέως ἀξιώματος [1] κομήτων ἔτυχε, καὶ ἐξουσίαν εἴληφεν ἐν τῇ αὐτῇ Τιβεριάδι ἐκκλησίαν Χριστῷ ἱδρῦσαι, καὶ ἐν Διοκαισαρείᾳ, καὶ ἐν Καπερναοὺμ, καὶ ταῖς ἄλλαις, ὃς καὶ πολλὰ πέπονθεν ὑπ' αὐτῶν τῶν Ἰουδαίων, πρὶν ἢ τῷ βασιλεῖ ἐμφανισθῆναι. Οὗτος γὰρ ὁ Ἰώσηπος τῶν παρ' αὐτοῖς ἀξιωματικῶν ἀνδρῶν ἐναρίθμιος ἦν. Εἰσὶ δὲ οὗτοι μετὰ τὸν πατριάρχην ἀπόστολοι καλούμενοι, προσεδρεύουσι δὲ τῷ πατριάρχῃ, καὶ σὺν αὐτῷ πολλάκις καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ συνεχῶς διάγουσι, διὰ τὸ συμβουλεύειν καὶ ἀναφέρειν αὐτῷ τὰ κατὰ τὸν νόμον. Ὁ δὲ πατριάρχης κατ' ἐκεῖνο καιροῦ Ἑλλὴλ τοὔνομα ἦν (νομίζω γὰρ ὅτι οὕτως τὸ ὄνομα αὐτοῦ Ἰώσηπος ἔλεγεν, εἰ μὴ ἀπὸ τοῦ χρόνου σφάλλομαι), ἐκ γένους δὲ Γαμαλιὴλ ἐτύγχανε, τοῦ παρ' αὐτοῖς γενομένου πατριάρχου. Ἔστι δὲ διανοηθῆναι, ὡς καὶ ἄλλοι οὕτως ὑπέθεντο, τοῦτον εἶναι γένος ἐκείνου τοῦ πρώτου Γαμαλιὴλ, τοῦ ἐπὶ τοῦ σωτῆρος, τοῦ κατὰ θεὸν συμβουλεύσαντος ἀποσχέσθαι τῆς κατὰ τῶν ἀποστόλων ἐπιβουλῆς. Τελευτῶν δὲ ὁ Ἑλλὴλ ἠξίωσε τὸν κατ' ἐκεῖνο καιροῦ ἐπίσκοπον πλησιόχωρον τῆς Τιβερίων ὄντα, καὶ ἐκομίσατο παρ' αὐτοῦ τὸ ἅγιον λουτρὸν ἐπὶ τῇ ἐξόδῳ, διὰ προφάσεως τῆς ἰατρικῆς ὑποθέσεως. Μεταστειλάμενος γὰρ αὐτὸν διὰ τοῦ προειρημένου Ἰωσήπου, ὡς ἰατρὸν ὄντα, καὶ ποιήσας πάντας ἔξω γενέσθαι, παρεκάλεσε τὸν ἐπίσκοπον, λέγων, Δώρησαί μοι τὴν ἐν Χριστῷ σφραγῖδα. Ὁ δὲ μετακαλεσάμενος τοὺς ἐξυπηρετουμένους προςέταξεν ὕδωρ

Cap. IV. — 1. *Libri editi et cod. Rhedig.* κομίτων. *Cf. infra cap.* 5.

gant, in eumque duntaxat sese sanctum infudisse spiritum qui est ipse Christus, eumque qui Iesus vocatus est induisse. Quamobrem densissima quaedam illis est offusa caligo, dum alias aliter de Christo opinione sua statuunt. Atque evangelium illi quidem secundum Matthaeum admittunt, quo solo Cerinthianorum vel Merinthianorum instar utuntur, idque ipsum secundum Hebraeos appellant. Etenim vere illud affirmare possumus, unum ex omnibus novi testamenti scriptoribus Matthaeum Hebraice, ac literis Hebraicis evangelicam historiam texuisse. Nec defuere qui de Ioannis evangelio confirmarent, illud Hebraice translatum Tiberiade in Iudaeorum gazophylaciis asservari, et in secretioribus quibusdam penetralibus recondi; id quod nonnulli mihi, qui se ad Christi fidem e Iudaismo transtulerant, accuratissime declararunt. Imo et Apostolorum Actus in Hebraicum sermonem perinde conversos e Graeco iisdem in thesauris haberi multorum sermone percrebuit, qui nobis ista narrabant indidem Christianae amplectendae fidei occasionem acceperunt.

Fuit ex illorum numero Iosephus quidam, non historiae ille scriptor antiquus, sed Tiberiadensis alter, qui beatae memoriae Constantini senioris imperatoris aetate vixit; a quo etiam comitivam accepit, cum ea potestate, ut cum in urbe ipsa Tiberiadis, tum Diocaesareae, Capharnaumi, ac vicinis aliis in oppidis ecclesias in Christi honorem extrueret. Qui quidem priusquam ad imperatoris notitiam pervenisset, quamplurima ab ipsis Iudaeis est passus. Etenim hic ipse Iosephus ex illorum erat ordine qui apud Iudaeos principem locum dignitatis obtinent, quos quidem secundum patriarcham apostolos nominant. Assident hi patriarchae, et cum eo saepius diu noctuque versantur, quod eidem a consiliis sint, ac de iis referant quae ad legem pertinere videntur. Erat tum patriarchae nomen Ellel. Ita enim et a Iosepho nominari solitum arbitror, nisi me ob temporis longinquitatem fallit memoria. Is e stirpe Gamalielis originem traxerat, qui patriarchatum apud illos tenuit. Quem etiam suspicari merito possumus, ut a plerisque proditum est, e primi illius Gamalielis genere esse prognatum qui sub Christi domini passionem auctor eius consilii Iudaeis fuit, ut a persequendis apostolis abstinerent. Moriens Ellel vicinum episcopum Tiberiensem arcessit, ab eoque lotione sacra sub vitae exitum per medicinae speciem expiatur. Cum enim episcopum per Iosephum velut medicum evocasset, facessere iussis omnibus, supplex illum interpellat his verbis: *Quaeso te*, inquit, *mihi ut Christi signum impertias*. Tum ab-

Cap. IV.

ἑτοιμασθῆναι, ὡς τῆς νόσου ἕνεκα βοήθημά τι προςφέρειν μέλλων δι' ὑδάτων νοσοῦντι βαρέως τῷ πατριάρχῃ. Οἱ δὲ ἐποίησαν τὰ ἐπιτεταγμένα. Οὐ γὰρ ἐγνώκεισαν. Αἰδοῦς δὲ χάριν προφασισάμενος τοὺς πάντας ἔξω ποιήσας ὁ πατριάρχης τοῦ λουτροῦ καταξιοῦται, καὶ μυστηρίων ἁγίων.

Κεφ. ε'. Ὁ δὲ Ἰώσηπος ἐμοὶ αὐτῷ διηλέχθη. Ἐκ στόματος γὰρ αὐτοῦ ἀκήκοα πάντα ταῦτα, καὶ οὐκ ἀπὸ ἄλλου τινὸς, ἐν τῇ γηραλέᾳ αὐτοῦ ἡλικίᾳ, ὡς περί που ἐτῶν ἑβδομήκοντα γεγονότος αὐτοῦ, ἢ καὶ πλειόνων. Παρ' αὐτῷ γὰρ κατήχθην ἐν Σκυθοπόλει. Μεταστὰς γὰρ τῆς Τιβεριάδος [1] κτίσεις ἐκεῖ ἐν Σκυθοπόλει διαφανεῖς ἐκτήσατο. Ἐν γὰρ
pag. 129. τῇ οἰκίᾳ αὐτοῦ [2] ὁ μακαρίτης Εὐσέβιος ὁ τῆς Ἰταλίας ἐπίσκοπος [3] Βριγγέλλας πόλεως, ἐξορισθεὶς ὑπὸ Κωνσταντίου, διὰ τὴν πίστιν τῆς ὀρθοδοξίας ἐξενίζετο. Καὶ ἐπὶ τὴν ἐπίσκεψιν τούτου ἐγώ τε καὶ οἱ ἄλλοι ἀδελφοὶ ἐκεῖσε γενόμενοι καὶ αὐτοὶ παρ' αὐτῷ κατήχθημεν. Συντυχόντες δὲ τῷ Ἰωσήπῳ ἐπὶ τῆς αὐτοῦ οἰκίας, καὶ τὰ κατ' αὐτὸν ἐρωτῶντες, καὶ γνόντες ὅτι τῶν ἐμφανῶν ὑπῆρχε παρὰ Ἰουδαίοις, ἀνετάζοντες καὶ τὴν κατ' αὐτὸν ὑπόθεσιν, καὶ [4] πῶς εἰς τὸν Χριστιανισμὸν μετῆλθεν, ἀκηκόαμεν ταῦτα πάντα σαφῶς, καὶ οὐκ ἀπὸ ἐνηχήσεως ἑτέρου τινός. Ὅθεν καὶ ἀξιομνημόνευτα εἰς οἰκοδομὴν πιστῶν νομίσαντες τὰ κατὰ τὸν ἄνδρα πραγματευθέντα, διὰ τὴν αἰτίαν τῶν ἐν τοῖς γαζοφυλακίοις εἰς Ἑβραΐδα μετατεθέντων, οὐ παρέργως τὴν πᾶσαν αἰτίαν τοῦ προειρημένου Ἰωσήπου παρεθέμεθα. Ἦν γὰρ ὁ ἀνὴρ οὐ μόνον Χριστιανὸς, πιστὸς καταξιωθεὶς γενέσθαι, ἀλλὰ καὶ Ἀρειανοὺς σφόδρα στηλιτεύων. Ἐν γὰρ τῇ πόλει ἐκείνῃ, Σκυθοπόλει φημὶ, μόνον οὗτος ὀρθόδοξος ὑπῆρχε, πάντες δὲ Ἀρειανοί. Καὶ εἰ μὴ ὅτι κόμης ἦν, καὶ τὸ τοῦ κόμητος ἀξίωμα ἐκώλυεν ἀπ' αὐτοῦ τὸν τῶν Ἀρειανῶν διωγμὸν, οὐκ ἂν ὑπέστη κἂν ἐν τῇ πόλει διατρίβειν ὁ ἀνὴρ, μάλιστα ἐπὶ Πατροφίλου τοῦ Ἀρειανοῦ ἐπισκόπου, τοῦ πολλὰ ἰσχύσαντος πλούτῳ τε καὶ αὐστηρίᾳ, καὶ τῇ πρὸς τὸν βασιλέα Κωνστάντιον γνώσει τε καὶ παρρησίᾳ. Ἦν δὲ καὶ ἄλλος τις νεώτερος ἐν τῇ πόλει ἀπὸ Ἑβραίων ὀρθῶς πιστεύων, ὃς οὐκ ἐτόλμα κατὰ τὸ φανερὸν, [5] ἀλλὰ καὶ κρυφαίως ἡμᾶς ἐπεσκέπτετο. Πιθανὸν δέ τι ὁ Ἰώσηπος καὶ γελοιῶδες ὑφηγεῖτο, οἶμαι δὲ ταῦτα ὅτι καὶ ἠλήθευεν. Ἔφασκε γὰρ ὅτι τελευτησάσης τῆς αὐτοῦ συμβίου, δεδιὼς μή πη ἄρα ἁρπάζωσιν αὐτὸν οἱ Ἀρειανοὶ καὶ καταστήσωσι κληρικὸν — πολλάκις γὰρ κολακεύσαντες αὐτὸν πεισθῆναι τῇ αἱρέσει ὑπισχνοῦντο μείζονας προκοπὰς, εἰ δέον καὶ

Cap. V. — 1. *Sic editus liber uterque et cod. Rhedig. At Cornarius latine interpretatus est* possessiones, *ut* κτήσεις *corrigendum censuisse videatur, quod etiam mihi probatum est. Nihilominus retinui vulgatam, praesertim cum etiam supra, haer.* 26, 9., κτίσεις *sic positum vidissem.*

2. ὁ *articulum adieci ex codd. Vatic. et Rhedig.*

citis ministris aquam inferri iubet, tanquam aegrotanti patriarchae morbi quoddam ex aqua remedium parare vellet. Illi quid strueret ignari imperata faciunt. Inde verecundiam simulans, et universos abire iubens patriarcha sacro baptismate ac divinis mysteriis initiatus est.

Mihi vero haec uti dixi omnia Iosephus ipse narrabat. Haec inquam non aliunde quam ex ipsomet illius ore didici, cum affecta iam aetate foret, ac LXX plus minus annum ageret. Ad hunc Scythopoli diverteram, quo se Tiberiade ille contulerat, ibique splendida quaedam aedificia sibi comparaverat. Tum enim Eusebius Vercellensis in Italia episcopus, a Constantio ob fidei integritatem exulare iussus, ab illo hospitio erat exceptus. Cuius invisendi gratia cum ego et fratres quidam alii venissemus, iisdem nos aedibus recepti fuimus. Ubi cum Iosepho familiariter versati, deque eo sciscitati quid ipsi demum accidisset, quod eum apud Iudaeos illustrem fuisse sciremus, quive gestae rei esset ordo, ac quemadmodum ad Christianos transisset, haec ab illo omnia auditione certa, non aliena fide explorata didicimus. Quae cum ad fidelium utilitatem memoria digna cumprimis arbitremur, propter eos libros qui in Iudaeorum thesauris servantur Hebraico sermone translati, quae ad Iosephum illum pertinerent accuratius exequi voluimus. Nam is non modo Christianus erat, eamque fidem susceperat, sed et Arianos summa infamia traducebat. Quippe unus ipse rectam ac sinceram fidem Scythopoli retinebat, cum reliqui essent Ariani. Quod nisi comitis dignitate fuisset praeditus, ut hic eum honor ab Arianorum violentia tueretur, ne in ipsa quidem urbe vir ille constitisset, praesertim sub Patrophilo Ariano episcopo, qui et opibus et crudelitate et apud imperatorem Constantium familiaritate atque audacia plurimum poterat. In eadem etiam urbe quidam erat aetate iunior, qui e Iudaeo traductus ad Christum sinceram fidem retinebat, isque quod minime palam auderet, clanculum ad nos veniebat. Sed Iosephus lepidum quiddam nobis ac ridiculum narrabat, nec dubito quin sit verissimum. Aiebat enim mortua coniuge veritum se ne ab Arianis violenter abreptus clericus fieret, — saepe enim blande illum adeuntes, ut ad suam factionem transiret hortabantur, ac maioris spe processus alliciebant, ut vel si necesse foret episcopatum ostenderent, — Cap. V.

3. Fregellae *convertit Cornarius. Petavio placuit* Βερχέλλας.

4. *In Petavii editione, certe in Lipsiensi, mendosissime exaratum invenio* πῶς τὸν εἰς Χρ.

5. *Repono* ἀλλά γε χρυφαίως. *Olim placuit* ἀλλὰ καταχρυφαίως. *In cod. Rhedig. extat* ἀλλὰ χαιχρυφαίως.

ἐπισκοπῆς αὐτὸν καταξιοῦν, — ὁ δὲ ἔφασκε τούτου χάριν συνῆφθαι
καὶ ἑτέρᾳ γυναικὶ, ὅπως διαδράσοι τὰς αὐτῶν χειροτονίας.

Κεφ. ς'. Ἀλλὰ ἐπάνειμι τὴν ὑφήγησιν τῆς κατὰ τὸν πατριάρχην ὑποθέσεως
καὶ αὐτοῦ τοῦ Ἰωσήπου εἰς τοὐμφανὲς κατὰ λεπτότητα τοῖς βουλομέ-
νοις ἐντυγχάνειν διὰ τῶν ὑπ' ἐκείνου λόγων ἐμοὶ εἰρημένων ποιησόμε-
νος. Καὶ ἤδη μὲν, ὡς ἐκεῖνος ὑφηγεῖτο, τοῦ πατριάρχου λουτροῦ κα-
pag. 130. ταξιουμένου, διὰ τῶν ἐν ταῖς θύραις ἁρμογῶν εἴσω παρακύπτων, φη-
σὶ, κατενόουν τὰ ὑπὸ τοῦ ἐπισκόπου τῷ πατριάρχῃ γινόμενα, εἰς νοῦν
τε ἔλαβον, καὶ παρ' ἐμαυτῷ ἐταμιευόμην. Καὶ χρυσίου ὁλκήν τινα
ἱκανωτάτην ἔχων παρὰ χεῖρα ὁ αὐτὸς πατριάρχης, ἐκτείνας τὴν χεῖρα
ἐπέδωκε τῷ ἐπισκόπῳ, φάσκων ὅτι, Πρόσφερε ὑπὲρ ἐμοῦ. Γέγραπται
γὰρ, διὰ τῶν ἱερέων τοῦ θεοῦ δεσμεύεσθαι καὶ λύεσθαι ἐπὶ τῆς γῆς,
καὶ ἔσται ταῦτα λελυμένα καὶ δεδεμένα ἐν τῷ οὐρανῷ. Ὡς οὖν ταῦτα
ἐπράχθη, φησὶ, καὶ ἠνοίγησαν αἱ θύραι, ἠρωτᾶτο ὑπὸ τῶν ἐπισκε-
πτομένων ὁ πατριάρχης πῶς ἔχοι διὰ τοῦ βοηθήματος; καὶ ὡμολόγει
καλλίστως ἔχειν· καὶ γὰρ ᾔδει ὃ ἔλεγεν. Ἔπειτα δὲ ἡμέρας δύο ἢ τρεῖς
τὸν ἀριθμὸν, πολλάκις τοῦ ἐπισκόπου ἐπισκεπτομένου αὐτὸν ἐν ἰατροῦ
προφάσει, ἐκοιμήθη ὁ πατριάρχης μετὰ καλῆς ἀποθέσεως, παραδοὺς
τὸν ἴδιον υἱὸν κομιδῇ νέον ὄντα Ἰωσήπῳ τε καὶ ἄλλῳ τινὶ ἐπιεικεστάτῳ.
Τὰ πάντα τοίνυν ἐπράττετο διὰ τῶν δύο τούτων, διὰ τὸ ἔτι τὸν πα-
τριάρχην παῖδα ὄντα νηπιάζειν, καὶ ἐν χερσὶν αὐτῶν ἀνατρέφεσθαι.
Ἐν τούτῳ τῷ καιρῷ τῆς διανοίας τοῦ Ἰωσήπου ἐνοχλουμένης πολλάκις
διὰ τῶν γενομένων μυστικῶν ἐν τῇ κατὰ τὸ λουτρὸν ὑποθέσει ἐσκέπτετο
τί ἂν πράξειε. Καὶ ἦν ἐκεῖσε γαζοφυλακίου τις οἶκος ἐσφραγισμένος
(Γάζα δὲ ἑρμηνεύεται κατὰ τὴν Ἑβραΐδα Θησαυρός). Πολλῶν δὲ πολ-
λὰ διανοουμένων περὶ τοῦ γαζοφυλακίου τούτου διὰ τὴν σφραγῖδα ὁ
Ἰώσηπος λεληθότως τολμήσας ἤνοιξε, καὶ εὗρεν οὐδὲν χρημάτων πλὴν
βίβλους τὰς ὑπὲρ χρήματα. Ἀναγινώσκων δὲ ἐν ταύταις, ὡς ἤδη ἔφην,
τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ἀπὸ Ἑλλάδος εἰς Ἑβραΐδα φωνὴν μετα-
ληφθὲν ηὗρετο, καὶ τὰς τῶν Ἀποστόλων Πράξεις. Οὐ μὴν ἀλλὰ καὶ
τὸ κατὰ Ματθαῖον Ἑβραϊκὸν [1] φυτὸν ἐκ τούτων ἀναγνοὺς πάλιν τὴν
διάνοιαν ἐτρύχετο, ἀσχάλλων μέν πως περὶ τῆς πίστεως τοῦ Χριστοῦ,
ἤδη δὲ ἐκ δύο ὑποθέσεων ὑπονυττόμενος, τῆς τῶν βιβλίων ἀναγνώσεως
καὶ τῆς τοῦ πατριάρχου μυσταγωγίας, ὅμως τῇ καρδίᾳ ἐσκληρύνετο
οἷα γίνεται.

Κεφ. ζ'. [1] Ὡς δὲ ἐν τούτοις κατετρίβετο, ἁδρύνεται ὁ παῖς ὁ καταλειφθεὶς
ὑπὸ Ἐλλὴλ εἰς πατριαρχίαν τρεφόμενος· οὐδεὶς γὰρ ἄλλος ἁρπάζει τὰς
ἀρχὰς παρὰ τοῖς Ἰουδαίοις, ἀλλὰ υἱὸς πατέρα διαδέχεται. Ὡς οὖν ἐπὶ
pag. 131. τὸ ἀκμαῖον τῆς ἡλικίας ὁ νέος ἤρχετο, προςεφθείροντο αὐτῷ τινες ἥλι-
κες ἀργοὶ καὶ ἐθάδες κακῶν· τάχα δὲ οἶμαι Ἰούδας οὗτος ἐκαλεῖτο, οὐ

Cap. VI. — 1. *Sic libri. Fortasse reponendum* τύπον.

horum igitur metu alterum se matrimonium iniisse dicebat, quo se ab illa manuum impositione liberaret.

Sed ad patriarchae historiam, et ipsius adeo Iosephi redeamus: quam in lectorum gratiam iisdem quibus ille referebat verbis accurata fide repraesentabimus. Cum itaque patriarcha baptismo hunc in modum initiaretur, ego, inquiebat, per ianuae-commissuram furtim introspectans omnia quae ab episcopo patriarchae fierent observabam, ac diligenter animo retinebam. Ubi inter cetera patriarcha vim quandam auri non mediocrem tenens hanc episcopo porrexit, et, *Pro me*, inquit, *offerto. Scriptum est enim, a sacerdotibus dei alligari solvique in terris omnia, et eadem in coelo soluta fore vel alligata.* Post haec apertis foribus sciscitantibusque de patriarcha qui aderant, quemadmodum ex eo remedio valeret, percommode se habere respondit; quid enim diceret praeclare noverat. Biduo dehinc vel triduo, adeunte saepius per medici speciem episcopo, felici ex hac vita exitu patriarcha decessit, cum prius Iosepho et alteri cuidam honestissimo viro tenerrimae adhuc aetatis filium commisisset. Quocirca omnia ab illis ambobus administrabantur, quod esset patriarcha adhuc aetate puer ac propemodum infans, et inter illorum manus educaretur. Per idem tempus Iosephi animum sollicitum habebat eorum recordatio, quae in baptismo fieri mystica arcanaque viderat, et quidnam ageret anxie cogitabat. Commodum illic gazophylacii cella quaedam erat obsignata (gaza porro Hebraice thesaurum significat); cuius sigilli gratia plerisque varia de eo gazophylacio suspicantibus, Iosephus clam ausus aperire nihil pecuniarum reperit, sed libros duntaxat pecuniis omnibus praestantiores. Quos dum evolvit, forte in illud incidit de quo dictum est, Ioannis evangelium e Graeco in Hebraicum translatum, una cum Apostolorum Actibus. Ad haec Matthaei quoque Hebraicam genealogiam invenit. Quibus perlectis rursus eius animus cruciari coepit, et Christianam quidem fidem capessere molestum ei videbatur, sed haec duo nihilominus, et librorum lectio et patriarchae initiatio vehementer hominem angebant. Qui obdurato tamen, ut assolet, animo permansit. Cap. VI.

Inter haec adolescente iam Ellelis filio pupillo, qui ad spem patriarchatus educabatur (neque enim magistratus apud Iudaeos ullus praeripit, sed parentibus filii succedunt), mox ut aetatis florem ac vigorem attigit, ad eius familiaritatem aequales quidam perniciose obrepunt otiosi adolescentes ac moribus corrupti (Iudas, opinor, Cap. VII.

CAP. VII. — 1. *Cornarius:* Cum autem in his attereretur (*sc. Iosephus*).

*πάνυ δὲ σαφῶς ἐπίσταμαι διὰ τὸν χρόνον. Μετέφερον οὖν αὐτὸν οἱ συνηλικιῶται νεώτεροι εἰς πολλὰς κακῶν ἐπιτηδεύσεις, φθοράς τε γυναικῶν, καὶ λαγνείας ἀνοσίους, μαγγανείαις τισὶ μαγικαῖς ἐπιχειροῦντες αὐτῷ συνεργεῖν εἰς τὰ τῆς ἀκολασίας, ἀγώγιμά τινα ἐπιτελοῦντες, καὶ διὰ ἐπαοιδῶν βιαζόμενοι γυναῖκας ἐλευθέρας πρὸς τὴν τούτου φθορὰν ἐξ ἀνάγκης ἄγεσθαι. Ὁ δὲ Ἰώσηπος καὶ ὁ σὺν αὐτῷ πρεσβύτης ἀνάγκην ἔχοντες τῷ παιδὶ συνέπεσθαι βαρέως μὲν ἔφερον, πολλάκις δὲ καὶ ἐγκλήματα προςέφερον διὰ λόγων καὶ παρῄνουν. Ὁ δὲ μᾶλλον τοῖς νέοις ἐπείθετο, κρύπτων τὰ αἰσχρὰ, καὶ ἀρνούμενος. Οὔτε γὰρ ἐτόλμων οἱ περὶ Ἰώσηπον ἐξειπεῖν τὰ κατ' ἐκείνου φανερῷ τῷ λόγῳ, ἀλλ' [2]ὡς δι' ἐπιστήμην παρῄνουν. Παραγίνονται γοῦν εἰς Γάδαρα, εἰς τὰ θερμὰ ὕδατα. Πανήγυρις δὲ ἐκεῖ κατ' ἔτος ἄγεται· ἀπέρχονται γὰρ πανταχόθεν οἱ βουλόμενοι λούσασθαι ἡμέρας τινὰς, νοσημάτων δῆθεν ἀποβολῆς ἕνεκεν, ὅπερ ἐστὶ διαβολικὸν στρατήγημα. Ἔνθα γὰρ τὰ παρὰ τοῦ θεοῦ θαύματα γεγένηται, προὔλαβεν ὁ δι' ἐναντίας θεῖναι αὐτοῦ τὰ ὀλετήρια δίκτυα. Ἀνδρόγυνα γὰρ ἐκεῖσε λούονται. Κατὰ [3]συγκυρίαν δὲ γυνή τις ἐλευθέρα ἔτυχεν ἐν τῷ λουτρῷ, κάλλει διαπρέπουσα εὐμορφίας. Καὶ ὁ νεώτερος, θελχθεὶς τῷ ἔθει τῆς αὐτοῦ ἀκολασίας, [4]διϊὼν ἐν τῷ ἀέρι παρενέτριψεν αὐτοῦ τὴν πλευρὰν τῇ πλευρᾷ τοῦ γυναίου. Ἡ δὲ ἑαυτὴν ἐσφραγίσατο εἰς ὄνομα Χριστοῦ, οἷα δὴ Χριστιανὴ οὖσα, ᾗ οὔτε ἀνάγκη ἦν παρανομεῖν, καὶ ἀνδρογύνως λούεσθαι. Συμβαίνει δὲ ταῦτα τοῖς ἀφελέσι καὶ ἰδιώταις ἀνθρώποις, παρὰ τὴν τῶν διδασκάλων ῥαθυμίαν μὴ ἀσφαλιζομένων διὰ τῆς διδασκαλίας. Ὅμως ἵνα δείξῃ ὁ θεὸς τὰ αὐτοῦ θαυμάσια, τοῦ ἐπιχειρήματος τὸ μειράκιον ἀπέτυχε, φημὶ δὲ ὁ πατριάρχης. Διεπέμψατο γὰρ πρὸς αὐτὴν καὶ δῶρα ἐτάξατο, ἡ δὲ τοὺς διαπεμφθέντας ἐξυβρίσασα οὐκ ἐκάμφθη τῇ τοῦ ἀκολάστου ματαιοεργίᾳ.*

Κεφ. η'. *Ἐντεῦθεν οἱ συνεργοῦντες αὐτῷ, γνόντες τὴν τοῦ παιδὸς ὀδύνην, ἣν εἰς τὸ γύναιον ἀπημπόλησεν, ἐπιχειροῦσιν αὐτῷ τινα μείζονα μαγγα-*
pag. 132. *νείαν κατασκευάσαι, ὡς αὐτὸς Ἰώσηπός μοι κατὰ λεπτότητα ὑφηγήσατο. Ἀπάγουσι γὰρ τὸν ἄθλιον παῖδα μετὰ δύσιν ἡλίου ἐν τοῖς πλησιαίτερον τύμβοις. Πολυάνδρια δέ ἐστιν οὕτως ἐν τῇ πατρίδι καλούμενα σπήλαια ἐν πέτραις ὀρυκτὰ [1] κατεσκευασμένα. Ἐκεῖ παραλαβόντες τὸν προειρημένον οἱ ἅμα αὐτῷ γόητες ἐπῳδάς τινας καὶ ἐφορκισμοὺς καὶ ἐπιτηδεύματα ἀσεβείας ἔμπλεα εἰς αὐτὸν ἐποιοῦντο, καὶ εἰς ὄνομα τῆς προειρημένης γυναικός. Ἐκ θεοῦ δὲ βουλήσεως εἰς νοῦν ταῦτα ἦλθε τοῦ ἄλλου πρεσβυτέρου τοῦ σὺν Ἰωσήπῳ τυγχάνοντος· ὁ δὲ αἰσθόμενος*

2. ὡς *desidero in edit. Petav. Cornarius vertit:* sed velut per scientiam exhortabantur.

3. συγκυρίαν *cod. Vatic., et inde edit. Petav. In reliquis libris extat* συκυρίαν. *Illud reposuit etiam Casaubonus tom. I. Exercitt. pag.* 301., *vertens* „Forte fortuna erat mulier in balneo." *Recte.*

patriarchae nomen erat, neque tamen tanto intervallo probe commemini): hi varia illum ad corruptelae flagitiorumque genera pertrahebant, mulierum stupra, nefandas libidines, magicas praestigias, quibus ad cupiditates explendas illum adiuvabant, et amatoriis illecebris, atque carminibus ad eius complexum matronas ingenuas vi quadam adigebant. At Iosephus et alter pupilli curator senex puerum sequi coacti sane id permoleste ferre, et obiurgare nonnunquam verbis, et hortari. Ille aequalibus suis multo magis obsequi, flagitia partim dissimulando, partim inficiando tegere. Neque enim tutores criminari ac vulgare scelera palam audebant, sed quasi erudiendi gratia opportuna monita suggerebant. Forte Gadara ad thermas proficiscuntur. Frequens illic mercatus quotannis celebratur, ad quem undique lavandi caussa dies aliquot confluunt, variorum ad morborum remedium, idque callidissimo daemonis consilio geritur. Nam quaecumque loca divinis sunt celebrata prodigiis, in iis ex adverso exitiosas suas plagas tendere conatus est. Atque illic viri cum mulieribus promiscue lavare solent. Ac tum forte erat in balneis ingenua mulier eximia corporis venustate ac specie, quam adolescens inveteratae libidinis aculeo percitus adamavit, ac per balnearum solium ambulans latus suum ad mulieris latus affricuit. Illa in nomine Christi semet obsignat; nam Christiana erat, quo minus peccare eam, aut lavare cum viris attinebat. Sed haec plane imperitis atque idiotis ob ignaviam doctorum accidere solent, qui eiusmodi homines nullis documentis praemuniunt. Verum ut sua deus miracula demonstraret, omnibus suis conatibus patriarcha ille adolescens excidit, cum et ad eam misisset, et muneribus sollicitasset, illa vero et internuntios contumeliose a se dimisisset, nec impudici amatoris artibus cessisset.

Igitur socii comperto iuvenis moerore, quem ex vehementi mulieris amore ceperat, potentiores quasdam praestigias adornant, ut mihi ipse Iosephus accuratissime narrabat. Nam post solis occasum vicinos ad tumulos infelicem puerum adducunt. Ibi enim sepulcra sunt, quae polyandria vocantur, cavernae nimirum rupibus incisae. Quo cum illum adduxissent, magica quaedam carmina et execrationes atque impietatis plenissimas artes adolescentis caussa concepto etiam nomine mulieris expediunt. Interim divino nutu factum est ut haec seni alteri qui cum Iosepho erat in animum venerint. Qui Cap. VIII.

4. *Cf. Fr. Francus (Cl. Salmasius) in Confutat. Animadvv. Ant. Cercoetii pag. 77 sq., ubi castigat Petavii interpretationem.*

Cap. VIII. — 1. *Forlasse* καὶ κατεσκευασμένα *reponendum. Etiam Cornarius convertit* in petris effossae ac constructae.

τῶν γινομένων τῷ Ἰωσήπῳ ἀνακοινοῦται. Καὶ πρῶτον μὲν ταλανίσας ἑαυτὸν ἔφη, Τάλανες, φησὶν, ἡμεῖς, ἀδελφὲ, καὶ ἀπωλείας σκεύη, τίνι προςεδρεύομεν; Ὁ δὲ Ἰώσηπος τὴν αἰτίαν ἐρωτήσας οὐ πρότερον ἤκουσε παρ' αὐτοῦ διὰ λόγων, πρὶν αὐτοῦ λαβόμενος τῆς χειρὸς ὁ πρεσβύτης ἀπήγαγε τὸν Ἰώσηπον ἔνθα τὸ ἄθροισμα οἱ φθοριμαῖοι μετὰ τοῦ νεωτέρου ἐν τοῖς μνήμασι μαγγανείας ἕνεκα ἐποιοῦντο. Καὶ ἔξω μὲν τῆς θύρας στάντες τὰ παρ' ἐκείνων γινόμενα κατηκροάσαντο. Ἐκείνων δὲ ἐξιόντων ὑπεχώρησαν· οὔπω γὰρ πολλὴ ἑσπέρα ἦν, ἀλλὰ ὡς πρὸς αὐτὴν τὴν ἡλίου δύσιν, ἔτι δυναμένου ὀφθαλμοῦ ἀμαυρῶς ἰδεῖν. Μετὰ οὖν τὴν τῶν ἀσεβεστάτων ἔξοδον ἀπὸ τοῦ μνημείου οἱ περὶ Ἰώσηπον εἰςῆλθον, καὶ καταλαμβάνουσι καὶ ἄλλα τινὰ ἐπιτηδεύματα περιεργίας χαμαὶ ἐρριμμένα, οἷς προςκενώσαντες οὖρα καὶ αἷμα, μίξαντες κόνιν, ὡς ἐκεῖνος ἔφη, ἐξῆλθον. Ἔγνωσαν δὲ τὴν ἐπιβουλὴν, διὰ ποίαν γυναῖκα αὐτοῖς ἐκακουργήθη ταῦτα, καὶ παρετηροῦντο εἰ κατισχύσουσιν. Ὡς οὖν οὐ κατίσχυσαν οἱ γόητες (διὰ γὰρ τῆς σφραγῖδος τοῦ Χριστοῦ καὶ πίστεως ἐβοηθήθη ἡ γυνὴ) ἔγνωσαν τὸν νεώτερον ἐν τρισὶ νυξὶ διὰ τὴν τοῦ γυναίου ἄφιξιν προςκαρτερήσαντα, εἰς ὕστερον δὲ μαχεσάμενον τοῖς τὴν περιεργίαν ποιησαμένοις, ὅτι οὐκ ἐπέτυχε. Τοῦτο τρίτον τῷ Ἰωσήπῳ κατηχήσεως ἔργον ἐγίνετο, ὅτι οὐκ ἴσχυσεν, ἔνθα ὄνομα Χριστοῦ καὶ σφραγὶς σταυροῦ, φαρμακείας δύναμις. Οὐ μὴν δὲ ἐπείσθη Χριστιανὸς γενέσθαι.

Κεφ. Θ'. Ἔπειτα φαίνεται αὐτῷ ἐν ὕπνοις ὁ κύριος, φάσκων ὅτι, Ἐγώ εἰμι Ἰησοῦς, ὃν οἱ σοὶ γονεῖς ἐσταύρωσαν, ἀλλὰ πίστευε εἰς ἐμέ. Ὁ
pag. 133. δὲ οὐδ' οὕτω πεισθεὶς ὑπέπεσε νόσῳ μεγάλῃ, καὶ ἀπηγορεύθη. Ὁ δὲ κύριος πάλιν ὀπτάνεται αὐτῷ, φήσας αὐτῷ πιστεύειν καὶ ἰαθήσεσθαι. Ὁ δὲ ἐπαγγειλάμενος ἀνέσφηλε, καὶ πάλιν [1] ἐνέμενε τῇ [2] σκληραυχενίᾳ. Εἰς δευτέραν δὲ πάλιν ὑποπίπτει νόσον, καὶ ὡςαύτως ἀπηγορεύθη. [3] Ὑποληφθεὶς δὲ τελευτᾶν ὑπὸ τῶν συγγενῶν αὐτοῦ Ἰουδαίων τὸ παρ' αὐτῶν ἀεὶ μυστηριωδῶς γινόμενον παρὰ τούτων ἤκουσε. Τῶν γὰρ νομομαθῶν ἀνήρ τις πρεσβύτερος ἐλθὼν εἰς τὸ οὖς αὐτοῦ ἀπήγγειλε λέγων ὅτι, Πίστευε Ἰησοῦν τὸν ἐσταυρωμένον ἐπὶ Ποντίου Πιλάτου ἡγεμόνος υἱὸν θεοῦ ὄντα, καὶ ἐκ Μαρίας ὕστερον γεγεννημένον, Χριστὸν δὲ ὄντα θεοῦ, καὶ ἐκ νεκρῶν ἀναστάντα, καὶ ὅτι αὐτὸς ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς. Ταῦτα ὁ αὐτὸς Ἰώσηπος ἐν τῇ ὑφηγήσει σαφῶς μοι ἀνήγγειλεν, ὡς φιλαληθῶς ἐστιν εἰπεῖν. Ἀλλὰ καὶ παρ' ἄλλου τινὸς τὸ τοιοῦτον ἤκουσα ἔτι ὄντος Ἰουδαίου, διὰ τὸν τῶν Ἰουδαίων φόβον, ἀναμέσον δὲ Χριστιανῶν πολλάκις διατρίβοντος, καὶ Χριστιανοὺς τιμῶντός τε καὶ ἀγαπῶντος, συνοδεύσαντός μοι ἐν τῇ ἐρήμῳ τῆς Βαι-

CAP. IX. — 1. ἐνέμενε cod. Vatic., indeque edit. Petav. ἀνέμενε cod. Rhedig. et ed. princ.

2. σκληραυχενίᾳ cod. Vatic. σκληραυχίᾳ cod. Rhedig. et edit. princ. σκληραυχείᾳ edit. Petav.

re cognita omnia cum Iosepbo communicat. Ac primum calamitatem suam deplorans, *O nos, frater, miseros*, inquit, *ac vasa perdita! cuinam appositi custodes sumus?* Quid rei esset sciscitatus Iosephus, nihil ante verbis ab eo didicit quam manu prehensum senex in eum locum eduxit, ubi cum adolescente nefaria illa manus inter mortuorum busta maleficii caussa convenerat. Ergo illi foris ad ingressum stantes omnia quae ab iis fierent exaudiunt, iisdemque abeuntibus se subducunt. Neque enim admodum advesperascebat, sed, utpote sub occasum solis, dubia luce discerni adhuc oculis aliquid poterat. Mox sceleratis illis a sepulcro digressis cum collega Iosephus ingreditur. Ibi maleficiorum instrumenta reperiunt in humum abiecta, quae, ut aiebat, humano potu ac sanguine aspersa, immisto pulvere discedentes reliquerant. Tum vero compertae illorum insidiae, cognitumque cuius haec mulieris caussa molirentur, itaque quantum artes illae possent expectabant. Cum nihil venefici isti promovissent, ac se mulier et Christi signo et fidei praesidio defenderet, cognitum est, adolescentem tres integras noctes illius alliciendae gratia substitisse, ac demum spe sua frustratum cum impostoribus iurgio contendisse. Tertium hoc Iosephus documentum Christianae religionis habuit, quo nihil adversus Christi nomen crucisque signum valere maleficia competit, neque propterea Christianus ut esset in animum induxit.

Secundum haec Christus ei se in somnis obiicit: Et, *Ego*, inquit, *sum Iesus, quem maiores tui in crucem egerunt: proinde in me credito.* At Iosephus ne ita quidem perpulsus vehementem in morbum ac desperatum incidit. Tum dominus ei rursus apparens ut in se crederet hortatur, ita valetudinis compotem futurum. Hoc ubi facturum recepit ac repente convaluit, in eadem animi obstinatione perstitit. Quare secundo in morbum delapsus, ac perinde desperatus, cum iam instare tempus extremum Iudaei illius cognati crederent, quod ab iis secreto fieri solet mysterium aeger audiit. Etenim ex legisperitis quidam natu grandis accedens illius haec auribus insusurrabat: *Crede*, inquit, *Iesum sub Pontio Pilato cruci affixum dei filium, et ex Maria postea genitum, Christum esse dei, et a mortuis excitatum, et ad mortuos vivosque iudicandos esse venturum.* Omni ego asseveratione confirmo haec mihi Iosephum ipsum in rei gestae exponenda serie narrasse. Quod insuper ab alio quopiam accepi, qui Iudaeus adhuc ob illorum metum erat, atque inter Christianos persaepe degebat, eosque et observabat plurimum et amabat, qui per Bethelis Cap. IX.

3. *Sic Petav. ex auctoritate cod. Regii. In edit. princ. enim extat* ὑπολειφθεὶς, *vitio satis vulgari.*

*θὴλ καὶ Ἐφραῒμ ἐπὶ τὴν ὀρεινὴν ἀνερχομένῳ ἀπὸ τῆς Ἱεριχοῦς, καὶ ἀντιβάλλοντι πρὸς αὐτὸν περὶ τῆς τοῦ Χριστοῦ παρουσίας, καὶ αὐτοῦ μὴ ἀντιλέγοντος. Θαυμάζοντι δέ μοι, καὶ ἐρωτῶντι αὐτὸν τὴν αἰτίαν (ἦν γὰρ καὶ νομομαθὴς καὶ δυνάμενος ἀντιλέγειν) τίνος χάριν οὐκ ἀντιλέγει, ἀλλὰ πείθεται περὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν, ἀκούων τὰ τοσαῦτα, ἀπεκάλυψέ μοι καὶ οὗτος ὡς μέλλων τελευτᾶν ἤκουσε παρ' αὐτῶν εἰς ἀκοὴν ὠτίου ἐν ψιθυρισμῷ ὅτι, Ἰησοῦς Χριστὸς ὁ σταυρωθεὶς υἱὸς τοῦ θεοῦ μέλλει σε κρίνειν. Ἀλλὰ ταῦτά μοι περὶ τούτων καὶ κατὰ τοῦτον τὸν λόγον ἐνταῦθα μοι ἐξ ἀληθινῆς ἀκοῆς παρακείσθω.*

Κεφ. ι'. *Ἔτι δὲ ὁ Ἰώσηπος ἐν νόσῳ ἦν, καὶ ἀκούσας παρὰ τοῦ πρεσβυτέρου, ὡς προεῖπον, μετὰ τῶν ἄλλων ὅτι, Ἰησοῦς Χριστός σε κρινεῖ, ἔτι ἐσκληρύνετο. Ὁ δὲ κύριος πάλιν πρὸς αὐτὸν κατὰ τὴν αὐτοῦ φιλανθρωπίαν δι' ὁράματος ἐνυπνίου, Ἰδοὺ, φησὶν, ἰῶμαί σε, ἀλλὰ ἀναστὰς πίστευε. Ἀναστὰς δὲ πάλιν ἀπὸ τῆς νόσου οὐκ ἐπίστευσεν. Ὑγιαίνοντι δὲ αὐτῷ φαίνεται ὁ κύριος πάλιν κατ' ὄναρ, ἐγκαλῶν αὐτῷ δι' ἣν αἰτίαν*
pag. 134. *οὐκ ἐπίστευσεν. Ἐπαγγέλλεται δὲ αὐτῷ λέγων ὁ κύριος ὅτι, Εἰς πληροφορίαν πίστεως εἴ τι βούλει ἐν ὀνόματί μου θεοσήμειον ἐργάσασθαι ἐπικάλεσαι, κἀγὼ ποιήσω. Μαινόμενος δέ τις ἦν ἐν τῇ πόλει, ὃς γυμνὸς τὴν πόλιν περιῄει, φημὶ δὲ ἐν Τιβεριάδι, καὶ πολλάκις ἐνδιδυσκόμενος τὴν ἐσθῆτα διερρήγνυεν, ὡς ἔθος τοῖς τοιούτοις. Ὁ οὖν Ἰώσηπος βουλόμενος ἐν πείρᾳ γενέσθαι τοῦ ὁράματος, διστάζων δὲ ἔτι, αἰδοῖ κατείχετο. Παραλαμβάνει γοῦν τοῦτον ἔνδον, καὶ ἀποκλείσας τὴν θύραν, ὕδωρ τε λαβὼν εἰς τὴν χεῖρα, καὶ σφραγίσας [1] αὐτὸ, ἐρράντισεν ἐπὶ τὸν ἐμμανῆ ἄνθρωπον, φήσας, Ἐν ὀνόματι τοῦ Ἰησοῦ Ναζωραίου τοῦ σταυρωθέντος ἔξελθε τὸ δαιμόνιον ἀπ' αὐτοῦ, καὶ ὑγιὴς γένηται. Ὁ δὲ ἄνθρωπος ἀνακράξας μέγα καὶ χαμαὶ πεσὼν, ἀφρίσας πολλὰ καὶ σπαραχθεὶς, ἔμεινε πολλὴν ὥραν ἀκίνητος. Ἰώσηπος δὲ ὑπενόησε τὸν ἄνθρωπον τεθνάναι· ὁ δὲ μετὰ ὥραν διατριψάμενος τὸ πρόσωπον ἀνέστη, [2] καὶ θεώμενος τὴν ἰδίαν γύμνωσιν ἑαυτὸν [3] ἔκρυπτε, καὶ τὰς χεῖρας ἐπὶ τῇ αἰσχύνῃ ἐπετίθει, μηκέτι φέρων ἰδεῖν τὴν ἰδίαν γύμνωσιν. Ἱμάτιον δὲ παρ' αὐτοῦ τοῦ Ἰωσήπου, ἐξ ὧν εἶχεν, ἐνδυθεὶς, εἰς κατάστασιν συνέσεως καὶ σωφρονισμοῦ ἐλθὼν, τῷ τε ἀνδρὶ πολλὰ εὐχαριστήσας καὶ θεῷ, γνοὺς ὅτι δι' αὐτοῦ ἔτυχε τῆς σωτηρίας, ἐν τῇ πόλει διεφήμιζε τὸν ἄνδρα, καὶ γνωστὸν ἐγένετο τοῖς ἐκεῖσε Ἰουδαίοις τοῦτο τὸ σημεῖον. Θρύλλος δὲ πολὺς ἠκολούθησεν ἐν τῇ πόλει, λεγόντων ὅτι, Ἰώσηπος τὰ γαζοφυλάκια ἀνοίξας, καὶ εὑρὼν γεγραμμένον τὸ ὄνομα τοῦ θεοῦ, καὶ ἀναγνοὺς, σημεῖα μεγάλα ἐργάζεται. Ἦν δὲ ἀληθὲς τὸ ὑπ' αὐτῶν λεγόμενον, οὐχ ὡς δὲ αὐτοὶ ὑπενόουν.*

Cap. X. — 1. αὐτὸ *cod. Rhedig. et editi libri.* τὸ ὕδωρ *habet cod. Vatic.* 2. καὶ ἀναστὰς καὶ θεασάμενος *cod. Vatic.*

Ephraimique solitudinem ab urbe Hierichuntis ad montium iuga tendenti mihi comitem se itineris adiunxit. Huic ego cum de Christi domini adventu nonnulla proponerem, nulla in re contradicebat. Qua re plurimum admiratus, quid caussae tandem esset hominem interrogavi (et erat alioqui legis suae peritus, ac disputandi sane non expers), cur inquam mihi nihil responderet, ac de Christo Iesu domino nostro mihi consentiret. Ad quae illi subiecit, moribundum se quandoque a Iudaeis insusurrari sibi in aurem leviter audisse, *Iesus Christus crucifixus dei filius de te iudicabit.* Sed haec hactenus, quod ad rem praesentem attinet, revera ut accepimus dicta sunto.

Redeo iam ad Iosephum. Is cum in morbo adhuc esset, et a seniore inter alia haec quae diximus inaudisset, *Iesus Christus de te iudicabit,* animum nihilominus obfirmabat. Igitur dominus pro ingenti sua erga homines misericordia iterum ei se in somnis obiicit, *Teque,* ait, *sanitati restituo: surge modo et nunc demum credito.* Verum ubi convaluit, ne tum quidem credidit. Iterum ergo recuperata iam sanitate per visum ei dominus offertur, et quod nondum credidisset accusat. Inde amplissima quaedam promittens sic alloquitur: *Ut tibi,* inquit, *de religionis meae fide constet, si quod in nomine meo prodigium efficere volueris, meipsum invoca, ego tibi praestabo.* Erat in urbe Tiberiade furiosus quidam, nudo corpore circumcursans, qui cum saepius indueretur, ut eiusmodi hominum mos est, vestes suas lacerabat. In eo Iosephus quae per visum acceperat experiri gestiens dubitare tamen nonnihil, ac pudore retardari. Confirmato tandem animo intra aedes adducit, et occlusis foribus aquam manibus hauriens, et amentem illum cruce consignatum aspergens, *In nomine,* inquit, *Iesu Nazareni crucifixi exi, daemon, ab hoc homine, isque sanus esto.* Ad haec ille vociferans et humi procumbens, atque ex ore spumas agens seseque dilanians diu permansit immobilis, ut mortuum iam esse Iosephus crederet, donec interiecto horae spatio vultum perfricans surrexit. Tum se nudum animadvertens occultare ac manibus pudenda protegere, eo se habitu corporis esse permoleste ferre. Denique veste ab Iosepho ex iis quarum copia erat iniecta, sibi restitutus animoque compositus magnas illi secundum *deum* gratias egit, cuius se beneficio liberatum agnosceret, eundemque tota urbe pervulgavit. Ita Iudaeorum omnium qui istic erant aures miraculi illius fama pervasit. Ex quo rumor ingens percrebruit, ita illis iactantibus: Iosephus aperto gazophylacio scriptum dei nomen invenit, eoque lecto mirifica portenta ac prodigia facit. Neque falso ista differebantur, etsi non eo quo illi suspicabantur modo contigerant. Inter-

Cap. X. — Act. 4, 10.

3. *ἔκρυπτε cod. Vatic. ἔκρυψε cod. Rhedig. et editi libri.*

*Ἔτι δὲ ἐπέμενεν Ἰώσηπος σκληρυνόμενος τῇ καρδίᾳ. Ἀλλὰ ὁ φιλάνθρωπος θεὸς, προφάσεις ἀεὶ διδοὺς σωτηρίας τοῖς ἀγαπῶσιν αὐτὸν ἀγαθὰς, ταύτας παρέχει τοῖς εἰς ζωὴν καταξιουμένοις ἀνθρώποις.*

Κεφ. ια΄. *Συμβέβηκε γὰρ αὐτὸν τὸν Ἰώσηπον μετὰ τὸ ἁδρυνθῆναι Ἰούδαν τὸν πατριάρχην, ὃν προείπομεν (τάχα γὰρ οὕτως ἐλέγετο), ἀμοιβῆς ἕνεκα γέρας τῷ Ἰωσήπῳ τῆς ἀποστολῆς δοῦναι τὴν ἐπικαρπίαν. Καὶ μετ' ἐπιστολῶν οὗτος ἀποστέλλεται εἰς τὴν Κιλίκων γῆν. Ὃς ἀνελθὼν* pag. 135. *ἐκεῖσε ἀπὸ ἑκάστης πόλεως τῆς Κιλικίας τὰ ἐπιδέκατα καὶ τὰς ἀπαρχὰς παρὰ τῶν ἐν τῇ ἐπαρχίᾳ Ἰουδαίων εἰςέπραττεν. Ἐν τούτῳ δὲ τῷ καιρῷ κατάγεται πλησιαίτερον τῆς ἐκκλησίας, οὐκ οἶδ' εἰπεῖν ἐν ποίᾳ πόλει. [1] Φιλοῦται δὲ τῷ ἐκεῖσε ἐπισκόπῳ, [2] ὡς λεληθότως ᾔτησε παρ' αὐτοῦ τὰ εὐαγγέλια, καὶ ἀνέγνω. Ἐπεὶ οὖν, οἷα ἀπόστολος (οὕτως γὰρ παρ' αὐτοῖς, ὡς ἔφην, τὸ ἀξίωμα καλεῖται), ἐμβριθέστατος καὶ καθαρεύων δῆθεν τὰ εἰς κατάστασιν εὐνομίας, οὕτως ἐπιτελεῖν προβαλλόμενος, πολλοὺς τῶν κακῶν κατασταθέντων ἀρχισυναγώγων καὶ ἱερέων καὶ πρεσβυτέρων καὶ ἀζανιτῶν, τῶν παρ' αὐτοῖς διακόνων ἑρμηνευομένων ἢ ὑπηρετῶν, καθαιρῶν τε καὶ μετακινῶν τοῦ ἀξιώματος ὑπὸ πολλῶν ἐνεκοτεῖτο, οἵτινες ὥςπερ ἀμύνασθαι αὐτὸν πειρώμενοι πολυπραγμονεῖν τοῦτον καὶ ἰχνηλατεῖν τὰ παρ' αὐτοῦ γινόμενα οὐ μικρῶς ἐσπούδαζον, διὰ τοιαύτην δὲ αἰτίαν πολυπραγμονήσαντες ἀθρόως εἰςέφρησαν οἴκαδε εἰς τὸ αὐτοῦ ἐφέστιον, καὶ καταλαμβάνουσιν αὐτὸν τὰ εὐαγγέλια διερχόμενον, τήν τε βίβλον κατέχουσι, τὸν δὲ ἄνδρα ἁρπάζουσι, σύροντες χαμαὶ, καὶ βοῶντες, καὶ αἰκίας ἐπιφέροντες οὐ τὰς τυχούσας. Ἀπάγουσι μὲν εἰς τὴν συναγωγὴν, καὶ μαστίζουσι τοῦτον, [3] καὶ κατὰ τὸν νόμον οὗτος αὐτῷ πρῶτος ἀγὼν γίνεται· ἐπέστη δὲ ὁ ἐπίσκοπος τῆς πόλεως, καὶ ἀφείλετο αὐτόν. Ἄλλοτε δὲ καταλαμβάνουσιν αὐτὸν ἐν ὁδοιπορίᾳ τινὶ, ὡς ἡμῖν ὑφηγήσατο, καὶ ῥίπτουσιν αὐτὸν [4] εἰς Κύδνον τὸν ποταμόν. Τῷ δὲ ῥεύματι αὐτὸν [5] ἀφαρπαγέντα ἐτόπασαν, μή πη ἄρα ὄλωλεν ὑποβρύχιος γενόμενος τοῖς ὕδασι, καὶ ἔχαιρον ἐπὶ τούτῳ. Ὁ δὲ μικρῷ ὕστερον λουτροῦ ἁγίου καταξιοῦται, ἐσώθη γάρ. Ἄνεισι δὲ ἐπὶ τὸ κομητάτον, καὶ βασιλεῖ Κωνσταντίνῳ φιλιοῦται, καὶ ἀνέθετο αὐτῷ τὰ καθ' ἑαυτὸν ἅπαντα, ὡς ἦν τῶν κατ' Ἰουδαίους ἐξοχωτάτης ἀξίας, καὶ ὡς αἱ θεοπτίαι αὐτῷ πάντῃ [6] ἐφαίνοντο, κυρίου αὐτὸν προςκαλουμένου εἰς τὴν ἁγίαν κλῆσιν καὶ σωτηρίαν τῆς κατ' αὐτὸν πίστεώς τε καὶ γνώσεως. Ὁ δὲ ἀγαθὸς βασιλεὺς δοῦλος ὢν Χριστοῦ ἐν ἀληθείᾳ, καὶ τὸν κατὰ θεὸν ζῆλον ἐν βασιλεῦσι μετὰ Δαβὶδ καὶ Ἐζεκίαν καὶ Ἰωσίαν κεκτημένος γέρας αὐτῷ δίδωσιν,*

CAP. XI. — 1. φιλοῦται cod. *Rhedig. et ed. princ.* φιλιοῦται *ed. Petav.*
2. *Nescio an rectius scripseris* ὅς. *Cornarius:* in amicitiamque venit eius loci episcopi, qui clandestine ab ipso evangelia petivit, ac legit.

im Iosephus inveterata pertinacia obduruerat. Sed clementissimus dominus, qui sese diligentibus praeclara quaedam offert consequendae salutis praesidia, eadem illis impertit quos aeternae vitae felicitate dignari constituit.

Per idem tempus cum iam patriarcha Iudas (ita enim forte vocabatur) ad robustam aetatem pervenisset, Iosephum praemii loco apostolatus (dignitatis id nomen est) honore ac commodis exornat. Inde cum literis in Ciliciam proficiscitur. Quo cum accessisset, unoquoque ex oppido decumas ac primitias a provincialibus Iudaeis exigebat. Ac tum casu contigit ut nescio qua in urbe in vicina ecclesiae domo diversaretur. Exinde contracta cum episcopo familiaritate clam ab eo evangeliorum librum postulat, ac legit. Et quoniam pro ea quam gerebat apostoli functione (ita enim ut diximus ea dignitas vocatur), summam prae se gravitatem atque in constituenda disciplina severitatem ferebat, cui rei praestandae fuerat electus, ac plerosque synagogis praefectos et sacerdotes ac presbyteros et azanitas, quo nomine diaconos aut ministros appellant, homines improbos in ordinem redegerat ac dignitate privarat, multorum in se convertit odia; qui ut eum ulciscerentur, curiosius explorare, et quae ab illo gererentur inquirere summopere cupiebant. Ob eas igitur caussas acutissime tandem odorati ex improviso impetum in aedes faciunt, atque in ipsa evangeliorum lectione Iosephum opprimunt.. Hic libro de manibus erepto hominem corripiunt, et ad terram allisum vociferantes, maximisque contumeliis vexantes in synagogam abducunt, virgisque caedunt. Primum hoc ab illo legitimum certamen pro fide susceptum. Ad haec accurrit urbis episcopus, eumque ex illorum manibus eripit. Alias deinde cum iter agentem offendissent, sic enim ipse narrabat, in Cydnum abiiciunt, atque illum impetu fluminis abreptum ac sub aquas demersum periisse rati magnopere gavisi sunt. Sed is servatus postea coelesti lavatione dignatus est. Hinc ad comitatum profectus ad Constantini imperatoris amicitiam pervenit, eique quicquid sibi acciderat exposuit, principem se Iudaeos inter dignitatis locum habuisse, sed visa sibi frequentia divinitus oblata, invitante domino, ut ad fidei cognitionisque suae sanctissimam sortem ac salutem sese transferret. At optimus imperator, Christique revera servus, et divino quodam inter principes ardore post Davidem, Ezechiam et Iosiam aestuans, hoc illi dignitatis praemium, quod paulo ante retu- Cap. XI.

3. *Cornarius:* et per legem hoc certamen primum ipsi contigit.

4. *εἰς cod. Vatic. et inde ed. Petav.* *χαμαὶ εἰς cod. Rhedig. et edit. princ.*

5. *ἀφαρπαγέντα cod Vatic.* *ἁρπαγέντα editi libri et cod. Rhedig.*

6. *ἐπεφαίνοντο cod. Vatic.*

ὡς ἤδη προεῖπον, ἀξιώματος ἐν τῇ αὐτοῦ βασιλείᾳ. Κόμητα γὰρ αὐτὸν
pag. 136. κατέστησε, φήσας αὐτῷ αἰτεῖν πάλιν ὃ βούλεται· ὁ δὲ οὐδὲν ᾐτήσατο, πλὴν τοῦτο μέγιστον χάρισμα τυχεῖν παρὰ τοῦ βασιλέως, τὸ ἐπιτραπῆναι καὶ διὰ προστάγματος βασιλικοῦ οἰκοδομῆσαι Χριστῷ ἐκκλησίας ἐν ταῖς πόλεσι καὶ κώμαις τῶν Ἰουδαίων. Ἔνθα τις οὐδέ ποτε ἴσχυσεν οἰκοδομῆσαι ἐκκλησίας, διὰ τὸ μήτε Ἕλληνα, μήτε Σαμαρείτην, μήτε Χριστιανὸν μέσον αὐτῶν εἶναι. Τοῦτο δὲ μάλιστα ἐν Τιβεριάδι καὶ ἐν Διοκαισαρείᾳ, τῇ καὶ Σεπφουρὶν, καὶ ἐν Ναζαρὲτ καὶ ἐν Καφαρναοὺμ φυλάσσεται παρ' αὐτοῖς [7] τοῦ μὴ εἶναί [8] τινα ἄλλου ἔθνους.

Κεφ. ιβ'. Λαβὼν δὲ ὁ Ἰώσηπος τὰ γράμματα καὶ τὴν ἐξουσίαν μετὰ τοῦ ἀξιώματος ἐπὶ τὴν Τιβεριάδα ἧκεν, ἔχων καὶ ἐπιστολὰς ἀπὸ τῶν βασιλικῶν ἀναλίσκειν, ἀλλὰ καὶ αὐτὸς ὀψωνίοις παρὰ τοῦ βασιλέως τετιμημένος. Ἄρχεται γοῦν ἐν Τιβεριάδι κτίζειν. Ναὸς δὲ μέγιστος ἐν τῇ πόλει προϋπῆρχε, τάχα οἶμαι [1] Ἀδριάνειον τοῦτο ἐκάλουν· ἀτελὲς δὲ τοῦτο τὸ Ἀδριάνειον διαμένον τάχα οἱ πολῖται εἰς δημόσιον λουτρὸν ἐπειρῶντο ἐπισκευάσαι. Ὅπερ εὑρὼν ὁ Ἰώσηπος ἐκ τούτου τὴν πρόφασιν ἔσχε, καὶ ὡς [2] ἤδη εὗρε διὰ τετραπήχων λίθων τετραπέδων ἕως ὕψους τινὸς ἀνεγηγερμένον, ἐντεῦθεν ἄρχεται ποιεῖσθαι τῆς ἐκκλησίας τὴν ἐπιμέλειαν. Ἀσβέστου δὲ ἦν χρεία, καὶ τῆς ἄλλης ὕλης. Καμίνους τοίνυν ἔξωθεν τῆς πόλεως πολλὰς προσέταξε γενέσθαι, τάχα τὸν ἀριθμὸν ἑπτά· φούρνακας δὲ ἐπιχωρίως ταύτας καλοῦσιν. Οἱ δὲ δεινοὶ καὶ πρὸς πᾶν ἐπιχείρημα εὔτολμοι Ἰουδαῖοι τῆς παρ' αὐτοῖς ἀεὶ γινομένης μαγγανείας οὐκ [3] ἀπείχοντο. Ματείαις γάρ τισι καὶ περιεργίαις τὸ πῦρ καταδῆσαι οἱ γεννᾶδαι Ἰουδαῖοι ἐπετρίβησαν, ἀλλ' οὐκ εἰς τέλος ἴσχυσαν. Ἤργει γοῦν τὸ πῦρ, καὶ οὐκ ἔπραττεν, ἀλλὰ τῆς ἰδίας, ὡς εἰπεῖν, φύσεως ἐκτὸς ἐγένετο. Ὡς δὲ οἱ τὴν καυστικὴν ὕλην παραβάλλειν τῷ πυρὶ ἐπιτεταγμένοι, φημὶ δὲ ῥώπακας, εἴτ' οὖν φρύγανα, παραθέντες οὐκ ἐνήργουν, τῷ Ἰωσήπῳ τὸ πραχθὲν ἐσήμαναν. Δηχθεὶς οὖν τὴν φρένα ὁ ἀνὴρ, καὶ ζήλῳ ἀρθεὶς τῷ πρὸς τὸν κύριον, ἔδραμεν ἔξω τῆς πόλεως, καὶ ὕδωρ κελεύσας ἐνεχθῆναι ἐν ἄγγει, ἐν καμψάκῃ φημὶ (κακούβιον δὲ τοῦτο οἱ ἐπιχώριοι καλοῦσι), λαβὼν τὸ αὐτὸ ἄγγος τοῦ ὕδατος ἐνώπιον πάντων (συνηθροίσθη δὲ πλῆθος Ἰουδαίων ἐπὶ τὴν θέαν, [4] τὸ ἀποβησόμενον ἰδεῖν σπουδάζοντες, καὶ ὅτι ἐπιχειρήσειεν
pag. 137. Ἰώσηπος πράττειν), μεγάλῃ τῇ φωνῇ ὁ ἀνὴρ σταυροῦ σφραγῖδα ἐπιθεὶς τῷ ἄγγει διὰ τοῦ ἰδίου δακτύλου, καὶ ἐπικαλεσάμενος τὸ ὄνομα Ἰησοῦ, εἶπεν οὕτως, Ἐν ὀνόματι Ἰησοῦ τοῦ Ναζωραίου, ὃν ἐσταύρωσαν οἱ πατέρες μου καὶ τούτων πάντων τῶν περιεστώτων, γένηται δύναμις ἐν τούτῳ τῷ ὕδατι, εἰς ἀθέτησιν πάσης φαρμακείας καὶ μαγείας ἧς οὗτοι ἔπραξαν, καὶ εἰς ἐνέργειαν δυνάμεως τῷ πυρὶ εἰς τὸ ἐπιτε-

7. Forlasse τὸ pro τοῦ restituendum est.
8. τινα non habet cod. Vatic.

Cap. XII. — 1. Cf. Casaub. in Spartian. p. 26. et p. 170. ed. Paris. 1620. f.

limus, contulit, comitemque fecit, iubens insuper ut quicquid vellet optaret. Ille nihil aliud nisi hoc unum maximi beneficii loco postulavit, sibi ut in Iudaeorum pagis omnibus et oppidis extruendarum in Christi honorem ecclesiarum potestas imperatoris edicto fieret. Quibus in locis nemo unquam ecclesias aedificare potuerat, quod nullus inter eos neque gentilis, neque Samaritanus, neque Christianus habitaret. Praesertimque Tiberiade, Diocaesareae, quae et Sephurim dicitur, Nazareti, Capharnaumi, ubi diligenter hoc observant, nemo ut gentis alterius domicilium illic habeat.

At Iosephus acceptis cum ea potestate ac dignitate literis Tiberiadem perrexit, unaque et diplomata secum attulit, quibus impensas e fisco caperet, cum privatim ipse stipendia ex eodem acciperet. Igitur Tiberiade ecclesiam aedificare coepit. Erat in eadem urbe templum ingens olim extructum, quod Adrianium, nisi fallor, appellabant. Quod cum imperfectum hactenus mansisset, oppidani publicas in balneas commutare studebant. Hoc Iosephus nactus ad id quod animo conceperat accommodare instituit. Et ut quadrato lapide quaternum cubitorum certam ad altitudinem erectum invenerat, veteri structurae novam ecclesiae molem imponere statuit. Ad id calce viva opus erat, reliquaque omni materia. Igitur caminos extra urbem fieri non paucos imperat, septenos circiter, quos vulgo fornaces nominant. Sub haec Iudaei ad audenda quaelibet proiecti ad usitata ei genti maleficia confugiunt. Etenim magicis carminibus ac praestigiis vim ignis impedire egregii homines aggressi sunt; sed non perpetuo potuerunt. At initio tamen cessabat ignis, nihilque coquebat, naturae suae velut officio destitutus. Tum qui suppeditando igni pabulo, virgultis scilicet ac fructibus, erant appositi, cum nihil se proficere animadverterent, rem ad Iosephum deferunt. Pupugit ea res hominem, statimque coelesti in dominum ardore succensus extra urbem advolat, aquam postulat: affertur in aeneo vase, quod campsacen vulgo, illic cacubium vocant. Eo coram omnibus accepto (nam ad hoc spectaculum Iudaeorum turba convenerat, ut rei eventum, ac quid tandem Iosephus ageret viderent) crucis signum super illud digito ducit, ac Iesu nomen invocans magna voce sic loquitur: *In nomine Iesu Nazareni, quem mei pariter atque horum omnium, qui hic adstant, maiores in crucem egerunt, haec aqua vim habeto ad magicas artes maleficiaque omnia restinguenda, quae isti compararunt, ab*

Cap. XII.

2. *Sic cod. Rhedig. et editus liber uterque. Cod. Vatic. habet* ἤδη τετραπήτους (*sic*) λίθους διὰ τετραπέδων λίθων εὗρε, ἕως ὕψους τινος ἀνεγηγερμένους.

3. ἀπείχοντο *ed. Petav., de auctoritate cod. ms. nescio cuius quam in marg. sui exemplaris testatus est Scholtus.* ἀπέχοντο *ed. princ.* ἀπέσχοντο *cod. Rhedig.*

4. καὶ τὸ *cod. Vatic.*

λεσθῆναι τὸν οἶκον κυρίου. Καὶ οὕτως λαμβάνει τὸ ὕδωρ ἐν τῇ χειρὶ, καὶ ῥαίνει ἑκάστῳ [5] φόρνακι ἐκ τοῦ ὕδατος. Καὶ ἀνελύετο μὲν τὰ φάρμακα, τὸ πῦρ δὲ ἐνώπιον πάντων ἀνεβλύστανεν. Οἱ δὲ παρόντες ὄχλοι κραυγάσαντες, Εἷς θεὸς ὁ βοηθῶν τοῖς Χριστιανοῖς, ἀνεχώρησαν. Πολλάκις δὲ κακούντων τὸν ἄνδρα ἐκείνων, εἰς ὕστερον μέρος τι τοῦ ναοῦ ἐν Τιβεριάδι οἰκοδομήσας, καὶ μικρὰν ἐκκλησίαν ἀποτελέσας, οὕτως ἐκεῖθεν ἀνεχώρησεν, ἐν Σκυθοπόλει δὲ ἐλθὼν κατέμεινεν. Ἐν Διοκαισαρείᾳ δὲ, καὶ ἄλλαις τισὶ τελείως ᾠκοδόμησε. Ταῦτα δὲ πραχθέντα, καὶ ἐνταῦθά μοι ἐπιμνησθέντα ἕνεκεν τῆς τῶν βίβλων ἑρμηνείας, πῶς ἀπὸ Ἑλληνίδος τὸ κατὰ Ἰωάννην εὐαγγέλιον εἰς Ἑβραΐδα μετέπεσε, καὶ αἱ Πράξεις τῶν Ἀποστόλων, ἕως ὧδε τὰ τῆς ἱστορίας καὶ ὑφηγήσεως ἐχέτω.

Κεφ. ιγ'. Ἐπάνειμι δὲ τὴν κατὰ Ἐβίωνος ποιούμενος ἀκολουθίαν. Διὰ γὰρ τὸ κατὰ Ματθαῖον εὐαγγέλιον προϊὼν ὁ λόγος τὴν ἀκολουθίαν [1] τῆς εἰς ἡμᾶς ἐλθούσης γνώσεως παραθέσθαι ἠνάγκασεν. Ἐν τῷ γοῦν παρ' αὐτοῖς εὐαγγελίῳ κατὰ Ματθαῖον ὀνομαζομένῳ, οὐχ [2] ὅλῳ δὲ πληρεστάτῳ, ἀλλὰ νενοθευμένῳ καὶ ἠκρωτηριασμένῳ (Ἑβραϊκὸν δὲ τοῦτο καλοῦσιν), ἐμφέρεται, ὅτι, Ἐγένετό τις ἀνὴρ ὀνόματι Ἰησοῦς, καὶ αὐτὸς ὡς ἐτῶν τριάκοντα, ὃς ἐξελέξατο ἡμᾶς. Καὶ ἐλθὼν εἰς Καφαρναοὺμ εἰςῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος τοῦ ἐπικληθέντος Πέτρου, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εἶπε, Παρερχόμενος παρὰ τὴν λίμνην Τιβεριάδος ἐξελεξάμην Ἰωάννην καὶ Ἰάκωβον υἱοὺς Ζεβεδαίου, καὶ Σίμωνα, καὶ Ἀνδρέαν, καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Ζηλωτὴν, καὶ Ἰούδαν τὸν Ἰσκαριώτην, καὶ σὲ, τὸν Ματθαῖον, καθεζόμενον ἐπὶ τοῦ τελωνίου ἐκάλεσα, καὶ ἠκολούθησάς μοι. Ὑμᾶς οὖν βούλομαι εἶναι δεκαδύο ἀποστόλους, εἰς μαρτύριον τοῦ Ἰσραήλ. Καὶ ἐγένετο Ἰωάννης βαπτίζων, καὶ ἐξῆλθον πρὸς αὐτὸν Φαρισαῖοι, καὶ ἐβαπτίσθησαν,
pag. 128. καὶ πᾶσα Ἱεροσόλυμα. Καὶ εἶχεν ὁ Ἰωάννης ἔνδυμα ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ τὸ βρῶμα αὐτοῦ, φησὶ, μέλι ἄγριον, οὗ ἡ γεῦσις ἦν τοῦ μάννα, ὡς [3] ἐγκρὶς ἐν ἐλαίῳ· ἵνα δῆθεν μεταστρέψωσι τὸν τῆς ἀληθείας λόγον εἰς ψεῦδος, καὶ ἀντὶ Ἀκρίδων ποιήσωσιν Ἐγκρίδας ἐν μέλιτι. Ἡ δὲ ἀρχὴ τοῦ παρ' αὐτοῖς εὐαγγελίου ἔχει ὅτι, Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως τῆς Ἰουδαίας, ἦλθεν Ἰωάννης βαπτίζων βάπτισμα μετανοίας ἐν τῷ Ἰορδάνῃ ποταμῷ, ὃς ἐλέγετο εἶναι ἐκ γένους Ἀαρὼν τοῦ ἱερέως, παῖς Ζαχαρίου καὶ Ἐλισάβετ, καὶ ἐξήρχοντο πρὸς αὐτὸν πάντες. Καὶ μετὰ τὸ εἰπεῖν πολλὰ ἐπιφέρει ὅτι, Τοῦ λαοῦ βαπτισθέντος ἦλθε καὶ Ἰησοῦς, καὶ ἐβαπτίσθη ὑπὸ τοῦ Ἰωάννου. Καὶ ὡς ἀνῆλθεν ἀπὸ τοῦ ὕδατος, ἠνοίγησαν οἱ οὐρανοὶ, καὶ εἶδε τὸ πνεῦμα [4] τοῦ θεοῦ ἐν εἴδει

5. φούρνακι cod. Rhedig.

Cap. XIII. — 1. τῆς, quod desideratur in ed. Petav., revocavi ex cod. Rhedig. et edit. princ.

*eademque vis igni sua restituatur, quo domini domus absolvi possit.* His dictis fornacibus singulis aquam aspergit. Ita dissolutis praestigiis coram omnibus ignis efferbuit. Quo miraculo commota turba magnis vocibus exclamavit, *Unus est deus, qui Christianos adiuvat;* itaque discessit. Ac saepe alias vexantibus Iudaeis tandem veteris templi partem extruxit, in eaque parvam ecclesiam condidit. Post inde discedens Scythopoli consedit. Diocaesareae porro aliisque in oppidis postremo ecclesias aedificavit. Ad haec obiter narranda digressi fuimus, eorum occasione librorum qui apud Iudaeos translati reperiuntur, cuiusmodi est Ioannis Evangelium, et Apostolorum Actus Hebraice conversi. Sed de hac historica relatione hactenus.

Nunc ad inchoatam de Ebionitis narrationem regredior. Siquidem ob Matthaei Evangelium eo delapsa est oratio, ut ad eam quae ad aures nostras pervenerat historiam enarrandam necessario sese converteret. Igitur in eo quod penes illos est Matthaei Evangelio, quamquam ne integrum quidem illud habent, sed adulteratum ac mutilum, idque ipsum Hebraicum vocant, ita scriptum est: *Fuisse certum hominem nomine Iesum, annorum circiter triginta, qui nos elegerit, qui Capharnaum veniens in Simonis cognomine Petri aedes ingressus est, apertoque ore suo dixit, cum secundum Tiberiadis locum transirem, Ioannem et Iacobum Zebedaei filios elegi, et Simonem, et Andream, et Thaddaeum, et Simonem Zeloten, et Iudam Iscarioten, et te Matthaeum ad telonium sedentem vocavi, ac me ipse secutus es. Volo itaque duodecim vos apostolos esse ad testimonium Israëlis. Et erat Ioannes baptizans, et exierant ad eum Pharisaei, et baptizati sunt, et omnis Hierosolyma. Ipse autem Ioannes habebat vestimentum de pilis camelorum et zonam pelliceam circa lumbos suos, et cibus eius erat mel silvestre, cuius sapor erat mannae similis, velut lagani frixi cum oleo.* Quod eo faciunt, ut veritatis sermonem in mendacium commutent, et pro eo quod est ἀκρίδας, hoc est locustas, ἐγκρίδας, hoc est epichyta mellita substituant. Porro evangelium illorum sic incipit: *Factum est in diebus Herodis regis Iudaeae, ut veniret Ioannes baptizans baptismo poenitentiae in Iordane fluvio, quem ferebant ex genere esse Aaronis sacerdotis, filius Zachariae et Elizabethae, et egrediebantur ad illum omnes.* Tum longe postea subiungit: *Baptizato populo venit et Iesus, et a Ioanne baptizatus est. Cumque ascendisset ex aqua, aperti sunt coeli, et vidit spiritum dei sanctum colum-* Cap. XIII.

2. *Sic libri mei omnes. Suspicor* οὐχ ὅλως δέ.
3. *Cf. quos laudat Bernhardyus V. Cl. ad Suidam s. v.* Ἐγκρίς.
4. τοῦ θεοῦ *cod. Rhedig. et edit. princ.* τὸ ἅγιον *cod. Vatic.* τοῦ θεοῦ τὸ ἅγιον *ed. Petav.*

περιστερᾶς κατελθούσης καὶ εἰςελθούσης εἰς αὐτόν. Καὶ φωνὴ ἐγένετο ἐκ τοῦ οὐρανοῦ, λέγουσα, Σύ μου εἶ ὁ υἱὸς ὁ ἀγαπητὸς, ἐν σοὶ ηὐδόκησα· καὶ πάλιν, Ἐγὼ σήμερον γεγέννηκά σε. Καὶ εὐθὺς περιέλαμψε τὸν τόπον φῶς μέγα. Ὃν ἰδὼν, φησὶν, ὁ Ἰωάννης λέγει αὐτῷ, Σὺ τίς εἶ, κύριε; καὶ πάλιν φωνὴ ἐξ οὐρανοῦ πρὸς αὐτὸν, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐφ' ὃν ηὐδόκησα. Καὶ τότε, φησὶν, ὁ Ἰωάννης προςπεσὼν αὐτῷ ἔλεγε, [5] Δέομαί σου, κύριε, σύ με βάπτισον. Ὁ δὲ ἐκώλυεν αὐτῷ, λέγων, Ἄφες, ὅτι οὕτως ἐστὶ πρέπον πληρωθῆναι πάντα.

Κεφ. ιδ΄. Ὅρα δὲ τὴν παρ' αὐτοῖς παραπεποιημένην πανταχόθεν διδασκαλίαν, πῶς πάντα χωλὰ, λοξὰ, καὶ οὐδεμίαν ὀρθότητα ἔχοντα. Ὁ μὲν γὰρ Κήρινθος καὶ Καρποκρᾶς τῷ αὐτῷ χρώμενοι δῆθεν παρ' αὐτοῖς εὐαγγελίῳ ἀπὸ τῆς ἀρχῆς τοῦ κατὰ Ματθαῖον εὐαγγελίου διὰ τῆς γενεαλογίας βούλονται παριστᾶν ἐκ σπέρματος Ἰωσὴφ καὶ Μαρίας εἶναι τὸν Χριστόν. Οὗτοι δὲ ἄλλα τινὰ διανοοῦνται. Παρακόψαντες γὰρ τὰς παρὰ τῷ Ματθαίῳ γενεαλογίας ἄρχονται τὴν ἀρχὴν ποιεῖσθαι ὡς προεῖπον, λέγοντες ὅτι, Ἐγένετο, φησὶν, ἐν ταῖς ἡμέραις Ἡρώδου βασιλέως τῆς Ἰουδαίας ἐπὶ ἀρχιερέως Καϊάφα, ἦλθέ τις, Ἰωάννης ὀνόματι, βαπτίζων βάπτισμα μετανοίας ἐν τῷ ποταμῷ Ἰορδάνῃ, καὶ τὰ ἑξῆς. Ἐπειδὴ γὰρ βούλονται τὸν μὲν Ἰησοῦν ὄντως ἄνθρωπον εἶ-
pag. 139. ναι, ὡς προεῖπον, Χριστὸν δὲ ἐν αὐτῷ γεγενῆσθαι τὸν ἐν περιστερᾶς καταβεβηκότα, καθάπερ ἤδη καὶ παρ' ἄλλαις αἱρέσεσιν εὑρίσκομεν, συναφθέντα αὐτῷ, καὶ εἶναι αὐτὸν τὸν Χριστὸν ἐκ σπέρματος ἀνδρὸς καὶ γυναικὸς γεγεννημένον. Πάλιν δὲ ἀρνοῦνται εἶναι αὐτὸν ἄνθρωπον δῆθεν ἀπὸ τοῦ λόγου οὗ εἴρηκεν ὁ σωτὴρ ἐν τῷ ἀναγγελῆναι αὐτὸν ὅτι, Ἰδοὺ, ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν, ὅτι, Τίς μού ἐστι μήτηρ μου καὶ ἀδελφοί; καὶ ἐκτείνας ἐπὶ τοὺς μαθητὰς τὴν χεῖρα ἔφη, Οὗτοί εἰσιν οἱ ἀδελφοί μου καὶ ἡ μήτηρ, οἱ ποιοῦντες τὰ θελήματα τοῦ πατρός μου. Ἐντεῦθεν, ὡς ἔφην, τῆς πάσης κυβείας μεμεστωμένος ὁ Ἐβίων διὰ πολλῶν μορφῶν ὑποφαίνει ἑαυτὸν, ὡς εἶναι τεράστιον κατὰ τὰ ἄνω μοι προδεδηλωμένα.

Κεφ. ιε΄. Χρῶνται δὲ καὶ ἄλλαις τισὶ βίβλοις, δῆθεν ταῖς Περιόδοις καλουμέναις Πέτρου, ταῖς διὰ Κλήμεντος γραφείσαις, νοθεύσαντες μὲν τὰ ἐν αὐταῖς, ὀλίγα δὲ ἀληθινὰ ἐάσαντες, ὡς αὐτὸς Κλήμης αὐτοὺς κατὰ πάντα ἐλέγχει ἀφ' ὧν ἔγραψεν ἐπιστολῶν ἐγκυκλίων τῶν ἐν ταῖς ἁγίαις ἐκκλησίαις ἀναγινωσκομένων, ὅτι ἄλλον ἔχει χαρακτῆρα ἡ ἑαυτοῦ πίστις καὶ ὁ λόγος παρὰ τὰ ὑπὸ τούτων εἰς ὄνομα αὐτοῦ ἐν ταῖς Περιόδοις νενοθευμένα. [1] Αὐτὸς γὰρ παρθενίαν διδάσκει, καὶ αὐτοὶ οὐ δέχονται. Αὐτὸς γὰρ ἐγκωμιάζει Ἠλίαν καὶ Δαβὶδ καὶ Σαμψὼν

5. *Grabe Spicileg. I. pag.* 28. *convertit*, Indigeo tui. *Cf. Matth.* 3, 14.

*bae specie descendentis et intrantis in sese. Et vox reddita de coelo dicens, Tu es filius meus dilectus, in te mihi complacui. Et iterum, Ego hodie genui te. Statimque eo in loco lux ingens affulsit. Qua conspecta Ioannes sic eum alloquitur: Tu quis es, domine? Rursumque lapsa vox de coelo, Hic est filius meus dilectus, in quo mihi complacui. Ad haec Ioannes ad eius pedes accidens, Quaeso, inquit, domine, tu me ipse baptiza. At ille prohibebat eum dicens, Sine; ita enim decet nos implere omnia.*

Vide quam sit eorum undequaque depravata doctrina, quam Cap. XIV. claudicantia, distortaque sint omnia, nec recti quicquam contineant. Cerinthus enim et Carpocrates eodem Matthaei, ut quidem volunt, evangelio freti, ex eius initio Christique genealogia probare nituntur Christum e Iosephi et Mariae semine esse procreatum. Illi contra aliud omnino statuunt. Nam omni illa genealogia amputata inde unde diximus initium deducunt: *Factum est in diebus Herodis regis Iudaeae, sub principe sacerdotum Caipha, ut veniret quidam Ioannes nomine baptizans baptismo poenitentiae in Iordane fluvio*, etc. Quandoquidem Iesum ut diximus merum hominem extitisse putant, in eoque resedisse Christum, qui columbae specie sit illapsus, cum eoque coniunctus; id quod aliis insuper haeresibus placuisse reperio. Ita Iesum ipsum esse Christum ex utriusque parentis semine prognatum. Rursum vero non hominem esse Christum ex hoc eius responso colligunt, quod, cum renuntiatum esset: *Ecce mater tua* Matth. 12, 47. *et fratres tui foris stant*, hunc in modum reddidit: *Quae est mater mea, et fratres mei? et extendens manum in discipulos dixit, Hi sunt fratres mei et mater mea, qui faciunt voluntatem patris mei.* Hinc ille praestigiis instructus Ebion varias se in larvas atque effigies deformat, ut ex iis quae initio dicta sunt tetrum et horribile quoddam esse monstrum appareat.

Sunt et alii libri quibus utuntur, velut Petri Circuitus a Cle- Cap. XV. mente conscripti, quo in libro paucis veris relictis cetera supposuerunt; quemadmodum Clemens ipse omnibus illos modis redarguit iis epistolis circularibus quae ab eo scriptae in sacrosanctis ecclesiis leguntur. Ex quibus constat longe ab iis quae in Circuitibus illis sub eius nomine adulterina extant illius fidem ac sermonem abhorruisse. Etenim virginitatem Clemens edocuit; isti repudiant. Ille Eliam Davidem et Sampsonem omnesque prophetas commendat, Ebio-

Cap. XV. — 1. *Cf. Grabe Spicileg. I. pag.* 263.

*καὶ πάντας τοὺς προφήτας, οὓς οὗτοι βδελύττονται. Ἐν ταῖς οὖν Περιόδοις τὸ πᾶν εἰς ἑαυτοὺς μετήνεγκαν καταψευσάμενοι Πέτρου κατὰ πολλοὺς τρόπους, ὡς αὐτοῦ καθ' ἡμέραν βαπτιζομένου ἁγνισμοῦ ἕνεκεν, καθάπερ καὶ οὗτοι, ἐμψύχων τε τὸν αὐτὸν ἀπέχεσθαι καὶ κρεῶν, ὡς καὶ οὗτοι, καὶ πάσης ἄλλης ἐδωδῆς τῆς ἀπὸ σαρκῶν πεποιημένης λέγουσιν, ἐπειδήπερ καὶ αὐτὸς Ἐβίων καὶ Ἐβιωνῖται παντελῶς ἀπέχονται τούτων. Ὅταν δὲ ἐρωτήσῃς ἕνα τῶν αὐτῶν, τίνος ἕνεκεν ἐμψύχων οὐ μεταλαμβάνουσι, μὴ ἔχοντές τι διηγήσασθαι ἀποκρίνονται ἀσυνέτως, καὶ λέγουσι, Διὰ τὸ ἐκ συνουσίας καὶ μίξεως σωμάτων εἶναι αὐτὰ οὐ μεταλαμβάνομεν, ὡς εἶναι αὐτοὺς ὅλους τοὺς ἀπὸ ἐπιμιξίας ἀνδρός τε καὶ γυναικὸς βδελυκτοὺς, καὶ τὰ ὑπὸ τοῦ στόματος αὐτῶν ληρωδῶς ἐξεμεθέντα.*

Κεφ. ιϛ'. *Βάπτισμα δὲ καὶ αὐτοὶ λαμβάνουσι χωρὶς ὧν καθ' ἡμέραν βαπτίζονται. Μυστήρια δὲ δῆθεν τελοῦσι κατὰ μίμησιν τῶν ἁγίων ἐν τῇ*
pag. 140. *ἐκκλησίᾳ ἀπὸ ἐνιαυτοῦ εἰς ἐνιαυτὸν διὰ ἀζύμων, καὶ τὸ ἄλλο μέρος τοῦ μυστηρίου δι' ὕδατος μόνου. Δύο δέ τινας, ὡς ἔφην, συνιστῶσιν ἐκ θεοῦ τεταγμένους, ἕνα μὲν τὸν Χριστὸν, ἕνα δὲ τὸν διάβολον. Καὶ τὸν μὲν Χριστὸν λέγουσι τοῦ μέλλοντος αἰῶνος εἰληφέναι τὸν κλῆρον, τὸν δὲ διάβολον τοῦτον πεπιστεῦσθαι τὸν αἰῶνα, ἐκ προσταγῆς δῆθεν τοῦ παντοκράτορος κατὰ αἴτησιν ἑκατέρων αὐτῶν. Καὶ τούτου ἕνεκα Ἰησοῦν γεγεννημένον ἐκ σπέρματος ἀνδρὸς λέγουσι, καὶ ἐπιλεχθέντα, καὶ οὕτω κατὰ ἐκλογὴν υἱὸν θεοῦ κληθέντα, ἀπὸ τοῦ ἄνωθεν εἰς αὐτὸν ἥκοντος Χριστοῦ ἐν εἴδει περιστερᾶς. Οὐ φάσκουσι δὲ ἐκ θεοῦ πατρὸς αὐτὸν γεγεννῆσθαι, ἀλλὰ ἐκτίσθαι, ὡς ἕνα τῶν ἀρχαγγέλων, μείζονα δὲ αὐτῶν [1] ὄντα, αὐτὸν δὲ κυριεύειν καὶ ἀγγέλων καὶ πάντων ὑπὸ τοῦ παντοκράτορος πεποιημένων, καὶ ἐλθόντα, καὶ ὑφηγησάμενον ὡς τὸ παρ' αὐτοῖς εὐαγγέλιον καλούμενον περιέχει, ὅτι, Ἦλθον καταλῦσαι τὰς θυσίας, καὶ ἐὰν μὴ παύσησθε τοῦ θύειν, οὐ παύσεται ἀφ' [2] ὑμῶν ἡ ὀργή. Καὶ ταῦτα καὶ τοιαῦτά τινά ἐστι τὰ παρ' αὐτοῖς [3] ἐπιτηδεύματα. Πράξεις δὲ ἄλλας καλοῦσιν Ἀποστόλων εἶναι, ἐν αἷς [4] πολλὰ τῆς ἀσεβείας αὐτῶν ἔμπλεα, [5] ἔνθεν οὐ παρέργως κατὰ τῆς ἀληθείας ἑαυτοὺς ὥπλισαν. Ἀναβαθμοὺς γάρ τινας καὶ ὑφηγήσεις δῆθεν ἐν τοῖς Ἀναβαθμοῖς Ἰακώβου ὑποτίθενται, ὡς ἐξηγουμένου κατά τε τοῦ ναοῦ καὶ τῶν θυσιῶν, κατά τε τοῦ πυρὸς τοῦ ἐν τῷ θυσιαστηρίῳ, καὶ ἄλλα πολλὰ κενοφωνίας ἔμπλεα, ὡς καὶ τοῦ Παύλου ἐνταῦθα κατηγοροῦντες οὐκ αἰσχύνονται ἐπιπλάστοις τισὶ τῆς τῶν ψευδαποστόλων αὐτῶν κακουργίας καὶ πλάνης λόγοις πεποιημένοις. Ταρσέα μὲν αὐτὸν, ὡς αὐτὸς ὁμολογεῖ καὶ οὐκ ἀρνεῖται, λέγον-*

Cap. XVI. — 1. ὄντα καὶ ἔτη (sic) 2. ἡμῶν *invenio in ed. Petav. exara-*
περισσοτέρως, αὐτὸν *cett. habet cod. Vatic. tum.*

nitae detestantur. Quare in Circuitibus istis suum ad institutum accommodarunt omnia, ac de Petro plurima mendacia confinxerunt. Cuiusmodi est inter cetera, quotidie illum castimoniae caussa lavisse, quod isti facere consueverunt. Tum ab animatis omnibus et carnibus, reliquoque omni quod carne constet abstinuisse, quoniam ab iis tam Ebion olim quam hodie Ebionitae omnes abhorrent. Cumque aliquem ex illis interrogaveris cur tandem ab animatis sese contineat, aliud nihil praeter hoc imperitum et insulsum excipiet, quod illa e corporum coitu concubituque gignantur, se idcirco non vesci. Ex quo illud consequens est, hos ipsos qui ex eodem viri feminaeque complexu nati sunt, abominandos esse, si vera sunt quae ex ore suo stulte ac ridicule vomuerunt.

Celerum baptismo quoque praeter quotidianum illum initiantur, Cap. XVI. et ex Christianorum ecclesiaeque imitatione mysteria quaedam quotannis celebrant, in quibus panes azymos, et ad alteram mysterii partem meram aquam adhibent. Duos, ut iam dixi, a deo constitutos asserunt, Christum et diabolum. Quorum illi futuri, huic praesentis seculi potestas est commissa, idque adeo omnipotentis illius mandato ad cuiusque postulationem esse factum. Ob id Iesum ex virili semine productum affirmat, et electum, itaque dei filium appellatum ab eo Christum, qui in ipsum columbae figura de coelo delapsus est. Negant vero a deo illum esse patre genitum, sed tanquam unum ex archangelis creatum, et iis tamen maiorem qui et angelis, et universis quae sunt ab omnipotente condita dominetur, et in hunc orbem venit, atque hoc quod est in illorum evangelio docuerit. *Ego*, inquit, *ad abroganda sacrificia veni, et nisi sacrificare desieritis, dei in vos ira non cessabit.* Eiusmodi ergo illorum instituta sunt. Praeterea Apostolorum alios Actus circumferunt, in quibus plurima sunt impietatis illorum vestigia, eiusque potissimum auctoritate libri ad oppugnandam veritatem armantur. Quippe certos illic gradus, in iisque Iacobi narrationes quasdam explicant, quibus adversus templum et sacrificia, ignemque qui est in altari declamans inducitur. Accedunt et alia quamplurima longe stolidissima; ut vel Paulum ipsum illic accusare non erubuerint mendacissimis quibusdam sermonibus, quos falsorum ex illo grege apostolorum error atque improbitas excogitavit. Siquidem Tarsensem illum nominant; id quod ipse non negat, imo palam profitetur. Ad-

3. *δόλια ἐπιτηδεύματα cod. Vatic.*
4. *πολλῆς cod. Vatic.*
5. *Cod. Rhedig. et editi habent ἔνϑεν τὰ οὐ cett., sed auctoritate cod. Vatic. sustuli incommodum illud τὰ.*

*τες ἐξ Ἑλλήνων δὲ αὐτὸν ὑποτίθενται, λαβόντες τὴν πρόφασιν ἐκ τοῦ τόπου διὰ τὸ φιλάληθες ὑπ' αὐτοῦ ῥηθὲν, ὅτι, Ταρσεύς εἰμι, οὐκ ἀσήμου πόλεως πολίτης. Εἶτα φάσκουσιν αὐτὸν εἶναι Ἕλληνα, [6] καὶ Ἑλληνίδος μητρὸς καὶ Ἕλληνος πατρὸς [7] παῖδα, ἀναβεβηκέναι δὲ εἰς Ἱεροσόλυμα, καὶ χρόνον ἐκεῖ μεμενηκέναι, ἐπιτεθυμηκέναι δὲ θυγατέρα τοῦ ἱερέως πρὸς γάμον ἀγαγέσθαι, καὶ τούτου ἕνεκα προσήλυτον γενέσθαι καὶ περιτμηθῆναι, εἶτα μὴ λαβόντα τὴν κόρην ὠργίσθαι, καὶ κατὰ ἐπιτομῆς γεγραφέναι, καὶ κατὰ σαββάτου καὶ νομοθεσίας.*

Κεφ. ιζʹ. *Ἀλλὰ κατὰ πάντα τρόπον συκοφαντεῖ ὁ δεινὸς ὄφις οὗτος καὶ*
pag. 141. *πτωχὸς τῇ διανοίᾳ. Ἐβίων γὰρ ἔχει ἀπὸ Ἑβραϊκῆς εἰς Ἑλλάδα φωνὴν τὴν ἑρμηνείαν πτωχός. Πτωχὸς γὰρ ὡς ἀληθῶς καὶ τῇ διανοίᾳ καὶ τῇ ἐλπίδι καὶ τῷ ἔργῳ, Χριστὸν ἄνθρωπον ψιλὸν νομίσας, καὶ οὕτως ἐν πτωχείᾳ πίστεως τὴν ἐλπίδα περὶ αὐτοῦ κεκτημένος. Αὐτοὶ δὲ δῆθεν σεμνύνονται, ἑαυτοὺς φάσκοντες πτωχοὺς διὰ τὸ, φασὶν, ἐν χρόνοις τῶν ἀποστόλων πωλεῖν τὰ αὐτῶν ὑπάρχοντα, καὶ τιθέναι παρὰ τοὺς πόδας τῶν ἀποστόλων, καὶ εἰς πτωχείαν καὶ ἀποταξίαν μετεληλυθέναι. Καὶ διὰ τοῦτο καλεῖσθαι ὑπὸ πάντων φασὶ πτωχοί. Οὐδὲ τοῦτο δὲ ἀληθὲς παρ' αὐτοῖς, ἀλλὰ φύσει τῷ ὄντι Ἐβίων ἐκαλεῖτο, κατὰ προφητείαν, οἶμαι, ὁ πτωχὸς καὶ τάλας, τὸ ὄνομα ἐκ πατρὸς αὐτοῦ καὶ μητρὸς αὐτόυ κεκληρωμένος. Πόσα δὲ ἄλλα δεινὰ καὶ παραπεποιημένα καὶ μοχθηρίας γέμοντα παρ' αὐτοῖς ἐπιτηδεύεται; Ὅταν γάρ τι ἐξ αὐτῶν ἢ νόσῳ περιπέσοι, ἢ ὑπὸ ἑρπετοῦ δηχθείη, κάτεισιν εἰς τὰ ὕδατα, καὶ ἐπικαλεῖται τὰς ἐπωνυμίας τὰς ἐν τῷ Ἠλξαῒ τοῦ τε οὐρανοῦ καὶ τῆς γῆς, τοῦ τε ἁλὸς καὶ τοῦ ὕδατος, τῶν τε ἀνέμων καὶ ἀγγέλων τῆς δικαιοσύνης, φασὶ, καὶ τοῦ ἄρτου καὶ ἐλαίου, καὶ ἄρχεται λέγειν, Βοηθῆτέ μοι, καὶ ἀπαλλάξατε ἀπ' ἐμοῦ τὸ ἄλγημα. Ἤδη δέ μοι καὶ ἀνωτέρω προδεδήλωται, ὡς ταῦτα μὲν Ἐβίων οὐκ ᾔδει. Μετὰ καιρὸν δὲ οἱ σὺν αὐτῷ συναφθέντες τῷ Ἠλξαῒ, ἐσχήκασι μὲν τοῦ Ἐβίωνος τὴν περιτομὴν καὶ τὸ σάββατον καὶ τὰ ἔθη, τοῦ δὲ Ἠλξαῒ τὴν φαντασίαν ὥςτε νομίζειν μὲν τὸν Χριστὸν εἶναί τι ἀνδροείκελον ἐκτύπωμα ἀόρατον ἀνθρώποις, μιλίων ἐνενηκονταὲξ τὸ μῆκος, δῆθεν σχοίνων εἰκοσιτεσσάρων, τὸ δὲ πλάτος σχοίνων ἓξ, μιλίων εἰκοσιτεσσάρων, τὸ πάχος δὲ κατὰ μέτρησιν ἄλλην τινά· ἀντικρὺ δὲ αὐτοῦ ἑστάναι καὶ τὸ ἅγιον πνεῦμα ἐν εἴδει θηλείας ἀοράτως, καὶ τὸ αὐτὸ τοῦ αὐτοῦ μέτρου. Καὶ πόθεν, φησὶν, [1] ἔγνων τὰ μέτρα. Ἐπειδὴ, φησὶν, εἶδον ἀπὸ τῶν ὀρέων ὅτι αἱ κεφαλαὶ ἔφθανον αὐτῶν, καὶ τὸ μέτρον τοῦ ὄρους καταμαθὼν ἔγνων Χριστοῦ τε καὶ τοῦ ἁγίου πνεύματος τὰ μέτρα. Ἤδη δέ μοι περὶ τούτων εἴρηται ἐν τῇ*

6. *Verba* καὶ Ἑλληνίδος μητρὸς, *quae desiderantur in edit. princ., uti etiam in cod. Rhedig., Petavius recepit ex cod. Vatic.*

7. παῖδα *desideratur in ed. princ. et in cod. Rhedig. Recepit Petavius ex cod. Vatic.*

dunt et a gentilibus oriundum esse, cuiusdam occasione loci, in quo ipse quod res erat ingenue proponit. *Tarsensis*, inquit, *ego sum, nec urbis obscurae civis.* Ex quo gentilem fuisse colligunt, et utro- Act. 21, 39. que parente gentili procreatum, cumque Hierosolymam accessisset, et ibidem aliquamdiu mansisset, pontificis filiam ducere statuisse. Quare proselytum se fecisse, ac circumcisionem usurpasse. Postea quod ab eo coniugio excidisset, iratum adversus circumcisionem et sabbatum, legemque scripsisse.

Sed apertam calumniam struit callidus ille serpens animoque Cap. XVII. mendicus. Ebion quippe Hebraica vox Graeca lingua mendicum sonat. Est autem haereticus iste revera mente, spe factisque mendicus, utpote qui Christum merum esse hominem existimet, in eoque spem cum quadam fidei mendicitate collocet. Atenim isti de ea re gloriantur, seque mendicos praedicant, quod apostolorum, in- Act. 4, 34. quiunt, tempore mos esset bona sua distrahere, et ad illorum pedes abiicere. Itaque se illorum exemplo ad mendicitatem redigi, ac bonis omnibus abdicare, proindeque passim mendicos appellari. Sed hoc ab illis ex ingenio confictum est. Nam Ebioni proprium hoc erat nomen, non sine vaticinio tamen aliquo, quo mendicus infelixque fore significaretur, cum a parentibus id nominis accepisset. Quam vero alia multa et perperam affectata et scelerata ac nefaria eorum instituto geruntur! Quoties enim aliquis illorum in morbum incidit, aut a serpente morsus est, ad aquas descendit. Ibi appellationes omnes, quae Elxai complexus est, invocat, coeli videlicet ac terrae, salis et aquae, ventorum et angelorum, ut vocant, iustitiae, panis item et olei. Deinde solenne hoc carmen concipit: *Adeste mihi, et hunc a me dolorem depellite.* Iam hoc antea declaravimus, omnia haec Ebionem nesciisse, eiusque discipulos aliquanto post cum Elxai coalescentes ab Ebione circumcisionem ac sabbatum, aliosque ritus accepisse, ab Elxai vero somnium illud, ut Christum formam esse quandam humanae similem, neque hominibus aspectabilem esse fingerent, longitudine milium XCVI, qui sunt schoeni quatuor et viginti, latitudine schoenorum VI, hoc est milium XXIV, crassitudini denique aliam mensuram attribuunt. Prope ipsum vero stare spiritum sanctum muliebri figura, ita tamen ut videri nequeat, eiusdemque esse mensurae. Roges unde eas mensuras acceperint. E montibus, inquiunt, observatas habemus, quorum ad verticem illorum capita pertingebant, quare montium altitudinem dimensi Christi ac sancti spiritus magnitudinem comperimus. Verum de his in

Cap. XVII. — 1. ἔγνων codd. Vatic. Rhedig. *In ed. princ. est* ἄγνων. *Ceterum verterim:* Et unde acceperint eas mensuras dicit.

κατὰ Ὀσσαίων αἱρέσει. Ἐν παρεξόδῳ δὲ ταῦτα πεποίημαι νῦν, ἵνα μὴ τὰ παρ' ἑκάστῳ ἔθνει τε καὶ αἱρέσει ὄντα, εὑρισκόμενα δὲ καὶ παρ' ἑτέροις, νομισθείη κατὰ λήθην ὑφ' ἡμῶν εἰρῆσθαι.

Κεφ. ιη'. pag. 142. Οὗτος μὲν οὖν ὁ Ἐβίων καὶ αὐτὸς ἐν τῇ Ἀσίᾳ [1] εἶχε τὸ κήρυγμα καὶ Ῥώμῃ, τὰς δὲ ῥίζας τῶν ἀκανθωδῶν παραφυάδων ἔχουσιν ἀπό τε τῆς [2] Ναβατέας καὶ Πανεάδος τὸ πλεῖστον, Μωαβίτιδός τε καὶ Κωχάβων τῆς ἐν τῇ Βασανίτιδι γῇ, ἐπέκεινα Ἀδραῶν, ἀλλὰ καὶ ἐν τῇ Κύπρῳ. Ἀναγκάζουσι δὲ καὶ παρ' ἡλικίαν ἐκγαμίζουσι τοὺς νέους, ἐξ ἐπιτροπῆς δῆθεν τῶν παρ' αὐτοῖς [3] διδασκάλων. Πρεσβυτέρους γὰρ οὗτοι ἔχουσι καὶ ἀρχισυναγώγους. Συναγωγὴν δὲ οὗτοι καλοῦσι τὴν ἑαυτῶν ἐκκλησίαν, καὶ οὐχὶ ἐκκλησίαν· τῷ Χριστῷ δὲ ὀνόματι μόνον σεμνύνονται. Καὶ οὐ μόνον ἑνί τινι γάμῳ τὰς συναφείας [4] ποιεῖσθαι, ἀλλ' εἰ καὶ θελήσειέ τις τοῦ πρώτου γάμου διαζεύγνυσθαι, ἑτέρῳ δὲ συνάπτεσθαι, ἐπιτρέπουσιν ἄχρι καὶ δευτέρου καὶ τρίτου [5] καὶ ἑβδόμου γάμου. Πάντα γὰρ παρ' αὐτοῖς ἀδεῶς πράττεται. Ἁβραὰμ δὲ ὁμολογοῦσι καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, Μωϋσῆν τε καὶ Ἀαρὼν, Ἰησοῦν τε τὸν τοῦ Ναυῆ, ἁπλῶς διαδεξάμενον Μωϋσέα, οὐδὲν δὲ ὄντα. Μετὰ τούτους δὲ οὐκέτι ὁμολογοῦσί τινα τῶν προφητῶν, ἀλλὰ καὶ ἀναθεματίζουσι καὶ χλευάζουσι Δαβίδ τε καὶ τὸν Σολομῶνα, ὁμοίως δὲ τοὺς περὶ Ἡσαΐαν καὶ Ἱερεμίαν καὶ Δανιὴλ καὶ Ἰεζεκιήλ· Ἠλίαν τε καὶ Ἐλισσαῖον ἀθετοῦσιν. Οὐ γὰρ συντίθενται, βλασφημοῦντες τὰς αὐτῶν προφητείας. Ἀλλὰ μόνον τὸ εὐαγγέλιον δέχονται, τὸν δὲ Χριστὸν προφήτην λέγουσι τῆς ἀληθείας, καὶ Χριστὸν υἱὸν θεοῦ κατὰ προκοπὴν καὶ κατὰ συνάφειαν ἀναγωγῆς τῆς ἄνωθεν πρὸς αὐτὸν γεγενημένης. Τοὺς δὲ προφήτας λέγουσι συνέσεως εἶναι προφήτας, καὶ οὐκ ἀληθείας. Αὐτὸν δὲ μόνον θέλουσιν εἶναι προφήτην καὶ ἄνθρωπον, καὶ υἱὸν θεοῦ, καὶ Χριστὸν, καὶ ψιλὸν ἄνθρωπον, ὡς προείπομεν, διὰ δὲ ἀρετὴν βίου ἥκοντα εἰς τὸ καλεῖσθαι υἱὸν θεοῦ. Οὔτε γὰρ δέχονται τὴν Πεντάτευχον Μωϋσέως ὅλην, ἀλλά τινα ῥήματα ἀποβάλλουσιν. Ὅταν δὲ αὐτοῖς εἴπῃς περὶ ἐμψύχων βρώσεως, πῶς οὖν Ἁβραὰμ παρέθετο τοῖς ἀγγέλοις τὸν μόσχον καὶ τὸ γάλα, ἢ πῶς ἔφαγε Νῶε, καὶ ἤκουσεν ἀπὸ θεοῦ λέγοντος, Θῦσον καὶ φάγε, πῶς δὲ Ἰσαὰκ καὶ Ἰακὼβ ἔθυσαν τῷ θεῷ, ὁμοίως δὲ καὶ Μωϋσῆς ἐν τῇ ἐρήμῳ, ἐκείνοις μὲν ἀπιστεῖ, καί φησι, Τίς χρεία με ἀναγινώσκειν τὰ pag. 143. ἐν τῷ νόμῳ, ἐλθόντος τοῦ εὐαγγελίου; Πόθεν σοι τοίνυν τὰ περὶ Μωϋσέως καὶ Ἁβραὰμ εἰδέναι; Οἶδα γὰρ ὡς ὁμολογεῖτε αὐτοὺς εἶναι

Cap. XVIII. — 1. *In exemplari Petaviano vitium occurrit* τὸ εἶχε.

2. *Sic libri editi et cod. Rhedig. At reponendum est* Βατανέας. *Cf. annot. Petavii ad h. l.*

3. *Ita omnes libri praeter edit. Petavii, in qua vitiose extat* διδασκαλίων.

4. πεποιεῖσθαι *habet edit. princ., id est* πεποιῆσθαι, *quod non displicet.*

5. *Verba* καὶ ἑβδόμου *debentur aucto-*

Ossaeorum haeresi iam ante disputavimus. Et nunc obiter ea perstrinximus, ne quod penes unamquamque nationem ac sectam reperitur, id si in aliis quoque cerneretur, alieno loco per oblivionem commemoratum putares.

Ergo Ebion tametsi in Asia ac Romae errorem suum disseminaverit, nihilominus spinosorum suorum germinum stolonumque radices ex Nabathaea atque Paneade potissimum trahit, nec non et Moabitide Cochabisque, quod Basanitidis oppidum est trans Adraos, et in insula Cypro. Est hoc illis insuper in more positum, ut adolescentulos citra maturam aetatem ad nuptias compellant, idque adeo a magistris potestate facta. Habent enim presbyteros suos ac synagogae principes. Nam synagogam conventus suos non ecclesiam nominant, ac Christi solum nomen prae se ferunt. Neque vero unis duntaxat nuptiis affinitates inter se coniungunt, sed si cui divortium facere libuerit, ac novum iuire matrimonium, ad tertias et septimas usque nuptias permittunt. Quidvis enim apud illos agere conceditur. Porro Abraamum et Isaacum ac Iacobum, et Moysen, atque Aaronem admittunt, una cum Iesu, qui Moysis duntaxat successor, neque quicquam amplius fuerit. Secundum hos nullum alium ex prophetis adsciscunt, sed cum execratione proscribunt ac deridant, puta Davidem et Salomonem atque Isaiam, Hieremiam, Danielem, Ezechielem, quibuscum Eliam atque Elisaeum repudiant. Neque enim illorum vaticiniis assentiuntur, sed iis maledicentissime detrahunt; sed neque aliud praeter evangelium recipiunt. Quod ad Christum spectat, veritatis hunc esse prophetam sentiunt, et Christum dei filium progressione quadam virtutis et coniunctione cum deo factum, quatenus ad sublimia coelestiaque provectus est. Prophetas vero non veritatis, sed intelligentiae esse prophetas arbitrantur. Proinde Iesum solum prophetam et hominem, deique filium esse, licet merus homo sit, ut iam diximus. Qui ob egregiam virtutem dei filius appellari meruerit. Neque vero Moysis Pentateuchum integram admittunt, sed quaedam verba circumscribunt. Quod si de esu animatorum illud obiicias, cur Abraamus vitulum cum lacte angelis adposuerit, aut cur Noëmus illa comederit, et divinitus responsum acceperit: *Macta et manduca:* quidve insuper Isaacus et Iacobus ac Moyses similiter in solitudine sacrificaverint, negat Ebionita se illis credere, et, quid mea refert, inquiunt, ubi semel evangelium allatum est, quae in lege continentur evolvere? Undenam igitur tenes quae ad Moysen Abraamumque pertinent? Novi enim a

Cap. XVIII.

*ritati cod. Vatic., unde ea recepit Petavius. In edit. princ. et cod. Rhedig. absunt.*

*δικαίους, καὶ πατέρας ἑαυτῶν ἐπιγράφεσθε. Εἶτα ἀποκρίνεται καὶ λέγει ὅτι, Χριστός μοι ἀπεκάλυψε, καὶ βλασφημεῖ τὰ πλείω τῆς νομοθεσίας, καὶ τοὺς περὶ Σαμψὼν καὶ Δαβὶδ καὶ Ἠλίαν καὶ Σαμουὴλ καὶ Ἐλισσαῖον καὶ τοὺς ἄλλους.*

Κεφ. ιθ'. *Ἐλέγχεται δὲ πανταχόθεν ὁ ἀγύρτης ὑπὸ τοῦ σωτῆρος διαῤῥήδην, καὶ ὡς ἐν συντόμῳ ἀπὸ μιᾶς λέξεως τὸ πᾶν αὐτοῦ ἐλέγχοντος τῆς ἀπατηλῆς διδασκαλίας, καὶ λέγοντος, Ἦλθεν Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης μήτε ἐσθίων μήτε πίνων, καὶ λέγουσι, Δαιμόνιον ἔχει· ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων. Καὶ οὐ πάντως ὅτι κἂν τὸ τυχὸν οὐκ ἤσθιεν ὁ Ἰωάννης, ἢ πᾶν ὁτιοῦν ἤσθιεν ὁ σωτὴρ, ἵνα τις ὑπολάβοι καὶ τὰ ἀπηγορευμένα. Ἡ γραφὴ δὲ τὴν ἔμφασιν δηλοῖ τῆς ἀληθείας, ὡς τὸ φάγον αὐτὸν εἶναι καὶ οἰνοπότην οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ [1] κρέα ἐσθίειν καὶ οἶνον πίνειν, καὶ τὸ μὴ ἐσθίων μήτε πίνων, ὅτι κρεῶν οὐ μετείληφε καὶ οἴνου, ἀλλ' ἢ ἀκρίδων μόνων ὁ Ἰωάννης καὶ μέλιτος μετελάμβανε, δῆλον δὲ ὡς καὶ ὕδατος. Τίς δὲ οὐκ οἶδε τὸν σωτῆρα ἀναστάντα ἐκ νεκρῶν καὶ φαγόντα; καθάπερ ἔχει τὰ ἅγια εὐαγγέλια τῆς ἀληθείας, ὅτι, Ἐπεδόθη αὐτῷ ἄρτος καὶ μέρος ὀπτοῦ ἰχθύος, καὶ λαβὼν ἔφαγε, καὶ ἔδωκε τοῖς μαθηταῖς. Ὡς καὶ ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος πεποίηκε, καὶ φαγὼν καὶ διαδούς. Καὶ πολλά ἐστι περὶ τούτου λέγειν· δεῖ δέ με κατὰ λεπτότητα εἰς τὸν τούτων τῶν ῥημάτων τῶν ἑώλων τε καὶ σαθρῶν παρ' αὐτοῖς κηρυττομένων ἥκειν ἔλεγχον, καὶ τὴν αὐτῶν ποιεῖσθαι ἀνατροπήν.*

Κεφ. κ'. *Καὶ πρῶτον μὲν περὶ τοῦ Χριστοῦ, ὅτι οὐ ψιλὸς ἄνθρωπος, ῥητέον. Οὐ δύναται γὰρ ὁ γεννηθεὶς κατὰ πάντα ἄνθρωπος σημεῖον ἕνεκα τῷ κόσμῳ δοθήσεσθαι· ὡς περὶ αὐτοῦ προεθέσπιζε τὸ ἅγιον πνεῦμα, ὅτε τῷ Ἄχαζ ἔλεγεν, Αἴτησαι σεαυτῷ σημεῖον. Κἀκείνου μὴ αἰτήσαντος, τότε φησὶν ὁ προφήτης, Αὐτὸς κύριος δώσει ὑμῖν σημεῖον. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει. Παρθένος δὲ οὐ καλεῖται ἡ συναφθεῖσα ἀνδρὶ καὶ γαμηθεῖσα γυνή· παρθένος δὲ ἐκείνη κυρίως λέγοιτ' ἄν, ἡ ἄνευ ἀνδρὸς τὴν σύλληψιν τοῦ θεοῦ λόγου κατὰ ἀλή-*
pag. 144. *θειαν ἐσχηκυῖα. Ὡς καὶ αὐτὸς Ἡσαΐας ἐν ἄλλῳ τόπῳ φησὶ, Φωνὴ κραυγῆς ἐκ πόλεως, φωνὴ ἐκ ναοῦ, φωνὴ κυρίου ἀνταποδόσεως, ἀνταποδιδόντος τοῖς ἀντικειμένοις, πρὶν ἢ τὴν ὠδίνουσαν τεκεῖν, πρὶν ἢ ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε καὶ ἔτεκεν ἄρσεν· τίς ἤκουσε τοιοῦτον; ἢ τίς ἑώρακε τοιαῦτα; εἰ ὤδινε γῆ ἐν μιᾷ ἡμέρᾳ, καὶ ἔτεκεν ἔθνος εἰς ἅπαξ; ὅτι ὤδινε καὶ ἔτεκε Σιὼν τὰ παιδία αὐτῆς· ἐγὼ δὲ ἔδωκα τὴν προςδοκίαν ταύτην, καὶ οὐκ ἐμνήσθησαν, λέγει κύριος. Ποία δὲ προςδοκία, καὶ ποῖα παιδία; ἀλλ' ἢ τὸ παρθένον γεννῆσαι ἄνευ ὠδίνων, ὅπερ οὐδαμοῦ [1] γεγένηται, καὶ τὸ τὸν δι' αὐτὸν ἀπὸ*

Cap. XIX. — 1. κρέας *cod. Vatic.* κρέα *tenet praeter editos libros etiam cod. Rhedig.*

Cap. XX. — 1. γεγέννηται *habent cod. Rhedig. et ed. princ.* — *Cornarius convertit:* — id quod nusquam factum est, et propter ipsum ab Eelizabeth iuxta promissionem genitum esse filium

vobis iustos illos praedicari, iisque vos parentibus gloriari. Ad haec ita respondent, sibi id a Christo patefactum. Ergo bonam legis partem contumeliose traducunt, et Sampsonem ac Davidem, Eliam, Elizaeum ceterosque respuunt.

Sed a Christo domino penitus impostor ille manifesteque refellitur, qui depravatam omnem eius doctrinam paucis verbis redarguit, cum ita loquitur: *Venit Ioannes in via iustitiae non manducans, neque bibens, et dicunt, Daemonium habet; venit filius hominis manducans et bibens.* Quod perinde non est accipiendum ac si Ioannes nulla omnino re, Christus omnibus promiscue, adeoque prohibitis vesceretur. Sed scriptura vim veritatis expressit, ut non manducans et bibens idem sit ac Ioannem carnibus vinoque non usum nihil praeter locustas ac mel edisse, ut aquam interim adhibuisse credatur. Ecquis nescit Christum dominum excitatum a mortuis comedisse? quemadmodum veritatis evangelia continent, *Oblatum ei panem ac piscis assi particulam, de quibus cum manducasset apostolis suis reliquias impertiit.* Id quod ad Tiberiadis mare fecit, edit, inquam, ac distribuit. Qua de re plurima dicenda nobis occurrunt. Sed ad putidos illos absurdosque sermones, qui ab ipsis instituuntur, singillatim refellendos atque evertendos transferenda nobis est oratio.

Cap. XIX. — Matth. 11, 18. — Luc. 24, 42. — Ioann. 21.

Ac primum de Christo, non merum hominem esse demonstrabimus. Neque enim qui nihil omnino sit praeter hominem, signi instar exhiberi mundo potest; quod spiritus sanctus de Christo praedixit, cum ita Achazo locutus est: *Pete tibi signum:* illo vero petere detrectante, propheta subiecit, *Ipse dominus dabit vobis signum: ecce virgo concipiet.* Virginis porro nomine non ea mulier significatur quae nupserit, et cum viro coniuncta sit, sed ea demum proprie virgo dicitur quae divinum verbum in se absque ullo viri complexu genuerit. Quemadmodum Esaias alio in loco testatur: *Vox clamoris ex urbe, vox e templo, vox domini retributionis, retribuentis inimicis. Antequam parturiens pareret, antequam veniret dolor partus, effugit, et peperit masculum. Quis audivit unquam tale? et quis vidit huic simile? Numquid parturiit terra die una, et peperit gentem simul? quia parturivit et peperit Sion filios suos. Ego vero dedi hanc expectationem, et non recordati sunt, dicit dominus.* Quaenam igitur ea est expectatio? quinam hi filii, nisi quod citra parturiendi laborem virgo pepererit, quod nusquam antea contigerat? quodque

Cap. XX. — Esai. 66,

Ioannem? etiam si Ioannes per dolores partus genitus est. *Restituendum igitur putavit* γεγένηται, *quod etiam in ed. Petavii expressum video. Ego* γεγέννηται, καὶ τὸν δι' αὐτὸν *cett. repono et interpretor sic:* quam quod virgo citra partus dolorem pepererit quod nusquam partum est (*h. e. deum*), et Ioannem *cett.*

*Ἐλισάβετ κατὰ ἐπαγγελίαν γεννηθέντα Ἰωάννην παῖδα, εἰ καὶ [2] ὁ Ἰωάννης δι' ὠδίνων γεγέννηται; Πῶς οὖν οὗτοι ἐκ σπέρματος ψιλὸν ἄνθρωπον ὁρίζονται τὸν σωτῆρα; πῶς δὲ οὐ γνωσθήσεται, ὡς καὶ Ἱερεμίας περὶ αὐτοῦ φησιν ὅτι, Ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν; Διηγούμενος γὰρ ὁ προφήτης περὶ αὐτοῦ ἔλεγε, Τίς γνώσεται αὐτόν; Εἰ δὲ περὶ ψιλοῦ ἔλεγεν ἀνθρώπου, πάντως ἂν καὶ ὁ πατὴρ αὐτὸν ἐγίνωσκε, καὶ ἡ μήτηρ, συγγενεῖς τε καὶ γείτονες, σύσκηνοί τε καὶ συμπολῖται. Ἀλλ' ἐπειδὴ ἐκ Μαρίας μέν ἐστι τὸ γέννημα, ἄνωθεν δὲ ἦλθεν ὁ θεὸς λόγος, οὐκ ἀπὸ σπέρματος ἀνδρὸς, ἀλλ' ἐκ πατρὸς μὲν, ἄνωθεν γεννηθεὶς ἐν ἀληθείᾳ ἀχρόνως καὶ ἀνάρχως, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν εὐδοκήσας ἐν μήτρᾳ γενέσθαι παρθένου, καὶ ἐξ αὐτῆς ἀναπλάσαι εἰς ἑαυτὸν τὴν σάρκα, διὰ τοῦτό φησι, Καὶ ἄνθρωπος μέν ἐστι, τίς δὲ γνώσεται αὐτόν; ὅτι θεὸς ἄνωθεν ἦλθεν, ὁ μονογενὴς θεὸς λόγος. Πολλὴ δὲ ταλαιπωρία τῶν πεπλανημένων, τῶν καταλειψάντων μὲν προφητῶν μαρτυρίας καὶ ἀγγέλων, καὶ ἀνασχομένων Ἐβίωνος τοῦ πεπλανημένου, τοῦ τὴν ἑαυτοῦ ἡδονὴν βουλομένου πληροῦν, καὶ τὰ Ἰουδαϊκὰ μεταχειριζομένου, καὶ ἀπὸ Ἰουδαίων ἠλλοτριωμένου. Ὡς ὁ μὲν Γαβριὴλ, ὅτε τῇ παρθένῳ εὐηγγελίζετο, αὐτῆς λεγούσης, Πῶς ἔσται ταῦτα, ὅτι ἄνδρα οὐ γινώσκω; [3] τὸ ἀσφαλὲς ὑποτιθέμενος ἔφη, Πνεῦμα κυρίου ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον κλη-*
pag. 145. *θήσεται Υἱὸς θεοῦ. Ἐν τῷ γὰρ εἰπεῖν, Τὸ γεννώμενον, ἔδειξε μὲν τὴν σάρκα ἀπ' αὐτῆς, καὶ τὴν ἄλλην ἐνανθρώπησιν, ἄνωθεν δὲ ἀπ' οὐρανῶν τὴν δύναμιν τοῦ ὑψίστου, καὶ τὸ ἅγιον πνεῦμα ἐπισκιάσαι τῇ ἁγίᾳ παρθένῳ, καὶ ἄνωθεν καταβεβηκέναι τὸν μονογενῆ [4] θεοῦ θεὸν λόγον, καὶ ὡς ἐνηνθρώπησε, καὶ ὡς ἀπ' αὐτῆς ἐν ἀληθείᾳ ἐγεννήθη. Πόσα δὲ ἄλλα ἐστὶ τοιαῦτα; Εἴωθα δὲ, ὡς ὑπεσχόμην, μὴ διὰ πλάτους φέρεσθαι, ἵνα μὴ εἰς ὄγκον πολὺν ἀγάγω τὴν πραγματείαν.*

Κεφ. κα'. *Περὶ δὲ τῶν ἄλλων ἑξῆς διηγήσομαι ὧν τε κατὰ Πέτρου καὶ τῶν ἄλλων ἀποστόλων καταψεύδονται. Ὅτι, φησὶν, ὁ Πέτρος καθ' ἑκάστην ἡμέραν βαπτισμοῖς ἐκέχρητο, πρὶν ἢ καὶ ἄρτου αὐτὸν μεταλαμβάνειν. Καὶ ὅρα τὸ αὐτῶν συκοφάντημα, καὶ τὸ [1] ὕπουλον τῆς ἀγυρτώδους αὐτῶν διδασκαλίας. Ἀπὸ τοῦ γὰρ αὐτοὺς μεμιάνθαι καὶ λαγνεστέρως πολλάκις πολλὰ πράττειν ἐπὶ τῆς γῆς εἰς πεισμονὴν τῆς ἑαυτῶν πληροφορίας τῷ ὕδατι δαψιλῶς χρῶνται, ἵνα δῆθεν ἑαυτοὺς ἀπατήσωσι, διὰ βαπτισμῶν ἔχειν τὴν κάθαρσιν νομίζοντες. Καὶ ταῦτα εἰς τοὺς ἀποστόλους ἐμπαροινεῖν οὐκ αἰσχύνονται, καί τοι τοῦ κυρίου*

2. *Articulum reposui ex cod. Vatic.*
3. τὸ *ante* ἀσφαλὲς *Petavius adiecit de*
*cod. Vatic. Abest a cod. Rhedig. et edit.*
*princ.*

is qui illius est caussa productus Ioannes ex divina promissione Elizabetha prognatus sit, licet illum antequam pareret mater parturierit? Quanam ergo fronte nudum hominem fuisse salvatorem audent asserere? Quod si verum esset, nonne cognitione comprehendi posset, contra quam de eo Hieremias testetur? *Homo*, inquit, *est*, *et* Hier. 17, 9.
*quis cognoscet ipsum?* Etenim de eo loquens propheta istud usurpat: *Quis cognoscet ipsum?* Atqui simplicem si hominem intelligat, omnino vel eum pater ipse, vel mater cognatique omnes, ac vicini, tum contubernales ac cives cognoscerent. Iam vero quoniam ita Mariae ille fetus extitit, idem ut dei verbum e coelo prodierit, neque virili de semine, sed coelesti patre genitus, sine tempore initioque ullo, postremis temporibus in uterum insinuare se virginis, formatamque ex ea carnem induere voluit, propterea, *Homo quidem est*, ait, *sed quis cognoscet ipsum*; quandoquidem deus e coelo descendit, unigena filius, ac deus verbum. Sed incredibilis quaedam est aberrantium a veritate istorum infelicitas qui prophetarum, angelorumque testimoniis relictis ad haereticum Ebionem adhaerescere maluerunt, qui ex animi sui libidine Iudaica instituta complexus sese tamen a Iudaeis abalienavit. Quippe Gabriel cum nuntium suum ad virginem perferret, occurrente illa, *Quomodo fiet istud, quoniam virum non cognosco*, quo securitati consuleret adiecit, *Spiritus domini superve-* Luc. 1, 35.
*niet in te, et virtus altissimi obumbrabit te, ideoque et quod nascetur ex te sanctum, vocabitur filius dei.* Ubi per haec verba, *Quod nascetur*, ab ipsa carnem, et quicquid ad humanam naturam attinet duxisse significat, tum virtutem altissimi, ac spiritum sanctum e coelo sanctam virginem obumbrasse, unigenamque dei filium ac deum verbum in terras delapsum hominem esse factum, ac de beata virgine revera procreatum. Quam multa sunt istiusmodi testimonia! Ego vero quemadmodum pollicitus sum, ne longior hoc in opere esse cogar, latius evagari non soleo.

Venio nunc ad ea quae de Petro ac ceteris apostolis men- Cap. XXI.
tiuntur. *Petrus*, inquiunt, *lavabat quotidie, priusquam cibum sumeret.* In quo circulatorum eiusmodi incredibilem calumniam, ac vaferrimum in ea tradenda disciplina consilium intuere. Etenim quod inquinantur saepius ac per lasciviam pleraque in vita peccant, quo sibi certam spem ac fiduciam concilient, aqua largius utuntur, ut seipsos decipiant, dum repetitis hisce lavationibus puros se esse posse confidunt. Atque haec per summam contumeliam in apostolos

4. *Vocem* θεοῦ *non habet cod. Vatic.* *et ed. Petav.* ὑποῦλον *cod. Rhedig. et ed. princ.*
Cap. XXI. — 1. ὕπουλον *cod. Vatic.*

ἐλέγχοντος αὐτῶν τὴν κακοτροπίαν, ἐν τῷ τὸν Πέτρον εἰρηκέναι, ὅτε ἦλθε τοὺς πόδας αὐτοῦ νίψαι ὅτι, Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα· καὶ τὴν ἀνθυποφορὰν ὑπὸ τοῦ σωτῆρος ἐξιέναι ὅτι, Ἐὰν μὴ νίψω σου τοὺς πόδας, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ· κἀκείνου πάλιν ἀνταποκρινομένου ὅτι, Οὐ μόνον τοὺς πόδας, ἀλλὰ καὶ τὴν κεφαλὴν, φησὶν ὁ κύριος, ὅτι ὁ λουσάμενος ἅπαξ οὐ χρείαν ἔχει τὴν κεφαλὴν, εἰ μὴ τοὺς πόδας μόνον· ἔστι γὰρ καθαρὸς ὅλος. Ἔδειξεν οὖν ὅτι οὐ χρὴ βαπτισμοῖς χρῆσθαι, καὶ ἔθεσιν ἀνωφελέσι, καὶ ἐντάλμασιν ἀνθρώπων, καὶ διδασκαλίαις, ὡς καὶ ἐν ἑτέρῳ εὐαγγελίῳ συνῳδὰ τῷ προφήτῃ [2] λέγει, Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων. Ἐπεὶ κατὰ ποίαν αἰτίαν ἐμέμφετο τοὺς Φαρισαίους καὶ Γραμματεῖς τοὺς βαπτισμοῖς χρωμένους ξεστῶν καὶ ποτηρίων καὶ τῶν ἄλλων, καὶ πυγμῇ τὰς χεῖρας νιπτομένους, καὶ τελείως ἀποφαίνεται ὅτι τὸ ἀνίπτοις χερσὶν ἐσθίειν οὐ κοινοῖ τὸν ἄν-
pag. 148. θρωπον; ὥστε οὐ μόνον τὸ βαπτίζεσθαι τούτων ἀνέτρεψεν, ἀλλὰ καὶ τὸ νίψαι χεῖρας περιττὸν εἶναι ἔδειξε, καὶ τῷ βουλομένῳ τὰς χεῖρας νίπτεσθαι μὴ εἶναι βλάβην.

Κεφ. κβ'. Πῶς δὲ περὶ κρεωφαγίας οὐκ εὐθὺς ἡ αὐτῶν ἄνοια ἐλεγχθήσεται; πρῶτον μὲν τοῦ κυρίου ἐσθίοντος τὸ πάσχα τῶν Ἰουδαίων. Πάσχα δὲ τῶν Ἰουδαίων πρόβατον ἦν καὶ ἄζυμα, κρέα προβάτου ὀπτὰ πυρὶ ἐσθιόμενα, ὡς καὶ οἱ μαθηταὶ [1] αὐτῷ λέγουσι, Ποῦ θέλεις ἑτοιμάσομέν σοι φαγεῖν τὸ πάσχα; καὶ αὐτὸς ὁ κύριος λέγει, Ἀπέλθετε εἰς τὴν πόλιν, καὶ εὑρήσετε ἄνθρωπον βαστάζοντα κεράμιον ὕδατος, καὶ ἀκολουθήσατε αὐτῷ ὅπου ὑπάγει, καὶ εἴπατε τῷ οἰκοδεσπότῃ, Ποῦ ἐστι τὸ κατάλυμα, ὅπου ποιήσω τὸ πάσχα μετὰ τῶν μαθητῶν μου; καὶ δείξει ὑμῖν ὑπερῷον ἐστρωμένον, ἐκεῖ ἑτοιμάσατε. Πάλιν δὲ αὐτὸς ὁ κύριος λέγει, Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν. Καὶ οὐκ εἶπεν ἁπλῶς Πάσχα, ἀλλὰ Τοῦτο τὸ πάσχα, ἵνα μή τις μεθοδεύσῃ εἰς τὴν ἑαυτοῦ ὑπόνοιαν. Πάσχα δὲ ἦν, ὡς εἶπον, κρέα ὀπτὰ πυρὶ, καὶ τὰ ἄλλα. Αὐτοὶ δὲ ἀφανίσαντες ἀφ' ἑαυτῶν τὴν τῆς ἀληθείας ἀκολουθίαν ἤλλαξαν τὸ ῥητὸν, ὅπερ ἐστὶ πᾶσι φανερὸν ἐκ τῶν συνεζευγμένων λέξεων, καὶ ἐποίησαν τοὺς μαθητὰς μὲν λέγοντας, Ποῦ θέλεις ἑτοιμάσομέν σοι τὸ πάσχα φαγεῖν; καὶ αὐτὸν δῆθεν λέγοντα, Μὴ [2] ἐπιθυμίᾳ ἐπεθύμησα [3] κρέας τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν; Πόθεν δὲ οὐ φωραθήσεται ἡ αὐτῶν ῥᾳδιουργία, τῆς ἀκολουθίας κραζούσης, ὅτι τὸ μῦ καὶ τὸ ἦτά ἐστι προςθετά. Ἀντὶ τοῦ γὰρ εἰπεῖν, Ἐπιθυμίᾳ ἐπεθύμησα, αὐτοὶ προσέθηκαν τὸ Μὴ ἐπίρρημα. Αὐτὸς δὲ ἀληθῶς ἔλεγεν, Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πά-

2. λέγει codd. Vatic. Rhedig. et. ed. Petav. ὅς λέγει edit. princ.

Cap. XXII. — 1. αὐτῷ reposui ex cod. Vatic. αὐτῶν habet ed. princ. αὐ-

transferre non erubescunt. Quamquam dominus illorum nequitiam manifeste redarguit, cum ad Petri lavandos pedes accedens eo dicente, *Non lavabis mihi pedes in aeternum*, subiecit illico, *Nisi la-* Ioann. 13, 8.
*vero pedes tuos, non habebis partem mecum.* Ad quae Petro respondente, *Non solum pedes, sed et caput,* dominus adiecit, *Qui lotus est semel, non opus est, ut caput lavet, sed pedes duntaxat; est enim mundus totus.* Quibus verbis declaravit lavationibus eiusmodi ac supervacaneis ritibus, hominumque mandatis ac doctrinis uti nihil attinere. Cui quidem consentanea sunt quae a quodam propheta dicuntur: *Populus iste labiis me honorat, cor autem ipsorum longe* Esai. 29, 13. Matth.
*est a me; frustra vero colunt me, docentes doctrinas, mandata homi-* 15, 8.
*num.* Quid est enim quod Pharisaeos ac scribas arguebat quod baptismos adhiberent urceorum et calicum, ac ceterorum id genus, et crebro manus abluerent? cum ita demum pronuntiat, *Illotis manibus manducare non inquinare hominem.* Quare non eorum modo lotiones damnavit, sed et manus abluere supervacaneum esse docuit, neque fraudi cuiquam esse, quod manus nolit eluere.

Iam quod ad usum carnium spectat, nonne eorum statim amen- Cap.
tia convincitur? Primum quod dominus Iudaeorum pascha comede- XXII.
rit. Constabat autem pascha Iudaeorum agno, ac sine fermento subactis panibus. Agni porro carnibus vesci mos erat assatis igni, quod et apostoli ipsi testantur. *Ubi vis,* inquiunt, *paremus tibi com-* Matth.
*edere pascha?* Quibus dominus respondit, *Ite in civitatem, et inve-* 26, 17.
*nietis hominem amphoram aquae portantem: sequimini eum quocumque ierit, et dicite patrifamilias, Ubi est diversorium, ubi pascha cum discipulis meis faciam? Et ostendet vobis coenaculum stratum, et ibi parate.* Iterumque dominus, *Desiderio,* ait, *desideravi hoc pascha manducare vobiscum.* Neque pascha simpliciter dixit, sed *hoc pascha;* ne quis dictum illud subdole ad opinionem suam accommodaret. Ac pascha illud carnes erant, uti diximus, igni tostae, cum aliis quibusdam. At illi veritatis serie ex ingenio sublata verba illa mutarunt, quod est ex coniunctis dictionibus unicuique perspicuum. Quare discipulos ita loquentes faciunt: *Ubi vis paremus tibi comedere pascha?* Christum vero ad ea respondentem: *Numquid desiderio desideravi comedere carnem hoc pascha vobiscum?* Atqui facile est sceleratam hanc illorum fraudem detegere, cum ea quae sequuntur aperte clamitent, ambo esse elementa perperam addita, videlicet $\bar{\mu}$ et $\bar{\eta}$. Nam pro eo quod est, *Desiderio desideravi;* isti, μὴ, id est, *num*, adverbium adiunxerunt. Christus porro verissime dixit,

τοῦ *ed. Petav.* αὐτ˜᾿ *cod. Rhedig.* 2. ἐπιθυμίαν *cod. Rhedig.* 3. χρέας *cod. Vatic. et ed. Petav.* χρέα *cod. Rhedig. et ed. princ.*

σχα φαγεῖν μεθ' ὑμῶν· αὐτοὶ δὲ ἐπιγράψαντες τὸ Κρέας ἑαυτοὺς ἐπλάνησαν, ῥᾳδιουργήσαντες καὶ εἰπόντες, Μὴ ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα κρέας φαγεῖν μεθ' ὑμῶν; Σαφῶς δὲ δείκνυται ὅτι καὶ πάσχα ἐπετέλεσε, καὶ κρέα βέβρωκεν, ὡς προεῖπον. Ἀλλὰ καὶ ἀπὸ τοῦ ὁράματος [4] ἐλεγχθήσονται τοῦ ἀποκαλυφθέντος τῷ ἁγίῳ Πέτρῳ διὰ τῆς ὀθόνης τῆς ἐχούσης πάντα ἐν αὐτῇ θηρία τε καὶ κτήνη, ἑρπετὰ καὶ πετεινὰ, καὶ φωνῆς κυρίου λεγούσης, Ἀναστὰς θῦσον καὶ φάγε.
pag. 147. Καὶ τοῦ Πέτρου λέγοντος, Μηδαμῶς κύριε· οὐδὲν κοινὸν ἢ ἀκάθαρτον εἰςῆλθεν εἰς τὸ στόμα μου, φησὶν ὁ κύριος, Ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. Εὑρεθήσεται γὰρ ἐκ δύο τρόπων τῆς ἀληθείας ἡ σύστασις. Εἰ μὲν γὰρ ἐροῦσι κατὰ πάντων βρωμάτων διεξεληλυθέναι λόγον τὸν ἅγιον Πέτρον, καὶ λέγειν ὅτι οὐδέποτε κοινὸν ἢ ἀκάθαρτον, ὡς καὶ βόας, καὶ αἶγας, καὶ πρόβατα, καὶ ὄρνεις, κοινὰ λέγεσθαι παρ' αὐτῷ, εὐθὺς ἐλεγχθήσονται ἐκ τῆς προτέρας αὐτοῦ ἀναστροφῆς. Μετὰ γὰρ τὸ γῆμαι καὶ τέκνα κεκτῆσθαι, καὶ πενθερὰν ἔχειν, συνέτυχε τῷ σωτῆρι ἐξ Ἰουδαίων ὁρμώμενος. Ἰουδαῖοι δὲ καὶ σάρκας ἐσθίουσι, καὶ κρεωφαγία παρ' αὐτοῖς οὐκ ἐβδέλυκται, οὐδὲ ἀπηγόρευται. Ἆρα γ' οὖν αὐτοῦ βεβρωκότος ἀπ' ἀρχῆς, εἰ καὶ ἕως τοῦ συναντῆσαι τῷ σωτῆρι εἴποιμ' ἂν, δειχθήσεται ὅτι οὐδὲν κοινὸν ἡγήσατο τῶν οὐ κοινῶν λεγομένων. Καὶ γὰρ οὐ κατὰ πάντων διεξήγαγε τὸ κοινὸν καὶ ἀκάθαρτον, ἀλλὰ περὶ ὧν ἔλεγεν ὁ νόμος κοινῶν καὶ ἀκαθάρτων. Πάλιν δὲ τούτου δειχθέντος ὅτι οὐ περὶ πάντων τῶν κρέων αὐτῷ ἔλεγεν, ὡς κοινῶν πάντων ὄντων, ἀλλὰ περὶ τῶν ἐν τῷ νόμῳ κοινῶν τε καὶ ἀκαθάρτων, ὁ θεὸς τῆς ἁγίας Χριστοῦ ἐκκλησίας τὸν χαρακτῆρα παραδιδοὺς ἔλεγεν αὐτῷ μηδὲν κοινὸν ἡγεῖσθαι. Πάντα γάρ ἐστι καθαρὰ, μετὰ εὐχαριστίας καὶ εὐλογίας θεοῦ λαμβανόμενα. Ἀλλὰ καὶ περὶ τῆς κλήσεως τῶν ἐθνῶν τὸ αἴνιγμα εἶχεν, ἵνα μὴ ἡγήσηται τοὺς ἐν ἀκροβυστίᾳ κοινοὺς ἢ ἀκαθάρτους. Ὅμως ἡ ἔμφασις τοῦ Πέτρου οὐ περὶ ἀνθρώπου εἶχε τὴν ὑπόνοιαν, ἀλλὰ περὶ τῶν ἐν τῷ νόμῳ ἀπηγορευμένων, ὡς καὶ παντί τῳ σαφὲς ἂν εἴη. Καὶ ἐξέπεσεν αὐτῶν πανταχόθεν ὁ ληρώδης λόγος.

Κεφ. κγ'. Τῶν δὲ ἀποστόλων τὰ ὀνόματα εἰς τὴν τῶν ἠπατημένων ὑπ' αὐτῶν πειθὼ προςποιητῶς δέχονται, βίβλους τε ἐξ ὀνόματος αὐτῶν πλασάμενοι ἀνεγράψαντο, δῆθεν ἀπὸ προςώπου Ἰακώβου, καὶ Ματθαίου, καὶ ἄλλων μαθητῶν. Ἐν οἷς ὀνόμασι καὶ τὸ ὄνομα Ἰωάννου τοῦ ἀποστόλου ἐγκαταλέγουσιν, ἵνα πανταχόθεν φωρατὴ γένηται ἡ αὐτῶν ἄνοια.

4. ἐλεγχθήσονται cod. Vatic. et inde ed. Pelav. ἐλεγχθήσεται cod. Rhedig. et ed. princ.

*Desiderio desideravi hoc pascha manducare vobiscum.* Quibus insuper vocabulum hoc, *Carnem*, addiderunt, seque ipsos miserrime deceperunt, cum per summum scelus adulterata scriptura hunc in modum extulerunt: *Num desiderio desideravi hoc pascha, carnem manducare vobiscum?* Atqui palam illud ostenditur, Christum dominum et pascha celebrasse et carnes edisse, quemadmodum dixi. Praeterea ex eo viso possunt redargui quod beato Petro monstratum est, cum linteum illud aspexit in quo ferarum ac pecudum et reptilium ac volucrum genera omnia continebantur. Secundum quae dei illa vox est audita, *Surge, occide, et manduca.* Respondente Petro, *Absit domine, nihil enim commune vel immundum intravit in os meum*, dominus subiecit, *Quod deus purificavit, tu commune ne dixeris.* Siquidem utroque modo confirmari veritas potest. Sive enim dixerint ad omnia esculentorum genera Petri dictum illud pertinere, cum dicit, *Nihil unquam commune vel immundum*, ut et boves, capras, oves ac volucres communes esse voluerit, statim illos prior eius vivendi ratio refellit. Ducta quippe iam uxore cum et liberos haberet et socrum a Iudaeorum ceremoniis sese ad Christum aggregavit. At Iudaei carnibus vescuntur, nec earum usus apud illos execrabilis est aut prohibitus. Cum igitur initio carnibus uteretur, saltem ad id usque tempus quo in Christum dominum incidit, manifestum est nihil illum quod commune non esset pro communi habuisse. Non enim omnes cibos communis immundique voce complexus est, sed quos eiusmodi esse lex ipsa definierat. Cum igitur constet non de omni carnium genere locutum esse Petrum, ut omnes esse communes diceret, sed de iis quas esse communes immundasque lex edixerat, deus sanctae Christi ecclesiae notam formamque praescribens, commune quicquam appellare prohibuit. Omnia quippe pura sunt, si cum actione gratiarum deique benedictione sumantur. Quin etiam vocationem gentium visum illud adumbrabat, ne praeputio praeditos communes impurosque censeret. Quamquam obiecta illa Petro species non ad significandos homines, sed ad ea quae lege erant interdicta spectabat; id quod constare cuilibet potest. Ita undique nugatoria ac levis illorum opinio concidat necesse est. Act. 10, 13.

Iidem apostolorum nomina, quo facilius sectatores suos pelliciant, per simulationem admittunt, quibus etiam confictos quosdam a se libros inscribunt, velut a Iacobo, Matthaeo, ac reliquis discipulis editos. Inter quae Ioannis etiam apostoli nomen admiscent, quo eorum vecordia possit ex omni parte deprehendi. Nam non eo Cap. XXIII.

Οὐ μόνον γὰρ ἐλέγχει αὐτοὺς κατὰ πάντα τρόπον λέγων ὅτι, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος, ἀλλὰ
pag. 148. καὶ ὅτι τὰς τῶν ἁγίων προφητῶν μαρτυρίας, ἐν ᾧ ἐκ πνεύματος ἁγίου ὁρμώμενος καὶ τὰ ὑπὸ τοῦ σωτῆρος εἰρημένα καλῶς ἀκριβολογήσας περὶ ἑκάστης ὑποθέσεως τῆς εἰς Χριστὸν πληρωθείσης, ὡς εἶπον, τὰς μαρτυρίας ἐξέθετο, ἀφ' ὧν προφητῶν οὗτοι ἑαυτοὺς ἀπηλλοτρίωσαν. Καὶ εὐθὺς ἔδειξεν ὡς τοῖς πρὸς Ἰωάννην τὸν Βαπτιστὴν ὑπὸ τῶν Φαρισαίων πεμφθεῖσιν αὐτὸς Ἰωάννης ἀποκρίνεται, λέγων, Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης. Καὶ πάλιν αὐτὸς ὁ Ἰωάννης λέγει, ἀπὸ τῶν προφητῶν λαβὼν τὴν μαρτυρίαν, φημὶ δὲ ἀπὸ τοῦ Δαβὶδ, ὅτε ὁ κύριος τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε, καὶ εἶπε, Μὴ ποιῆτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου, Ἐμνήσθησαν ὅτι ἦν γεγραμμένον, Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. Καὶ πάλιν αὐτὸς Ἰωάννης εἶπεν, Ὅτι Ἡσαΐας εἶδεν ὢν ἐν πνεύματι ἁγίῳ.

Κεφ. κδʹ. Πάλιν δὲ ὁ αὐτὸς ἅγιος Ἰωάννης κηρύττων ἐν τῇ Ἀσίᾳ ἱστορεῖται παράδοξον ἔργον τι πεποιηκὼς εἰς ὑπογραμμὸν τῆς ἀληθείας. Πολιτείαν γὰρ ἔχων θαυμασιωτάτην, καὶ συμπρέπουσαν αὐτοῦ τῷ ἀξιώματι τῆς [1] ἀποστολῆς, καὶ μηδ' ὅλως λουόμενος, ἠναγκάσθη ὑπὸ τοῦ ἁγίου πνεύματος προελθεῖν ἕως τοῦ βαλανείου, εἰπὼν ὅτι, Λάβετέ μοι τα πρὸς βαλανεῖον. Καὶ τῶν συνεπομένων θαυμαζόντων ἦλθεν εἰς αὐτὸ τὸ λουτρόν. Καὶ γενόμενος πρὸς τὸν εἰωθότα ὑποδέχεσθαι τῶν λουομένων τὰ ἱμάτια ἤρετο τίς ἔνδον ἐστὶν ἐν τῷ βαλανείῳ, ὁ δὲ ὀλεάριος ἐπὶ τῷ φυλάττειν ἱμάτια προςκαρτερῶν (ἐν τοῖς γὰρ γυμνασίοις ἔργον τοῦτό τισιν ὑπάρχει πορισμοῦ ἕνεκα τῆς ἐφημέρου τροφῆς) ἔφη τῷ ἁγίῳ Ἰωάννῃ ὅτι Ἐβίων ἔνδον ἐστίν. Ἰωάννης δὲ εὐθὺς συνεὶς τὴν τοῦ ἁγίου πνεύματος ὁδηγίαν, δι' ἣν αἰτίαν προυτρέψατο αὐτὸν ἕως τοῦ βαλανείου ἥκειν, ὡς ἔφην, μνήμης ἕνεκα τοῦ καταλιπεῖν ἡμῖν τὴν τῆς ἀληθείας ὑπόθεσιν, ὅτι τίνες εἰσὶν οἱ δοῦλοι Χριστοῦ καὶ ἀπόστολοι καὶ υἱοὶ τῆς αὐτῆς ἀληθείας, τίνα δέ ἐστι τὰ σκεύη τοῦ πονηροῦ, καὶ πύλαι ᾅδου μὴ κατισχύουσαι τῆς πέτρας καὶ τῆς ἐπ' αὐτῆς οἰκοδομηθείσης ἁγίας θεοῦ ἐκκλησίας, — εὐθὺς ταράξας ἑαυτὸν καὶ οἰμώξας ἠρέμα εἰς τὸ πάντας ἀκοῦσαι, εἰς μαρτύριον παραστάσεως ἀχράντου
pag. 149. διδασκαλίας, Σπεύσατε ἀδελφοὶ, ἔφη, ἐξέλθωμεν ἐντεῦθεν, μὴ πέσῃ τὸ βαλανεῖον, καὶ ἀπολώμεθα μετὰ Ἐβίωνος τοῦ ἔνδον ἐν τῷ βαλανείῳ, διὰ τὴν αὐτοῦ ἀσέβειαν. Καὶ μηδεὶς θαυμαζέτω ἐπὶ τῷ ἀκοῦσαι Ἐβίωνα Ἰωάννῃ συντετυχηκέναι. Πολυχρόνιος γὰρ καταμείνας τῷ βίῳ ὁ μακάριος Ἰωάννης διήρκεσεν ἄχρι τῆς τοῦ Τραϊανοῦ βασιλείας. Πάντες δὲ οἱ ἀπόστολοι ὅτι ἀπαλλοτριοῦσι τὴν τοῦ Ἐβίωνος πίστιν, καὶ ἀλλο-

Cap. XXIV. — 1. ἀποστολῆς codd. Vatic. Rhedig. et edit. Petav. ἀληθείας ed. princ.

solum illos arguit, quod dixit, *In principio erat verbum, et verbum erat apud deum, et deus erat verbum*, verum etiam quod quibus in locis sancti spiritus instinctu quae a Christo domino de quolibet argumento prolata sunt, accurate prosequitur, divinorum prophetarum testimoniis utitur; quos illi a seipsis adiudicarunt. Hoc enim statim initio demonstrat, Ioannem baptistam iis quos ad se Pharisaei miserant respondisse, *Ego vox clamantis in deserto; dirigite viam domini; sicut dicit Isaias propheta.* Deinde iisdem ex prophetis aliud testimonium Ioannes adducit, nimirum ex Davide, cum dominus numulariorum mensas evertit, ac dixit, *Nolite facere domum patris mei domum negotiationis.* Meminisse enim ait apostolos quod erat scriptum, *Zelus domus tuae comedit me.* Ac rursum idem Ioannes sic loquitur: *Vidit Isaias in spiritu sancto.*

Ioann. 1, 1.
Ioann. 1, 23.
Ioann. 2, 16.
Ioann. 12, 41.

Cap. XXIV.

Praeterea cum in Asia praedicando dei verbo idem Ioannes insisteret, ut quanti veritas fieri deberet exemplo suo posteris praescriberet, mirum quiddam et inusitatum egisse proditur. Cum enim vitae institutum teneret plane admirabile, eique quam gerebat apostolicae dignitati consentaneum, adeo ut nunquam omnino lavaret, aliquando tamen sancti spiritus impulsu ad balneas prodiens, *Capite*, inquit ad suos, *quae ad balneum necessaria sunt.* Mirantibus illis ad lavationem perrexit. Tum ad eum qui lavantium vestimenta servabat accedens quis intra balneum esset interrogavit. At olearius idemque vestium custos (hanc enim operam plerique victus quotidiani gratia in gymnasiis praestant) Ioanni respondit Ebionem intus esse. Quo audito statim intellexit quorsum illuc ipsum spiritus sanctus adduxisset, et ut balneas adiret esset hortatus, nimirum ad commendandam, ut dixi, eius rei memoriam, ac verissimum illud dogma relinquendum, ut quinam essent Christi servi et apostoli ac veritatis filii discernere possemus, quinam e contrario mali daemonis instrumenta, *inferorumque portae, quae neque petram, neque in ea fundatam ac stabilitam ecclesiam* superare possent. Igitur Ioannes repente conturbatus, atque ingemiscens leniter, ut ab omnibus tamen exaudiri posset, idque integrae ac sincerae doctrinae testimonium extaret, *Properate, fratres*, inquit, *abeamus hinc, ne balneae concidant, et cum Ebione, qui intus est, ob eius impietatem obruamur.* Neque vero mirari quisquam debet, dum Ebion occurrisse Ioanni dicitur. Hic enim diu admodum vixit, et ad Traiani pervenit imperium. Porro non Ioannes modo, sed et omnes prorsus apostoli Ebionis fidem re-

Matth. 16, 18.

*τρίαν ἡγήσαντο τοῦ αὐτῶν κηρύγματος, καὶ τοῦ* [2] *ἀποστολικοῦ χαρακτῆρος, παντί τῳ δῆλόν* [3] *ἐστι.*

Κεφ. κε΄. *Περὶ δὲ τοῦ ἁγίου Παύλου ὡς βλασφημοῦντες αὐτὸν λέγουσι, πόσα ἔχω λέγειν; Πρῶτον μὲν γὰρ λέγουσιν αὐτὸν Ἕλληνά τε καὶ ἐξ ἐθνῶν ὑπάρχειν, προςήλυτον δὲ γεγονέναι ὕστερον. Πῶς οὖν αὐτὸς λέγει περὶ ἑαυτοῦ, Ἑβραῖος ἐξ Ἑβραίων, ἐκ σπέρματος Ἀβραάμ, φυλῆς Βενιαμὶν, κατὰ νόμον Φαρισαῖος, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων; Καὶ ἐν ἄλλῳ τόπῳ λέγει, Ἰσραηλῖταί εἰσι, κἀγώ· σπέρμα Ἀβραάμ εἰσι, κἀγώ. Καί φησι, Περιτομῇ ὀκταήμερος, καὶ ἀνατεθραμμένος παρὰ τοὺς πόδας Γαμαλιὴλ, καὶ Ἑβραῖος ἐξ Ἑβραίων. Καὶ* [1] *ὢ τῶν δεινῶν ἑρπετῶν τὰ δεινὰ κυκύματα, καὶ τὰ δρακοντοειδῆ συρίγματα, καὶ τῆς κενοφωνίας τὰ δηλητήρια. Τίνος δὲ λήψομαι τὴν μαρτυρίαν; Ἐβίωνος καὶ τῶν κατ' αὐτὸν, ἢ τοῦ ἁγίου Πέτρου τοῦ λέγοντος, Ὡς ἔγραψεν ὑμῖν ὁ ἀδελφός μου Παῦλος, ἅτινά ἐστι βαθέα καὶ δυςερμήνευτα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι διαστρέφουσι τῇ ἑαυτῶν ἀγνωσίᾳ; Πάλιν δὲ καὶ ὁ ἅγιος Παῦλος μαρτυρεῖ καὶ αὐτὸς τοῖς περὶ Πέτρον λέγων, Καὶ Ἰάκωβος, καὶ Ἰωάννης, καὶ Κηφᾶς, οἱ δοκοῦντες στύλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας. Κἄν τε γὰρ Ταρσέα ἑαυτὸν εἴποι, οὐκ ἀπὸ τούτου πάντως δέδοται πρόφασις τοῖς* [2] *λεξιθηροῦσι τὰ εἰς ἑαυτῶν καταστροφὴν, καὶ τῶν πειθομένων οὕτως ἔχειν. Καὶ γὰρ καὶ Βαρνάβαν λέγει Ἰωσήφ ποτε καλούμενον, Βαρνάβαν δὲ μετακληθέντα, υἱὸν παρακλήσεως ἑρμηνευόμενον, Λευΐτην, Κύπριον τῷ γένει. Καὶ οὐ πάντως ἐπειδὴ Κύπριος ἦν, οὐκ ἦν ἀπὸ τοῦ Λευΐ· ὡς καὶ ὁ ἅγιος Παῦλος, εἰ καὶ ἀπὸ Ταρσοῦ ὡρμᾶτο, οὐκ ἦν ἀλλότριος τοῦ Ἰσραήλ. Διασπαρέντων*
pag. 150. *γὰρ πολλῶν ἐν τοῖς χρόνοις Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καὶ ἐν χρόνοις ἄλλοις, εἴποτε συνέβαινε πόλεμος, αἰχμαλωτισθέντων καὶ δοθέντων εἰς πολιορκίαν, οἱ μὲν αἰχμάλωτοι ἀρθέντες ἐπέμειναν ἐν τισι τόποις, οἱ δὲ ἀπὸ τοιαύτης αἰτίας ἀναχωρήσαντες κατῴκουν ἕκαστος* [3] *ἔνθα κατειλήφεν. Ὡς καὶ ἅγιος Ἱερεμίας ἔλεγε περὶ τοῦ Ἰσραήλ, καθάπερ πολλάκις τοῦτο αὐτὸ συμβέβηκε, τὸ ἀποδιδράσκειν ἀπὸ προςώπου τῶν πολεμίων, ὅτι Καὶ εἰς Κιτιεῖς ἐὰν ἀπέλθῃς, οὔτε ἐκεῖ σοι ἀνάπαυσις ἔσται. Παντὶ δέ τῳ δῆλόν ἐστιν ὅτι Κίτιον ἡ Κυπρίων νῆσος καλεῖται· Κίτιοι γὰρ Κύπριοι καὶ Ῥόδιοι. Ἀλλὰ καὶ ἐν τῇ Μακεδονίᾳ τὸ γένος κατῴκησε Κυπρίων τε καὶ Ῥοδίων. Ὅθεν δὴ καὶ Ἀλέξανδρος ὡρμᾶτο ὁ Μακεδών. Καὶ τούτου ἕνεκα ἐμφέρεται ἐν τοῖς Μακκαβαίοις ὅτι ἐξῆλθε σπέρμα ἐκ γῆς Κιτιέων. Καὶ γὰρ ἐκ σπέρματος τῶν Ἑλλήνων Ἀλέξανδρος ὁ Μακεδών. Ἀλλὰ γενόμενος πάλιν ἐν τῷ τόπῳ*

2. ἀποστολικοῦ *non habet cod. Vatic.*
3. ἐστι *non extat in cod. Vatic.*
Cap. XXV. — 1. ὢ *cod. Vatic.*
2. λεξεσιθηροῦσι *cod. Rhedig. et edit. princ. — Item pro* Ταρσέα *in edit. princ. legitur* Θαρσέα, *et infra* διασπαράντων

pudiant, et a suis dogmatibus atque apostolico illo charactere alienam iudicant, id quod unicuique perspicuum est.

Quod vero ad beatum Paulum attinet, in quem illi maledicta coniiciunt, multa a me commemorari possunt. Imprimis Graecum illum fuisse, atque ex gentilibus oriundum praedicant, postea vero proselytum esse factum. Verum quinam ista conveniunt, cum de se ita scripserit, *Hebraeus ex Hebraeis, e semine Abrahae, de tribu Beniamin, secundum legem Pharisaeus, abundantius aemulator existens paternarum mearum traditionum.* Tum alio loco: *Israelitae sunt, et ego, semen Abrahae sunt, et ego.* Addit postea: *Circumcisio octavo die, et educatus ad pedes Gamalielis, et Hebraeus ex Hebraeis.* Proh letiferorum serpentium mortiferos gemitus, ac sibilos! o sermonis inanissimi virus acerbum! Cuius ego testimonio stare potissimum debeo? Ebionis, eiusque factionis hominum, an Petri hunc in modum loquentis: *Quemadmodum scripsit vobis frater noster Paulus, quae eius verba profunda sunt, explicatuque difficilia, quae indocti et instabiles per suam ignorantiam depravant?* Sed et Paulus vicissim de Petro testatur his verbis: *Et Iacobus, et Ioannes, et Cephas, qui videbantur esse columnae, dextras dederunt mihi et Barnabae societatis.* Quod vero Tarsensem se fuisse narrat, nulla idcirco vocum captatoribus ad suam fautorumque suorum perniciem ea re abutendi datur occasio. Nam et Barnabam, qui Ioseph antea dictus, Barnabas postea nominatus est, quod nomen consolationis filium significat, Levitam fuisse refert (Lucas) genere Cyprium. Neque tamen quod Cyprius esset, eo minus e tribu Levitica fuit. Velut apostolus Paulus, licet Tarso oriundus esset, ab Israelitica gente minime erat alienus. Cum enim sub Antiocho Epiphane, aliisque temporibus, quibus bellum exarserat, plerique per captivitatem obsidionemque dispersi forent, captivi quidem certis locis constiterunt. At qui vitandae obsidionis caussa fugerant, quo quisque delatus fuerat, ibi commorati sunt, uti de Israelitico populo dicebat Hieremias, cui ut ante hostem fugeret persaepe contigit. *Si,* inquit, *ad Cittiaeos abieris, nec illic quidem quietem habebis.* Nemo autem ignorat Citium Cypriorum insulam appellari. Nam Citiorum nomine Cyprii continentur et Rhodii. Imo et in Macedonia Cypriorum et Rhodiorum genus habitavit, unde et Alexander Macedo prodiisse dicitur. Quae caussa est cur in Maccabaeorum libris scriptum sit e Cittiensium terra genus quoddam esse propagatum. Nam e Graecorum genere Alexander ortum acceperat. Verum quoniam iterum narrandae huius

Cap. XXV. — Phil. 3, 5. — 2. Cor. 11, 22. — 2. Petr. 3, 15. — Galat. 2, 9. — Act. 4, 36. — 1. Macc. 1.

*pro* διασπαρέντων, *quod vitium de auctoritate cod. Vatic. sustulit Petavius.* 3. ἔνθα *cod. Rhedig. et editus uterque.* ὅπου *cod. Vatic.*

διὰ τὸν ἐμπεσόντα λόγον διεξῆλθον τὴν περὶ τούτων ἱστορίαν, πλὴν ὅτι ἀπὸ τῆς μετοικήσεως πολλοὶ ἄλλας χώρας οἰκήσαντες τοῦ Ἰσραὴλ ἦσαν σπέρματος κατὰ διαδοχήν. Ἐλέγοντο γὰρ καὶ ἑκάστης χώρας πατριῶται, ὡς καὶ αἱ θυγατέρες τοῦ Ἰοθὸρ τὴν ἀντίληψιν τοῦ Μωϋσέως τῷ πατρὶ ἀπήγγειλαν, ὡς ἀποστήσας τοὺς ποιμένας ἐπότισεν αὐτῶν τὰ πρόβατα, καὶ πορευθεῖσαι περὶ τούτου ὑφηγοῦντο τῷ ἰδίῳ πατρί. Τοῦ δὲ λέγοντος, [4] Τί ἐταχύνατε σήμερον τοῦ ἐλθεῖν; ἐπ' αὐτὸν ἔφασαν ὅτι, Ἀνὴρ Αἰγύπτιος ἐρύσατο ἡμᾶς ἀπὸ τῶν ποιμένων, καὶ ἤντλησε, καὶ ἐπότισεν ἡμῶν τὰ θρέμματα. Καὶ εὐθὺς ὁ αὐτὸς ἔφη πρὸς αὐτάς, Διὰ τί οὐκ ἠγάγετε αὐτὸν ὧδε, ἵνα φάγῃ ἄρτον; Τίς δὲ οὐκ οἶδεν ὅτι Μωϋσῆς υἱὸς μὲν γίνεται τοῦ [5] Ἀμρὰμ καὶ τῆς Ἰωχαβὲτ, [6] Ἀμρὰμ δὲ τοῦ Καὰθ, Καὰθ δὲ τοῦ Λευὶ, Λευὶ δὲ τοῦ Ἰακὼβ, Ἰακὼβ [7] δὲ τοῦ Ἰσαὰκ, Ἰσαὰκ δὲ τοῦ Ἀβραάμ; καὶ οὐκ ἀπὸ τοῦ καλεῖσθαι τὸν Μωϋσέα Αἰγύπτιον πάντως ἡ τῆς εὐγενείας καὶ τοῦ σπέρματος διέπεσεν ἀκολουθία. Οὐκοῦν οὗτοι καταλείψαντες τὴν ὁδὸν οἱ ἀπὸ τοῦ Ἐβίωνος πεπλανημένοι ἐπὶ πολλὰς διεστραμμένας ὁδοὺς καὶ ἀνάντη τρίβον τὸν νοῦν ἐκδεδώκασιν.

Κεφ. κϛ'. Αὐχοῦσι δὲ πάλιν περιτομὴν ἔχοντες, καὶ σεμνύνονται δῆθεν εἶναι ταύτην σφραγῖδα ἡγούμενοι καὶ χαρακτῆρα τῶν τε πατριαρχῶν καὶ δι-
pag. 151. καίων τῶν κατὰ τὸν νόμον πεπολιτευμένων, δι' οὓς ἐξισοῦσθαι ἐκείνοις νομίζουσι, καὶ δῆτα ἀπ' αὐτοῦ τοῦ Χριστοῦ τὴν σύστασιν ταύτης βούλονται φέρειν, ὡς καὶ οἱ περὶ Κήρινθον. Φασὶ γὰρ καὶ οὗτοι κατὰ τὸν ἐκείνων ληρώδη λόγον ἀρκετὸν τῷ μαθητῇ εἶναι ὡς ὁ διδάσκαλος. Περιετμήθη γάρ, φησὶν, ὁ Χριστὸς, καὶ σὺ περιτμήθητι. Καὶ ἵνα κατὰ πάντα τρόπον καταισχύνηται τῆς πλάνης τὰ σπέρματα, καθάπερ χαλινὸς τῇ θαλάσσῃ ἐκ θεοῦ ὁρισθεὶς κλεῖθρα καὶ πύλαι [1] ψάμμος ὅριον καὶ πρόσταγμα τὸ, Ἕως τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, ἀλλὰ ἐν σεαυτῇ συντριβήσονταί σου τὰ κύματα, φησὶν, οὕτω καὶ οὗτοι ἐν ἑαυτοῖς καταδαπανηθήσονται. Ἀλλὰ ἐκεῖ μὲν ἐκ θείου προστάγματος εἰς εὐταξίαν θαλάσσης ἐκ θεοῦ εἴρηται ὁ τοῦ ὅρου λόγος, ἐνταῦθα δὲ ἀφ' ἑαυτῆς ἡ κακία καὶ ἡ πλάνη τυφλώττουσα τὸν νοῦν, καὶ τὸν εὐσεβῆ λογισμὸν ἀποστρεφομένη, προὔλαβε καθ' ἑαυτῆς ὥσπερ κύματα ἐγείρουσα τὰ σχέτλια τῶν προαπαγγελλομένων αὐτοῖς ὑπολήψεων, ἑτέροις κύμασιν ἑαυτῇ συγκρούουσα, καὶ ἐν ἑαυτῇ ἀεὶ συντριβομένη ἑαυτὴν διαλύειν, ἢ καθάπερ ἑρπετὸν δεινὸν ἑαυτῷ λυμαινώμενον καὶ ἀντιστρεφόμενον ἀπὸ τῆς κέρκου καὶ ἑαυτὸ κατεσθίον αὐτὸ ἑαυτοῦ ἀναλωτικὸν

4. *Sic cod. Rhedig. et editi libri. At in cod. Vatic. extat plenius* τί ὅτι ἐταχύνατε. *Uterque vetus editor in verbis sequentibus oscitanter distinxit* τοῦ ἐλθεῖν ἐπ' αὐτόν; ἔφασαν *cett.*

5. ἄβραὰμ *cod. Rhedig.* ἀμβρὰμ *cod. Vatic. et edit. princ.*

6. ἄβραὰμ *cod. Rhedig.* ἀμβρὰμ *cod. Vatic.*

7. δὲ *habent cod. Rhedig. et cod. Vatic., ex quo reposuit primum Petavius. Nam in ed. princ. desideratur, spatio duarum fere literarum vacuo relicto.*

Cap. XXVI. — 1. ψάμμος *cod. Vatic.*

historiae oblata nobis occasio est, in eam sum fortuito delatus. Eo vero pertinebat istud, ut complures ostenderemus in ea migratione varias occupasse sedes, qui ex Israelitica gente originis erant successione derivati. Qui quidem ab ea ubi habitabant regione cognominari solebant. Quemadmodum cum filiae Iethro allatam sibi a Moyse opem parenti renuntiarent, narrarentque depulsis a se pastoribus suos illum greges adaquasse, hoc, inquam, cum domum reversae parenti dixissent, sciscitante nimirum eo, *Cur hodie venistis velocius solito?* responderunt, *Vir Aegyptius liberavit nos de manu pa-* Exod. 2, 19. *storum, insuper et hausit aquam, potumque dedit ovibus nostris.* Statimque dixit illis, *Cur non huc illum adduxistis, ut comederet panem?* Quis autem nescit Amrami et Iochabetae filium extitisse Moysen, Amramum Caathi, Caathum Levi, hunc Iacobi, cuius pater Isaacus, Isaaci Abrahamus fuerit? Neque tamen, pro eo quod Aegyptius apellatur Moyses, ideo nobilitatis illius ac stirpis est series extincta. Hoc igitur modo Ebionis discipuli, velut aberrantes ac devii, varias se in ambages ac flexus abruptaque itinera commiserunt.

Cap. XXVI. Atenim circumcisionem prae se ferunt, eaque re plurimum gloriantur, utpote quam patriarcharum, aliorumque qui legis tempore vixere iustorum, notam ac signum extitisse putent; quo etiam nomine adaequari se cum illis arbitrantur, adeoque Christi ipsius exemplum ad illam comprobandam accommodant, ut et Cerinthiani faciunt. Quorum ineptissime accommodatam illam sententiam usurpant: *Suf-* Matth. 10, 24. *ficit discipulo, si sit sicut magister eius.* Christus enim, aiunt, circumcisus est: tu igitur circumciditor. Atque ut erroris semina magno cum illorum pudore profligentur, non secus ac fraenando mari velut repagula quaedam ac portae, arenarum a deo moles obiecta est, eiusdemque mandatum istiusmodi: *Hucusque venies, et non* Iob. 38, 11. *procedes amplius; sed in te confringentur fluctus tui,* ait scriptura, sic etiam illi in semetipsos relapsi penitus consumentur. Quamquam hoc interest, quod illic ad coërcenda maria divino imperio terminus ille constitutus est, hic autem ipsa per sese nequitia, atque excaecatae mentis error a sensu pietatis adhorrens infelicissima illa, quae ante protulimus, dogmata velut quosdam in se fluctus excitavit prius, ac contrariis fluctibus illisit, et semetipsum in se conversus confractusque dissipavit. Aut ut exitialis serpens sese conficiens ipsum, et a cauda replicans ac revolvens suum corpus adedit et absumit. Id

ψάμμον *reliqui mei libri. Reponendum suspicor* καθάπερ χαλινὸς τ. θ. ἐκ θ. ὁρισθεὶς ἢ κλεῖθρα κ. π. ψάμμος ὅριον καὶ τ.ρ. *Cornarius sic interpretatus est:* quemadmodum fraenum mari ex deo definitum est, claustraque ac portae arenae terminus, et praeceptum hoc *cett.*, *ut* καὶ κλεῖθρα καὶ πύλαι ψάμμου ὅριον *voluisse videatur.*

*γίνεται. Τοῦτο γάρ φασι γεγενῆσθαι καιρῷ ὑπὸ ἀσπίδων συγκλεισθεισῶν ἐν πίθοις, καὶ ἑκάστης τὴν ἑτέραν καταναλωσάσης, τὴν δὲ ἰσχυροτέραν καὶ χαλεπωτέραν εἰς ὕστερον μεμενηκέναι μόνην καταλειφθεῖσαν, καὶ εἰς πεῖναν ἐλθοῦσαν ἀπὸ τῆς ἰδίας κέρκου ἀρξαμένην ἑαυτὴν καταβεβρωκέναι, ἱστοροῦσί τινες φυσιολόγοι κατὰ τὴν Αἰγυπτίων χώραν. Ὅθεν καὶ ἁρμοδίως τὸ ὄνομα αὐτῇ ἐπέθεντο, διὰ τὴν κεφαλὴν τῆς Γοργόνος καὶ ταύτην Ἀσπιδογοργόνα καλοῦντες. Οὕτω καὶ ὁ ματαιόφρων Ἐβίων καὶ οἱ ἀμφ᾽ αὐτὸν προὔλαβον ἑαυτοὺς κατατέμνοντες καὶ ἀναιροῦντες ἀπ᾽ ἀρχῆς ἐκεῖνα ἐφ᾽ οἷς καὶ σεμνύνονται. Χριστὸς γὰρ ἑαυτὸν οὐ περιέτεμε, παιδίον γὰρ ἦν. Δόξα δὲ τῷ ἐλεήμονι θεῷ, ὅτι ἑαυτὸν προὔβαλεν ὁ Ἐβίων, ἵνα τὰ ἀληθινὰ μὴ ὁμολογήσῃ, εἰς τὸ καὶ ἔλεγχον αὐτῷ [2] τοῦτο γενέσθαι. Εἰ μὲν γὰρ ἔλεγεν αὐτὸν θεὸν ἄνωθεν ἥκοντα περιτετμῆσθαι τὴν ὀκταήμερον ὑπὸ τῆς Μαρίας, τὸ τηνικαῦτα θεὸς ὢν, καὶ συγχωρῶν κατὰ ἰδίαν εὐδοκίαν, παρεῖχεν ἂν τῷ ἀγύρτῃ*
pag. 152. *τῆς περιτομῆς πιθανολογίαν· ὁπότε δὲ ψιλὸν ἄνθρωπον αὐτὸν γεγενῆσθαι [3] ὑπ᾽ ἀνθρώπων παρεισφέρει περιτετμῆσθαι, οὐκέτι αἴτιός ἐστιν ὁ παῖς, εἰ καὶ τὴν ὀκταήμερον περιτομὴν περιετμήθη. Οὐ γὰρ ἑαυτὸν περιέτεμεν, ἀλλ᾽ ὑπὸ ἀνθρώπων περιετμήθη. Καὶ γὰρ οἱ παῖδες οὐχ ἑαυτοὺς περιτέμνουσι, καὶ οὐδὲ αἴτιοί εἰσι τῆς ἑαυτῶν περιτομῆς, ἀλλ᾽ οἱ αὐτῶν γονεῖς. Ἐκεῖνοι γὰρ βραχεῖς ὄντες νηπιάζουσιν ἀγνοοῦντες, καὶ οὐδὲ οἴδασι τί αὐτοῖς ὑπὸ τῶν γονέων γίνεται.*

Κεφ. κζ'. *Ἡμεῖς δὲ καὶ θεὸν αὐτὸν λέγομεν ἀπ᾽ οὐρανοῦ ἐλθόντα, καὶ ἐν μήτρᾳ παρθένου Μαρίας τὸν χρόνον τῶν ἐγκυμονουμένων παίδων παραμεμενηκότα, ἕως τελείως ἀπὸ τῆς παρθενικῆς μήτρας τὴν ἔνσαρκον ἐνανθρώπησιν ἑαυτῷ καὶ οἰκονομίαν οἰκονομήσῃ, ἐν ᾗ καὶ περιετμήθη ἀληθινῶς, καὶ οὐ δοκήσει, ἡμέρᾳ τῇ ὀγδόῃ. Ἦλθε γὰρ πληρῶσαι τὸν νόμον καὶ τοὺς προφήτας, καὶ οὐ καταλῦσαι, καὶ οὐ τὸν νόμον ἀλλότριον ἀποφῆναι, ἀλλὰ ἐξ αὐτοῦ μὲν δεδωρημένον, ἕως δὲ αὐτοῦ ἐν τύποις μεμενηκότα, ὅπως ἐν αὐτῷ καὶ δι᾽ αὐτοῦ πάλιν ὅπερ ἐνέλιπεν ἐν τῷ νόμῳ πληρωθῇ, ἵνα οἱ τύποι εἰς πνευματικὴν τελείωσιν ἐλθόντες ἐν ἀληθείᾳ ὑπ᾽ αὐτοῦ τε καὶ τῶν αὐτοῦ ἀποστόλων κηρυχθῶσιν, οὐκέτι ὄντες τύποι, ἀλλ᾽ ἀλήθεια. Ἐπὶ τούτῳ γὰρ ἐπληροῦτο τὸ ἐν τῷ νόμῳ εἰρημένον, ἕως αὐτοῦ τοῦ χρόνου διαρκέσαν, καὶ ἐν αὐτῷ ἀφιστάμενον, εἰς πλήρωμα δὲ μεθιστάμενον, ὅπερ ἔφη ἡ Σεπφώρα ὅτι, Ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου. Καὶ οὐκ εἶπεν ὅτι, Περιέτεμον μου τὸ παιδίον. Οὐ γὰρ ᾠκονόμει ὁ ἀποσταλεὶς ἄγγελος, ἵνα περιτομὴ γένηται, ἀλλὰ οὐδὲ τὸ αἷμα τῆς περιτομῆς φοβηθεὶς ἀπέστη, ἀλλὰ*

2. τοῦτο *quod omissum est in ed. Petav., reposui de cod. Rhedig. et ex edit. princ. Sed cum cod. Vatic. illud* περιτετμῆσθαι *haud agnoscat, sic potius restituendum videtur:* ὁπότε δὲ ψ. ἄνθρ. αὐτὸν γεγεννῆσθαι ὑπ᾽ ἄνθρ. παρεισφέρει, οὐκέτι *cett.*

3. καὶ ὑπ᾽ ἀνθρώπων *volebat Petavius.*

enim olim aspides fecisse narrant, quarum cum inclusae doliis essent, alteram altera devoravit. Tum quae ferocior ac crudelior erat sola remanens, enectaque fame, seipsam a cauda incipiens paulatim consumpsit; idque ipsum in Aegypto contigisse a nonnullis, qui de rerum natura scripserunt, proditum est. Unde et ob Gorgoneum veluti caput Aspidogorgonis merito ei est nomen impositum. Similiter ineptus ac stolidus Ebion Ebionisque fautores concidere seipsos anteverterunt, eaque quibus potissimum gloriantur initio sustulerunt. Non enim Christus, utpote cum infans adhuc esset, semet ipse circumcidit. Sed laudandus propterea misericors dominus est, quod ita se Ebion imprudens obiecerit, ut minime vera confessus convincendi sui ansam nobis obtruderet. Si enim deum illum esse coelitusque delapsum assereret, octavoque die a Maria circumcisum, tum quidem quatenus et deus foret, et id ultro ac voluntate permisisset, speciosum quiddam ac probabile ad circumcisionis commendationem circumforaneo isti praebuisset. Iam vero cum merum illum hominem esse, atque ab hominibus circumcisum fuisse sentiat, nequaquam puero illi velut auctori tribuendum est, quod octava sit luce circumcisus. Neque enim semetipsum praecidit, sed id ab aliis passus est; quod sibi ipsis pueri non faciunt, neque circumcisionis auctores ipsi, sed eorum potius parentes habendi sunt. Etenim pusiones illi prae infantia quid sibi a parentibus fiat ignorant.

At nos et deum illum e coelo descendisse dicimus, et in Mariae virginis utero legitimo tempore permansisse, quanto scilicet gestari ceteri infantium solent, donec ex illo virginis utero profusus, perfecto iam hominis quod induerat corpore, susceptam a se salutis nostrae procurationem aggredi instituit. In qua et ad diem octavum non specie tenus, sed reipsa circumcisus est. *Venit enim ut legem ac prophetarum impleret oracula, non everteret;* atque ut alienam non fuisse legem ostenderet, sed a seipso concessam ad suum usque tempus sub quibusdam figurarum velut umbraculis perstitisse: quo in sese ac per sese quodcumque legi deerat postremo suppleret, eademque illa figurarum involucra ad spiritalem perfectionem ac veritatem perducta figuras esse desiisse atque ad veritatem transiisse tam ipse quam eius apostoli praedicarent. In illo quippe quod scriptum erat in lege perfectum est, id, inquam, quod ad eius usque tempora perduravit, et in ipso iam absolutum impletumque desiit, nimirum quod Sephora dicebat: *Stetit sanguis circumcisionis filii mei.* Non dixit, *Circumcidi filium meum.* Neque enim id agebat angelus, ut circumcisio fieret, neque sanguinis metu recessit, sed ut eum infantem a

Cap. XXVII. — Matth. 5, 17. — Exod. 4, 25.

ὑπομνήσεως χάριν τοῦ μέλλοντος παιδίου τὸ αἷμα τῆς περιτομῆς ἱστᾶν, ὅπερ ἀκούσας καὶ οἰκονομήσας ἀπέστη. Καὶ ποίου παιδίου ἄκουε· ἀλλ' ἢ περὶ οὗ εἶπεν ὁ προφήτης ὅτι, Θελήσουσιν εἰ ἐγένοντο πυρίκαυστοι, ὅτι παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν. Τὸ μὲν γεννηθὲν παιδίον δεικνὺς ἐν ἀληθείᾳ, ὅπως σημάνῃ τὴν ἀληθινὴν ἐνανθρώπησιν, τὸ δὲ, Υἱὸς ἐδόθη ἡμῖν, ὅπως δείξῃ τὸν ἄνωθεν Θεοῦ λόγον, καὶ υἱὸν Θεοῦ αὐτὸν δειχθέντα, καὶ ἐν μήτρᾳ γενόμενον ἐνανθρωπή-
pag. 153. σαντα, ἔχοντα ἀμφότερα Θεὸν καὶ ἄνθρωπον, αὐτὸν Θεὸν, αὐτὸν ἄνθρωπον, αὐτὸν υἱὸν ἄνωθεν δοθέντα, αὐτὸν παιδίον γεννηθέντα, ἐφ' οὗ ἔστη λοιπὸν τὸ αἷμα τῆς περιτομῆς, ὡς καὶ ἐν τῷ εὐαγγελίῳ λέγει, ὅτε ἦλθον Ἕλληνες βουλόμενοι αὐτὸν θεάσασθαι, καὶ ἦλθον πρὸς Φίλιππον, καὶ λέγουσιν αὐτῷ, Δεῖξον ἡμῖν τὸν Ἰησοῦν· καὶ ὁ Φίλιππος τῷ Ἀνδρέᾳ, καὶ ὁ Ἀνδρέας τῷ Ἰησοῦ ἔφη ὅτι, Τινὲς Ἕλληνες βούλονταί σε θεάσασθαι. Καὶ εὐθὺς ὁ κύριος ἀποκρίνεται, λέγων, Νῦν ἔφθασεν ἡ δόξα τοῦ Θεοῦ, ἵνα δείξῃ περιτομὴν μὲν παρερχομένην τὴν ἔνσαρκον, καὶ τύπῳ ὑπηρετήσασαν ἄχρι χρόνου, τὴν δὲ ἐν σαρκὶ ἀκροβυστίαν ἐν πνεύματι ἔχουσαν μείζονα περιτομὴν, θεωροῦσαν Χριστὸν, καὶ αὐτὸν ἐν ἀληθείᾳ κατειληφυῖαν.

Κεφ. κη'. Εἰ δὲ βούλονται οὗτοι λέγειν, Πῶς οὖν Χριστὸς περιετμήθη; ἀκούσονται ὅτι, Ἤδη μὲν οὖν, ὦ πεπλανημένοι, ἐδείξαμεν ὑμῖν δι' ἣν αἰτίαν περιετμήθη. Περιετμήθη γὰρ διὰ πολλοὺς τρόπους. Καὶ πρῶτον, ἵνα δείξῃ ἐν ἀληθείᾳ σάρκα ἑαυτὸν ἀνειληφέναι, διὰ Μανιχαῖον καὶ τοὺς λέγοντας ἐν δοκήσει πεφηνέναι· ἔπειτα, ἵνα δείξῃ ὡς οὐκ ἦν ὁμοούσιον τὸ σῶμα τῇ θεότητι, ὥς φησιν Ἀπολινάριος, ἀλλ' οὔτε ἄνωθεν αὐτὸ κατενήνοχεν, ὡς λέγει Οὐαλεντῖνος· καὶ ἵνα βεβαιώσῃ ἣν πάλαι ἔδωκε περιτομὴν δικαίως ὑπηρετήσασαν ἕως τῆς αὐτοῦ παρουσίας, καὶ διὰ τὸ μὴ ἔχειν τοὺς Ἰουδαίους ἀπολογίαν. Εἰ γὰρ μὴ περιετμήθη, εἶχον λέγειν, Οὐκ ἠδυνάμεθα Χριστὸν δέξασθαι ἐν ἀκροβυστίᾳ. Ἄλλως τε καὶ ἔδει αὐτὸν ἐντειλάμενον τῷ Ἀβραὰμ περιτμηθῆναι, σφραγῖδος ἕνεκα φαινομένης, εἰς τύπον δὲ ἀληθινῆς καὶ ἀοράτου δοθείσης, νῦν περιτμηθῆναι [1] καὶ ταύτην βεβαιῶσαι. Ἐγένετο γὰρ ἡ φαινομένη περιτομὴ ἕνεκεν δισταγμοῦ τοῦ Ἀβραὰμ, ὅτε εἶπεν ὁ ἅγιος καὶ δίκαιος, ὡς ἐν δισταγμῷ, Εἰ τῷ [2] ἑκατονταέτει υἱὸς γενήσεται, καὶ εἰ Σάρρα ἡ πρεσβῦτις γεννήσει υἱόν; καὶ εὐθὺς ὁ κύριος, Λάβε μοι κριὸν τριετίζοντα, καὶ αἶγα καὶ δάμαλιν, καὶ τὰ ἑξῆς. Καὶ περὶ τὴν τοῦ ἡλίου δύσιν, ὡς εἶδε λαμπάδας πυρὸς καὶ κλίβανον, καὶ τἄλλα,

Cap. XXVIII. — 1. καὶ *voculam, quae vulgo desideratur in libris, Cornario (is enim vertit* et hoc signaculum confirmaret) *et Petavio praeeuntibus repetii ex ultima syllaba vocis* περιτμηθῆναι.
2. ἑκατονταέτη *cod. Rhedig. et edit. princ.*

quo circumcisionis cruor inbibendus erat in memoriam revocaret. Quare mox ut illud audivit ac praestitit, e medio se subduxit. At quisnam ille futurus esset infans accipe. Is enim erat de quo propheta locutus est: *Et volent esse igne combusti: quoniam parvulus* Esai. 9, 5.
*natus est nobis, et filius datus est nobis.* Quibus verbis primum natum revera parvulum demonstravit, ut vere susceptam ab eo naturam hominis significaret. Deinde subiecit, *Filius datus est nobis,* ut eundem dei esse verbum e coelo delapsum, deique filium declaratum ostenderet, et in utero genitum, hominemque factum, ita ut duplicem in se naturam, dei videlicet hominisque contineret, proindeque deum pariter atque hominem, et eundem divinitus oblatum filium ac puerulum natum. In quo circumcisionis deinceps cruor stetit, ut in evangelio ipse testatur. Cum enim gentiles videndi eius desiderio accessissent, et ad Philippum adeuntes dixissent, *Ostende nobis Iesum,* ac Philippus id Andreae, Andreas Christo retulisset his verbis: *Gentiles quidam videre te cupiunt,* dominus illico respon- Ioann.12,21.
dit, *Nunc pervenit gloria dei;* ut circumcisionem carnis praeteriisse iam doceret, et ad certum tempus figurae serviisse, carnis vero praeputium spirituali ac praestantiori circumcisione praeditum contemplari Christum eiusque reipsa compotem fieri.

Quod si istud nobis obiiciant: Cur igitur circumcisus est Christus? ita a nobis audient: Iamdudum quidem, o homines opinione falsa ducti, caussam vobis cur esset circumcisus ostendimus. Multis enim id de caussis sustinuit. Primum, ut se carnem re vera induisse monstraret, propter Manichaeum ceterosque qui similitudine quadam ac specie duntaxat apparuisse docuerunt. Deinde ut corpus divinitati consubstantiale non esse demonstraret, ut Apollinaris existimat, nec e coelo delatum in terras, qui Valentini error fuit. Tum ut cuius olim circumcisionis auctor fuerat, eam ad adventum usque suum observatam fuisse merito comprobaret, atque ut omnem Iudaeis excusationem eriperet. Nisi enim circumcisus foret, hoc ad sui purgationem afferre potuissent. Nos Christum praeputio praeditum probare nequivimus. Praeterea vero eum oportebat, qui Abrahamo circumcidendi sui mandatum ediderat, ut ad veri et aspectum fugientis adumbrandam imaginem apparens illud signum et aspectabile prae se ferret, ratum illud sua circumcisione facere. Nam externa illa circumcisio Abraamo ob eius haesitationem imposita fuit, cum vir sanctus ac iustus velut dubitando dixisset, *An centenario* Gen. 17, 17.
*nascetur filius? et Sarra iam anus filium pariet?* Statimque dominus, *Sume,* inquit, *mihi arietem annorum trium, et capram, et vaccam, etc. Cumque sol occumberet, cum lampades ignis et clibanum vidisset etc.,*

(Cap. XXVIII.)

φήσας αὐτῷ ὁ θεὸς κατ' ἐπιτίμησιν, Πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ ἀλλοτρίᾳ, καὶ καταδουλώσουσιν [3] αὐτὸ ἔτη τετρακόσια, ἀσφαλείας pag. 154. ἕνεκα διὰ τὸν δισταγμὸν, δι' ὃν εἶπεν, Εἰ τῷ [4] ἑκατονταέτει υἱὸς γενήσεται· ἵνα μὴ καταδουλωθὲν τὸ σπέρμα ὑπὸ εἰδωλολατρῶν καὶ ἀπίστων Αἰγυπτίων ἐπιλάθηται θεοῦ τῶν πατέρων αὐτοῦ, ἐπέθηκεν αὐτῷ καὶ αὐτοῖς τὴν ἔνσαρκον περιτομὴν, ἵνα ὁρῶντες ὑπομιμνήσκωνται, καὶ δυςωπῶνται, καὶ μὴ ἀρνῶνται αὐτόν. Καὶ διήρκεσεν ἄχρι Χριστοῦ τοῦτο· καὶ τούτου ἕνεκα καὶ αὐτὸς εὐδοκεῖ περιτμηθῆναι. Καὶ ἄνθρωπος γέγονεν ἐν ἀληθείᾳ, ἄνωθεν ἐλθὼν ἐκ πατρὸς θεὸς λόγος, καὶ οὐκ ἀποθέμενος τὴν θεότητα, ἀλλὰ σάρκα φορέσας ἐν ἀληθείᾳ, τελείαν τε ἐνανθρώπησιν ἔχων, περιτέμνεται, τὰ πάντα οἰκονομῶν ἐν ἀληθείᾳ, ἵνα καὶ Ἰουδαῖοι, ὡς προεῖπον, ἀναπολόγητοι ὄντες, καὶ Μανιχαῖοι, καὶ ἄλλοι ἐλεγχθήσωνται, καὶ ἵνα περιτμηθεὶς εὐλόγως καταλύσῃ τὴν περιτομὴν, καὶ ἄλλην μείζονα δείξῃ, οὐχ ὡς μὴ ἔχων, καὶ ἑαυτῷ συνιστάμενος, ἀλλὰ ἔχων μὲν, δεικνὺς δὲ ὅτι ταύτης οὐκέτι ἐστὶ χρεία, ἀλλὰ τῆς μείζονος.

Κεφ. κθ'. Καὶ ὅτι μὲν εὐθὺς γεννηθεὶς θεὸς ἦν, καὶ οὐ ψιλὸς ἄνθρωπος, οἱ Μάγοι σαφῶς δείξουσι. Μετὰ γὰρ δύο ἐτῶν χρόνον, ὡς ἔδειξαν τῷ Ἡρώδῃ τὸν χρόνον τοῦ ἀστέρος, ἀπὸ διετοῦς καὶ κατωτέρω, ἐλθόντες εἰς Ἱερουσαλὴμ, καὶ ἐρωτήσαντες οἱ αὐτοὶ Μάγοι, καὶ γνόντες ὅτι ἐν Βηθλεὲμ Χριστὸς γεννᾶται, ἐξῆλθον πάλιν τοῦ ἀστέρος ὁδηγοῦντος αὐτοῖς, καὶ ἦλθον ἀπὸ Ἱεροσολύμων εἰς Βηθλεέμ. Καὶ εἰςελθόντες εὗρον αὐτὸν μετὰ τῆς μητρὸς αὐτοῦ Μαρίας, καὶ πεσόντες προςεκύνησαν αὐτῷ, καὶ προςήνεγκαν τὰ δῶρα. Εἰ τοίνυν εὐθὺς προςκυνεῖται, οὐ ψιλὸς ἄνθρωπος ὁ γεννηθεὶς, ἀλλὰ θεός· καὶ οὐ μετὰ τριάκοντα ἔτη, καὶ οὐ μετὰ τὸ βάπτισμα Χριστὸς γίνεται, ἀλλὰ εὐθὺς Χριστὸς ἐγεννήθη ἀπὸ Μαρίας παρθένου θεὸς καὶ ἄνθρωπος. Διὸ καὶ οἱ ἄγγελοι εὐθὺς ὑμνοῦσι, λέγοντες, Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, καὶ εὐαγγελίζονται τοὺς ποιμένας, λέγοντες, Ἐγεννήθη ἡμῖν Χριστὸς κύριος σήμερον ἐν πόλει Δαβίδ. Καὶ οὐ μόνον τοῦτο, ὦ ἠπατημένε Ἐβίων, δείκνυται, ἀλλὰ καὶ ἀπὸ δωδεκαετοῦς εὑρίσκεται καθήμενος ἀναμέσον τῶν ἱερέων καὶ πρεσβυτέρων, pag. 156. ἐρωτῶν αὐτοὺς, καὶ ζητῶν μετ' αὐτῶν, καὶ ἐξεπλήττοντο ἐπὶ τῷ λόγῳ τῆς χάριτος, τῷ ἐκπορευομένῳ ἐκ τοῦ στόματος αὐτοῦ. Καὶ οὐχὶ μετὰ τὸ τριακοστὸν ἔτος ἐποίει τοῦτο, ἵνα εἴπῃς ὅτι ἀφ' οὗ ἦλθε τὸ πνεῦμα εἰς αὐτὸν Χριστὸς ἐγένετο, ἀλλὰ εὐθὺς ἀπὸ δωδεκαετοῦς, ὡς προεῖπον, ὡς γέγραπται ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ. Ἀλλὰ καὶ ἔτι

3. αὐτὸ *reposui ex cod. Rhedig., sensu postulante. Editi libri habent* αὐτῷ. *Sed Cornarius recte vertit Latine:* et in servitutem adigunt ipsum per annos trecentos.

4. *Libri vulgo omnes* ἑκατονταέτῃ.

eius castigandi caussa deus edixit: *Peregrinum erit semen tuum in terra aliena, et subiicient eos servituti quadringentis annis.* Gen. 15, 13. Quamobrem stabilitatis cuiusdam ac firmitatis gratia, pro eo quod nonnihil addubitans dixisset *Num centenario nascetur filius?* ne eius posteri infidelibus idolorumque cultoribus Aegyptiis in servitutem dati, ad eosdem quos et illius maiores venerati fuerant, deos sese transferrent, tam Abrahamo ipsi, quam eius stirpi circumcisionem illam carnis inussit, ut eius aspectu commonitos reverentia quaedam numinis subiret, quo minus eiurare illud auderent. Ea porro ad Christum usque permansit, ideoque et ultro circumcidi ipse voluit, et homo reipsa factus est, idem qui et deus verbum a patre de coelo lapsum, non eam quam habebat divinitatem deposuit, sed vere carnem induens atque ex perfecta hominis natura coalescens circumcisionem usurpavit. Quod totum ex rei veritate gestum est, ut et Iudaei, quemadmodum dictum est, et Manichaei omni tergiversatione sublata convinci facillime possent, ac circumcisus ipse abrogata merito circumcisione maiorem quandam induceret. Non quasi priore illa careret, minimeque suscepisset in sese, sed ut ea perfunctus nihil iam esse necessariam ostenderet, sed aliam longe illa praestantiorem.

Cap. XXIX. Quod autem subinde in lucem editus deus fuerit, non homo duntaxat, a Magis aperte comprobatum est. Siquidem elapso iam biennio, quod ipsum stellae tempus Herodi significarunt, a biennio videlicet atque infra, Hierosolymam venientes interrogantesque Magi Matth. 2, 16. cum Bethleemi nasci Christum oportere didicissent, ab urbe digressi sunt, eademque duce stella Bethleemum aspirarunt. Ibi, posteaquam introgressi sunt, Christum cum Maria matre repererunt, et procidentes adoraverunt eum obtuleruntque munera. Quamobrem cum statim adoretur qui natus est, non nudus est homo sed deus, neque post annos triginta, vel baptismum, Christus efficitur, sed subinde Christus e Maria virgine deus pariter atque homo natus est. Propterea statim angeli coeleste carmen concinunt: *Gloria in excelsis deo, et in terra pax, hominibus propensa voluntas.* Luc. 2, 14. Sed et felici illo nuntio pastores impertiuntur: *Natus est vobis,* inquiunt, *hodie Christus dominus in civitate David.* Neque hoc solum, infelix Ebion! de Christo comprobatur, verum etiam anno aetatis duodecimo sedens inter sacerdotes ac seniores repertus est, cum eos interrogaret, ac cum illis inquireret, adeo ut *mirarentur in verbo gratiae, quod procedebat de ore eius.* Luc. 4, 22. Non hoc anno demum trigesimo faciebat, ut dicere possis, ex quo spiritus in eum sanctus illapsus est, Christum esse coepisse, sed a XII. statim, uti diximus, estque a Luca in evangelio proditum. Quinetiam paulo ante cum, ut refert, paene

ἀνωτέρω, ὅτε νηπιάζοντος ἀνῆλθον, φησὶν, οἱ περὶ Ἰωσὴφ καὶ Μαριὰμ εἰς Ἱερουσαλὴμ προςκυνῆσαι ἐν τῇ ἑορτῇ, καὶ ἀνέκαμπτον, ἔμεινεν Ἰησοῦς, καὶ ἐζήτουν αὐτὸν ἐν τῇ ὁδοιπορίᾳ, καὶ ἐν τοῖς συγγενέσιν αὐτῶν, καὶ οὐχ ηὕρισκον. Εἶχε γὰρ ἡ Μαρία συγγένειαν. Ἀνακάμψασα δὲ καὶ εὑροῦσα αὐτὸν ἔφη αὐτῷ, Τί ἡμῖν ἐποίησας, τέκνον; Ἰδοὺ ἐγὼ καὶ ὁ πατήρ σου ὀδυνώμενοι ἐζητοῦμέν σε. Ἐν τάξει γὰρ πατρὸς ὁ Ἰωσὴφ αὐτῷ ὑπῆρχεν, οὐ γὰρ ἦν αὐτῷ πατὴρ κατὰ φύσιν. Εἶτα ὁ κύριος πρὸς αὐτὴν, Τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με; σημαίνων ὅτι ὁ ναὸς εἰς ὄνομα θεοῦ, τουτέστι τοῦ αὐτοῦ πατρὸς, ᾠκοδομήθη. Εἰ τοίνυν ἀπὸ νηπίου οἶδε τὸν ναὸν καὶ τὸν πατέρα, οὐκ ἄρα ψιλὸς ἄνθρωπος ὁ γεννηθεὶς Ἰησοῦς, οὐδὲ μετὰ τὸ τριακοστὸν ἔτος, μετὰ τὸ ἐλθεῖν εἰς αὐτὸν τὸ εἶδος τῆς περιστερᾶς, υἱὸς καὶ Χριστὸς ἐκαλεῖτο, ἀλλὰ εὐθὺς ἐν τοῖς τοῦ πατρὸς αὐτοῦ δεῖν αὐτὸν εἶναι ἐδίδασκεν. [1] Ὅτι δὲ ὁ Ἰωσὴφ οὐχὶ πατὴρ αὐτοῦ ἦν, ἀλλὰ ἐν τάξει πατρὸς, ἄκουε τοῦ αὐτοῦ εὐαγγελιστοῦ λέγοντος, τοῦ γράψαντος ἀπὸ προςώπου Μαρίας ὅτι, Ἐγὼ καὶ ὁ πατήρ σου ὀδυνώμενοι ἐζητοῦμέν σε. Πάλιν πῶς γράφει λέγων, Ἦν δὲ Ἰησοῦς ἀρχόμενος εἶναι ὡς ἐτῶν τριάκοντα, ὢν υἱὸς, ὡς ἐνομίζετο, Ἰωσήφ. Ἐν δὲ τῷ εἰπεῖν, Ὡς ἐνομίζετο, ἔδειξεν αὐτὸν μὴ εἶναι αὐτοῦ υἱὸν, ἀλλὰ νομίζεσθαι.

Κεφ. λ'. Ἐπιλείψει δέ μοι ὁ χρόνος διηγουμένῳ εἰς παράστασιν τῆς ἀληθείας, καὶ εἰς ἔλεγχον τῆς ματαιοφροσύνης Ἐβίωνος καὶ τοῦ αὐτοῦ παραπεποιημένου [1] ματαιόφρονος διδασκαλείου. [2] Πόθεν γὰρ οὐ σαφὲς ἂν εἴη ὅτι οὐ πατὴρ ἦν Ἰωσὴφ, ἀλλ' ἐν τάξει πατρὸς ἐνομίζετο; Ἰδοὺ γὰρ, φησὶν, ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ
pag. 156. οὐκ εἶπεν, Ἰδοὺ ἡ γυνή. Καὶ πάλιν ἐν ἑτέρῳ τόπῳ λέγει, Καὶ τέξεται ἡ δάμαλις, καὶ ἐροῦσιν, Οὐ τέτοκεν. Ἐπειδὴ γάρ τινες τῶν Μανιχαίων καὶ Μαρκιωνιστῶν λέγουσιν αὐτὸν μὴ τετέχθαι, διὰ τοῦτο, Τέξεται, καὶ ἐροῦσιν, Οὐ τέτοκεν· ἐπειδὴ οὐ τέτοκεν ἡ Μαρία ἐκ σπέρματος ἀνδρός. Καὶ οὗτοι μανέντες λέγουσι ψευδῶς ἐκ σπέρματος ἀνδρὸς αὐτὴν γεγεννηκέναι. Γεγέννηκεν οὖν ἡ [3] δάμαλις ἐν ἀληθείᾳ, θεὸν ἄνθρωπον ἐν ἀληθείᾳ. Καὶ ὅτι μὲν δάμαλις ἡ παρθένος καλεῖται, καὶ τὸ ταύτης λείψανον καθαρισμὸς ἦν τῶν κεκοινωμένων, ἄκουε τοῦ νόμου λέγοντος, Λάβε μοι δάμαλιν πυρράν· ἵνα δείξῃ τὸ ἐκλεκτὸν σκεῦος τῆς Μαρίας, διὰ τὸ πυροειδὲς τῆς τοῦ σωτῆρος θεότητος χωρηθὲν ἐν τῇ παρθένῳ. Πῦρ γὰρ ὁ θεός, φησι, καταναλίσκον. Καί φησιν ὁ νόμος, Δάμαλιν πυρρὰν, ἐφ' ᾗ ζυγὸς οὐκ ἀναβέβηκεν ἐπὶ τὸν τράχηλον,

Cap. XXIX. — 1. καὶ ὅτι habet cod. Vatic.

Cap. XXX. — 1. ματαιοφροσύνης cod. Vatic.
2. Πῶς γὰρ οὐκ ἂν σαφὲς cod. Vatic.

adhuc illo puero, Iosephus ac Maria adorandi gratia Hierosolymam festo die perrexissent, redeuntibus illis, remansit Iesus; quem in itinere et apud cognatos illi quaeritabant nec reperire poterant. Maria quippe cognationem habebat. Igitur cum ad urbem revertisset, ac tandem illum offendisset, sic eum alloquitur: *Fili, quid fecisti nobis? Ecce ego et pater tuus dolentes quaerebamus te.* Iosephus enim loco ei patris erat, non naturalis pater. Ad haec dominus, *Quid est*, inquit, *quod quaerebatis me? nesciebatis quod in iis quae patris mei sunt oportet me esse?* Quo responso significabat templum in dei, hoc est patris sui, nomen fuisse constructum. Quamobrem si ab ipsa propemodum infantia templum patremque cognorat, utique non merus homo natus ille Iesus extitit, neque post annum demum XXX., cum se in eum columbae specie spiritus sanctus insinuasset, filius ac Christus appellari coepit, sed subinde in his quae ad patrem suum attinerent versari se oportere docuit. Quod vero Iosephus non illius pater esset, sed vicem patris gereret, audi ex illo eodem evangelista, qui Mariam ita loquentem facit: *Ego et pater tuus dolentes quaerebamus te.* Audi inquam quid alio loco scripserit: *Erat autem*, inquit, *Iesus incipiens esse quasi annorum XXX, qui erat, ut putabatur, Iosephi filius.* Ubi cum eas voces addidit, *Ut putabatur*, non ipsius revera fuisse filium, sed ita duntaxat habitum fuisse demonstrat.

Luc. 2, 48. Luc. 3, 23.

Deficiet me tempus, si ad comprobandam veritatem ac tam Ebionis quam absurdissimae illius scholae refellendam amentiam pluribus disputare voluero. Quis enim facile non intelligit Iosephum minime illius parentem, sed parentis loco habitum fuisse? *Ecce enim*, inquit, *virgo concipiet, et pariet filium.* Non dixit, *Ecce mulier.* Ac rursum alio loco: *Et pariet vitula, et dicent, Non peperit.* Nam cum Manichaeorum ac Marcionistarum quidam negent illum partu in lucem editum, ob id, *Pariet*, inquit, *et dicent, Non peperit*, quoniam de viri semine Maria non peperit. At furiosi isti de viri semine falso illam peperisse dictitant. Igitur vitula hominem eundem ac deum vere illa quidem peperit. Vitulae porro nomine virginem nominari, eiusque reliquias ad eos qui impuri essent expiandos adhiberi consuevisse, quemadmodum lex ipsa testetur, accipe: *Sume*, inquit, *vitulam rufam.* Ut electum vas Mariae significaret, propter igneam in salvatore vim divinitatis, quam virgo capiebat. *Deus enim*, inquit, *ignis consumens est.* Ait igitur lex: *Vitulam rufam, cuius collo nondum impositum est iugum*, ut b. virgi-

Cap. XXX. Esai. 7, 14. Num. 19, 2.

3. δάμαλις ἐν ἀληθείᾳ, θεὸν ἄνθρωπον ἐν ἀληθείᾳ *cod. Vatic., non ut habet edit. Petav.*, δάμαλις θεὸν ἄνθρωπον ἐν ἀληθείᾳ. *Ed. princ. et cod. Rhedig. verba* θεὸν ἄνθρωπον ἐν ἀληθείᾳ *non habent.*

ἵνα δείξῃ τὴν παρθένον δάμαλιν, μὴ γνοῦσαν ζυγὸν γάμου ἀνδρός. Ἀλλὰ τί μοι τὰ πλεῖστα διαλέγεσθαι; ὡς πάλιν Ἡσαΐας ἔφη ἐκ προςώπου τοῦ κυρίου ὅτι, Λάβε σοι τόμον χάρτου καινοῦ μεγάλου, τόμον, διὰ τὸ εἶναι μὲν τὴν παρθένον ἐκ σπέρματος ἀνδρὸς, τετμῆσθαι δὲ ἀπὸ μίξεως ἀνδρῶν, καὶ τὸ τμηθῆναι ἀπὸ τῆς τῶν ἀνθρώπων κατὰ φύσιν συνηθείας. Πάντες γὰρ ἄνθρωποι ἐκ σπέρματος ἀνδρὸς γεννῶνται. Ἡ δὲ τοῦ Χριστοῦ γέννησις κατὰ φύσιν μὲν ἐκ γυναικὸς παρθένου Μαρίας τὴν ἐνανθρώπησιν ἔσχηκε, παρὰ φύσιν δὲ ἐτμήθη ἀπὸ τῆς κατὰ τὴν ἀνθρωπότητα ἀκολουθίας· ὡς καὶ Ἰακὼβ περὶ αὐτοῦ λέγει, Ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· καὶ οὐκ εἶπεν, Ἐκ σπέρματος ἀνέβης. Καὶ τούτου χάριν φησὶν ὁ ἅγιος Ἡσαΐας ὁ προφήτης, μᾶλλον δὲ ὁ κύριος αὐτῷ λέγει, Λάβε σεαυτῷ τόμον χάρτου, τὸ εἶδος τῆς συνηθείας σημαίνων ἐν ᾧ τὰ πάντα γράφουσιν υἱοὶ τῶν ἀνθρώπων. Ὡς καὶ ἐν τῷ ἑκατοστῷ τριακοστῷ ὀγδόῳ ψαλμῷ λέγει, Ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται, ἡμέρας πλασθήσονται, καὶ οὐθεὶς ἐν αὐτοῖς. Βιβλίῳ γὰρ ἀπείκασε τὴν μήτραν. Διὰ τοῦτο ὁ Δαβὶδ λέγει, Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, τουτέστι σπαρέντα πρὶν ἀπεικονισθῆναί με ἔγνως με, καὶ ἔτι πρότερον, πρὶν τοῦ σπαρῆναί με.

Κεφ. λα΄. Ὁ δὲ Ἑβραϊκὸς θαυμαστῶς τὸ ῥῆμα σαφηνίζει. Τὸ Ἀκατέργαστον γὰρ Γολμὴ ἐκάλεσαν, ὅπερ ἑρμηνεύεται χόνδρος, ἢ σεμιδάλεως pag. 157. κόκκος, δῆθεν τὸ μηδέπω εἰς ἄρτον συνελθὸν καὶ φυραθὲν, ἀλλ' ὡς ἀπὸ κόκκου σίτου τμηθὲν χόνδρον ἢ χονδρίτης, ἢ λεπτὴ ψηφὶς, ἥτις ἐκ σεμιδάλεως γίνεται. Οὕτως τὸ ἰσότυπον τοῦ εἴδους τὸ τεμνόμενον ἐξ ἀνθρώπου εἰς τὴν σπορὰν ἀκριβολογῶν ἀπέδειξε, καί φησιν, εἰς Ἑλλάδα διάλεκτον ἑρμηνευομένου τοῦ λόγου, Τὸ ἀκατέργαστον, τουτέστι τὸ ἄπλαστον ἔτι ἐν κοιλίᾳ, ἢ πρὸ κοιλίας, εἶδον οἱ ὀφθαλμοί σου. Οἶδε γὰρ πάντα θεὸς πρὶν γενέσθαι, ὡς γέγραπται. [1] Πλὴν βιβλίον καὶ τόμος μήτρα ἐστὶν ἡ σημαινομένη. Καὶ οὐκ εἶπε, Λάβε σεαυτῷ [2] βιβλίον, ἢ, Λάβε σεαυτῷ χάρτην, ἀλλὰ Τόμον, διὰ τὸ ἰδιάζον παρὰ τὴν τῶν ἀνθρώπων συνήθειαν, Χάρτου, διὰ τὸ γραφικὸν τῆς μήτρας, Καινοῦ, διὰ τὸ καινὸν τῆς παρθένου καὶ ἄχραντον. Μεγάλη γὰρ ὡς ἀληθῶς Μαριὰμ ἡ ἁγία παρθένος ἐνώπιον θεοῦ καὶ ἀνθρώπων. Πῶς γὰρ οὐκ ἂν εἴπομεν ταύτην μεγάλην, χωρήσασαν τὸν ἀχώρητον, ὃν οὐρανὸς καὶ γῆ χωρεῖν οὐ δύνανται; Αὐτὸς δὲ ἀχώρητος ὢν κατὰ ἰδίαν προαίρεσιν καὶ εὐδοκίαν ἐχωρήθη βουλόμενος, καὶ οὐ κατὰ ἀνάγκην. Διὸ μέγας ὁ τόμος καὶ καινός· μέγας, διὰ τὸ θαῦμα, καινὸς, ὅτι παρθένος. Καὶ, Γράψον, φησὶν, ἐν αὐτῷ γραφίδι ἀνθρώπου. Καὶ οὐκ εἶπε, Γράψει ἐν αὐτῷ τις γραφίδι ἀνθρώπου, οὐδὲ εἶπε, Γράψει ἐν

Cap. XXXI. — 1. πρὶν cod. Vatic. quae desiderantur in ed. princ. et in cod. 2. Verba βιβλίον, ἢ Λάβε σεαυτῷ, Rhedig., Petavius ex cod. Vatic. recepit.

nem illam esse vitulam significet, quae nuptiarum iugo cervicem nondum submiserit. Verum quid hic pluribus disputare necesse est? aut illud ipsum commemorare, quod sub domini persona dixit Isaias: *Accipe segmentum chartae recentis ac maioris?* Ubi segmenti usus est vocabulo, quod etsi e virili semine propagata sit virgo, eadem tamen sit ab humano concubitu naturalique hominum consuetudine velut secta. Universi quippe homines e virili semine gignuntur. At Christi generatio uti naturaliter ex muliere, Maria scilicet virgine, naturam duxit humanam, ita praeter naturam ab originis humanae consuetudine resecta est; id quod Iacobus de eo pronuntiat his verbis: *Ex germine, fili mi, ascendisti.* Non dixit, *E semine ascendisti.* Atque idcirco Isaias propheta, sive potius Isaiae dominus, hunc in modum locutus est: *Sume tibi chartae segmentum.* Quo quidem usitatum hominibus scribendi morem ac rationem expressit. Quo pertinet illud e psalmo CXXXVIII.: *In libro tuo omnes scribentur: dies formabuntur, et nemo in iis.* Nam cum libro uterum comparavit. Propterea, *Imperfectum*, ait, *meum viderunt oculi tui;* hoc est proseminatum me antequam fingerer cognosti, imo etiam antequam proseminatus forem.

Esai. 8, 1. — Gen. 49, 9. — Psalm. 138, 16.

Cap. XXXI.

Sed Hebraica vox expressius quiddam sonat. Pro eo enim quod legimus *Imperfectum*, habent illi *Golme*, quod idem est atque alica, sive granum similae, quod videlicet nondum in panem coaluit ac subactum est, sed e contuso frumenti grano velut medulla quaedam crassior, ac minuti calculi instar est. Sic igitur ea voce idipsum quod in semine hominis inest simillimum accuratius exprimere voluit, cum dixit *Imperfectum*, id est informe iam tum ex utero, imo ante uterum, *Viderunt oculi tui.* Novit enim omnia deus antequam fiant, ut est scriptum. Ac libri segmentive nomine maternus uterus indicatur. Neque vero ita locutus est: *Sume tibi librum*, vel *Sume tibi chartam*, verum *tomum*, hoc est segmentum, propter illam quae in consuetudine hominum apparet similitudinem. Sed addidit, *Chartae*, ut illam in utero velut scribendi vim declararet. Postremo, *Novae*, subiecit, ob recentem inviolatumque castitatis in virgine florem. Magna quippe coram deo pariter et hominibus Maria virgo extitit. Quis enim non eam magnam praedicet quae illum qui capi nullo modo potest ceperit, eum inquam qui coelo terraque contineri nequit? Qui eiusmodi cum esset, sponte sua ac voluntate, non necessitate comprehendi se passus est. Ergo magnum illud volumen est ac recens. Magnum ob miraculum, recens quia virgo fuit. Deinde, *Scribe*, inquit, *in eo stylo hominis.* Non dicit, *Scribet in eo quispiam hominis stylo*, neque, *Scribet in eo homo*, ne quam inde

Dan. 13, 42.

αὐτῷ ἄνθρωπος, ἵνα μὴ εὕρῃ πρόφασιν ὁ Ἐβίων. Εἰ γὰρ εἶπε, Γράψει ἐν αὐτῷ ἄνθρωπος, εἶχεν εἰπεῖν ὅτι ἄνθρωπος Ἰωσὴφ ἔσπειρε, καὶ ἐκ σπέρματος ἀνδρὸς ἐγεννήθη Χριστός. Τῷ δὲ Ἡσαΐᾳ πρὸ ἑπτακοσίων πεντηκοντατριῶν ἐτῶν πλείω ἢ ἐλάσσω ἔλεγε, Γράψον, ἵνα ἀπὸ τοῦ καιροῦ τοῦ διαστήματος ὀφθῇ πᾶσα ἡ ἀλήθεια, ὅτι οὐδεὶς ἠδύνατο πρὸ ἑπτακοσίων πεντηκοντατριῶν ἐτῶν σπεῖραι τὸν μέλλοντα γεννᾶσθαι. [3]Ἆρα οὖν μάτην λέγει τῷ προφήτῃ, Γράψον; Οὐχὶ, ἀλλὰ ἵνα δείξῃ τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐν τῷ προφήτῃ αὐτὸ ἐνεργητικὸν γενόμενον τῆς συλλήψεως τῆς ἐνσάρκου Χριστοῦ παρουσίας ἐν ἀληθείᾳ. Πνεῦμα γὰρ ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, φησὶν ὁ ἄγγελος Γαβριὴλ τῇ Μαρίᾳ, καὶ τὰ ἑξῆς. Τὸ δὲ, Γραφίδι ἀνθρώπου, τουτέστιν εἰκόνι ἀνθρώπου. Ἄνθρωπος δὲ Χριστὸς Ἰησοῦς, μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἐπειδὴ ἄνωθεν ἦλθε θεὸς λόγος, ἐκ Μαρίας δὲ ἄνθρωπος, οὐκ
pag. 158. ἀπὸ σπέρματος ἀνδρὸς γεγεννημένος. Καὶ διὰ τοῦτο εὐθύς φησιν ὁ προφήτης, Καὶ εἰςῆλθε πρὸς τὴν προφῆτιν, ἵνα δείξῃ προφῆτιν τὴν Μαρίαν, καὶ οὐχὶ τὴν γυναῖκα Ἄχαζ, ὥς τινες πλανῶνται [4]φάσκοντες διὰ τὸν Ἐζεκίαν εἰρῆσθαι. Ἤδη γὰρ ὁ Ἐζεκίας ἕνδεκα ἔτη εἶχε γεγεννημένος. Τῷ γὰρ ἐνάτῳ ἔτει τῆς τοῦ πατρὸς αὐτοῦ βασιλείας τὸ ῥῆμα προεφητεύετο ὅτι, Ἰδοὺ, ἡ παρθένος ἐν γαστρὶ ἕξει· καὶ μετὰ τὸ ἀποθανεῖν τὸν Ἄχαζ, βασιλεύσαντα δεκατέσσαρα ἔτη καὶ τελευτήσαντα, εὐθύς φησιν ἡ γραφὴ, Καὶ ἐβασίλευσεν Ἐζεκίας, καὶ ἦν εἴκοσι ἐτῶν ἐν τῷ βασιλεύειν αὐτόν. Πῶς οὖν ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτοῦ, τεσσαρεςκαίδεκα ἔτη αὐτοῦ βασιλεύσαντος, προφητευομένου τοῦ ἐκ παρθένου γενομένου Ἐμμανουὴλ, Ἐζεκίας γεννηθήσεται, ὁ εἴκοσι ἐτῶν βασιλεύσας μετὰ τὸν αὐτοῦ πατέρα; καὶ οὐχὶ μᾶλλον φανήσεται τοῖς συνετοῖς ὅτι ἤδη ὑπῆρχε γεννηθεὶς ὅτε ὁ προφήτης προεφήτευε τὸ ῥῆμα ἐπὶ τῆς τοῦ Ἄχαζ πατρὸς τῆς τοῦ Ἐζεκίου βασιλείας; μάλιστα οὐδὲ προφήτιδος οὔσης τῆς τοῦ Ἄχαζ γυναικὸς, ὡς παντί τῳ δῆλόν ἐστι. Μαρία δέ ἐστιν ἡ εἰποῦσα καὶ προφητεύσασα ὅτι, Ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαὶ τῆς γῆς. Πρὸς ἣν εἰςῆλθε Γαβριὴλ, καὶ εὐηγγελίσατο ὡς τὸ πνεῦμα ἐλεύσεται [5]ἐν αὐτῇ, τὸ ἐν Ἡσαΐα λαλῆσαν, καὶ γεννήσει υἱὸν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, διὰ πνεύματος ἁγίου, καὶ οὐκ ἀπὸ σπέρματος ἀνδρὸς, ὡς οὗτοι ἀφραίνοντες καὶ σφαλλόμενοι βλασφημοῦσιν.

Κεφ. λβ'. Ἐλήλεγκται δὲ τοῦ ματαιόφρονος καὶ ὁ σαββατισμὸς καὶ ἡ περιτομὴ, καὶ οἱ καθ' ἡμέραν βαπτισμοὶ ὑπ' αὐτοῦ [1]γινόμενοι. Ἐν γὰρ σαββάτῳ φιλοτιμεῖται τὰ πλεῖστα θεραπεύειν Ἰησοῦς. Καὶ οὐ μόνον

3. ἆρα cod. Rhedig. ἄρα editi libri. ex cod. Vatic.
4. φάσκοντες, quod vulgo abest, adieci 5. Sic cod. Rhedig. et editi libri. ἐπ'

Ebion occasionem arriperet. Nam si ita dixisset: *Scribet in eo homo,* colligere ex eo posset satorem fuisse Iosephum, Christumque virili ex semine procreatum. Verum Isaiae ante DCCLIII plus minus annos dixit, '*Scribe,* ut ex toto illo temporis intervallo de rei veritate constaret; quod nemo ante hos annos DCCLIII eum qui nasciturus erat satu propagare posset. Num igitur frustra prophetae dixit, *Scribe?* Minime vero. Sed ut ille idem qui prophetae inerat spiritus sanctus ostenderet, generationis se Christi, quatenus carne constabat, vere auctorem et efficientem esse. *Spiritus enim* Luc. 1, 35.
*sanctus superveniet in te,* ait Mariae Gabriel angelus, etc. Iam quod subiicit Isaias *Stylo hominis,* ad hominis similitudinem adumbrandam pertinet. Siquidem homo Christus Iesus est, mediator dei 1. Tim. 2, 5.
et hominum, quandoquidem deus verbum e coelo descendit, atque ex Maria natus est homo, non ex humano satu productus. Proindeque statim propheta subiecit, *Et ingressus est ad prophetissam,* ut prophetissam Mariam esse monstraret, non Achaz uxorem, de qua nonnulli dictum illud propter Ezechiam falso suspicantur. Quo enim illa tempore pronuntiata sunt, XI iam annos natus erat Ezechias. Nam IX. imperii patris eius anno vaticinium illud editum fuit: *Ecce virgo concipiet.* Ac mortuo demum Achazo, postquam annos XIV regnavit, mox scriptura prodit: *Et regnavit Ezechias, eratque XX* 4. Reg. 18, 1.
*annorum cum regnare coepisset.* Qui igitur consentaneum est ut, cum regnante adhuc illius patre, qui annis XIV imperavit, de Emmanuele ex virgine nascituro propheta responsum illud cecinerit, Ezechiam oriundum esse praedixerit, qui XX annos natus parentis imperio successit? Nonne prudens quisque potius facile perspiciet tum illum natum fuisse cum ita propheta vaticinaretur, Achazo regnante, qui Ezechiae regis pater fuit? praesertim cum ne prophetissa quidem Achazi coniux fuerit, de quo dubitare nemo potest. Eiusmodi vero Maria virgo fuit, quae coeleste illud oraculum protulit: *Ex hoc* Luc. 1. 48.
*nunc beatam me dicent omnes generationes terrae.* Ad quam ingressus Gabriel felicem hunc ei nuntium attulit, fore ut in eam se spiritus insinuaret, qui per Isaiam locutus est, ac filium pareret, dominum nostrum Iesum Christum, qui de spiritu sancto, non ex virili semine, progenitus est, ut amentes illi ac fanatici per summam blasphemiam praedicant.

Non minus ineptissimi hominis sabbati ille cultus ac circumcisio Cap. XXXII.
usus que baptismi quotidianus refellitur. Etenim id potissimum studuisse Christus videtur, ut ipsis sabbati diebus plerosque curaret Ioann. 5.

αὐτὴν *cod. Vatic.*
CAP. XXXII. — 1. γινόμενοι *cod. Vatic., et inde ed. Petav.* γενόμενοι *cod. Rhedig. et ed. princ.*

ὅτι θεραπεύει, ἀλλὰ καὶ κατὰ δύο τρόπους ἰᾶται. Παραγγέλλει γὰρ
τοῖς ἰατρευθεῖσιν ἐν τῷ σαββάτῳ αἴρειν τὸν κράββατον, καὶ βαδίζειν.
Ἀλλὰ καὶ ἐν σαββάτῳ πηλὸν φυράσας ἐπέθηκε τοῖς τοῦ τυφλοῦ ὀφθαλ-
μοῖς. Ἔργον δέ ἐστι πηλὸν φυράσαι. Ὅθεν γνόντες οἱ ἀπόστολοι,
ὅτι λέλυται τὸ σάββατον ἀπὸ τῆς αὐτοῦ ἅμα αὐτοῖς συνδιατριβῆς καὶ
διδασκαλίας, τίλλουσι στάχυας σαββάτῳ, καὶ ψώχουσι, καὶ ἐσθίουσιν.
Ἦν δὲ σάββατον δευτερόπρωτον, ὡς ἔχει τὸ εὐαγγέλιον. Σάββατα γὰρ
διάφορα ὥριζεν ὁ νόμος, τὸ μὲν κατὰ ἑβδομάδα ἀνακυκλούμενον φύ-
pag. 159. σει σάββατον, τὸ δὲ διὰ τὰς ὑποπιπτούσας τῆς κατὰ σελήνην νεομη-
νίας, καὶ τὰς καθεξῆς ἑορτὰς, οἷον ἡμέρας σκηνοπηγίας καὶ ἡμέρας
[2] πάσχων, ὅτε τὸ πρόβατον θύουσι, καὶ ἄζυμα λοιπὸν ἐσθίουσιν.
[3] Ἔτι δὲ τὴν μίαν νηστείαν νηστεύουσι τοῦ ἔτους, τὴν λεγομένην με-
γάλην, καὶ τὴν ἄλλην, ἣν λέγουσι μικράν. Ὅτε γὰρ ἐμπίπτουσιν αὗται
αἱ ἡμέραι, ἤτοι ἐν δευτέρᾳ σαββάτων, ἢ ἐν τρίτῃ, ἢ ἐν [4] τετράδι, σάβ-
βατον καὶ αὐτὸ αὐτοῖς ὁρίζεται. Διὸ μετὰ τὴν τῶν ἀζύμων γενομένην
ἡμέραν, καὶ ὁρισθεῖσαν ἡμέραν σαββάτου, τῷ σαββάτῳ φύσει τῷ μετὰ
τὴν ἡμέραν τῶν ἀζύμων εἰς σάββατον λελογισμένην, εὑρέθησαν δια-
βαίνοντες διὰ τῶν σπορίμων, καὶ ἔτιλλον στάχυας, καὶ ἔψωχον, καὶ
ἤσθιον, δεικνύντες ὅτι λέλυται ὁ δεσμὸς ὁ ἐν τῷ σαββάτῳ ὁριζόμενος,
ἐλθόντος τοῦ μεγάλου σαββάτου, τουτέστι Χριστοῦ, τοῦ ἀναπαύσαν-
τος ἡμᾶς ἀπὸ τῶν ἁμαρτημάτων ἡμῶν, οὗ τύπος ἦν ὁ Νῶε, ὃν ὁ
πατὴρ αὐτοῦ γεννηθέντα ἑωρακὼς κατὰ προφητείαν, ἐπέθετο αὐτῷ ὄνο-
μα Νῶε, λέγων ὅτι, Οὗτος ἀναπαύσει ἡμᾶς ἐκ τῶν ἁμαρτιῶν ἡμῶν,
ἤτοι σκληρῶν ἔργων ἡμῶν. Ὁ Νῶε δὲ ἀπὸ ἁμαρτιῶν οὐκ ἀνέπαυσεν,
ἀλλὰ εἰς Χριστὸν προεφήτευσεν ὁ Λάμεχ τὴν προφητείαν [5] τῷ Νῶε ἑρ-
μηνευόμενον ἐν ἀληθείᾳ. Νῶε γὰρ ἀνάπαυσις ἑρμηνεύεται, καὶ Σε-
βὲθ, ὅπερ ἀνάπαυσις καὶ σάββατον ἑρμηνεύεται, ὅ ἐστι Χριστὸς, ἐν
ᾧ ἀναπέπαυται ὁ πατὴρ καὶ τὸ ἅγιον πνεῦμα αὐτοῦ, καὶ πάντες ἅγιοι
ἄνθρωποι ἐν αὐτῷ ἀνεπαύσαντο, παυσάμενοι ἀπὸ ἁμαρτημάτων. Οὗ-
τός ἐστι τὸ μέγα σάββατον καὶ ἀΐδιον, οὗ τύπος ἦν τὸ μικρὸν [6] καὶ
πρόςκαιρον σάββατον ἐξυπηρετούμενον ἄχρι τῆς αὐτοῦ παρουσίας, προς-
ταχθὲν ὑπ' αὐτοῦ κατὰ τὸν νόμον, καὶ ἐν αὐτῷ λυθὲν, καὶ πληρωθὲν
ἐν τῷ εὐαγγελίῳ. Οὕτως γὰρ εἶπεν, ὅτι, Κύριός ἐστιν ὁ υἱὸς τοῦ
ἀνθρώπου καὶ τοῦ σαββάτου. Ὅθεν θαρσαλέως οἱ μαθηταὶ λύουσι τὸ
σάββατον, ἐπειδὴ καὶ οἱ πρὸ αὐτῶν ἱερεῖς ἔλυον [7] τὸ σάββατον θύον-
τες, καὶ θεῷ θυσίας προςφέροντες, ἵνα μὴ ἀργήσῃ θυσία ἡ ἐνδελεχὴς

2. πάσχων cod. *Vatic.* *Edili vulgo* πασχῶν.
3. ἔτι δὲ ὅτε τὴν μίαν cod. *Vatic.*
4. τετράδι *ed. Petav.* τετράδῃ *cod. Vatic.* τετράδα *cod. Rhedig. et ed. princ.*

5. „Forte τὸν" *annotavit Petavius. Non opus est. Structuram illustrat Cornarius interpretans:* sed in Christum prophetavit Lamech, qui per Noe significatur in veritate.

aegrotos; neque curavit solum, sed duplici id ratione perfecit. Nam quos sabbati die sanaverat, grabatum iis tollere atque ambulare iussit. Quinetiam eodem die lutum macerans caeci oculis illinit. At- Ioann. 9.
qui opus quoddam est illa luti temperatio. Unde etiam apostoli cum ex eius convictu disciplinaque abrogatam esse sabbati legem haud ignorarent, vulsas per sabbatum spicas atterunt, ac vescuntur. Erat Luc. 6.
autem tum secundo primum sabbatum, ut evangelium docet. Nam sabbatorum varia genera lege praefinita sunt. Ac quod septenorum dierum orbe revoluto celebratur proprie sabbatum dicitur. Sed aliud est quod vel incurrentibus noviluniis, vel ob alios festos dies indicitur, puta tabernaculorum vel paschatis ferias, quibus mactare agnum azymisque vesci legitimum est. Ad haec solenne quoddam ieiunium quotannis observant quod magnum vocant, nec non et alterum quod parvum appellant. Quoties igitur dies eiusmodi in secundam post sabbatum diem, vel tertiam, aut quartam incidunt, istud ipsum illorum instituto sabbatum censetur. Quare secundum azymorum festum definitumque sabbati diem, eo sabbato, quod et proprie ita dictum est, et azymorum diem sequitur, quae et ipsa pro sabbato censetur, forte iter per sata fecerunt ac vulsas spicas affricuerunt, atque comederunt, ut vincula illa sabbati sanctione adstricta soluta esse monstrarent magni illius accessione sabbati, hoc est Christi domini, qui ut a peccatis nostris quiesceremus indulsit. Cuius insuper figuram Noëmus olim praetulit, is quem natum pater ut vidit, prophetico quodam afflatu Noëmum appellari voluit: *Quoniam*, inquit, Gen. 5, 29.
*iste requiem dabit nobis a peccatis nostris*, hoc est laboriosis nostris operibus. Atqui Noëmus nullam a peccatis requiem attulit, ut intelligas de Christo vaticinatum esse Lamechum, in quem etiam ipsa nominis ratio convenit. Noëmus enim requiem significat, ut et Sebeth, quae vox tam istud ipsum quam sabbatum exprimit. Quod apprime Christo congruit, in quo pater cum spiritu sancto requiescit, requieveruntque sancti ad unum omnes, posteaquam a peccato destiterunt. Hic est magnum sempiternumque sabbatum, cuius parvum illud exemplar fuit, ad illius adventum usque in usum adhibitum, et ab ipso lege constitutum, ab eodemque solutum, et in evangelio demum impletum. Ita enim ille dixit: *Dominus est filius hominis etiam* Matth. 12, 8.
*sabbati.* Ex quo factum est, ut audacter discipuli sabbatum solverent, praesertim cum et sacerdotes ante illos idem sacrificando offerendoque facerent, ne iuge illud quotidianumque sacrificium inter-

6. *Verba* καὶ πρόςκαιρον, *quae desiderantur vulgo in libris, adieci ex cod. Vatic.*

7. *Cod. Vatic. plenius* ἔλυον ἐν τῷ ναῷ τὸ σάββατον ϑύοντες.

καὶ καθ' ἡμέραν προςφερομένη. Οὐ μόνον δὲ αὐτοὶ προεφήτευον οἱ ἱερεῖς λυθήσεσθαι τὸ σάββατον, διὰ τοῦ μὴ ἀργεῖν, ἀλλὰ καὶ αὐτὴ ἡ
pag. 160. περιτομὴ ἔλυε τὸ σάββατον. Γεννωμένου δὲ παιδὸς πολλάκις ἐν σαββάτῳ ἀναίρεσις [8] σαββάτου διὰ περιτομῆς ἐγίνετο. Οὕτω ταῖς ἀμφοτέραις ἡ λύσις προεθεσπίζετο. Δείκνυται γὰρ ὅτι οἱ περιτέμνοντες αὐτὸ τὸ γεννηθὲν ἐν σαββάτῳ, ἐὰν θελήσωσιν ἀκριβολογήσασθαι τὴν ὀγδόην ἡμέραν, εὑρίσκοντες ἐμπίπτουσαν ἐν σαββάτῳ, καὶ περιτεμόντες ἔργον εἰργάσαντο, καὶ τὸ σάββατον ἔλυσαν· ἐὰν δὲ ὑπέρθωνται διὰ τὸ μὴ λῦσαι τὸ σάββατον, ἐνάτῃ λοιπὸν περιτέμνουσι τὴν περιτομήν, καὶ ἔλυσαν τὴν περιτομήν, καὶ τὸν περὶ αὐτῆς τῶν ὀκτὼ ἡμερῶν ὅρον τοῦ προστάγματος.

Κεφ. λγ'. Ἀλλὰ οὔτε ἦν τελεία ἡ πρώτη περιτομή, ἀλλὰ σημείου χάριν ἐδόθη, εἴς τε ὑπόμνησιν αὐτῶν μετὰ ταῦτα, καὶ διὰ τὸν δισταγμὸν τοῦ [1] Ἀβραάμ, ὡς προείρηται, ἐπιτιμηθέντος· καὶ τύπου ἕνεκα τῆς μεγάλης τῆς τὰ πάντα κατ' ἰσότητα πληρούσης ἐν τοῖς καταξιουμένοις. Ἐκείνη μὲν γὰρ εἰ ἦν ἁγιστίας ἕνεκα, καὶ κληρονομίας οὐρανῶν βασιλείας χάριν, ἄρα ἐστέρηται Σάρρα τῆς βασιλείας, καὶ Ῥεβέκκα, καὶ Λία, καὶ Ῥαχήλ, καὶ Ἰωχαβὲθ, καὶ Μαρία ἡ ἀδελφὴ Μωϋσέως, καὶ πᾶσαι αἱ ἅγιαι γυναῖκες, καὶ οὐ δυνήσονται κληρονομεῖν βασιλείαν οὐρανῶν, μὴ δυνηθεῖσαι τὴν περιτομὴν τοῦ Ἀβραὰμ ἔχειν, ἣν θεὸς αὐτῷ δεδώρηται, κατὰ τὸν τούτων λόγον. Εἰ δὲ οὐκ ἐστέρηνται αὗται τῆς βασιλείας τῶν οὐρανῶν, καί τοι οὐ μετεσχηκυῖαι περιτομῆς, οὐδὲν ἄρα ἰσχύει ἡ νῦν ἔνσαρκος περιτομή. Τί δὲ καυχᾶται Ἐβίων περιτομήν, ὁπότε καὶ οἱ εἰδωλολάτραι καὶ [2] μιαροὶ ἱερεῖς τῶν Αἰγυπτίων περιτομὴν ἔχουσιν. Ἀλλὰ καὶ οἱ Σαρακηνοί, οἳ καὶ Ἰσμαηλῖται, περιτομὴν ἔχουσι, καὶ Σαμαρεῖται, καὶ Ἰουδαῖοι, καὶ Ἰδουμαῖοι, καὶ Ὁμηρῖται. Τούτων δὲ οἱ πλείους οὐ διὰ νόμον τοῦτο ποιοῦσιν, ἀλλὰ ἀλόγῳ τινὶ συνηθείᾳ.

Καὶ ἁπλῶς πολὺν χρόνον ἀναλώσω κατατριβόμενος εἰς τὴν τούτου ληρῳδίαν, διὰ τὸ ἐπερείδεσθαι αὐτὸν μάτην τῷ ῥητῷ ᾧ εἴρηκεν ὁ σωτήρ, ἀρκετὸν τῷ μαθητῇ εἶναι ὡς ὁ διδάσκαλος, ἵνα καὶ αὐτὸς σεμνύνηται τὴν ἰδίαν περιτομήν, διὰ τὴν τοῦ Χριστοῦ περιτομὴν τὴν ἐν αὐτῷ καλῶς περιτμηθεῖσαν [3] καὶ δι' αὐτοῦ καταλυθεῖσαν. Ὅμως ἐπειδὴ βούλεται ὁ κτηνώδης διὰ τὴν πρὸς τὸν Χριστὸν μίμησιν λαμβάνειν τοῦτον τὸν λόγον, οὐκ ὀκνήσω δεῖξαι ὅτι οὐ διὰ τοῦτο εἴρηται.
pag. 161. Εὐθὺς γὰρ φράζει ὁ κύριος λέγων ὅτι οὐ διὰ τοῦτο εἶπεν, ἀλλὰ διὰ τοὺς διωγμούς, καὶ τὴν τῶν Ἰουδαίων εἰς αὐτὸν παροινίαν, καί φησιν,

8. σαββάτου καὶ περιτομῆς cod. Vatic.

Cap. XXXIII. — 1. ἁγίου ἀβραὰμ cod. Vatic.

mitterent. Ac non sacerdotes solum hoc ipso, quod ne sabbato quidem essent feriati, solutum illud iri diu ante praenuntiabant, sed et circumcisio ipsa solvebat. Cum enim sabbato puer saepenumero nasceretur, eius diei religionem circumcisio tollebat; atque ita duabus illis rebus sabbati abrogatio significata ante videtur. Hoc enim constat, eos qui natum in sabbato puerum circumciderent, sive octavum diem accurate observare vellent, quod is in sabbatum incurrisset, eodem ipso circumcidisse, ac proinde operis aliquid egisse, sabbatumque violasse. Sin abrogandi sabbati metu differrent, nono demum die circumcisionem adhibuisse, atque huius adeo legem praestitutumque dierum octo numerum minime tenuisse.

Sed ne ipsa quidem prima erat perfecta circumcisio, verum signi instar ad eorum quae postea consequebantur recordationem concessa, ac praesertim ob Abraami, uti diximus, haesitationem, cum illum deus redarguit, tum ad maioris illius, atque aequaliter in iis qui quidem dignati fuerint omnia perficientis, adumbrandam imaginem. Etenim si ingenerandae sanctitatis coelestisve regni velut hereditatio iure conferendi gratia esset instituta, consequens esset, Sarram, ac Rebeccam, et Liam ac Rachelem, et Iochabetam, ac Mariam Moysis sororem, ceterasque sanctas mulieres eo esse regno privatas, nec coelestem illam hereditatem posse capessere, propterea quod Abraami circumsionem usurpare nequiverint, quam, ut isti volunt, deus illi largitus est. Quod si coelesti illae regno, tametsi circumcisae non fuerint, minime caruerunt, nihil igitur modo carnis illa circumcisio prodest. Et vero quid est, quod Ebion adeo de circumcisione sua glorietur, cum et idolorum cultores et sacerdotes Aegyptii seipsos quoque circumcidant. Quod et Saraceni, et Ismaëlitae ac Samaritani, Iudaei, Idumaei, et Homeritae faciunt. Quorum id plerique non aliqua lege, sed consuetudine quadam citra ullam rationem suscipiunt. Cap. XXXIII.

Denique plurimum a me temporis insumi necesse sit, si in refellendis illius nugis inhaerere voluero, qui hoc uno salvatoris dicto frustra nititur: *Sufficit discipulo si sit sicut magister eius;* ut et ipse propter eam quam in se merito Christus expressit circumcisionem suam arroganter ostentet. Verumtamen quoniam ob Christi imitationem ea se sententia pecus illa defendit, dicere haud verebor nequaquam illam eo pertinere. Statim enim dominus adiecit non se deo ista dixisse, sed ob ingruentes exagitationes Iudaeorumque in Matth. 10, 25.

2. μιαροὶ ἱερεῖς *mea est emendatio. Petavius volebat* ἱερεῖς *simpliciter. Libri habent* μιαιρεῖς. *Cornarius convertit:* quando etiam idolatrae et scelerati Aegypti circumcisionem habent.

3. *Verba* καὶ δι' αὐτοῦ καταλυθεῖσαν, *quae vulgo desiderantur, recepi ex cod. Vaticano.*

*Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν, εἰ ἐμὲ ἐμίσησαν, καὶ ὑμᾶς μισήσουσιν· οὐκ ἐμὲ λέγετε κύριον καὶ διδάσκαλον; καὶ καλῶς λέγετε, εἰμὶ γάρ· εἰ οὖν τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ γε μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ; καὶ, Οὐ δύναται δοῦλος εἶναι ὑπὲρ τὸν κύριον αὐτοῦ, οὐδὲ μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ, ἤτω δὲ κατηρτισμένος κατὰ πάντα ὁ μαθητὴς, ὡς ὁ διδάσκαλος, τουτέστιν ἕτοιμος εἰς διωγμὸν καὶ κακολογίαν, καὶ πᾶν ὁτιοῦν ἐπιφερόμενον. Ὅθεν καὶ ὁ ἅγιος Παῦλος, Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. Καὶ οὐχ ὅτι ἐκεῖνος ἐμιμεῖτο τὸν αὐτοῦ δεσπότην ὡς οὐκ ἔδει. Οὐδὲ γὰρ ἔλεγεν ὅτι, Θεός εἰμι, ἢ, Υἱὸς θεοῦ εἰμι, ἢ, Λόγος [4] θεοῦ εἰμι. Λέγει γὰρ ὅτι, Ἐγώ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, καὶ, Ὡςπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί.*

Κεφ. λδ'. *Εἰ δὲ σὺ Ἐβίων λαμβάνεις τὸ ῥητὸν τοῦτο ἐπὶ μιμήσει Χριστοῦ καὶ ἀπὸ τῆς περιτομῆς, ἧς ματαίως φρονεῖς, θέλεις εἶναι ὡς ὁ διδάσκαλος, μᾶλλον δὲ ὡς ὁ κύριος, μὴ ἐν τῇ περιτομῇ αὐτῷ [1] ὁμοιοῦ· οὐ γάρ σε ὠφελήσει. Παρήνεγκε γὰρ ὁ κύριος τὸν ταύτης χρόνον, ὡς διὰ πολλῶν μαρτύρων σαφῶς ἐπεδείξαμεν. Ἦλθε καὶ ἐπλήρωσε δοὺς τὴν τελείαν περιτομὴν τῶν αὐτοῦ μυστηρίων, οὐκ ἐν ἑνὶ μέλει μόνῳ, ἀλλ' ὅλον σῶμα σφραγίσας, καὶ περιτεμὼν ἀπὸ ἁμαρτίας, καὶ οὐχ ἓν μέρος λαοῦ σώζων, τουτέστιν ἄνδρας μόνους, ἀλλὰ καὶ ὅλον λαὸν τὸν τῶν Χριστιανῶν κατὰ ἀλήθειαν, ἄνδρας τε καὶ γυναῖκας ὁμοῦ σφραγίζων, καὶ εἰς οὐρανῶν βασιλείας κληρονομίαν ἀφθόνως, καὶ οὐκ ἐλλιπῶς ἑνὶ τάγματι τῶν ἀνδρῶν μόνον κατὰ ἀσθένειαν τὴν [2] σφραγῖδα παρέχων, ἀλλὰ λαῷ ὁλοτελεῖ διὰ τῆς σφραγῖδος καὶ ἐντολῶν καὶ ἀγαθῆς διδασκαλίας τὴν βασιλείαν τῶν οὐρανῶν ἀποκαλύπτων. Εἰ δὲ ὡς ὁ κύριος βούλει εἶναι ὁ Ἐβίων, τουτέστιν ὡς ὁ διδάσκαλος, πολὺ ἠπάτησαι. Μὴ ἐν τῇ περιτομῇ ἀπεικάζου, ἀλλὰ κάλεσον τὸν Λάζαρον ἀπὸ μνημείου, ἢ ἄλλον νεκρὸν ἔγειρον, λεπροὺς καθάρισον, ἢ τυφλοῖς χάρισαι τὸ βλέπειν, [3] ἢ παραλυτικὸν ἴασαι, εἰ δύνῃ. Οὐ δύνῃ δὲ, ὅτι ἐναντίως πράττεις ἀπιστίᾳ κατεχόμενος, καὶ δεσμοῖς σαρκὸς, καὶ δικαιώμασι νόμου ἀπληρώτοις. Εἰ δὲ ταῦτα ἠδυνήθης ποιῆσαι, ὅπερ οὐ δύνῃ διὰ τὴν κακοπιστίαν σου, οὐ λέγω ὡς ὁ Χριστός. Οὐ γὰρ δύνῃ ἀπεικασθῆναι θεῷ, φθαρτὸς ὢν ἄνθρωπος καὶ ἠπατημένος. Ἀλλ' οὔτε τὸ ὄνομα Χριστοῦ ἐπὶ θεοσημείοις δύνασαι ἐπικαλέσασθαι, κἄν τε ἐπικαλέσῃ, οὐκ ἐνεργήσεις. Εἰ δὲ καὶ ὅλως [4] ἐνεργεῖς παραλυτικὸν ἀναστῆσαι, εἶχεν ἂν διὰ τοῦ ὀνόματος τοῦ Ἰησοῦ ἀναστὰς καὶ*

pag. 162.

4. θεοῦ *cod. Vatic.* θεός *reliqui libri.*

CAP. XXXIV. — 1. ὁμοιοῦ *emendavit Petavius ex cod. Vatic. Nam in ed. princ. (uti etiam in cod. Rhedig.) scriptum extat* ὁμοίου.

2. σφραγίδα, *et paulo infra* σφραγῖδος *extat in cod. Rhedig. et ed. princ. Sic fere ubique.*

3. *Cod. Vatic. plenius* ἢ ἐκ γενετῆς παραλυτικόν.

4. *Sic libri mei omnes. Suspicor autem* ἐνήργεις.

se contumelias. Ac, *Si me*, inquit, *persecuti sunt, et vos persequentur; si me oderunt, et vos odio habebunt: nonne me dominum dicitis ac magistrum? Et recte dicitis, sum etenim. Si igitur patremfamilias Beelzebub vocaverunt, quanto magis domesticos eius?* Et, *Non potest servus maior esse domino suo, neque discipulus magistro, sed esto perfectus in omnibus discipulus sicut magister*, hoc est ad omnem vexationem ac maledicentiam, et adversa quaelibet sustinenda comparatus. Unde et Paulus, *Imitatores*, inquit, *mei estote, sicut et ego Christi.* Neque vero qua non decebat ratione dominum ille suum imitatus est. Non enim deum esse se dixit, aut dei filium, aut deum verbum. Sed, *Ego sum*, inquit, *minimus apostolorum:* et, *Tanquam abortivo visus est et mihi.*

Ioann. 15, 20. Matth. 10, 25. 1. Cor. 11, 1. 1. Cor. 15, 9.

Cap. XXXIV.

Quod si tu, Ebion, Christi ad imitationem dictum illud usurpas, et ob circumcisionem, qua tu frustra te iactitas, magistri esse similis vel domini potius affectas, noli circumcisione ei similis esse: neque enim tibi proderit, cum illius tempus dominus ipse circumscripserit, quemadmodum idoneis multis testibus evidenter ostendimus. Venit enim, veteremque complevit, perfecta demum per sua mysteria circumcisione concessa. Quam non una corporis parte definiri voluit, sed eadem totum corpus obsignavit atque a peccato circumcidit, neque unam duntaxat populi partem, puta virilem sexum, sed universam Christianorum gentem reipsa servavit, viris, inquam, et mulieribus signum illud impertiit. Quippe ad regni coelestis adeundam hereditatem cumulate omnibus, non anguste virorum uni generi, illam ipsam notam imponi, velut imbecillam, statuit. Adeoque tam per eam quam per mandata sua egregiamque doctrinam coeleste regnum Christiano toti populo patefecit. Ac si tu domini similis esse, hoc est magistri vis, Ebion, vehementer aberras. Noli enim circumcisione ista similitudinem illius exprimere. Verum agedum a monumento Lazarum arcesse, aut alium quempiam mortuum excitato, aut infectos lepra repurga, caecis visum, nervorum resolutione laborantibus sanitatem, si potes, restitue. Sed deo non potes, quod infidelitate carnisque vinculis ac legis imperfectis ceremoniis illigatus contraria illi omnia facis. Atque ut praestare maxime posses, id quod propter depravatam fidem tuam minime potes assequi, non instar Christi dico; neque enim corruptioni obnoxius atque errore implicatus homuncio conferri cum deo potes, sed neque Christi nomen ad edenda prodigia potes invocare, aut si tamen invocaveris, efficies quicquam. Sed etsi paralytico suscitando aliquid efficeres, idem utique, qui per Iesu nomen exsurgeret, ab

*σύνεσιν παρ' αὐτοῦ λαβεῖν, ἵνα σου μὴ ἀνάσχηται σαββατίζειν, ἀλλὰ διὰ τοῦ ὀνόματος τοῦ ἰασαμένου μαθεῖν ὅτι, Ἆρον τὸν κράββατόν σου, καὶ πορεύου εἰς τὸν οἶκόν σου ἐν σαββάτῳ. Ἤδη δέ μοι εἴρηται ὡς διαφόρως ἕκαστος αὐτῶν περὶ Χριστοῦ ὑποβάλλει, ποτὲ μὲν ὁ αὐτὸς Ἐβίων λέγων ἐκ παρατριβῆς ψιλὸν ἄνθρωπον αὐτὸν γεγενῆσθαι, ἄλλοτε δὲ οἱ ἀπ' αὐτοῦ Ἐβιωναῖοι ἄνω δύναμιν ἐκ θεοῦ κεκτῆσθαι υἱὸν, καὶ τοῦτον κατὰ καιρὸν τὸν Ἀδὰμ ἐνδύεσθαί τε καὶ ἐκδύεσθαι, ὧν τὰς διαφόρους γνώμας ἐν δυνάμει θεοῦ ἀνετρέψαμεν.*

*Καὶ τί μοι ἔτι διατρίβειν ἐν ἀλιμένοις καὶ ἀμπώτεσι τόποις, πῆ μὲν ἐπικλυζομένοις; πῆ δὲ καταξηραινομένοις· ἐξ ὧνπερ ἰχθύων ἐκβράσματα πολλάκις γίνεται, καὶ τοῖς ποσὶ τοῖς τὰς ὄχθας τούτων μετιοῦσι τῶν τόπων, ἐκ τοῦ ἀναμέσον τῶν ἰχθύων τινὰ ἰοβόλα εἶναι, τρυγόνας δέ φημι καὶ [5] δράκαινας καὶ καρχαρίας καὶ σμυραίνας, ὡς ἤδη προείρηται, βλάβην ἐμποιεῖ. Παρελεύσομαι τοίνυν τὸν τόπον αὖθις, θεῷ εὐχαριστῶν, ὅτι καὶ ταύτην τὴν αἵρεσιν εἰς τοὐπίσω ἐτρέψαμεν, οὐ παρέργως, ἀλλὰ καὶ ἐπιμελῶς [6] ἐλέγξαντες. Ἐπ' ἄλλας δὲ καθεξῆς ἑαυτοὺς ἐπιδῶμεν ἀγαπητοὶ, θεὸν αἰτούμενοι βοηθὸν, ὅπως τῆς ἐπαγγελίας τὸ πλήρωμα αὐτὸς δι' ἡμῶν τελειώσῃ.*

pag. 163.

## ΚΑΤΑ ΟΥΑΛΕΝΤΙΝΩΝ,
### τῶν καὶ Γνωστικῶν, τριακοστὴ πρώτη.

Κεφ. α'. *Μετὰ τούτους τοὺς Ἐβιωναίους καλουμένους, ὧν τὴν μοχθηρίαν διοδεύσαντες, [1] ἐπαγγειλάμενοί τε θεοῦ δυνάμει τὰς ἑξῆς ἑτέρων θηρῶν μορφὰς, καὶ ἰοὺς ἑρπετῶν, δήγματά τε καὶ δηλητήρια ἐχούσας, [2] ὡς ἐν ταῖς αὐτῶν διδασκαλίαις ὡς ἀπὸ χάσματος ἰδεῖν [3] ἔνεστι, πυρβόλου ἢ ἑρπετοῦ δεινοῦ καὶ βασιλίσκου κεκινημένας, ἐπὶ τὴν τῶν [4] Οὐαλεντίνων αἵρεσιν διέξειμι, τὸν ἔλεγχον αὐτῶν κατὰ δύναμιν ποιούμενος, τῶν δὴ καὶ Γνωστικῶν ἑαυτοῖς ἐπιθέντων ὄνομα, ὧν διαφοραὶ μέν εἰσι δέκα, ἐν μιᾷ πληγῇ τῆς αὐτῶν ὀνειροπολίας Συζυγιῶν τε καὶ Ὀγδοάδων καὶ [5] ἀρρενοθήλεων Αἰώνων ἀλληνάλλως ἰσορρόπως πεπληγμένων, οὐκέτι μὲν κατὰ χρόνους τάττων διαδοχῆς τὴν σύνταξιν, ἀλλὰ κατὰ [6] πρόβασιν ἀφ' ἑτέρας εἰς ἑτέραν διερχόμενος. Ἐν ἑνὶ γὰρ χρόνῳ οὗτοι πάντες ὡς μύκητες ἐκ γῆς [7] ἀνεβλάστησαν, καὶ ὥσπερ κακόρεκτα καὶ δυσώδη βοτανῶν βλαστήματα καὶ χόρτος ἀκανθώδης, καὶ*

5. δράκαινας *restitui ex cod. Vatic. Cod. Rhedig. et editus uterque habent* δρακαίνας.

6. *Sic codd. Vatic. Rhedig. et ed. Petav.* ἐλέξαντες *ed. princ.*

Cap. I. — 1. τάς τε ἄλλας ἐπαγγειλάμενοι θεοῦ δυνάμει *cod. Venetus.*

2. ὅσαπερ *cod. Ven.*

3. ἔστι *cod. Ven.*

4. *In Anacephalaeosi appellantur* Οὐα-

eo ipso quadam posset sapientiae luce perfundi, ne se tuam ad sabbati observationem accommodaret, ac per eius a quo esset sanatus, nomen hoc disceret: *Tolle grabatum tuum, et vade in domum tuam sabbato.* Ioann. 5, 12. Ceterum hoc a nobis antea commemoratum est, qui ex illa secta sunt, eos varie de Christo sentire. Nam quod ad Ebionem ipsum pertinet, merum illum hominem ex humano concubitu putat esse prognatum. At qui Ebionaei de illo vocati sunt, nescio quam in coelo virtutem divinitus obtinuisse filium, eundemque suo se tempore in Adamum insinuasse, exuisseque postea. Quorum omnium discrepantes sententias divina ope freti hactenus evertimus.

Quamobrem quid ego diutius importuosis illis in locis ac velut aestuariis commoror, quae inundari alias, alias exsiccari solent, ac piscium copiam saepius in litus eiicere? inter quos venenati quidam, cuiusmodi sunt pastinacae, dracaenae caniculae, muraenae, eorum qui ad oram illam ambulant pedes exitiali veneno, uti diximus, infestant. Hunc igitur locum ingentes deo gratias agens praeteribo, quod haec insuper a nobis propulsata sit haeresis, quam non obiter solum, sed summa cum diligentia refellimus. Nunc ad alias transeamus, ac dei praesidium imploremus, ut quod hoc opere suscepimus cumulate per nos ad exitum finemque perducat.

## CONTRA VALENTINOS,
### Gnosticos, quae est haeresis XXXI.

Posteaquam Ebionitarum nequitiam improbitatemque percurrimus, Cap. I. cum ceteras aliorum serpentium formas ac venena tradituros nos esse simus polliciti, quorum et exitiales sunt morsus, ut ex illorum dogmatibus velut rictu quodam apparere potest, et igniti cuiusdam teterrimique anguis aut basilisci instar editi sunt, ad Valentinorum qui se Gnosticos appellant, refutandam haeresin me conferam, quod quidem pro virili parte conabor efficere. Horum itaque decem omnino divortia sunt. Sed omnes tamen uno velut ictu profligatis nescio quibus Parum et Ogdoadum, atque marium et feminarum Aeonum temere confictis somniis aequaliter feriuntur. Neque vero in illorum confutandis erroribus temporum est retinenda successio, sed ab una progredi ad alteram haeresin necesse est; quoniam eodem e terra tempore omnes fungerum instar eruperunt. Atque ut noxia foetidaque quaedam herbarum germina, vel dumis ac

λεντινιανοί.
5. ἀρρενοθηλείων αἰώνων *cod. Ven. Editi habent* ἀρρενοθηλειῶν αἰωνίων.
6. *Ita codd. Venet. et Rhedig. In editis legitur* πρόςβασιν.
7. ἐβλάστησαν *cod. Ven.*

ὡς φωλεὸς πολλῶν σκορπίων, ἐξ ἑνὸς πάντες καιροῦ τῷ βίῳ ἐβλάστησαν, καὶ, ὡς προεῖπον, δίκην μυκήτων [8] τῇ ἀμορφίᾳ ὑπὸ μίαν θίξιν πεφήνασιν, ὡς καὶ [9] τῷ ἁγιωτάτῳ Εἰρηνείῳ ἤδη περὶ αὐτῶν προείρηται. Σύγχρονοι γὰρ γεγόνασιν οὗτοι πάντες· ἕκαστος δὲ ἀπὸ τοῦ ἑτέρου τὴν κακὴν πρόφασιν ἐρανισάμενοι, ἄλλος ἀπὸ ἄλλου ἔτι [10] περισσότερον ἐπιδειξίας βουλόμενος χάριν, ἑαυτῷ προετύπωσε διαφορὰν κακῆς ἐξευρέσεως, καὶ πάντες Γνωστικοὺς ἑαυτοὺς ὠνόμασαν, Οὐαλεντῖνός τε, φημὶ, καὶ οἱ πρὸ αὐτοῦ Γνωστικοὶ, ἀλλὰ καὶ Βασιλείδης, καὶ Σατορνῖλος, καὶ Κολορβασὸς, Πτολεμαῖός τε καὶ Σεκοῦνδος, Καρποκρᾶς, καὶ ἄλλοι πλείους. Ἀλλὰ τὰς πάσας ἐνταῦθα ὀνομάσαντες διὰ τὴν ἐν ἑνὶ καιρῷ [11] σύσχεσιν πάντων τῆς ἀναδύσεως καὶ κακοβλάστου ὁμοῦ [12] τῆς ἑκάστου σπορᾶς κακόνοιαν [13] ἰδίᾳ ἀφηγησόμεθα. Τέως δὲ ἐπὶ τὸν προκείμενον αἱρεσιάρχην καὶ τραγῳδοποιὸν [14] ἐλευσόμεθα· φημὶ δὲ Οὐαλεντῖνον, καὶ τὴν αὐτοῦ διδασκαλίαν, τὴν ἀπὸ
pag. 184. τῆς μεγάλης ταύτης [15] Γνωστικῆς ἐπαγγελίας ὑπάρχουσαν, καταγνωστικῆς δὲ λῃρῳδίας, ὡς τοῖς συνετοῖς καταγινωσκομένη εὑρίσκεται καὶ καταγέλαστος.

Κεφ. β'. Οὐαλεντῖνος μὲν οὖν οὗτος [1] τῷ χρόνῳ διαδέχεται τοὺς πρὸ αὐτοῦ προτεταγμένους Βασιλείδην τε καὶ Σατορνῖλον, Ἐβίωνά τε καὶ [2] Κήρινθον καὶ Μήρινθον, καὶ τοὺς ἀμφ' αὐτούς. Οὗτοι γὰρ πάντες ἐν ἑνὶ καιρῷ τῷ βίῳ κακῶς ἐφύησαν, ὀλίγῳ δὲ πρόσθεν μᾶλλον οἱ περὶ Κήρινθον καὶ Μήρινθον καὶ Ἐβίωνα· ἅμα γὰρ τοῖς ἤδη μοι πρὸ αὐτῶν δεδηλωμένοις [3] ἀνεφύησαν. Τὸν μὲν οὖν αὐτοῦ πατρίδα, ἢ πόθεν οὗτος γεγέννηται, οἱ πολλοὶ ἀγνοοῦσιν· οὐ γάρ [4] τινι τῶν συγγραφέων μεμέληται τούτου δεῖξαι τὸν τόπον. Εἰς ἡμᾶς δὲ ὡς [5] ἐνηχήσει τις ἐλήλυθε φήμη, διὸ οὐ παρελευσόμεθα, καὶ τὸν [6] τόπον τούτου μὴ ὑποδεικνῦντες, ἐν ἀμφιλέκτῳ μὲν [7] εἰ δεῖ [8] τὰ ἀληθῆ λέγειν, ὅμως τὴν εἰς ἡμᾶς ἐλθοῦσαν φάσιν οὐ σιωπήσομεν. Ἔφασαν γὰρ αὐτόν [9] τινες γεγενῆσθαι [10] Φρεβωνίτην τῆς Αἰγύπτου παραλιώτην, ἐν Ἀλεξανδρείᾳ δὲ πεπαιδεῦσθαι τὴν τῶν Ἑλλήνων παιδείαν. [11] Ὅθεν καὶ τὸ μίμημα τῆς κατὰ τὸν Ἡσίοδον Θεογονίας τῶν παρ' αὐτῷ τῷ Ἡσιόδῳ τριάκοντα θεῶν λεγομένων καὶ αὐτὸς τὴν ἐθνόμυθον ποίησιν εἰς τὸν ἑαυτοῦ νοῦν λαβὼν, καὶ ἀπὸ τῶν σὺν αὐτῷ καὶ πρὸ αὐτοῦ

8. ἀμορφίας cod. *Ven.*
9. ἤδη τῷ ἁγ. Εἰρηναίῳ προείρηται cod. *Ven.*
10. περισσότερος βουλόμενος ἐπιδειξίας χάριν cod. *Ven.*
11. σχέσιν cod. *Ven.*
12. τῆς cod. *Ven.* τὴν cod. *Rhedig. et editi libri.*
13. ἰδίαν cod. *Vatic.*
14. ἐλεύσομαι cod. *Ven.*
15. *Ita cod. Ven. Vulgo extat* γνωστικὴν.

sentibus obsitum gramen, vel denique uti plures ex eodem cavo scorpii, ita illi omnes eodem tempore in hanc vitam effloruerunt, ac, quod paulo ante dictum est, tanquam fungi inusitata quadam foeditate eodem momento universi proruperunt, quemadmodum de illis olim Irenaeus praeclara vir sanctitate pronunciavit. Aequales enim illi omnes extiterunt, sic, ut quilibet pessimam ab altero disciplinam ac dogma mutuatus fuerit, alius, inquam, velut exortus ab altero, quo se amplius ostentaret, scelestissimi commenti discrepantem quandam formam ac rationem excogitarit. Qui se omnes Gnosticos communi appellatione dici voluerunt. Cuiusmodi Valentinus fuit, et qui illum Gnostici praecesserunt. Itemque Basilides, ac Saturnilus, et Colorbasus, ac Ptolemaeus, et Secundus, Carpocrates, aliique complures. Quibus omnibus sectis, quod eodem prodiere tempore, simul recensitis, nunc cuiusque velut satus labem ac perniciem singillatim exponam. Sed ipsum imprimis haereseos caput ac tragoediae auctorem aggrediar, Valentinum intelligo, Valentinianaque dogmata, quae ab speciosa illa Gnosticorum professione prodierunt, quas Catagnosticas potius nugas, hoc est damnatas, appellare licet, uti pridem sapientes eas condemnarunt, ac ludibrio dignas habuerunt.

Igitur Valentinus iste prioribus illis a me antea commemoratis tempore est posterior, Basilide nimirum ac Saturnilo, Ebione, Cerintho ac Merintho, eorumque sociis. Siquidem omnes uno tempore ad humani generis exitium profusi sunt; quamquam Cerinthus ac Merinthus et Ebion paululum antegressi sunt, ac cum iis quos ante illos percensui prodire coeperunt. Valentini porro patriam ac stirpem plerique nesciunt. Non enim locum ipsum, unde oriundus esset, scriptorum ullus expressit. Verum ad nos auditione sola quaedam eius rei fama pervenit; quam quidem praetereundam, patriamque omnino dissimulandam non arbitror, tametsi veritas in ambiguo posita videtur. Nos quicquid accepimus ea de re proferemus. Sunt qui Phreboniten illum faciant ex Aegypti quadam ora, unde Alexandriam profectus sit, ibique Graecorum artibus institutus. A quibus et Hesiodiae Theogoniae ac XXX illorum deorum, quos ibidem ille recensuit, ac gentilium fabularum in animo suo exemplum Cap. II.

Cap. II. — 1. οὐ τῷ *cod. Ven.*
2. κίρινθον καὶ τοὺς *cod. Ven.* Κήρινθον τὸν καὶ Μήρινθον καὶ τοὺς *cod. Vatic.*
3. ἐνεφύησαν *cod. Ven.*
4. τινι ῥάδιον τῶν *cod. Ven.*
5. ἐνενηχήσει φήμη τις ἐλήλυθεν *cod. Ven.*
6. τούτου τόπον *cod. Ven.*
7. εἰ δεῖ *cod. Ven.* ἤδη *reliqui libri.*
8. τὴν ἀληθῆ *cod. Vatic. Olim putabam reponendum* ἐν ἀμφιλέκτῳ ἤδη τὸ ἀληθῆ λέγειν.
9. τινα *ed. princ.*
10. Φαρβαιθίτην *corrigit Petavius. Cf. Cotelerius ad Eccl. Gr. Monum. tom. I. p.* 467.
11. ὅμως *cod. Ven.*

*τῆς ἀληθείας ἐκπεπτωκότων τὴν ὑπόνοιαν κτησάμενος, καὶ αὐτὸς τὰ ἴσα τῷ Ἡσιόδῳ ἀπὸ ἑτέρων ὀνομάτων εἰς ἕτερα μεταποιήσας, ἠθέλησε φαντάσαι τὸν κόσμον. Τριάκοντα γὰρ καὶ οὗτος θεοὺς* [12] *καὶ Αἰῶνας, καὶ Οὐρανοὺς βούλεται* [13] *παρεισάγειν, ὧν ὁ μὲν πρῶτός ἐστι Βυθὸς, ὡς καὶ αὐτὸς ἔφη ἀφραίνων τῇ διανοίᾳ· ὁποῖα ἀμέλει καὶ ὁ αὐτοῦ προβολεὺς τῆς ἐννοίας Ἡσίοδος Χάος πρώτιστα θεῶν ἔφη. Χάος δὲ καὶ Βυθὸς τίνι οὐκ ἂν* [14] *σαφὲς εἴη ὡς τὸ ὁμώνυμον κέκτηται; ὅρα δὲ τὴν τοῦ ἀγύρτου τετραγῳδημένην μυθοποιΐαν καὶ μοχθηρὰν διδασκαλίαν. Τριάκοντα γὰρ οὗτος, ὡς ἔφην, Αἰῶνας βούλεται παριστᾶν, οὓς καὶ θεοὺς ὀνομάζει, δεκαπέντε ἄρρενας καὶ θηλείας τοσαύτας εἶναι λέγων. Ἕκαστον δὲ Αἰῶνα ἀρρενόθηλυν καὶ ζεῦγός φησιν αὐτὸς καὶ οἱ αὐτοῦ. Δεκαπέντε δὲ δυάδας φασὶν εἶναι, ἃς συζυγίας καλοῦσι, τὸν ἀριθμὸν δὲ εἶναι τριάκοντα Αἰῶνας, ἑκάστην δὲ θήλειαν γεννᾶν ἀπὸ τοῦ ἄρρενος τοὺς καθεξῆς Αἰῶνας, εἶναι δὲ τούτους ὡς ὑποτέτακται κατὰ ἀντιπαράθεσιν ἑκάστου ἀρρενικοῦ ὀνόματος τεταγμένου ἄντικρυς τοῦ θηλυκοῦ ὀνόματος· καὶ ἔστιν, Ἀμψιοῦ, Αὐραάν.* [15] *Βουκούα,* [16] *Θαρδουοῦ.* [17] *Οὐβουκούα, Θαρδεαδείη. Μερεξᾶ,* [18] *Ἀταρβαρβᾶ. Οὐδοῦα, Κέστην. Οὐδοῦ, Οὐάκ. Ἐσλὴν, Ἀμφαίν. Ἐσσουμὲν,* [19] *Οὐανανίν.* [20] *Λάμερ, Τάρδε. Ἀθαμὲς,* [21] *Σουσίν. Ἀλωρᾶ, Βουκιαθά.* [22] *Δαναδδαρία, Ἀλλωρᾶ.* [23] *Δαμμῶ, Ὠρίην.* [24] *Λαναφὲχ, Αὐδαμφέχ.* [25] *Ἐμφιβοχὲ, Βαύθ. Ἀσσιουαχὲ, Βελίμ. Δεξαριχὲ,* [26] *Μασεμῶ. Καὶ οὕτως* [27] *μὲν σύγκεινται ὡς κατὰ συζυγίαν* [28] *ἀρρενοθήλεως. Ἐν δὲ τῇ ἀκολουθίᾳ κατὰ διαδοχὴν οὕτως·* [29] *Ἀμψιοῦ, Αὐραὰν,* [30] *Βουκοῦα, Θαρδουοῦ,* [31] *Οὐβουκοῦα, Θαρδεαδείη,* [32] *Μερεξὰ, Αὐταρβαρβᾶ, Οὐδοῦα, Κέστην, Οὐδουοῦα, Ἐσλὴμ,* [33] *Ἀμφαὶν, Ἐσσουμὲν,* [34] *Οὐανανὶν, Λαμερτάδε,* [35] *Ἀθαμεσσουμὶν, Ἀλλωρὰ, Κουβιαθὰ,* [36] *Θαμωδὰν,* [37] *Σαδδαρίας, Ὠρὴν,* [38] *Λαναφεκουδαφὲχ, Ἐμφιβοχὲ, Βαρὰ,* [39] *Ἀσιουχαβὲ, Βελὶμ, Δεξαριχὲ,* [40] *Μασεμών. Αἱ τῶν ὀνομάτων ἑρμηνεῖαί εἰσιν αἵδε·* [41] *Βυθὸς, Σιγὴ, Νοῦς καὶ Ἀλήθεια, Λόγος καὶ Ζωὴ, Ἄνθρωπος καὶ Ἐκκλησία, Παράκλητος καὶ Πίστις, Πατρικὸς καὶ Ἐλπὶς, Μητρικὸς καὶ Ἀγάπη, Ἀείνους καὶ Σύνεσις, Θελητὸς, ὁ καὶ Φῶς, καὶ Μακαριό-*

pag. 165. (margin, at "τους ὡς ὑποτέτακται")

12. καὶ Αἰῶνας *Petavius adiecit ex cod. Vatic.; desideratur enim in ed. princ., itemque in cod. Rhedig.*

13. παρεισάγειν *codd. Vatic. Venet. Rhedig. et ed. Petav.* προςάγειν *ed. princ.*

14. σαφῆ ἢ τὸ ὁμώνυμον κεκτημένῳ *cod. Ven.*

15. βουκούα *codd. Venet. Vatic., edit. Petav.* μουκούα *cod. Rhedig. et ed. princ.*

16. Θαρθουοῦ *edit. princ.*

17. ουβου. κουα. Θαρδεαδιη *cod. Venet.*

18. ἀταρβαρβᾶ *codd. Ven. Vatic. Rhedig. et ed. princ.* Ἀταρβαβᾶ *edit. Petav.*

19. οὐανανὶν *codd. Ven. Vatic. Rhedig., ed. princ.* Οὐαναυῒν *edit. Petav.*

20. λαμερταδε. ἀθαμές *cod. Ven.*

21. σουειν *cod. Venet.*

22. δαναδάρια *cod. Venet.*

23. δαδμω *cod. Venet.*

24. λανα. φεχ. οὐ δαμαφεχ *cod. Ven.* λαναφέχ αὐδαφέχ *cod. Rhedig.*

25. νεφιβοχε. βαυδασσιουχε βελειμ *cod. Venet.* Ἐμφιβοχε — βαύδ. Ἀσσιουαχε, Βελίμ *reliqui libri.*

informavit. Tum ab iis, qui vel suo tempore vel ante se a veritate recesserant, mutuatus errorem, eadem cum Hesiodo mutatis duntaxat nominibus excogitata ad circumveniendum humanum genus invexit. Etenim deos ille XXX et Aeonas, coelestesque totidem orbes constituit. Quorum primus est Bythus, ut huic insano videtur; quemadmodum etiam auctor eius opinionis ac conditor Hesiodus prius omnibus diis Chaos esse dixit. Atqui Chaos et Bython idem omnino significare nemo est qui nesciat. Sed circumforanei nebulonis tragice decantatam fabulam ac nefariam doctrinam considera. Triginta enim, ut est dictum, Aeones statuit, quos etiam deos appellat, quindecim mares totidemque feminas. Sed Aeonem quemlibet par maris ac feminae tam ipse quam eius discipuli vocant; ut binarii sint XV, quas Syzygias, hoc est duorum collegia nominant. Hinc Aeones XXX numero consurgunt, quorum femina quaelibet e mare suo consequentes Aeones progenerat. Quorum omnium nomina subiecimus; eaque sunt eiusmodi ut unicuique maris appellationi suum feminae nomen ex adverso respondeat: Ampsiu, Auraan. Bucua, Tharduu. Ubucua, Thardeadie. Merexa, Atarbaba. Udua, Cesten. Udu, Uac. Eslen, Amphain.. Essumen, Uanauin. Lamer, Tarde. Athames, Susin. Alora, Buciatha. Danaddaria, Allora. Dammo, Oren. Lanaphech, Audamphech. Emphibochebaud. Assiovache, Belim. Dexariche, Masemo. Hic illorum ordo est, dum per marium feminarumque coniugia recensentur. Alioquin haec illorum secundum successionem series est: Ampsiu, Auraan, Bucua, Tharduu, Ubucua, Thardeadie, Merexa, Autarbarba, Udua, Cesten, Udua, Eslen, Amphaim, Essumen, Uanauin, Lamertade, Athamessumin, Allora, Cubiatha, Thamodan, Saddarias, Oren, Lanaphecudaphech, Emphiboche, Bara, Asi, Uchabe, Belin, Dexariche, Masemon. Quorum haec est interpretatio, Bythos, Sige. Nus et Veritas. Logos, Vita. Homo, Ecclesia. Paracletus, Fides. Paternus, Spes. Maternus, Charitas. Ainus, Synesis. The-

26. μασεῖν *cod. Ven.*

27. ἐνσύγκεινται *cod. Venet.*

28. ἀῤῥενοθήλεος *ed. princ. Cf. infra cap.* 3.

29. ἀμψίου *cod. Vatic.*

30. βουχουά *cod. Vatic.*

31. ου βου χουα. δαρθεαδη *cod. Ven.*

32. μερεξᾶ *cod. Rhedig.*

33. ἀμφαίν *codd. Ven. Vatic.* Ἀμφαὶμ *reliqui.*

34. Οὐαναυῒν *ed. Petav.*

35. ἀθαμεσσουμην *cod. Ven.* ἀθαμεσσουμεν *cod. Rhedig.*

36. θαμωδὰν *codd. Venet. Rhedig. et edit. pr.* δαμωδὰν *cod. Vatic. et edit. Petav.*

37. μαδδαρίαν. ὡρήν *cod. Vatic.* βαδδαραν. ὡρην. *cod. Venet.*

38. λαναχουδαφέχ *cod. Rhedig.* λανα. φεχ. οὐ βαβφέχ *cod. Ven.*

39. ἀσιουχαβὲ *cod. Vatic.* ἀσιουσχε *cod. Ven.* ἀσί. ουχαβὲ *editi libri, et cod. Rhedig.*

40. μασημῶν *cod. Rhedig.*

41. Βυθὸς καὶ Σιγὴ *vult Petavius. Recte.*

της, Ἐκκλησιαστικὸς καὶ Σοφία, Βύθιος καὶ Μῖξις, Ἀγήρατος καὶ Ἕνωσις, Αὐτοφυὴς καὶ Σύγκρασις, Μονογενὴς καὶ Ἑνότης, Ἀκίνητος καὶ Ἡδονή. Κατὰ δὲ ἀριθμὸν διαδοχῆς καὶ ἀκολουθίας ἀπὸ τοῦ ἀνωτάτω ἀκατονομάστου Πατρὸς, καὶ Βυθοῦ παρ' αὐτοῖς ὀνομαζομένου, ἕως τούτου τοῦ καθ' ἡμᾶς οὐρανοῦ ὁ τῶν τριάκοντα ἀριθμὸς οὕτως ἔχει· Βυθὸς, Σιγὴ, Νοῦς, Ἀλήθεια, Λόγος, Ζωὴ, Ἄνθρωπος, Ἐκκλησία, Παράκλητος, Πίστις, Πατρικὸς, Ἐλπὶς, Μητρικὸς, Ἀγάπη, Ἀείνους, Σύνεσις, Θελητὸς, ὁ καὶ Φῶς, Μακαριότης, Ἐκκλησιαστικὸς, Σοφία, Βύθιος, Μῖξις, Ἀγήρατος, Ἕνωσις, Αὐτοφυὴς, Σύγκρασις, Μονογενὴς, Ἑνότης, Ἀκίνητος, Ἡδονή.

Κεφ. γ΄. Καὶ αὕτη μὲν ἡ τῶν τριάκοντα Αἰώνων παρ' αὐτοῖς μυθοποιουμένη τραγῳδία, καὶ ἡ κατὰ συζυγίαν πνευματικοῦ δῆθεν πληρώματος κενοφωνία, ἣν ἐάν τις συγκρίνων τῇ παρὰ Ἡσιόδῳ καὶ Στησιχόρῳ καὶ τοῖς ἄλλοις ποιηταῖς τῶν Ἑλλήνων παράθηται, εὕροι ἂν ἐκ παραλλήλου τὰ αὐτὰ ὄντα, καὶ οὐδὲν ἕτερον, καὶ ἐκ τούτου γνώσεται ὡς οὐδὲν [1] ἕτερον θαυμαστὸν οἱ τῶν [2] δογμάτων αἱρεσιάρχαι μυστηριωδῶς ἐπαγγέλλονται λέγειν. (pag. 168.) Οὐδὲν γὰρ ἄλλο ἢ Ἑλλήνων [3] ἀπεμάξαντο τὴν ἐπίπλαστον ποιητικὴν ἕξιν τῆς ἐθνομύθου πλάνης καὶ διδασκαλίας, οὐδὲν ἀλλοιώσαντες πλὴν τῆς παρ' αὐτοῖς [4] παραπεποιημένης βαρβαρικῆς ὀνοματοποιΐας. Οὕτω γάρ φασι καὶ οἱ περὶ Ἡσίοδον· πρῶτον πάντων γίνεται Χάος, ἵνα εἴπωσι Βυθὸν, εἶτα Νὺξ, Ἔρεβος, Γῆ, Αἰθὴρ, Ἡμέρα, Ἔρως, Μῆτις, Μόρος, Ὀϊζὺς, Πότμος, Νέμεσις, Μῶμος, Φιλότης, Θάνατος, Δυσνομία, Γῆρως, Ἄτη, Ἵμερος, Λήθη, Ὕπνος, Ὑσμίνη, Λυσιμελὴς, Ὕβρις, Εὐφρόνιος, Αἴγλη, Παυσιμέριμνος, Ἀπάτη, [5] Ἡδυμελὴς, Ἔρις. [6] Καὶ οὗτος μὲν ὁ ἀριθμὸς κατὰ ἀκολουθίαν ἀρρενοθήλεος οὕτως ἔχει τὴν τριακοντάδα. Εἰ δέ τις θελήσειεν ἰδεῖν πῶς πλαττόμενοι οὗτοι συνάπτουσιν ἓν πρὸς τὸ ἓν, εὕροι ἂν οὕτως συναπτόμενα καὶ συνεζευγμένα ἀλλήλοις ἃ τοῖς ποιηταῖς ἔδοξεν, ὡς τὸν μὲν Βυθὸν Νυκτί τε καὶ Σιγῇ συνάψαντες ἐποίησαν Γῆν γεννᾶσθαι, ἄλλοι δὲ Οὐρανὸν, ὃν [7] δὴ καὶ Ὑπερίονα κεκλήκασι. Τὸν δὲ αὐτὸν τῇ Γῇ συναφθέντα φασὶ γεγεννηκέναι ἄρσενάς τε καὶ θηλείας, καὶ τοὺς καθεξῆς ὁμοίως, ἕως τῆς πάσης αὐτῶν ποιήσεως, [8] ὡς ἔχει ἡ ἀπέραντος τοῦ Βυθοῦ ληρώδης φλυαρία. Εὕροι δ' ἂν οὕτως συναπτόμενά τε καὶ συζευγνύμενα, καὶ δυνάμενα οὕτω συντίθεσθαι· Χάος, Νὺξ, Ἔρεβος, Γῆ, Αἰθὴρ, Ἡμέρα, Ἔρως, Μῆτις, Μόρος, Ὀϊζὺς, Πότμος, Νέμεσις, Μῶ-

CAP. III. — 1. ἕτερον *non habent codd. Venet. Vatic.*

2. δογμάτων *cod. Ven.* θαυμάτων *reliqui libri.*

3. ἀπεδέξαντο *cod. Venet. Retinui vulgatam scripturam. Cf. haer.* 30, 2. 69, 69., *ubi etiam hoc verbo utitur.*

4. μεταπεποιημένης *cod. Venet.*

5. Ἡδυμελλὶς *vulgo extat.*

6. καὶ οὗτος μὲν ὁ ἀριθμὸς *codd. Ven.*

letus, quod et lumen dicitur, Beatitudo. Ecclesiasticus, Sapientia. Bythius, Myxis. Ageratus, Unio. Autophyes, Temperatio. Unigena, Unitas. Immobilis, Voluptas.

Quod si successionis ordine numerare velis, a supremo illo nec effabili Patre, quem Bython nominant, ad citimum usque coelum tricenarius numerus hoc modo colligitur: Bythus, Sige, Nus, Veritas, Logos, Vita, Homo, Ecclesiae, Paracletus, Fides, Paternus, Spes, Maternus, Charitas, Ainus, Synesis, Theletus sive Lumen, Beatitudo, Ecclesiasticus, Sapientia, Bythius, Mistio, Ageratus, Unio, Autophyes, Temperatio, Unigena, Unitas, Immobilis, Voluptas.

Eiusmodi est celebris illa triginta Aeonum fabula, inanissimaque spiritalis, ut vocant, complementi coniugia. Quae si quis cum Hesiodi, Stesichori aliorumque Graecorum poetarum fabulis conferat, eadem cum illis penitus esse, neque ulla in re discrepare comperiet, indidemque cognoscet nihil aliud esse admiratione dignum quod isti mirificarum haereseon conditores velut arcana quaedam ac mysteria penes se esse profitentur. Nihil enim aliud nisi Graecorum poeticas nugas ac gentilium deliria et inanem scientiam expresserunt, neque quicquam praeter voces innovarunt, quas illi barbaris appellationibus perperam detorserunt. Ita enim vel ipse philosophatur Hesiodus. Primum omnium Chaos extitisse, pro quo illi Profundum substituunt. Secuta est Nox, Erebus, Terra, Aether, Dies, Amor, Consilium, Fatum, Aerumna, Casus, Nemesis, Momus, Amicitia, Mors, Licentia, Senectus, Ate, Desiderium, Oblivio, Somnus, Pugna, Lysimeles, Contumelia, Euphronios, Aegle, Curarum solatium, Fraus, Hedymeles, Lis. Hic ille numerus est qui marium feminarumque continuata serie tricenarium efficit. Quod si quis animadvertere velit quemadmodum isti uniuscuiusque cum altero copulationem instituant, ita composita comparataque inter se illa cognoscet quemadmodum a poetis constitutum legimus. Velut cum ex Bythi cum Nocte ac Silentio coniunctione procreatam esse Terram affirmant, vel, ut alii, Coelum, quem et Hyperionem vocant. Eundemque cum terra copulatum mares feminasque genuisse, atque ita per totam fabulam omnibus accidisse reliquis; cuiusmodi plane est nugatoria illa Bythi atque inextricabilis historia. Possunt vero hunc in modum fere illa inter sese per coniugia copulari: Chaos, Nox, Erebus, Terra, Aether, Dies, Nox, Consilium, Fatum, Aerumna, Casus, Nemesis, Momus, Concubitus, Mors, Licentia, Cap. III.

*et Rhedig.* καὶ οὗτος ὁ μὲν ἀριθμὸς *ed. princ.* καὶ οὕτως ὁ μὲν ἀριθμὸς *ed. Petav.*

7. ἤδη *cod. Ven.*

8. ἔχει δὴ οἷαπερ ἡ ἀπέραντος *cod. Ven.*

*μος, Φιλότης, Θάνατος, Δυςνομία, Γῆρως, Ἄτη, Ἵμερος, Λήθη, Ὕπνος, Ὑσμίνη, Λυσιμελὴς, Ὕβρις, Εὐφρόνιος, Αἴγλη, Παυσιμέριμνος, Ἀπάτη, Ἡδυμελὴς, Ἔρις. Εἰ δὲ προςέχοι τις τῷ αὐτῶν πλάσματι, καὶ βουληθείη γνῶναι ὡς ἀπὸ τῶν κοσμικῶν καὶ Ἑλληνικῶν* [9] *ποιητῶν, ἐξ ὧν οὗτοι ἐνεβροντήθησαν, μάτην ἐνθουσιῶντες ἃ μὴ δεῖ, εἰς ματαιοπονίαν τε καὶ κάματον ἀνωφελῆ, εὕροι ἂν αὐτοὺς τοσούτῳ μᾶλλον πεπλανημένους.*

Κεφ. δ'. *Ὅθεν καὶ ἔτι ὑψηλοτέρως* [1] *ἐξερευνῶντες δῆθεν ᾠήθησαν καὶ Ὑστέρημα τῷ ἰδίῳ αὐτῶν δαιμονισθέντι διανοήματι ἐξευρεῖν, ὅπερ Ὑστέρημα, καὶ Παντοκράτορα καὶ Δημιουργὸν καλοῦσι, καὶ Κτίστην οὐσιῶν, ἀφ' οὗπερ πάλιν καὶ ὑστέραν Ὀγδοάδα μετὰ ἑπτὰ Οὐρανοὺς*
pag. 167. [2] *κατὰ τὴν πρώτην Ὀγδοάδα* [3] *ἀφομοιωθεῖσαν ἐκτίσθαι λέγουσιν, αὐτοῦ ὄντος ἐν τῇ Ὀγδοάδι, καὶ ἑπτὰ Οὐρανοὺς μετ' αὐτὸν πεποιηκότος. Ὥςπερ Ὑστερήματι βούλονται συνάπτειν μὲν ἀμιγῆ τινα Αἰῶνα καὶ* [4] *ἀθήλυντον,* [5] *εἰς πλήρωμα δὲ ἐνταῦθα ἐλθόντα, καὶ ἀναζήτησιν τῆς ψυχῆς τῆς ἄνωθεν ἀπὸ τῆς* [6] *Μητρικῆς Σοφίας ἐλθούσης. Ἤδη καὶ* [7] *Ἀχαμὼθ βούλονται τὸ ὄνομα* [8] *ἀνατυποῦν τε καὶ πλάττειν, ὃν δὴ καὶ Σωτῆρα καλεῖ, καὶ Ὅρον, καὶ Σταυρὸν, καὶ Ὁροθέτην, καὶ Μεταγωγέα, καὶ Ἰησοῦν τὸν διὰ Μαρίας ὡς διὰ σωλῆνος παρελθόντα. Εἶναι δὲ αὐτὸν φῶς ἀπὸ τοῦ ἄνω* [9] *Χριστοῦ, καὶ διὰ τοῦτο πατρωνυμικῶς καλεῖσθαι Φῶς διὰ τὸ ἄνω Φῶς, καὶ Χριστὸν διὰ τὸν ἄνω Χριστὸν, καὶ Λόγον διὰ τὸν ἄνω Λόγον, καὶ Νοῦν ὡςαύτως Σωτῆρα λέγεσθαι· ἀεὶ δὲ ὑπερβαίνειν τὸν αὐτοῦ πατέρα, τὸν Δημιουργὸν, συναναφέρειν δὲ τοὺς αὐτῷ πειθομένους ἅμα αὐτῷ πρὸς τὰς ἄνω συζυγίας τοῦ πληρώματος. Καὶ* [10] *ὢ τῆς τούτων ληρωδίας καὶ τοσαύτης ματαιολογίας. Παραθήσομαι δὲ, ὡς προεῖπον, καὶ ὡς αὐτοὶ συνέζευξαν τοῖς ποιητικοῖς καὶ ἐθνομύθοις πλάσμασι τὴν αὐτῶν ληρολογίαν. Μετὰ τὴν τριακοντάδα* [11] *δὲ ἓν ὄνομα* [12] *μέσον καὶ ἀθήλυντον, καὶ μετ' αὐτὸν τὴν κατὰ συζυγίαν πάλιν ὀγδοάδα εὑρεθεῖσαν ἀπὸ τοῦ δημιουργοῦ* [13] *πάλιν δυναμένην καὶ οὕτω συντίθεσθαι. Καὶ ἔστι τὰ ὀνόματα τάδε· πρῶτος Ἐξέπαφος, Πορφυρίων, Κλωθὼ, Ῥύακος, Λάχεσις, Ἐπιφάων, Ἄτροπος, Ὑπερίων, Ἀστεροπή. Καὶ αὕτη μὲν ἡ τῶν ποιητῶν τούτων σκηνὴ, ἔχουσα καὶ ἄλλας* [14] *πολλὰς ὀνομασίας θεῶν παρ' αὐτοῖς ὀνομαζομένων ἀῤῥένων τε καὶ θηλειῶν, ἄλλως καὶ ἄλλως παρά τισι λεγομένων, δυναμένων ποιῆσαι καὶ τριακοσίων*

9. ποιητῶν *codd. Ven. et Vatic.* ποιήσεων *cod. Rhedig. et editi libri.*

Cap. IV. — 1. δῆθεν ἐξερευνῶντες *cod. Ven.*

2. κατὰ *codd. Ven. Vatic.* καλοῦσι κατὰ *cod. Rhedig. et editi libri.*

3. *Ita Vaticanus liber.* ἀφομοιώσας ἐκτίθεσθαι λέγουσιν *cod. Venet.* ἀφομοιωθεῖσαν ἐκτίσθαι *cod. Rhedig. et editi libri.*

4. θηλυντὸν *cod. Venet.*

5. ἀπὸ πληρώματος δὲ ἐντ. ἐλθόντα κατ' ἀναζήτησιν *coniecit Petavius.*

6. μητρὸς *cod. Vatic.*

7. ἀχαμμὼθ *cod. Vatic.* ἀχαβὼθ *ed. princ.*

8. ἀνατυποῦν τε καὶ *scripsi de auctori-*

Senectus, Ate, Desiderium, Oblivio, Somnus, Pugna, Lysimeles, Contumelia, Euphronios, Splendor, Curarum solatium, Fraus, Hedymeles, Lis. Ac quicumque ad illas fabulas animum adiecerit, ac cognoscere istud voluerit; quemadmodum ab exteris ac Graecanicis commentis, unde illi frustra fanatico velut furore ad indigna quaedam incitati sunt, in irritos conatus vanissimamque animi contentionem inciderint, longe eos Graecis ipsis turpius aberrasse reperiet.

Ab iis primordiis altius indagando sublati aliud quoddam genus Cap. IV. quod Hysterema, hoc est Defectum vel Penuriam, vocant, furiosis suis ingeniis invenisse se putaverunt. Hunc Defectum alias Omnipotentem atque Opificem vocant, naturarumque Conditorem a quo et posteriorem Ogdoadem post septenos orbes coeli ad prioris Ogdoadis exemplar effictam asserunt; cum in Ogdoade censeatur ipse, ac septem post se alios orbes produxerit. Eidem Hysteremati sincerum nescio quem Aeonem, ac deterioris sexus expertem conantur adiungere qui eo ad complementum venerit, ut Animam requireret, quae a Materna Sapientia ex alto descenderat. Iam vero etiam Achamoth ficto nomine commenti sunt, quem et Salvatorem, et Terminum, et Crucem, et Finitorem, et Transductorem, et Iesum appellant, qui per Mariam velut tubum fistulamque permearit. Hunc esse lumen a superiore Christo diffusum, ob idque patrio nomine Lumen ob illud coeleste nominari, ac de superiore Christo Verboque Christum itidem et Verbum, sed et Mentem praeterea ac Salvatorem vocari. Eundem porro Parentem suum, hoc est Conditorem transcendere, ac qui sibi fidem habeant ad suprema illa Pleromatis collegia secum evehere. O nugas anilesque fabulas! Ego vero nihilominus ea, uti sum pollicitus, exponam, utque ipsi ad poetarum ac gentilium commenta deliria sua propius accommodarint. Praeter haec, secundum Tricenarium illum, medium unicum nomen ac sine feminae consortio solitarium excogitarunt; tum aliam rursum a Conditore productam ac perinde in paria digestam Ogdoadem. Cuius haec sunt vocabula: Exepaphus, Porphyrio, Clotho, Rhuacos, Lachesis, Epiphaon, Atropos, Hyperion, Asterope. Eiusmodi poetarum istorum est scena, quae et alias quamplurimas deorum, ut vocant, appellationes continet, marium ac feminarum, quae aliter ab aliis conceptae ad CCCLXV perveniunt. Quinctiam ad

*tate cod. Veneti. Vulgo enim extat* ἀνατυποῦντες καὶ.

9. κυρίου *cod. Ven.*

10. ὦ *non habet cod. Ven.*

11. *Ita cod. Venet. Vulgo enim extat* δὲ τὸ ἕν.

12. μέσον καὶ ἀθήλυντον *non habet cod. Ven.*

13. *Hoc alterum* πάλιν *non agnoscit cod. Venet.*

14. πολλὰς *om. cod. Ven.*

ἑξηκονταπέντε ἀριθμὸν, καὶ ἔτι εἰς πρόφασιν τῶν ἄλλων αἱρέσεων, τῶν ταύτην πάλιν τὴν τραγικὴν ὑπόθεσιν ἐνστησαμένων, ὀνειρωττόντων. Μετὰ γὰρ τὰ προειρημένα ὀνόματά φασιν οἱ περὶ Ἡσίοδον καὶ Ὀρφέα καὶ Στησίχορον γεγεννῆσθαι Οὐρανόν τε καὶ Τάρταρον, Κρόνον τε καὶ Ῥέαν, Δία τε καὶ Ἥραν, καὶ Ἀπόλλωνα, [15] Ποσειδῶνά τε καὶ Πλούτωνα, καὶ μυρίους λοιπὸν τοὺς παρ' αὐτοῖς ὀνομαζομένους· πολλὴ γὰρ τούτων ἡ [16] ἀπατηλὸς ἐξ ὑπονοίας πλάνη, ἥτις κενοφωνίαν ἐγκισσήσασα καὶ ἐξευραμένη πολλοὺς μύθους ἐποιητεύσατο.
pag. 168. Καὶ αὕτη ἐστὶν ἡ δοκοῦσα φαντάζειν τὴν τῶν [17] ἀπατωμένων τούτων διάνοιαν. [18] Γελοῖα δὲ εὐθὺς πᾶσιν εὑρίσκεται ταῦτα τοῖς κατὰ Θεὸν τὸν νοῦν πεφωτισμένοις. Παρελθὼν δὲ ταῦτα αὖθις ταῖς ἀπὸ τῶν [19] βιβλίων αὐτῶν ἀκολουθίαις πρὸς ἔπος καὶ κατὰ λέξιν τὴν παράθεσιν τῆς [20] παρ' αὐτοῖς ἀναγνώσεως, λέγω δὴ τῆς αὐτῶν βίβλου, ἐνταῦθα ποιήσομαι, καὶ ἔστι.

Κεφ. ε'. Τάδε παρὰ φρονίμοις· παρὰ δὲ ψυχικοῖς, [1] παρὰ δὲ σαρκικοῖς, παρὰ δὲ κοσμικοῖς, παρὰ δὲ τῷ Μεγέθει, Νοῦς [2] ἀκατάργητος τοῖς ἀκαταργήτοις χαίρειν. Ἀνονομάστων ἐγὼ καὶ ἀρρήτων καὶ [3] ὑπερουρανίων μνείαν ποιοῦμαι [4] μυστηρίων πρὸς ὑμᾶς, οὔτε Ἀρχαῖς, οὔτε Ἐξουσίαις, οὔτε Ὑποταγαῖς, οὔτε [5] πάσῃ συγχύσει περινοηθῆναι δυναμένων, μόνῃ δὲ τῇ τοῦ [6] Ἀτρέπτου Ἐννοίᾳ πεφανερωμένων. [7] Ὅτε γὰρ ἐξ ἀρχῆς ὁ Αὐτοπάτωρ αὐτὸς ἐν ἑαυτῷ περιεῖχε τὰ πάντα ὄντα ἐν ἑαυτῷ ἐν ἀγνωσίᾳ, ὃν καλοῦσί τινες Αἰῶνα ἀγήρατον, ἀεὶ νεάζοντα, ἀρρενόθηλυν, ὃς πάντοτε περιέχει τὰ πάντα καὶ οὐκ ἐμπεριέχεται, τότε ἡ ἐν αὐτῷ Ἔννοια ἠθέλησεν [8] ἐκείνην ἥν τινες Ἔννοιαν ἔφασαν, [9] ἕτεροι Χάριν, οἰκείως διὰ τὸ [10] ἐπικεχορηγηκέναι αὐτὴν [11] θησαυρίσματα τοῦ Μεγέθους [12] τοῖς ἐκ τοῦ Μεγέθους, οἱ δὲ ἀληθεύσαντες Σιγὴν προσηγόρευσαν, ὅτι δι' ἐνθυμήσεως χωρὶς λόγου τὰ πάντα τὸ Μέγεθος ἐτελείωσεν· ὡς οὖν προεῖπον, ἡ ἄφθαρτος [13] βουληθεῖσα δεσμὰ ῥῆξαι ἐθήλυνε τὸ Μέγεθος ἐπ' [14] ὄρεξιν ἀναπαύσεως αὐτοῦ. Καὶ αὕτη αὐτῷ μιγεῖσα ἀνέδειξε τὸν Πατέρα τῆς Ἀληθείας, ὃν οἰκείως οἱ τέλειοι Ἄνθρωπον ὠνόμασαν, ὅτι ἦν ἀντίτυπος τοῦ προόντος Ἀγεννήτου. Μετὰ τοῦτο δὲ ἡ Σιγὴ φυσικὴν ἑνότητα φωτὸς προενεγκαμένη σὺν τῷ Ἀν-

15. ποσιδῶνα *cod. Ven.*
16. ἀπατηλὸς *reposui ex cod. Veneto. Vulgo extat* ἀπατηλή.
17. ἀπατημένων *ed. princ.*
18. *Ita scripsi ex auctoritate cod. Ven. Vulgo extat* Γελοῖον.
19. βίβλων *cod. Venet.*
20. κατ' αὐτῶν *cod. Venet.*
Cap. V. — 1. παρὰ δὲ σαρκικοῖς, παρὰ δὲ κοσμικοῖς *non habet cod. Ven. Nec abest glossematis suspicio.*
2. ἀκατάργητος τοῖς *non habet cod. Ven.*
3. ὑπ' οὐρανίων *cod. Rhedig.*
4. μυστηρίων *addidi ex codd. Venet. et Vatic. A reliquis enim abest.*
5. πάσῃ συγχύσει *codd. Ven. et Vatic.* πᾶσι *reliqui.*
6. τρεπτοῦ *cod. Ven.*
7. Ὅτε γὰρ ἐξ ἀρχῆς *emendatio est Petavii, quam firmat scriptura cod. Ven., qui habet* ὅτι γὰρ ἐξ ἀρχῆς. *Vulgo extat* οὔτε γὰρ ἄρχης.

aliarum haereseon, quae sibi tragicam istiusmodi pompam asciscunt, propagandas origines nova quaedam addidere somnia. Etenim post superiora illa nomina Hesiodus, Orpheus et Stesichorus natos esse dicunt Coelum et Tartarum, Saturnum ac Rheam, Iovem, Apollinem, Neptunum atque Plutonem, aliosque, quos singillatim recensent, innumeros. Fecundus enim illorum error est ac multiplex, qui absurda nescio quae vocabulorum monstra parturiens atque excogitans infinitam fabularum segetem profudit. Quae una res miserorum illorum animos falsa specie deludit. Sed iis quorum divina luce collustrata mens est, inepta haec statim ac ridicula videntur. Quibus modo praetermissis, quae illorum libris continentur, prout ad verbum scripta leguntur, hoc loco proponam. Sunt haec eiusmodi.

Haec apud sapientes: sed apud animales, apud carnales, apud mundanos, apud exaggeratam animi vim, Nus nunquam desinens perpetuis ac nunquam desinentibus, salutem. Equidem eorum quae neque nominari nec explicari oratione possunt, quaeque coelestibus ipsis superiora sunt, mentionem apud vos instituam; quae neque Principatus, neque Potestates, nec quae illis subiecta sunt, neque aliud quicquam intelligentia potest consequi, solique eius, qui est Immutabilis, sunt cognitioni patefacta. Principio siquidem rerum omnium is qui per se ipsum Pater est universa in semetipso obscura ignotaque continebat; quem nonnulli Aeonem senectutis expertem semperque florentem, et marem feminamque vocant, qui omnia complexus nulla re ipse comprehenditur. Tunc quae in illo inerat Mens (ita enim quidam appellant, alii proprio nomine Gratiam, quod Magnitudinis thesauros in eos qui ex Magnitudine erant insumpserit, sed melius ab aliis Silentium vocatur, quoniam citra sermonis usum omnia Magnitudo cogitatione sola perfecit), sed, ut dixi, cum incorrupta haec ex Aeonum numero femina vinculis expedire sese vellet, Magnitudinem libidinis illecebris ad sui consuetudinem inflexit. Ex qua Veritatis Pater procreatus est, quem qui perfecti sunt proprie Hominem appellant, quod eius qui prior est, nec ab ullo est genitus, similitudinem referat. Deinde Sige naturalem luminis unitatem cum

Cap. V. Ex Valentiniano libro.

8. *Fortasse* ἐκείνῃ *reponendum.*
9. ἕτερον χαριοικῶς *cod. Ven.*
10. ἐπικεχωρηκέναι *cod. Venet.*
11. ϑησαύρισμα τὰ τοῦ *cod. Rhedig.* ϑησαύρισμα τοῦ *cod. Ven.*
12. τοῖς ἐκ τοῦ μεγέϑους *om. cod. Ven.*
13. αἰωνία βουληϑεῖσα *extat vulgo. Sed illud* αἰωνία *delendum censui ex auctoritate cod. Ven. Petavius malebat* αἰὼν *restituere. Magis placuisset* Ἔννοια.
14. ὄρεξιν *cod. Ven. Vulgo* ὀρέξει.

*θρώπῳ (ἣν δὲ αὐτῶν ἡ συνέλευσις τὸ θέλειν) καὶ ἀναδείκνυσι τὴν Ἀλήθειαν. Ἀλήθεια δὲ ὑπὸ τῶν τελείων οἰκείως ὠνομάσθη, ὅτι ἀληθῶς ὁμοία ἦν τῇ ἑαυτῆς μητρὶ Σιγῇ, τῆς Σιγῆς τοῦτο [15] βουληθείσης ἀπομερισμὸν φώτων τοῦ τε ἄρρενος καὶ τῆς θηλείας ἴσον εἶναι, ὅπως δι' ἑαυτῶν καὶ ἡ ἐν αὐτοῖς φανερωθῇ τοῖς ἐξ αὐτοῦ ἐν αὐτῷ εἰς αἰσθητικὰ φῶτα μερισθεῖσα. Μετὰ τοῦτο ἡ Ἀλήθεια μητρικὴν προενεγκαμένη*

pag. 169. *[16] Προυνικίαν ἐθήλυνε τὸν πατέρα ἑαυτῆς εἰς ἑαυτήν, καὶ συνῄεσαν ἑαυτοῖς ἀφθάρτῳ μίξει καὶ ἀγηράτῳ συγκράσει, καὶ [17] ἀναδείκνυσι Τετράδα πνευματικὴν ἀρρενόθηλυν ἀντίτυπον τῆς [18] προούσης τετράδος, ἥτις ἦν Βυθός, Σιγή, Πατήρ, Ἀλήθεια. Αὕτη δὲ ἡ ἐκ τοῦ Πατρὸς καὶ τῆς Σιγῆς τετράς· Ἄνθρωπος, Ἐκκλησία, Λόγος, Ζωή. Τότε τοῦ πάντα περιέχοντος Βυθοῦ θελήματι ὁ Ἄνθρωπος καὶ ἡ Ἐκκλησία πατρικῶν μνησθέντες λόγων συνῄεσαν ἑαυτοῖς, καὶ [19] ἀναδεικνύουσι Δωδεκάδα [20] Προυνίκων ἀρρενόθηλυν. Οἱ οὖν ἄρρενές εἰσι Παράκλητος, Πατρικός, Μητρικός, Ἀείνους, Θελητός, ὅ ἐστι Φῶς, Ἐκκλησιαστικός, αἱ δὲ θήλειαι Πίστις, Ἐλπίς, Ἀγάπη, Σύνεσις, Μακαρία, Σοφία. Μετέπειτα δὲ Λόγος καὶ Ζωὴ καὶ αὐτοὶ τὸ τῆς αἰνέσεως [21] ἀναπλάσαντες δώρημα ἑαυτοῖς ἐκοινώνησαν, ἣν δὲ ἡ κοινωνία αὐτῶν τὸ θέλημα· καὶ συνελθόντες ἀνεδείξαντο Δεκάδα [22] Προυνίκων, καὶ αὐτῶν [23] ἀρρενοθήλεων. Ὧν οἱ μὲν ἄρρενές εἰσι Βύθιος, Ἀγήρατος, Αὐτοφυής, Μονογενής, Ἀκίνητος. Οὗτοι τὴν προςωνυμίαν [24] τὴν δόξαν τοῦ πάντα περιέχοντος ἐποιήσαντο. Αἱ δὲ θήλειαι Μῖξις, Ἕνωσις, Σύγκρασις, Ἑνότης, Ἡδονή. Καὶ αὗται τὴν προςωνυμίαν εἰς δόξαν τῆς Σιγῆς περιεποιήσαντο.*

Κεφ. ϛ'. *Τετελειωμένης οὖν τῆς κατὰ Πατέρα Ἀληθείας Τριακάδος, ἣν οἱ ἐπίγειοι μὴ ἐπιστάμενοι ἀριθμοῦσι, καὶ ὁπόταν ἔλθωσιν ἐπ' αὐτήν, μηκέτι ἀριθμὸν εὑρίσκοντες ἀνακυκλοῦσι πάλιν [1] ἀριθμοῦντες αὐτήν, — ἔστι δὲ Βυθός, Σιγή, Πατήρ, Ἀλήθεια, Ἄνθρωπος, Ἐκκλησία, Λόγος, Ζωή, Πατρικός, Μητρικός, Παράκλητος, Ἀείνους, Θελητός, Ἐκκλησιαστικός, Πίστις, Ἐλπίς, Ἀγάπη, Σύνεσις, Μακαρία, Σοφία, Βύθιος, Ἀγήρατος, Αὐτοφυής, [2] Μονογενής, Ἀκίνητος, Μῖξις, Γνῶσις, Σύγκρασις, Ἑνότης, Ἡδονή, — τότε ὁ [3] τὰ πάντα περιέχων συνέσει τῇ ἀνυπερβλήτῳ, δογματίσας τε κληθῆναι ἑτέραν Ὀγδοάδα ἀντὶ τῆς προούσης αὐθεντικῆς Ὀγδοάδος, ἥτις ἐν τῷ ἀριθμῷ τῆς Τρια-*

15. βουληθείσης ἀπομερισμὸν *cod. Ven.* βουληθείσης ἀπὸ μερισμῶν *cod. Vatic.* βουλομένης ἀπὸ μερισμῶν *reliqui libri.*
16. *Ita cod. Venet. Vulgo extat* Προυνεικίαν.
17. *Fortasse* ἀναδεικνύουσι *reponendum.*
18. προούσης *scripsi ex coniectura Petavii (vel potius Cornarii, qui vertit „prius existentis"), quam firmat auctoritas cod. Ven. Vulgo scriptum est* προςούσης.
19. ἀναδεικνύουσι *cod. Ven. Vulgo extat* ἀναδείκνυσι.
20. *Ita cod. Ven., et constanter.* Πρου-

Homine producens (horum vero coniunctio voluntate sola perfecta est) Veritatem edidit. Quae eo nomine merito a perfectis donata est, quod Matri suae Sige reipsa similis esset, quae ex divisionibus luminum, tam maris quam feminae, idipsum aequale esse voluerat, ut in sensibus exposita lumina dispersa per illa ipsa et in ipsis iis qui ex ipso et in ipso sunt sese patefaceret. Postea Veritatis Maternam Pruniciam proferens parentem suum ad sui amorem pertraxit. Quare ambo incorrupta copulatione ac nunquam senescente coniunctione commisti sunt. Unde spiritalis marium ac feminarum quadriga prodiit, prioris alterius similis, quae iis quatuor, Bytho, Sige, Patre ac Veritate, constabat. Posterior vero illa ex Patre ac Sige producta haec est: Homo, Ecclesia, Sermo, Vita. Tunc comprehendentis omnia Bythi voluntate Homo atque Ecclesia paternorum sermonum memores invicemque congressi Prunicorum Marium ac feminarum Dodecadem procrearunt. Mares videlicet istos, Paracletum, Paternum, Maternum, Ainum, Theletum, quod idem est ac lumen, Ecclesiasticum: feminas vero, Fidem, Spem, Caritatem, Intelligentiam, Fortunatam, Sapientiam. Deinde Sermo ac Vita etiam ipsi laudis munus effingentes secum invicem consociati sunt. Quae quidem consociatio voluntate sola peracta est. Ergo inter sese commisti Prunicorum Decadem ex maribus peraeque ac feminis constantem genuerunt. Cuius hi sunt mares: Bythius, Ageratus, Autophyes, Unigena, Immobilis. Hi ad continentis omnia contestandam gloriam sibimet eius appellationem indiderunt. Feminae vero sunt Mistio, Unio, Temperatio, Unitas, Voluptas. Quae omnes ad honorem Siges pertinentia vocabula similiter usurparunt.

Cum igitur absolutus hoc modo Veritatis parentis Tricenarius foret, quem terreni homines ignorantes numerant, et cum ad ipsum pervenerint, nullo amplius reperto numero, iterato in sese retexunt. Eiusmodi autem ille est: Bythus, Sige, Pater, Veritas, Homo, Ecclesia, Sermo, Vita, Paternus, Maternus, Paracletus, Ainus, Theletus, Ecclesiasticus, Fides, Spes, Caritas, Intelligentia, Fortunata, Sapientia, Bythius, Ageratus, Autophyes, Unigena, Immobilis, Mistio, Cognitio, Temperatio, Unitas, Voluptas. Tum qui universa summa sua sapientia continet Ogdoadem alteram loco prioris illius ac primariae appellandam esse statuens, quae in Cap. VI.

νείχων *reliqui libri.*

21. μεταπλάσαντες *cod. Ven.*

22. Προυνείχων *vulgo.*

23. ἀρρενοθηλειῶν *habent omnes libri. Voc.* ὢν, *quod sequitur, abest a cod. Veneto.*

24. εἰς τὴν δόξαν *coniecit Petavius.*

Cap. VI. — 1. *Ita cod. Vatic., et inde edit. Petavii. In codd. Ven. et Rhedig., et in ed. princ. scriptum est* ἀριθμοῦσιν.

2. *Ita correxerunt Cornarius et Petavius.* ὁλογενὴς *habent omnes libri.*

3. τὰ *desideratur in editis. Tuentur codd. Vatic. Venet. Rhedig.*

κάδος [4] μένει (οὐ γὰρ ἦν Μεγέθους φρόνημα εἰς ἀριθμὸν πίπτειν), ἀντέστησεν ἀντὶ τῶν ἀρσένων τοὺς ἄρσενας Μόνον, Τρίτον, Πέμπτον, Ἕβδομον, καὶ τὰς θηλείας, Δυάδα, Τετράδα, Ἑξάδα, Ὀγδοάδα.
pag. 170. Αὕτη οὖν ἡ [5] Ὀγδοὰς ἐστιν ἡ ἀντικληθεῖσα ἀντὶ τῆς προούσης Ὀγδοάδος Βυθοῦ, Πατρὸς, Ἀνθρώπου, Λόγου καὶ Σιγῆς, Ἀληθείας, Ἐκκλησίας, Ζωῆς [6] ἥτις ἡνώθη τοῖς [7] φωσὶ, καὶ ἐγένετο Τριακὰς [8] ἀπηρτισμένη, καὶ ἡ προοῦσα Ὀγδοὰς ἀναπαυομένη, ὅ τε Βυθὸς ἐξῆλθε Μεγέθους στηρίγματι ἑνωθῆναι [9] τῇ Τριακάδι, ἢ αὐτῇ ἦν. Τῇ γὰρ ἀληθείᾳ καὶ ὁ Πατὴρ τῆς Ἀληθείας συνήρχετο τῇ Ἐκκλησίᾳ, καὶ ὁ Μητρικὸς εἶχε τὴν Ζωὴν, καὶ ὁ Παράκλητος τὴν Ἑνάδα, καὶ ἡ Ἑνὰς [10] ἡνοῦτο τῷ Πατρὶ τῆς Ἀληθείας, καὶ ὁ Πατὴρ τῆς Ἀληθείας ἦν μετὰ τῆς Σιγῆς, ὁ Λόγος δὲ ὁ πνευματικὸς ἐκοινώνει Πνεύματι, καὶ μίξει καὶ ἀφθάρτῳ συγκράσει ποιῶν τὸ τέλος τοῦ [11] Αὐτομήτορος, ἀδιχοτόμητον τὴν ἑαυτοῦ ἀνάπαυσιν. [12] Ἡ οὖν Τριακὰς ἀπαρτίσασα βύθια μυστήρια, [13] τελειώσασα γάμον, ἐν ἀφθάρτοις ἀπέδειξε φῶτα ἄφθαρτα, ἅτινα [14] Ἑνότητος ὠνομάσθησαν τέκνα, καὶ [15] ἀχαρακτήριστα. Ἦσαν οὖν μικροῦ μὴ παρακειμένου ἐκτὸς φρονήσεως ἀναπαυόμενα χωρὶς ἐννοίας. Περὶ γὰρ οὗ τις [16] πράσσει, ἐὰν μὴ νοῇ καθολικῶς, οὐ πράσσει. Τότε γενομένων τῶν φώτων, ὧν τὴν [17] πολυπλήθειαν πρὸς ἀριθμὸν ἐξειπεῖν οὐκ ἀναγκαῖον, περινοεῖν δέ· ἕκαστον γὰρ τὸ ἴδιον ὄνομα κεκλήρωται, δι' ἐπίγνωσιν ἀρρήτων μυστηρίων. [18] Ἡ οὖν Σιγὴ βουληθεῖσα εἰς ἐκλογὴν γνώσεως [19] ἅπαντας ὦσαι, συνῆγε τῇ δευτέρᾳ [20] ἀντιτεθείσῃ Ὀγδοάδι ἀφθάρτῳ μίξει, νοϊκῇ δὲ βουλήσει. Ἦν δὲ αὐτῆς ἡ νοϊκὴ βούλησις Πνεῦμα τὸ ἅγιον, τὸ ἐν μέσῳ τῶν ἁγίων Ἐκκλησιῶν. Τοῦτο οὖν εἰς τὴν δευτέραν Ὀγδοάδα [21] πέμψασα ἔπεισε καὶ αὐτὴν ἑνωθῆναι αὐτῇ. Γάμος οὖν ἐτελειοῦτο ἐν τοῖς τῆς Ὀγδοάδος μέρεσιν, ἑνουμένου τοῦ ἁγίου Πνεύματος τῷ Μόνῳ, καὶ τῆς Δυάδος τῷ Τρίτῳ, καὶ τοῦ Τρίτου τῇ Ἑξάδι, καὶ τῆς Ὀγδοάδος τῷ Ἑβδόμῳ, καὶ τοῦ Ἑβδόμου τῇ Δυάδι, καὶ τῆς Ἑξάδος τῷ Πέμπτῳ· ὅλη δὲ ἡ Ὀγδοὰς συνῆλθε μετὰ ἡδονῆς ἀγηράτου καὶ ἀφθάρτου μίξεως. Οὐ γὰρ ἦν χωρισμὸς ἀλλήλων. Ἦν δὲ σύγκρασις μεθ'
pag. 171. ἡδονῆς ἀμώμου, καὶ ἀνέδειξε Πεντάδα [22] Προυνίκων ἀθηλύντων, ὧν

4. μείνη *cod. Venet.*
5. δυάς *codd. Vatic. Venet.*
6. ἥτις *non extat in Veneto cod.*.
7. αἰῶσι *hariolatus est Petavius.*
8. ἀπελπισμένη καὶ ἡ προςοῦσα *cod. Venet.*
9. τῇ τριακάδι ἡ αὐτῇ ἦν *scriptura est cod. Ven. Vulgo extat* τῇ τριακάδι αὐτῇ ἦν. *Petavius coniecit* ἡ τριακὰς αὕτη ἦν, *in quod inciderat iam olim Cornarius qui convertit* „hic tricenarius erat."
10. ἦν οὕτω *cod. Ven.*
11. αὐτομήτορος *codd. Ven. Rhedig.* αὐτομή̄ρος *editi libri.*
12. ἦν *cod. Venet.*
13. τελειώσασα γάμον *coniectura erat Petavii, quam firmat cod. Venet. Vulgo extat* τελείως ἄγαμον.
14. *Ita scripsi cum Cornario et Petavio. Libri scripti et editi habent* ἑνότης.
15. χαρακτηριαστὰ *cod. Venet.*
16. πράσση *cod. Ven.*
17. πολυπληθίαν *cod. Ven.*
18. νοῦν ἡ γῆ *cod. Ven.*
19. ἅπαντα σῶσαι *cod. Ven.*

Tricenario permanet (neque enim ingentes Magnitudinis spiritus coerceri ullo se numero sinebant), pro maribus mares alios substituit, Unum, Tertium, Quintum, Septimum, totidemque feminas, Binarium, Ternarium, Senarium, Octonarium. Haec est Ogdoas illa, quae superioris Ogdoadis nomen ad sese transtulit: Bythi, Patris, Hominis, Sermonis, Siges, Veritatis, Ecclesiae, Vitae. Quae quidem coniuncta Luminibus est, et absolutus Tricenarius evasit, ac prior Octonarius quiescens, cum et Bythus per Magnitudinis fulcimentum exiit, ut cum Tricenario sese copularet. Vere enim et Veritatis Pater cum Ecclesia congressus est, et Maternus Vitam sortitus est, et Paracletus Unitatem, et Unitas cum Veritatis Parente copulata est, et cum Sige Veritatis ille Parens fuit. At spiritalis Sermo cum Spiritu incorrupta quadam commistione coniunctus est, et Autometoris finem, hoc est perennem, nec interruptam quietem suam effecit. Quamobrem ubi Tricenarius profunda illa Mysteria peregit, sine ullis omnino nuptiis, ut incorrupto sempiternoque generi convenit, incorrupta itidem lumina, quae Unitas appellantur, tanquam filios produxit, et quidem informes. Iacebant igitur propemodum intelligentia omni destituta, ac sine ulla animi notione quiescebant. Quicquid enim a quopiam agitur, ab eo, nisi universe intelligat, agitur nihil. Hunc in modum procreatis luminibus, quorum multitudinem numerando percensere nihil necesse est, animo vero comprehendere oportet (nam unumquodque suam appellationem sortitum est, quae ex arcanorum mysteriorum cognitione depromitur), ad scientiae delectum perpellere universos Sige cupiens, ad secundam substitutamque illam loco alterius Ogdoadem adiunxit, corruptela omnis experte coniunctione, sed voluntate eiusmodi quae sub intelligentiam caderet. Cuiusmodi voluntatis impetus Spiritus Sanctus est, qui in medio sanctarum Ecclesiarum residet. Quem cum secundam ad Ogdoadem allegasset, ei persuasit secum ut ipsa copularetur. Quocirca in singulis Ogdoadis partibus celebratae nuptiae sunt. Siquidem cum Uno Spiritus Sanctus coniunctus est, cum Tertio Dyas, Tertius cum Hexade, et cum Septimo Ogdoas, Septimus cum Dyade, cum Quinto Hexas. Ita Ogdoas universa nunquam marcescente voluptate atque integra incorruptaque mistione coniungitur. Nulla quippe ab invicem separatio fuit, sed mutua omnium cum honestissima voluptate temperatio, ex qua Prunicorum muliebri sexu carentium Quinarius exoritur, cuius haec sunt voca-

20. ἀντιτιθεἰσῃ *cod. Ven.*

21. *Ita correxi cum Petavio et Cornario.* πέμψαισε καὶ αὐτὴν *cod. Ven.* πέμψας ἔπεισε καὶ αὐτὴν *reliqui libri.*

22. Προυνίκων *cod. Ven.* Προυνείκων *reliqui.*

τὰ ὀνόματά ἐστι ταῦτα· Καρπιστὴς, Ὁροθέτης, Χαριστήριος, Ἄφετος, Μεταγωγεύς. Οὗτοι τῆς Μεσότητος ὠνομάσθησαν υἱοὶ, βούλομαι δὲ ὑμᾶς γινώσκειν· Ἀμψίου, [23]Αὐρὰν, Κουκουὰ, Θαρδουοῦ, Οὐβουκουὰ, [24]Θαρδεδδεῖν, Μερεξὰ, [25]Ἀταρβαρβὰ, [26]Οὐδουκὰ, Κέστην, [27]Οὐδουὰχ, [28]Ἐσλὴν, [29]Ἀμφὲ, Ναισουμὲν, [30]Οὐανανὶν, Λαμεταρδὲ, [31]Ἀθαμεσσουμὴν, Ἀλλωρὰ, Κουβιαθὰ, [32]Ναδδαρία, [33]Δαμμὰ, Ὠρὴν, Λαναφὲκ, [34]Οὐδανφὲχ, [35]Ἐνφοιθιβοχὲ, Βαρρὰ, [36]Ἀσσιουαχὲ, Βελὶμ, Δεξάριχὲμ, [37]Μασέμ.

ΠΕΠΛΗΡΩΤΑΙ ΤΑ ΑΠΟ [38]ΤΩΝ ΟΥΑΛΕΝΤΙΝΩΝ.

Κεφ. ζ. Καὶ ταῦτα μὲν ἀπὸ μέρους τῶν βιβλίων αὐτῶν παρατεθέντα ἕως ὧδέ μοι εἰρήσθω. Ἐποιήσατο δὲ οὗτος τὸ κήρυγμα καὶ ἐν Αἰγύπτῳ, ὅθεν δὴ καὶ, ὡς λείψανα ἐχίδνης ὀστέων, ἔτι ἐν Αἰγύπτῳ περιλείπεται τούτου ἡ σπορὰ, ἔν τε τῷ Ἀθριβίτῃ καὶ Προσωπίτῃ καὶ [1]Ἀρσινοΐτῃ καὶ Θηβαΐδῃ, καὶ τοῖς κάτω μέρεσι τῆς παραλίας, καὶ Ἀλεξανδρειοπολίτῃ. Ἀλλὰ καὶ ἐν Ῥώμῃ ἀνελθὼν κεκήρυχεν· εἰς Κύπρον δὲ ἐληλυθὼς, ὡς ναυάγιον ὑποστὰς φύσει σωματικῶς, τῆς πίστεως ἐξέστη, καὶ τὸν νοῦν ἐξετράπη. Ἐνομίζετο γὰρ πρὸ τούτου μέρος ἔχειν εὐσεβείας καὶ ὀρθῆς πίστεως ἐν τοῖς προειρημένοις τόποις, ἐν δὲ τῇ Κύπρῳ λοιπὸν εἰς ἔσχατον ἀσεβείας ἐλήλακε, καὶ ἐβάθυνεν ἑαυτὸν ἐν ταύτῃ τῇ καταγγελλομένῃ ὑπ' αὐτοῦ μοχθηρίᾳ.

Λέγει δὲ αὐτός τε καὶ οἱ αὐτοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὡς ἔφην, καὶ Σωτῆρα καὶ Χριστὸν καὶ Λόγον καὶ Σταυρὸν καὶ Μεταγωγέα καὶ Ὁροθέτην καὶ Ὅρον. Φασὶ δὲ ἄνωθεν κατενηνοχέναι τὸ σῶμα καὶ, ὡς διὰ σωλῆνος ὕδωρ, διὰ Μαρίας τῆς παρθένου διεληλυθέναι, μηδὲν δὲ ἀπὸ τῆς παρθενικῆς μήτρας εἰληφέναι, ἀλλὰ ἄνωθεν τὸ σῶμα ἔχειν, ὡς προεῖπον· μὴ εἶναι δὲ αὐτὸν τὸν πρῶτον λόγον, μηδὲ τὸν μετὰ τὸν λόγον Χριστὸν, τὸν ἄνω ὄντα ἐν τοῖς ἄνω Αἰῶσι. Τοῦτον δὲ φάσκουσι προβεβλῆσθαι δι' οὐδὲν ἕτερον ἢ μόνον εἰς τὸ ἐλθεῖν καὶ [2]ἀνασώσασθαι τὸ γένος τὸ ἄνωθεν πνευματικόν. Τὴν δὲ τῶν νεκρῶν ἀνάστασιν ἀπαρνοῦνται, φάσκοντές τι μυθῶδες καὶ ληρῶδες, pag. 172. μὴ τὸ σῶμα τοῦτο ἀνίστασθαι, ἀλλ' ἕτερον μὲν ἐξ αὐτοῦ, ὃ δὴ πνευματικὸν καλοῦσι, μόνον δὲ ἐκείνων τῶν παρ' αὐτοῖς πνευματικῶν καὶ τῶν ἄλλων ψυχικῶν καλουμένων, ἐάν γε οἱ ψυχικοὶ δικαιοπραγήσειαν, τοὺς δὲ ὑλικοὺς καὶ σαρκικοὺς καὶ γηΐνους καλουμένους παντάπασιν

23. Οὐρὰν cod. *Ven.*
24. Θαρδεδδιν cod. *Ven.*
25. *Ita codd. Vatic. Venet. Vulgo extat* Ἀτὰρ, Βαρβὰ.
26. Ουδουα cod. *Ven.*
27. Ουδουαχ cod. *Ven.*
28. Σέλην cod. *Ven.*
29. ἀμφὲ νεσουμὲν cod. *Rhedig.* ἀμφὲ ναισομὲν *ed. princ.* ἀμφαινεσ. γουμεν cod. *Ven.*
30. ουανανι cod. *Ven.* οὐαναντὶ cod. *Rhedig.*
31. ἀθαμεσσουμιν cod. *Ven.* ἀθεμεσσουμὴν cod. *Rhedig.*
32. δαναδάρια cod. *Ven.*

bula: Carpistes, Horothetes, Charisterius, Aphetus, Metagogeus. Hi Mediocritatis filii vocati sunt. Velim autem a vobis cognosci, Ampsiu, Auran, Cucua, Thardus, Ubucua, Thardeddin, Merexa, Atar, Barba, Uduca, Cesten, Uduach, Eslen, Amphe, Naesumen, Uananin, Lametarde, Athamessumen, Allora, Cubiatha, Naddaria, Damma, Oren, Lanaphec, Udanphech, Emphoëthiboche, Barra, Assiuache, Belim, Dexarichem, Masem.

HACTENUS EX ILLORUM LIBRIS EA DEPROMPSIMUS.

Praeterea in Aegypto quoque dogmata illa sua propagavit. Ex quo tempore, sic tanquam viperinorum ossium reliquiae quaedam illic semina illius relicta sunt, praesertim in Athribitide, Prosopitide, Arsenoitide ac Thebaide Praefectura, nec non in inferiori ac maritima adeoque Alexandrina regione. Quinetiam Romam profectus errorem suum in ea urbe dissipavit. Sed ad Cyprum delatus fidei naufragium, velut corporis fecisset, ibidem passus animum omnino depravavit. Siquidem hactenus partem pietatis aliquam sinceraeque fidei retinere illis in locis videbatur. In Cypro vero ad extremum impietatis prolapsus est, seque in eam quam tuetur flagitiorum disciplinam altius immersit. Cap. VII.

Est autem haec illorum opinio: Iesum Christum dominum nostrum salvatorem esse uti diximus, ac Christum et Verbum, ac Traductorem, et Finitorem ac Terminum. Eundem corpus e coelo detulisse ac, tanquam aqua per fistulam, sic illum per Mariam transiisse virginem, neque quicquam ex eius utero sumpsisse, sed e coelo traxisse corpus. Neque vero primum illum Verbum esse censent, neque proximum ab eo Christum, qui in coelo supremus inter Aeones residet, sed eius unius caussa productum, ut in terras delapsus spiritale genus, quod e coelo duxit originem, liberaret. Mortuorum resurrectionem inficiantur; de qua ridiculam quandam fabulam texunt, non hoc ipsum resurgere corpus, sed alterum ex eodem ortum, quod spiritale nuncupant; neque tamen omnium, sed eorum duntaxat quos illi spiritales nuncupant, atque eorum etiam quos animales vocant, dummodo iuste honesteque se gerant. Ceteros, qui Materiales ab iis, et cum carne concreti, ac terreni appellantur,

33. δαμμαδ cod. Rhedig. δαμμὼ codd. Ven. Vatic.
34. ουδινφεχ cod. Ven.
35. ἐνφειβοχε cod. Ven. ἐνφιθιβοχε cod. Rhedig.
36. ἀσσιου. αχεβελιμ cod. Venet.
37. μασεν cod. Ven.
38. ΤΩΝ om. codd. Ven. Rhedig., habet Vatic. In edit. princ. desideratur tota subscriptio.
Cap. VII. — 1. Vulgo Ἀρσενοΐτη.
2. ἀνασῶσαι cod. Vatic.

ἀπόλλυσθαι, καὶ μηδ' ὅλως σώζεσθαι· χωρεῖν δὲ ἑκάστην οὐσίαν πρὸς τοὺς ἰδίους αὐτῆς προβολέας, τὴν μὲν ὑλικὴν τῇ ὕλῃ ἐκδιδομένην, καὶ τὸ σαρκικὸν καὶ [3] γήϊνον τῇ γῇ. Τρία γὰρ τάγματα καλοῦσιν εἶναι ἀνθρώπων, πνευματικῶν, ψυχικῶν, σαρκικῶν· τὸ δὲ τάγμα τὸ πνευματικὸν ἑαυτοὺς λέγουσιν, ὥςπερ καὶ γνωστικοὺς, καὶ μήτε καμάτου ἐπιδεομένους, ἢ μόνον τῆς γνώσεως καὶ τῶν ἐπιῤῥημάτων τῶν αὐτῶν μυστηρίων, πᾶν δὲ ὁτιοῦν ποιεῖν ἀδεῶς ἕκαστον αὐτῶν, καὶ μηδὲν πεφροντικέναι. Ἐξάπαντος γάρ φασι σωθήσεσθαι πνευματικὸν ὂν τὸ αὐτῶν τάγμα, τὸ δὲ ἕτερον τάγμα τῶν ἀνθρώπων ἐν κόσμῳ, ὅπερ ψυχικὸν καλοῦσιν, ἀφ' ἑαυτοῦ σώζεσθαι μὴ δυνάμενον, εἰ μή τι ἂν καμάτῳ καὶ δικαιοπραγίᾳ ἑαυτὸ ἀνασώσειε, τὸ δὲ ὑλικὸν τάγμα τῶν ἐν τῷ κόσμῳ ἀνθρώπων μήτε δύνασθαι χωρεῖν τὴν γνῶσίν φασι, μήτε δέχεσθαι ταύτην, κἂν θέλοι ὁ ἐκ τούτου τοῦ τάγματος ὁρμώμενος, ἀπόλλυσθαι δὲ ἅμα σὺν ψυχῇ καὶ σώματι, τὸ δὲ ἑαυτῶν τάγμα πνευματικὸν ὂν σώζεσθαι σὺν σώματι ἄλλῳ ἐνδοτέρῳ τινὶ ὄντι, ὅπερ αὐτοὶ σῶμα πνευματικὸν καλοῦσι φανταζόμενοι, τοὺς δὲ ψυχικοὺς κεκμηκότας πολὺ καὶ ὑπεραναβεβηκότας τὸν Δημιουργὸν ἄνω δίδοσθαι τοῖς Ἀγγέλοις τοῖς ἅμα Χριστῷ οὖσιν, οὐδέν τι τῶν σωμάτων κομιζομένους, ἀλλὰ μόνον τὰς ψυχὰς ἐν πληρώματι εὑρεθείσας τῆς αὐτῶν γνώσεως καὶ τὸν Δημιουργὸν ὑπερβεβηκυίας δίδοσθαι τοῖς μετὰ τοῦ Χριστοῦ Ἀγγέλοις εἰς νύμφας.

Κεφ. η'. Τοιαύτη ἐστὶν ἡ κατ' αὐτοὺς τραγῳδία, ἔχουσα μὲν καὶ πλείω τούτων. Ἐγὼ δὲ μόνον ἅτινα φύσει ἀναγκαῖον εἶναι ἡγησάμην εἰς τοὐμφανὲς ἐλθεῖν, ταῦθ' ὑπηγόρευσα, ὡς ἡ εἰς ἡμᾶς γνῶσις ἦλθε, τοῦ πόθεν ὡρμᾶτο, ἐν ποίοις δὲ καιροῖς ὑπῆρχε, καὶ ἀπὸ ποίων τὰς προφάσεις εἴληφε, καὶ τίς αὐτοῦ ἡ διδασκαλία, ἅμα τε τίσιν ἐβλάστησε
pag. 173. τῷ βίῳ κακὸν, ἀπὸ μέρους τε, ὡς ἔφην, τῆς τούτου διδασκαλίας ἐμνημόνευσα· τὰ δὲ λοιπὰ τῆς αὐτοῦ λεπτολογίας οὐκ ἠβουλήθην ἀπ' ἐμαυτοῦ συντάξαι, εὑρὼν παρὰ τῷ ἁγιωτάτῳ Εἰρηναίῳ τῷ ἀρχαίῳ τὴν κατ' αὐτοῦ πραγματείαν γεγενημένην. Ἕως δὲ [1] τούτου τὰ ὀλίγα ταῦτα διεξελθὼν τὰ ἑξῆς ἀπὸ τῶν τοῦ προειρημένου ἀνδρὸς δούλου Θεοῦ, Εἰρηναίου δέ φημι, τὴν παράθεσιν ὁλοσχερῶς [2] ποιήσομαι. Ἔχει δὲ οὕτως·

## [1] ΕΚ ΤΩΝ ΤΟΥ ΑΓΙΟΥ ΕΙΡΗΝΑΙΟΥ.

Κεφ. θ'. [2] Ἐπεὶ τὴν ἀλήθειαν παραπεμπόμενοί τινες ἐπεισάγουσι λόγους ψευδεῖς [3] καὶ γενεαλογίας [4] ἀπεράντους, αἵτινες ζητήσεις μᾶλλον παρ-

3. *Ita restituit Petavius de cod. Vatic. Cornarius ediderat* γηϊκὸν.

CAP. VIII. — 1. ἐνταῦθα ὀλίγα *cod. Ven.*

2. ποιήσομαι τῶν τοῦ ἁγίου Εἰρηναίου. Ἐπεὶ *cett. cod. Ven.*

CAP. IX. — 1. ΕΚ *om. codd. Rhedig. Vat.*

interire funditus neque ulla sui parte servari. Porro naturam quamque eo unde prodierit reverti. Velut quae cum materia concreta est, in eam ipsam refundi; ex carne vero terraque compactam in terram recidere. Etenim tres illi hominum ordines constituunt, Spiritalium, Animalium, atque Carnalium. Ex quibus primum se ordinem facere dictitant, uti et Gnosticos, qui neque laboris ullius indigeant, praeterquam cognitionis, appellationisque mysteriorum, quae penes illos sunt, et quidvis impune facere pro arbitrio possint. Fieri enim non posse, quin omnino eorum ordo, utpote Spiritalis, salutem obtineat. Secundum hominum qui in mundo sunt ordinem, quem Animalem vocant, per sese salutem assequi posse negant, nisi laboribus recteque factis sibi eam vindicet. At qui Materialis hominum ordo dicitur, cum neque capacem cognitionis esse putant, neque tametsi velit, recipere eam posse qui ex illo genere sit, proindeque tam anima quam corpore penitus interire. Quod vero coetum ad suum pertinet, cum spiritalis sit, una cum altero quodam interiori corpore servari sentiunt, quod ipsi Spiritale corpus inani persuasione nuncupant. Animales porro post diuturnam exercitationem, ubi conditorem transcenderint, sursum evectos angelis Christi comitibus attribui, neque quicquam suorum efferre corporum, sed animas solas absolutum statum cognitionis adeptas, conditore superato, Christi stipatoribus angelis in matrimonio collocari.

Eiusmodi fere est illorum fabula, etsi pluribus insuper nugis contexta sit. Ego vero ea duntaxat proposui quae in medium proferri oportere duxi, prout ad nos notitia pervenit: nimirum undenam oriundus iste fuerit, quo tempore vixerit, unde erroris argumenta sumpserit, quae sit illius doctrina, qua in re tantum malum terrarum orbi pullularit; sed quod ad doctrinam spectat, eam ut dictum est, duntaxat ex parte declaravimus, cetera per me subtilius explicare nolui, cum adversus haereticum eundem elucubratam a sanctissimo Irenaeo disputationem inveniam. Quocirca paucis hucusque a me commemoratis, reliqua ex illius ipsius dei servi opere pertexam, atque ipsamet Irenaei verba, ne mutata quidem syllaba, subiiciam. Sunt haec eiusmodi: Cap. VIII.

EX S. IRENAEO.

Cum plerique veritate contempta falsas quasdam narrationes et inanes genealogias obtrudant, quae quaestiones praestant magis, ut Cap. IX.

2. Ἐπὶ *ed. princ. Vetus Interpres Irenaei habet* Quatenus. *Iren. I., Praef.*
3. καὶ *om. Ven.*
4. *Ita codd. Vatic. Ven. et V. Interpr. Irenaei qui habet* infinitas. *Vulgo* ματαίας *extat.*

ἔχουσι, καθὼς ὁ ἀπόστολός φησιν, ἢ οἰκοδομὴν θεοῦ τὴν ἐν πίστει, καὶ διὰ τῆς πανούργως συγκεκροτημένης πιθανότητος παράγουσι τὸν νοῦν τῶν ἀπειροτέρων, καὶ αἰχμαλωτίζουσιν αὐτοὺς, ῥαδιουργοῦντες τὰ λόγια [5] τοῦ κυρίου, ἐξηγηταὶ κακοὶ τῶν καλῶς εἰρημένων γινόμενοι, καὶ πολλοὺς ἀνατρέπουσιν ἀπάγοντες αὐτοὺς προφάσει γνώσεως ἀπὸ τοῦ τόδε τὸ πᾶν συστησαμένου καὶ κεκοσμηκότος, ὡς ὑψηλότερόν τι καὶ μεῖζον ἔχοντες ἐπιδεῖξαι τοῦ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς πεποιηκότος θεοῦ, πειθανῶς μὲν ἐπαγόμενοι διὰ λόγων τέχνης τοὺς ἀκεραίους εἰς τὸν τοῦ ζητεῖν τρόπον, ἀπιθάνως δὲ ἀπολλύντες αὐτοὺς ἐν τῷ βλάσφημον καὶ ἀσεβῆ τὴν γνώμην αὐτῶν κατασκευάζειν εἰς τὸν δημιουργὸν, [6] μηδὲ ἕν τω διακρίνειν δυναμένων τὸ ψεῦδος ἀπὸ τοῦ ἀληθοῦς. Ἡ γὰρ πλάνη καθ' αὑτὴν μὲν οὐκ ἐπιδείκνυται, ἵνα μὴ γυμνωθεῖσα γένηται κατάφωρος, πιθανῷ δὲ περιβλήματι πανούργως κοσμουμένη καὶ αὐτῆς τῆς ἀληθείας ἀληθεστέραν ἑαυτὴν [7] παρέχει φαίνεσθαι διὰ τῆς ἔξωθεν φαντασίας τοῖς ἀπειροτέροις· καθὼς [8] ὑπό του κρείττονος ἡμῶν εἴρηται ἐπὶ τῶν τοιούτων, ὅτι λίθον τὸν τίμιον σμάραγδον ὄντα καὶ πολυτίμητόν τισιν ὕαλος ἐνυβρίζει διὰ τέχνης παρομοιουμένη, ὁπόταν μὴ παρῇ ὁ [9] σθένων δοκιμάσαι καὶ τέχνῃ διελέγξαι τὴν πανούργως γενομένην. Ὅταν δὲ ἐπιμιγῇ [10] ὁ χαλκὸς εἰς τὸν ἄργυρον, τίς εὐκόλως δυνήσεται τοῦτον [11] δοκιμάσαι; Ἵνα οὖν μὴ [12] παρὰ τὴν ἡμετέραν αἰτίαν συναρπάζωνταί τινες ὡς πρόβατα ὑπὸ λύκων,
pag. 174. ἀγνοοῦντες αὐτοὺς διὰ τὴν ἔξωθεν τῆς προβατείου δορᾶς [13] ἐπιβολὴν, οὓς φυλάσσειν παρήγγελκεν ἡμῖν ὁ κύριος, ὅμοια μὲν λαλοῦντας, ἀνόμοια δὲ φρονοῦντας, ἀναγκαῖον ἡγησάμην ἐντυχὼν τοῖς ὑπομνήμασι τῶν, ὡς αὐτοὶ λέγουσιν, Οὐαλεντίνου μαθητῶν, ἐνίοις δ' αὐτῶν καὶ συμβαλὼν, καὶ καταλαβόμενος τὴν γνώμην αὐτῶν, μηνῦσαι σοι, ἀγαπητὲ, τὰ τερατώδη καὶ βαθέα μυστήρια, ἃ οὐ πάντες χωροῦσιν, ἐπεὶ μὴ πάντες τὸν ἐγκέφαλον ἐξεπτύκασιν, ὅπως καὶ σὺ μαθὼν αὐτὰ πᾶσι τοῖς μετά σου φανερὰ ποιήσῃς, καὶ παραινέσῃς αὐτοῖς φυλάξασθαι τὸν βυθὸν τῆς ἀνοίας καὶ τῆς εἰς [14] Χριστὸν βλασφημίας, καὶ, καθὼς δύναμις ἡμῖν, τήν τε γνώμην αὐτῶν τῶν νῦν παραδιδασκόντων, λέγω δὴ τῶν περὶ Πτολεμαῖον, ἀπάνθισμα οὖσαν τῆς Οὐαλεντίνου σχολῆς, συντόμως καὶ σαφῶς ἀπαγγελοῦμεν, καὶ ἀφορμὰς δώσομεν κατὰ τὴν ἡμετέραν μετριότητα πρὸς τὸ ἀνατρέπειν αὐτὴν, ἀλλόκοτα καὶ [15] ἀνάρμοστα τῇ ἀληθείᾳ ἐπιδεικνύντες τὰ ὑπ' αὐτῶν λεγόμενα, μήτε συγγρά-

5. τοῦ *addidi ex cod. Ven.*

6. μηδὲ ἕν τω *scripsi pro eo quod omnes libri habent* μηδὲ ἐν τῷ. *Irenaei Interpr. habet* non discernere valentium falsum a vero. *Billio illud* δὲ ἐν τῷ *plane delendum*, *Grabio* μὴ δεόντως, *Massuelo* μηδέν τι *restituendum videbatur.*

7. παρέχει *cod. Ven. quae coniectura Petavii erat.* παρέχειν *vulgo extat. Billius volebat* παρέχειν φαίνεται.

8. *Ita rescripsi. Libri habent* ὑπὸ τοῦ.

9. ἰσχύων *cod. Ven.*

10. ὁ *om. Ven.*

11. ἀκεραίως *quod vulgo extat ante voc.* δοκιμάσαι, *induxi de auctoritate cod. Ven. Sed cum Vet. Irenaei Interpr. habeat* qui

apostolus loquitur, quam aedificationem dei, quae est in fide, atque iidem illi callida artificiosaque oratione imperitorum animos decipiant ac velut captivos abripiant, dum et oracula divina depravant et recte dicta perperam interpretantur, tum vero quam plurimos ab huius universi conditore et ordinatore deo falsa quadam abductos specie cognitionis in perniciem trahant; quasi sublimius aliquid ac maius eo demonstrare possint, qui coelum terramque, ac quae iis continentur omnia, procrearit: adeo ut simplices minimeque malos homines fucatis sermonibus ad veritatis indagationem blande admodum illiciant, neque tamen blande illos in exitium impellant, dum adversus rerum opificem pronam ad maledicendum impiamque mentem iniiciunt, quod verum a falso discernere quibuscum agunt nequeant. Non enim falsitas nuda ac simplex proponitur, ne suis integumentis evoluta deprehendi facile possit, sed speciosis involucris miro artificio perpolita, ut externa pompa atque cultu veritate ipsa quodammodo veriorem sese rudiorum oculis subiiciat; quemadmodum ab aliquo longe quam nos praestantiore de eiusmodi pronunciatum est: Exquisitae gemmae ac pretiosissimae smaragdo similem ab artificibus fieri vitreum lapillum, non sine quadam illius iniuria, nisi praesto sit qui discernendi peritia valeat, quique arte sua fretus adulterinam illam gemmam simulatamque dignoscat. Sed cum aes argento miscetur, quis hoc facile sincereque discernat? Quamobrem ne qui culpa nostra tanquam oves a lupis, sic ab illis abripiantur, quos ovium pellibus tectos ignorarint, cuiusmodi cavendos esse dominus praecipit, quorum similis sermo, dissimilis est animus, necessarium putavi, cum in Valentini, ut asserunt, discipulorum commentarios inciderim, cum aliquot etiam ex illorum numero congressus fuerim, tibi, o carissime, portentosa illa ac profunda significare mysteria, quae quidem non ad captum omnium faciunt, quod non omnes cerebrum exspuerint, ut et tu cognitis iis universis qui tecum sunt eadem declares ac moneas, uti altissimum illum stultitiae atque in Christum blasphemiae gurgitem devitent. Itaque quoad in me situm erit eorum qui erroris hodie magistri sunt, nimirum Ptolemaei eiusque sectatorum qui ex Valentini schola effloruerunt, sententiam accurate ac breviter exponam, et ad eam refutandam idonea pro mei captus exiguitate argumenta suggeram, quibus quae ab illis dicuntur perabsurda minimeque veritati consentanea esse demonstrabitur. Tametsi ne-

1. Tim. 1, 4.

Matth. 7, 15.

facile atque incorrupte id explorare possit? *si* χάχεραίως *restitueris, perquam facili ea adhibita medella servabis receptam vulgatorum librorum auctoritatem. Massuetus reponendum censuit* ἀχέραιος.

12. παρὰ *non habetur in editis.*

13. ἐπιβολήν, *quod Irenaei Interpr. legit, quodque suspicatus est iam Petav., restitui ex cod. Ven. Vulgo extat* ἐπιβουλήν.

14. τὸν Χριστὸν *cod. Ven.*

15. ἀσύστατα καὶ ἀνάρμοστα *auget cod. Ven.*

φειν εἰθισμένοι, μήτε λόγων [16] τέχνην ἠσκηκότες, ἀγάπης δὲ ἡμᾶς προτρεπομένης σοί τε καὶ πᾶσι τοῖς μετά σου μηνύσαι τὰ μέχρι μὲν νῦν κεκρυμμένα, ἤδη δὲ κατὰ τὴν χάριν τοῦ Θεοῦ εἰς φανερὸν ἐληλυθότα διδάγματα. Οὐδὲν γάρ ἐστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν, ὃ οὐ γνωσθήσεται.

Κεφ. ί. Οὐκ ἐπιζητήσεις δὲ παρ' ἡμῶν, τῶν ἐν [1] Κελτοῖς διατριβόντων καὶ περὶ βάρβαρον διάλεκτον τὸ πλεῖστον ἀσχολουμένων, λόγων τέχνην, ἣν οὐκ ἐμάθομεν, οὔτε δύναμιν συγγραφέως, ἣν οὐκ ἠσκήσαμεν, οὔτε καλλωπισμὸν λέξεων, οὔτε πιθανότητα, ἣν οὐκ οἴδαμεν· ἀλλὰ ἁπλῶς καὶ ἀληθῶς καὶ ἰδιωτικῶς τὰ μετὰ [2] ἀγάπης σοι γραφέντα μετὰ ἀγάπης [3] σὺ προςδέξῃ, καὶ αὐτὸς αὐξήσεις αὐτὰ παρὰ σεαυτῷ, ἅτε ἱκανώτερος ἡμῶν τυγχάνων, οἱονεὶ σπέρματα καὶ ἀρχὰς λαβὼν παρ' ἡμῶν, καὶ ἐν τῷ πλάτει σου τοῦ νοῦ ἐπὶ πολὺ καρποφορήσεις τὰ δι' ὀλίγων ὑφ' ἡμῶν εἰρημένα, καὶ δυνατῶς παραστήσεις τοῖς μετὰ σοῦ τὰ ἀσθενῶς ὑφ' ἡμῶν ἀπηγγελμένα. Καὶ ὡς ἡμεῖς ἐφιλοτιμήθημεν, πάλαι ζητοῦντός σου μαθεῖν τὴν γνώμην αὐτῶν, μὴ μόνον σοι ποιῆσαι φανε-
pag. 175. ρὰν, ἀλλὰ καὶ ἐφόδια δοῦναι πρὸς τὸ ἐπιδεικνύειν αὐτὴν ψευδῆ, οὕτω [4] δὲ καὶ σὺ φιλοτίμως τοῖς λοιποῖς διακονήσεις, κατὰ τὴν χάριν τὴν ὑπὸ τοῦ κυρίου σοὶ δεδομένην, εἰς τὸ μηκέτι παρασύρεσθαι τοὺς ἀνθρώπους ὑπὸ τῆς ἐκείνων πιθανολογίας, οὔσης τοιαύτης·

Κεφ. ιά. Λέγουσι γάρ τινα εἶναι ἐν ἀοράτοις καὶ ἀκατονομάστοις ὑψώμασι τέλειον Αἰῶνα προόντα (τοῦτον δὲ καὶ [1] Προαρχὴν καὶ Προπάτορα καὶ Βυθὸν καλοῦσιν)· ὑπάρχοντα δ' αὐτὸν ἀχώρητον καὶ ἀόρατον, ἀΐδιόν τε καὶ ἀγέννητον, ἐν ἡσυχίᾳ καὶ ἠρεμίᾳ πολλῇ γεγονέναι ἐν ἀπείροις Αἰῶσι [2] χρόνων, συνυπάρχειν δ' αὐτῷ καὶ Ἔννοιαν, ἣν δὴ καὶ Χάριν καὶ Σιγὴν ὀνομάζουσι· καὶ [3] ἐννοηθῆναί ποτε ἀφ' ἑαυτοῦ προβαλέσθαι τὸν Βυθὸν τοῦτον ἀρχὴν τῶν πάντων, καὶ καθάπερ σπέρμα τὴν προβολὴν ταύτην, ἣν προβαλέσθαι ἐνενοήθη, [4] καὶ καταθέσθαι, ὡς ἐν μήτρᾳ, τῇ συνυπαρχούσῃ ἑαυτῷ Σιγῇ· ταύτην δὲ ὑποδεξαμένην τὸ σπέρμα τοῦτο καὶ ἐγκύμονα γενομένην ἀποκυῆσαι Νοῦν ὅμοιόν τε καὶ ἴσον τῷ προβαλόντι, καὶ μόνον χωροῦντα τὸ μέγεθος τοῦ πατρός. Τὸν δὲ Νοῦν τοῦτον καὶ Μονογενῆ καλοῦσι, καὶ Πατέρα, καὶ Ἀρχὴν τῶν πάντων. Συμπροβεβλῆσθαι δὲ αὐτῷ Ἀλήθειαν, καὶ εἶναι ταύτην [5] πρώτην καὶ ἀρχέγονον Πυθαγορικὴν [6] Τετρακτὺν, ἣν καὶ Ῥίζαν τῶν

16. τεχνῶν *cod. Ven.*

Cap. X. — 1. ἀδελφοῖς *cod. Ven.* δελφοῖς *ed. princ. In exemplo Schottiano annotatum est* „M. κελτοῖς. ἤγουν κελταῖς."

2. ἀγάπης συγγραφέντα *cod. Ven.*

3. σὺ *om. cod. Ven.*

4. *Mallem* δή.

Cap. XI. — 1. Προαρχὴν καὶ *adieci de codd. Ven. et Vatic., cum quibus conspirat Vet. Irenaei Interpr.*

2. χρόνοις *cod. Ven.*

3. ποτε ἐννοηθῆναι *cod. Ven.*

que scriptis quicquam elucubrare consueverim, neque dicendi sit a me facultas exercitatione quaesita. Sed me caritas hortatur ut ea tibi tuisque dogmata patefaciam quae ad hunc occultata diem divina modo gratia prompta omnibus apertaque sunt. *Nihil enim est occultum, quod non reveletur, et absconditum, quod non sciatur.* Matth. 10, 26.

Enimvero nihil erit cur a nobis, qui inter Gallos degimus atque in barbarae linguae meditatione plurimum occupati sumus, oratoriam exigas facultatem, quam nunquam didicimus, neque scribendi peritiam, cui nunquam studuimus, neque dictionis ornatum ac fucum, quem penitus ignoramus. Quin potius quae a nobis simpliciter ac vere vulgarique sermone ad te ex caritate scribuntur, ea ex caritate suscipies atque, utpote magis ad id praestandum idoneus, sic tanquam semina quaedam et initia a nobis acceperis, nova apud te accessione locupletiora facies, et in mentis tuae spatiosum sinum recondita, quae paucis a me perstricta sunt, uberiore fructu compensabis, ac denique quicquid a me parum viriliter explicatum fuerit, apud tuos nervose fortiterque disputabis. Atque ut ego tibi illorum sententiam perdiscere cupienti non eam modo declarare studui, sed idonea quoque praesidia ad illam convincendam attuli, ita et tu pro ea quae tecum a deo communicata gratia est, ceterorum impense rationibus et utilitati servies, ne in posterum quisquam blanda illorum oratione capiatur. Quae in hunc modum sese habet. Cap. X.

Principio in sublimitatibus illis, quae neque visu percipi neque appellatione ulla comprehendi possunt, perfectum inesse quendam Aeonem asserunt, quem et primum Parentem et Bythum nominant. Hunc, cum nullo loco contineri nec videri posset, sempiternum nec genitum in quiete atque otio infinitis perseverasse seculis. Quocum Ennoeam extitisse pariter, quam isti Gratiam ac Sigen vocant. Ac fuisse tempus aliquando cum Bythus ille omnium ex sese primordia producere voluerit ac tanquam semina, quae in Sigen aequalem ac comparem suam quasi matricem infudit. Eam porro semine illo excepto gravidam demum similem genitori suo Nun aequalemque peperisse, qui solus Parentis magnitudinem caperet. Eundem Nun etiam Unigenam nominant, et Patrem et Principium rerum omnium, quocum una procreata sit Veritas. Hanc esse primam ac principem illam Pythagoreorum quadrigam, quam et universorum Radicem ap- Cap. XI.

4. καὶ καταθέσθαι *tuentur codd. Ven. Val. Rhedig., et Reg. Paris. In editis est* καὶ καθέσθαι, *quod mendosum esse arbitror, quamquam Irenaei Interpr.* demisisse *convertit. Particulam* καὶ *ante* καταθέσθαι *verte* etiam, *ne cum Petavio aliisque eam delendam esse suspiceris. Alii aliter hunc locum corrigere sunt conati, quorum commenta servant Irenaei editiones.*

5. πρώτην *cod. Ven.* πρῶτον *reliqui libri.*

6. Τετρακτὴν *ed. princ.*

πάντων καλοῦσιν. Ἔστι γὰρ Βυθὸς καὶ Σιγὴ, ἔπειτα Νοῦς καὶ Ἀλήθεια. Αἰσθόμενόν τε τὸν Μονογενῆ τοῦτον ἐφ' οἷς προεβλήθη, προβαλεῖν καὶ αὐτὸν Λόγον καὶ Ζωὴν, πατέρα πάντων τῶν μετ' αὐτὸν ἐσομένων, καὶ ἀρχὴν, καὶ μόρφωσιν παντὸς τοῦ Πληρώματος, ἐκ [7] δὲ τοῦ Λόγου καὶ τῆς Ζωῆς προβεβλῆσθαι κατὰ συζυγίαν Ἄνθρωπον καὶ Ἐκκλησίαν· καὶ εἶναι ταύτην ἀρχέγονον Ὀγδοάδα, ῥίζαν καὶ ὑπόστασιν τῶν πάντων, τέτρασιν ὀνόμασι παρ' αὐτοῖς [8] καλουμένην, Βυθῷ, καὶ Νῷ, καὶ Λόγῳ, καὶ Ἀνθρώπῳ. Εἶναι γὰρ αὐτῶν ἕκαστον ἀρρενόθηλυν οὕτως· πρῶτον τὸν Προπάτορα ἡνῶσθαι κατὰ συζυγίαν τῇ ἑαυτοῦ Ἐννοίᾳ, τὸν δὲ Μονογενῆ, τουτέστι τὸν Νοῦν, τῇ Ἀληθείᾳ, τὸν δὲ Λόγον τῇ Ζωῇ, καὶ τὸν Ἄνθρωπον τῇ Ἐκκλησίᾳ. Τούτους δὲ τοὺς Αἰῶνας εἰς δόξαν τοῦ Πατρὸς προβεβλημένους, βουληθέντας καὶ αὐτοὺς διὰ τοῦ ἰδίου δοξάσαι τὸν Πατέρα, [9] προβαλεῖν προβολὰς ἐν συ-
pag. 176. ζυγίᾳ, τὸν μὲν Λόγον καὶ τὴν Ζωὴν μετὰ τὸ προβαλέσθαι τὸν Ἄνθρωπον καὶ τὴν Ἐκκλησίαν ἄλλους δέκα Αἰῶνας, ὧν τὰ ὀνόματα λέγουσι ταῦτα· [10] Βύθιος καὶ Μῖξις, Ἀγήρατος καὶ Ἕνωσις, Αὐτοφυὴς καὶ Ἡδονὴ, Ἀκίνητος καὶ Σύγκρασις, Μονογενὴς καὶ Μακαρία. Οὗτοι δέκα Αἰῶνες, οὓς [11] καὶ φάσκουσιν ἐκ Λόγου καὶ Ζωῆς προβεβλῆσθαι. Τὸν δὲ Ἄνθρωπον καὶ αὐτὸν προβαλεῖν μετὰ τῆς Ἐκκλησίας Αἰῶνας δώδεκα, οἷς ταῦτα τὰ ὀνόματα χαρίζονται· Παράκλητος καὶ Πίστις, Πατρικὸς καὶ Ἐλπὶς, Μητρικὸς καὶ Ἀγάπη, Ἀείνους καὶ Σύνεσις, [12] καὶ Ἐκκλησιαστικὸς καὶ Μακαριότης, Θελητὸς καὶ Σοφία. Οὗτοί εἰσιν οἱ τριάκοντα Αἰῶνες τῆς πλάνης αὐτῶν, οἱ σεσιγημένοι καὶ μὴ γινωσκόμενοι· τοῦτο τὸν ἀόρατον καὶ πνευματικὸν κατ' αὐτοὺς Πλήρωμα, τριχῇ διεσταμένον εἰς Ὀγδοάδα, καὶ Δεκάδα, καὶ Δωδεκάδα. Καὶ διὰ τοῦτο τὸν Σωτῆρα λέγουσιν (οὐδὲ γὰρ Κύριον ὀνομάζειν αὐτὸν θέλουσι) τριάκοντα ἔτεσι κατὰ τὸ φανερὸν μηδὲν πεποιηκέναι, ἐπιδεικνύντα τὸ μυστήριον τούτων τῶν Αἰώνων· ἀλλὰ καὶ ἐπὶ τῆς παραβολῆς [13] τῶν εἰς τὸν ἀμπελῶνα πεμπομένων ἐργατῶν φασι φανερώτατα τοὺς τριάκοντα τούτους Αἰῶνας μεμηνύσθαι. Πέμπονται γὰρ [14] οἱ μὲν περὶ πρώτην ὥραν, [15] οἱ δὲ περὶ τρίτην, οἱ δὲ περὶ ἕκτην, οἱ δὲ περὶ ἐνάτην, ἄλλοι δὲ περὶ ἑνδεκάτην. Συντιθέμεναι οὖν αἱ προειρημέναι ὧραι εἰς ἑαυτὰς τὸν τῶν τριάκοντα ἀριθμὸν ἀναπληροῦσι. Μία γὰρ καὶ τρεῖς καὶ ἓξ καὶ ἐννέα καὶ ἕνδεκα τριάκοντα γίνονται. Διὰ δὲ τῶν ὡρῶν τοὺς Αἰῶνας μεμηνύσθαι θέλουσι. Καὶ ταῦτ' εἶναι τὰ μεγάλα καὶ θαυμαστὰ καὶ ἀπόρρητα μυστήρια, ἃ καρποφοροῦσιν αὐτοὶ, καὶ εἴ πού τι τῶν ἐν πλήθει εἰρημένων ἐν ταῖς γραφαῖς δυνηθείη προςαρμόσαι καὶ εἰκάσαι τῷ πλάσματι αὐτῶν.

7. δὲ *cod. Ven. Et Irenaei Interpr. habet* De Logo autem et Zoe emissum *cett. Vulgo extat* δή.

8. καλουμένην *cod. Ven.* καλουμένων *reliqui libri, mendose.*

9. προβάλλειν *cod. Ven.*

10. βύθυος *cod. Ven.*

pellant. Sunt autem Bythus ac Sige, tum Nus ac Veritas. Postea, cum quibus de caussis productus esset Unigena sensisset, mox ipsum vicissim Sermonem Vitamquė propagasse, eorum quae post ipsum futura essent omnium parentem, ac Principium et Pleromatis totius expolitionem. Iam ex Sermone Vitaque par unum exortum, Hominem atque Ecclesiam. Ita primigeniam esse conflatam Ogdoadem, omnium rerum fundamentum ac radicem, quae quidem quaternis nominibus constat, Bytho, No, Sermone, Homine. Quodlibet enim par marem ac feminam continet. Ac primum sane summumque Parentem cum Ennoea sua iniisse coniugium, Unigenam vero sive Nun cum Veritate, Sermonem cum Vita, Hominem cum Ecclesia. Post Aeones istos Parentis ad decus gloriamque genitos, cum ad eius gloriam refundere aliquid cuperent, ascito sibi coniugio novam suscepisse sobolem. Velut Sermonem Vitamque post Hominem Ecclesiamque genitos, decem alios Aeones edidisse, quorum haec nomina commenti sunt: Bythium, Mistionem, Ageratum, Henosin, Authophye, Voluptatem, Immobilem, Syncrasin, Unigenam, et Macariam. Hi sunt Aeones decem, quos ex Sermone Vitaque productos narrant. Hominem deinde et Ecclesiam Aeones XII genuisse, quibus haec imposita sunt nomina: Paracletus, Fides, Paternus, Spes, Maternus, Caritas, Ainus, Intelligentia, Ecclesiasticus, Felicitas, Theletus, Sapientia. Hi sunt illorum opinione conficti Aeones triginta, qui tamdiu in silentio et obscuritate iacuerunt. Hoc illud spiritale neque aspectabile Complementum, quod ab istis constituitur trifariam distributum in Ogdoadem, Decadem et Dodecadem. Atque hanc ipsam esse caussam statuunt, cur Salvator (neque enim Dominum appellare volunt) tricenos totos annos palam egerit nihil, ut hoc Aeonum mysterium indicaret. Quinetiam in operariorum, Matth. 20.
qui ad vitem colendam mittuntur, parabola XXX eosdem Aeones perspicue significatos asserunt. Etenim alii circiter horam primam missi sunt, alii tertiam, sextam alii, ac nonam, ac postremo undecimam. Quae omnes in sese conflatae Tricenarium efficiunt. Nam una et tres et sex ac novem cum undecim triginta complent. Quibus horis totidem Aeones indicari censent: eaque demum esse magna illa et admiranda arcanaque mysteria, quem suum veluti fructum proferunt, ac si quid aliud est quod in sacris literis certo numero comprehensum ad futilem commentitiamque fabulam accommodari possit.

11. καὶ *non habet cod. Ven. Nec agnoscit vet. Irenaei Interpres.*

12. καὶ *inducendum arbitror de auctoritate Vet. Irenaei Interpr.*

13. τῆς *ed. princ. et cod. Reg. Par.*

14. ὁ μὲν *cod. Ven.*

15. ὁ δὲ *cod. Ven.*

Κεφ. ιβ'. *Τὸν μὲν οὖν Προπάτορα αὐτῶν γινώσκεσθαι μόνῳ λέγουσι τῷ ἐξ αὐτοῦ γεγονότι Μονογενεῖ, τουτέστι τῷ Νῷ, τοῖς δὲ λοιποῖς πᾶσιν ἀόρατον καὶ ἀκατάληπτον ὑπάρχειν. Μόνος δὲ ὁ Νοῦς κατ' αὐτοὺς ἐτέρπετο θεωρῶν τὸν Πατέρα καὶ τὸ μέγεθος τὸ ἀμέτρητον αὐτοῦ κατανοῶν ἠγάλλετο, καὶ διενοεῖτο καὶ τοῖς λοιποῖς Αἰῶσιν ἀνακοινώσασθαι τὸ μέγεθος τοῦ Πατρὸς, ἡλίκος τε καὶ ὅσος ὑπῆρχε, καὶ ὡς ἦν ἄναρχός τε καὶ ἀχώρητος, καὶ οὐ καταληπτὸς ἰδεῖν. Κατέσχε δὲ αὐτὸν* pag. 177. *ἡ Σιγὴ βουλήσει τοῦ Πατρὸς, διὰ τὸ θέλειν πάντας αὐτοὺς εἰς ἔννοιαν καὶ πόθον ζητήσεως τοῦ προειρημένου Προπάτορος* [1] *αὐτῶν ἀγαγεῖν. Καὶ οἱ μὲν λοιποὶ ὁμοίως Αἰῶνες ἡσυχῇ πως ἐπεπόθουν τὸν προβολέα τοῦ σπέρματος* [2] *αὐτῶν ἰδεῖν καὶ τὴν ἄναρχον ῥίζαν ἱστορῆσαι.* [3] *Προήλατο δὲ πολὺ ὁ τελευταῖος καὶ νεώτατος τῆς Δωδεκάδος τῆς ὑπὸ τοῦ Ἀνθρώπου καὶ τῆς Ἐκκλησίας* [4] *προβεβλημένης Αἰὼν, τουτέστιν ἡ Σοφία, καὶ ἔπαθε πάθος ἄνευ τῆς ἐπιπλοκῆς τοῦ* [5] *συζύγου τοῦ Θελητοῦ, ὃ ἐνήρξατο μὲν ἐν τοῖς περὶ τὸν Νοῦν καὶ τὴν Ἀλήθειαν, ἀπέσκηψε δὲ εἰς τοῦτον τὸν παρατραπέντα, πρόφασιν μὲν ἀγάπης, τόλμης δὲ διὰ τὸ μὴ* [6] *κεκοινωνῆσθαι τῷ Πατρὶ τῷ τελείῳ, καθὼς καὶ ὁ Νοῦς· τὸ δὲ πάθος εἶναι ζήτησιν τοῦ πατρός. Ἤθελε γὰρ, ὡς λέγουσι, τὸ μέγεθος αὐτοῦ καταλαβεῖν. Ἔπειτα μὴ δυνηθῆναι, διὰ* [7] *τὸ ἀδυνάτῳ ἐπιβαλεῖν πράγματι, καὶ ἐν πολλῷ πάνυ ἀγῶνι γενόμενον, διά* [8] *τε τὸ μέγεθος τοῦ βάθους καὶ τὸ ἀνεξιχνίαστον τοῦ Πατρὸς καὶ τὴν πρὸς αὐτὸν στοργὴν ἐκτεινόμενον ἀεὶ ἐπὶ τὸ πρόσθεν ὑπὸ τῆς γλυκύτητος αὐτοῦ τελευταῖον ἂν καταπεπόσθαι καὶ ἀναλελύσθαι εἰς τὴν ὅλην οὐσίαν, εἰ μὴ τῇ στηριζούσῃ καὶ ἐκτὸς τοῦ ἀρρήτου μεγέθους φυλασσούσῃ τὰ ὅλα συνέτυχε δυνάμει (ταύτην δὲ τὴν δύναμιν καὶ Ὅρον καλοῦσιν), ὑφ' ἧς ἐπεσχῆσθαι καὶ ἐστηρίχθαι, καὶ μόγις ἐπιστρέψαντα εἰς ἑαυτὸν, καὶ πεισθέντα ὅτι ἀκατάληπτός ἐστιν ὁ Πατὴρ, ἀποθέσθαι τὴν προτέραν ἐνθύμησιν σὺν τῷ ἐπιγινομένῳ πάθει ἐκ τοῦ ἐκπλήκτου ἐκείνου θαύματος.*

Κεφ. ιγ'. *Ἔνιοι δὲ αὐτῶν* [1] *πῶς τὸ πάθος τῆς Σοφίας καὶ τὴν ἐπιστροφὴν μυθολογοῦσιν; ἀδυνάτῳ καὶ ἀκαταλήπτῳ πράγματι* [2] *αὐτὴν ἐπιχειρή-*

Cap. XII. — 1. αὐτὸν ἀναγαγεῖν cod. *Ven.*

2. αὐτὸν cod. *Ven. a prima manu.*

3. προςήλετο cod. *Ven.*

4. *Ita rescripsi de auctoritate vel. Irenaei Interpretis et Tertulliani adv. Valent. cap.* 8. *cum Massuelo, pro* προβεβλημένος, *quod omnes libri habent.*

5. συζύγου *scripsi, Irenaei vel. Interpretem secutus, cum Frontone Ducaeo. Cod.*

His ita constitutis primum illum Parentem ab Unigena solo, quem is produxit, qui idem et Nus dicitur, cognosci definiunt; ab reliquis omnibus neque videri posse, neque animo intelligentiaque comprehendi. Quamobrem cum Parentis contemplatione sese ille unus oblectaret, atque immensa illius magnitudine cognoscenda vehementer exultaret, statuisse reliquis Aeonibus Parentis aperire magnitudinem, quantus hic, quamque admirabilis foret, utque et principio careret, et nullo spatio ac cognitione capi posset. Sed id quo minus praestaret, Sigen de Parentis repressisse consilio, quod ille Aeones omnes summi ad Parentis notitiam desideriumque perducere niteretur. Ac ceteri quidem ex Aeonum grege auctorem satoremque suum, hoc est stirpem illam radicemque principii expertem omnis, nosse comiter ac moderate cupiebant. Sed Sapientia ultimus natuque minimus Aeon ex illa Dodecade, quae ab Homine Ecclesiaque propagata est, longe ceteris intemperantius sese extulit. Itaque sine Theleti coniugis copulatione affectionem in se quandam suscepit, quae in Mente ac Veritate coepta prius in infelicem illum et aberrantem Aeonem incubuit, quae specie quidem caritatis excitata, revera temeritatis atque audaciae fuit, quod cum perfecto Parente communicata minime fuerat. Erat autem haec animi commotio, Parentis inquirendi studium, cuius, ut aiunt, magnitudinem cognitione assequi contendebat. Verum frustra laborabat, quod eam rem concupiverat, quae obtineri nullo modo posset. Itaque cum in summa contentione et anxietate versaretur, ac propter et infinitam altitudinem et Parentis naturam eiusmodi, ut ad eam nullis vestigiis perveniret, et ob suam in illum denique caritatem, prae eius suavitate semper ultra procurreret, postremo nihil esse propius factum quam ut in universam absorpta naturam ac resoluta vanesceret, nisi in eam Virtutem incidisset cui corroborandorum et inexplicabilem extra magnitudinem conservandorum omnium munus erat attributum. Eam porro Virtutem alio nomine Horum appellant. Ab hac cohibitam confirmatamque Sapientiam aegre ad semetipsum rediisse, demumque persuasum habentem non posse Parentem suum cognitione comprehendi, priorem cogitationem cum posteriori commotione, quae ex stupore illo et admiratione nata fuerat, exuisse. Cap. XII.

Sed istorum quidam illam Sapientiae perturbationem ac restitutionem quibus nugis involvunt? Nimirum cum eiusmodi aliquid ap- Cap. XIII.

*Ven. habet* τοῦ ζυγοῦ τούτου, *reliqui libri* τοῦ ζυγοῦ τοῦ.
6. κεκοινῶσθαι *cod. Ven.*
7. τῷ *cod. Ven.*
8. τε *om. cod. Ven.*

Cap. XIII. — 1. *Interrogationem Petavius restituit. Irenaei Interpres habet* huiusmodi. *Scripserat Irenaeus fortasse* οὕτως πως *pro* αὐτῶν πῶς.
2. τὴν *cod. Ven.*

σασαν τεκεῖν οὐσίαν ἄμορφον, οἵαν φύσιν εἶχε [3] θήλειαν τεκεῖν· ἣν καὶ κατανοήσασαν πρῶτον μὲν λυπηθῆναι, διὰ τὸ ἀτελὲς τῆς γενέσεως, ἔπειτα φοβηθῆναι [4] μηδὲ αὐτὸ τὸ εἶναι τελείως ἔχειν, εἶτα ἐκστῆναι καὶ ἀπορῆσαι ζητοῦσαν τὴν αἰτίαν, καὶ ὅντινα τρόπον ἀποκρύψει τὸ [5] γεγονός· ἐγκαταγενομένην δὲ τοῖς πάθεσι λαβεῖν ἐπιστροφὴν, καὶ ἐπὶ
pag. 178. τὸν Πατέρα ἀναδραμεῖν [6] πειραθῆναι, καὶ μέχρι τινὸς τολμήσασαν ἐξασθενῆσαι, καὶ [7] ἱκέτιν τοῦ πατρὸς γενέσθαι, συνδεηθῆναι δὲ αὐτῇ καὶ τοὺς λοιποὺς Αἰῶνας, μάλιστα δὲ τὸν Νοῦν. Ἐντεῦθεν λέγουσι πρώτην ἀρχὴν ἐσχηκέναι [8] τὴν οὐσίαν τῆς ὕλης ἐκ τῆς ἀγνοίας καὶ τῆς λύπης καὶ τοῦ φόβου καὶ τῆς ἐκπλήξεως. Ὁ δὲ Πατὴρ τὸν προειρημένον Ὅρον ἐπὶ τούτοις διὰ τοῦ Μονογενοῦς προβάλλεται ἐν εἰκόνι ἰδίᾳ ἀσύζυγον, ἀθήλυντον· τὸν γὰρ [9] Πατέρα ποτὲ μὲν μετὰ συζυγίας τῆς Σιγῆς, ποτὲ δὲ καὶ ὑπὲρ ἄρρεν καὶ ὑπὲρ θῆλυ εἶναι θέλουσι. Τὸν δὲ Ὅρον τοῦτον [10] καὶ Σταυρὸν καὶ Λυτρωτὴν καὶ Καρπιστὴν καὶ Ὁροθέτην καὶ Μεταγωγέα καλοῦσι. Διὰ δὲ τοῦ Ὅρου τούτου φασὶ [11] κεκαθάρθαι καὶ ἐστηρίχθαι τὴν Σοφίαν, καὶ ἀποκατασταθῆναι τῇ συζυγίᾳ. Χωρισθείσης γὰρ τῆς Ἐνθυμήσεως ἀπ' αὐτῆς σὺν τῷ ἐπιγινομένῳ Πάθει αὐτὴν μὲν ἐντὸς Πληρώματος [12] μεῖναι, τὴν δὲ Ἐνθύμησιν αὐτῆς σὺν τῷ Πάθει ὑπὸ τοῦ Ὅρου ἀφορισθῆναι καὶ [13] ἀποστερηθῆναι, καὶ ἐκτὸς αὐτοῦ γενομένην εἶναι μὲν πνευματικὴν οὐσίαν, φυσικήν τινα Αἰῶνος ὁρμὴν τυγχάνουσαν, ἄμορφον δὲ καὶ ἀνείδεον διὰ τὸ μηδὲν καταλαβεῖν. Καὶ διὰ τοῦτο καρπὸν ἀσθενῆ καὶ θῆλυν αὐτὸν λέγουσι.

Κεφ. ιδ'. Μετὰ δὲ τὸ ἀφορισθῆναι [1] ταύτην ἐκτὸς τοῦ πληρώματος τῶν Αἰώνων, τήν τε Μητέρα αὐτῆς ἀποκατασταθῆναι τῇ ἰδίᾳ συζυγίᾳ, τὸν Μονογενῆ πάλιν ἑτέραν προβαλέσθαι συζυγίαν, κατὰ προμήθειαν τοῦ Πατρὸς, ἵνα μὴ ὁμοίως ταύτῃ πάθῃ τις τῶν Αἰώνων, Χριστὸν καὶ Πνεῦμα ἅγιον, εἰς πῆξιν καὶ στηριγμὸν τοῦ Πληρώματος, ὑφ' ὧν καταρτισθῆναι τοὺς Αἰῶνας. Τὸν μὲν γὰρ Χριστὸν [2] διδάξαι αὐτοὺς συζυγίας φύσιν, ἀγεννήτου κατάληψιν γινώσκοντας ἱκανοὺς εἶναι, ἀνα-

3. *Ita libri omnes. Erant qui cum vet. Irenaei Interprete, qui* qualem naturam femina habebat parere *habet,* θήλεια *reponendum censerent. V. Massuet. ad h. l.*

4. *Cod. Ven. praebet* μήτε αὐτὸ τὸ εἶναι τελείως ἔχειν. *Petavius volebat* μὴ καὶ αὐτὸ τὸ εἶναι τέλος ἔχῃ, *secundum Latinum Interpretem, qui* timuisse ne hoc ipsum finem habeat *convertit. At v. Massueti adnotata ad Irenaeum.*

5. *Ita codd. Ven. et Reg. Vulgo* γένος.

6. *Ita cod. Vatic. Vulgo* πειρασθῆναι.

7. ἱκέτην *codd. Ven. et Vatic.*

8. *Ita rescribendum esse censuit iam olim Billius; adstipulantur codd. Ven. et Vatic. Vulgo enim desideratur illud* τῆς ὕλης. *Cod. Rhedig. habet* τὴν οὐσίας ἐκ τῆς ἀγνοίας.

9. πατέρα, *quod non extat in edit. princ., Petavius primum adiecit ex cod. Vatic.*

10. *Recepi Massueti aliorumque virorum doctorum emendationem et a vet. Latino*

versari. Iam vero e stupore ac consilii inopia, tanquam ex ignobiliore, corporea, ut ante diximus, mundi elementa prodiisse. Ita ex attonitae mentis statu terram, aquam e lacrymis quas metus excusserat, aerem ex doloris concretione, ignem denique omnibus ingeneratum, velut mortem atque exitium, perinde atque tribus perturbationibus insertam ignorantiam docent. Ad haec, absoluta mundi fabrica, luteum Hominem a Conditore fictum, non ex sicca illa tamen humo, sed ex visum fugiente substantia, cum ex diffusa liquidaque materiae parte sumpsisset, et in eum Hominem animalem alterum inspirasset. Huncque adeo ipsum illum esse qui ad imaginem ac similitudinem sit expressus. Nam ad imaginem eum esse factum, qui materia constat, quique ita Dei similis sit, ut eandem cum ipso naturam minime sortiatur, Animalem vero ad similitudinem effictum, unde etiam vitae spiritum eius appellari substantiam, quae ex spiritali quadam fluxione profecta sit. Postremo pelliceam illi tunicam, hoc est carnem illam quam cernimus, esse circumdatam. Quod vero ad Matris Achamoth fetum alium pertinet, quem ex Angelorum Salvatoris comitum contemplatione peperit, estque spiritalis atque eiusdem cum Matre naturae, etiam hunc ignotum fuisse Conditori putant, ac clam ipso nesciente in eundem demissum, ut per hunc in profectam ab eo animam corpusque, quod cum materia concretum est, satum, ab iisdemque velut utero gestatum atque auctum, ad id quod perfectum est recipiendum idoneum redderetur. Igitur admirabili quadam, aiunt, providentia factum est Spiritalis ut homo Conditorem lateret, cum una per eius afflatum a Sapientia consereretur. Ut enim ignota illi Mater fuit, sic etiam fetus illius, quam Ecclesiam vocant, Ecclesiae alterius ac coelestis imaginem expressam. Atque hunc ipsum hominem illum esse censent qui in ipsis existat, adeo ut animam Conditori, Corpus humo, Carnem materiae, Spiritalem Hominem Matri Achamoth acceptum referant.

Ex iis tribus quod materia constat, sinistrumque vocatur, perire necessario praedicant, utpote quod ne minimum quidem immortalitatis afflatum possit recipere; Animale vero, sive dextrum, quod medium inter spiritale ac materia praeditum interiacet, illuc quo Cap. XXII.

15. *Ita codd. Vatic. et Ven., et Vet. Interpr. Vulgo* ἀνθρώπων.

16. δυνάμει καὶ προνοίᾳ *reposuerunt Billius aliique de Vet. Interprete.*

17. *Ita rescripsi praeeunte Billio aliisque, secundum Vet. Interpretis auctoritatem, et cod. Veneti, qui habet* καὶ τὸ εἶναι τὸν ἐν τοῖς αὐτοῖς ἄνθρωπον ἀξιοῦσιν. *Reliqui libri praebent* τότε εἶναι τὸν ἐν αὐτοῖς ἀξιοῦσιν.

18. *Ita cod. Ven., parte codd. mss. Vet. Interpretis quoque consentiente. Vulgo legitur* σαρκικὸν.

Cap. XXII. — 1. *Ita cod. Ven. Vulgo* ἐπιδείξασθαι.

καὶ τὴν πρόςκλισιν ποιήσηται· τὸ δὲ πνευματικὸν ἐκπεπέμφθαι ὅπως ἐνθάδε τῷ ψυχικῷ συζυγὲν μορφωθῇ, συμπαιδευθὲν αὐτῷ ἐν τῇ ἀναστροφῇ. Καὶ τοῦτ' εἶναι [2] λέγουσι τὸ ἅλας καὶ τὸ φῶς τοῦ κόσμου. Ἔδει γὰρ τῶν ψυχικῶν καὶ αἰσθητῶν παιδευμάτων. [3] Διὸ καὶ κόσμον κατεσκευάσθαι λέγουσι, καὶ τὸν Σωτῆρα δὲ ἐπὶ τοῦτο παραγεγονέναι τὸ ψυχικὸν, ἐπεὶ καὶ αὐτεξούσιόν ἐστιν, ὅπως αὐτὸ σώσῃ. Ὧν γὰρ ἤμελλε σώζειν τὰς ἀπαρχὰς [4] αὐτὸν εἰληφέναι φάσκουσιν, ἀπὸ μὲν τῆς Ἀχαμὼθ τὸ πνευματικὸν, ἀπὸ δὲ τοῦ Δημιουργοῦ ἐνδεδύσθαι τὸν ψυχικὸν Χριστὸν, ἀπὸ δὲ τῆς οἰκονομίας περιτεθεῖσθαι σῶμα ψυχικὴν [5] ἔχον οὐσίαν, κατεσκευασμένον δὲ ἀρρήτῳ τέχνῃ, πρὸς τὸ καὶ [6] ὁρατὸν καὶ ψηλαφητὸν καὶ παθητὸν [7] γεγενῆσθαι. Καὶ ὑλικὸν δὲ οὐδ' ὁτιοῦν εἰληφέναι λέγουσιν αὐτόν· μὴ γὰρ εἶναι τὴν ὕλην δεκτικὴν σωτηρίας. Τὴν δὲ συντέλειαν ἔσεσθαι ὅταν μορφωθῇ καὶ [8] τελειωθῇ γνώσει πᾶν τὸ πνευματικὸν, τουτέστιν οἱ πνευματικοὶ ἄνθρωποι, οἱ τὴν τελείαν γνῶσιν ἔχοντες περὶ Θεοῦ καὶ τῆς Ἀχαμὼθ [9] μεμυημένοι μυ-
pag. 189. στήρια. Εἶναι δὲ τούτους ὑποτίθενται. Ἐπαιδεύθησαν γὰρ τὰ ψυχικὰ οἱ ψυχικοὶ ἄνθρωποι, οἱ δι' ἔργων καὶ πίστεως ψιλῆς βεβαιούμενοι, καὶ μὴ τὴν τελείαν γνῶσιν ἔχοντες. Εἶναι δὲ τούτους ἀπὸ τῆς Ἐκκλησίας ἡμᾶς λέγουσι· διὸ καὶ ἡμῖν μὲν ἀναγκαῖον εἶναι τὴν ἀγαθὴν πρᾶξιν ἀποφαίνονται, ἄλλως γὰρ ἀδύνατον σωθῆναι. Αὐτοὺς δὲ μὴ διὰ πράξεως, ἀλλὰ διὰ τὸ φύσει πνευματικοὺς εἶναι πάντῃ τε καὶ πάντως σωθήσεσθαι δογματίζουσιν. Ὡς γὰρ τὸ χοϊκὸν ἀδύνατον σωτηρίας μετασχεῖν (οὐ γὰρ εἶναι [10] λέγουσιν αὐτοὶ δεκτικὸν αὐτῆς), οὕτως πάλιν τὸ πνευματικὸν, [11] ὃ αὐτοὶ εἶναι θέλουσιν, ἀδύνατον φθορὰν καταδέξαθαι, κἂν ὁποίαις συγκαταγένωνται πράξεσιν. Ὃν γὰρ τρόπον χρυσὸς ἐν βορβόρῳ κατατεθεὶς οὐκ ἀποβάλλει τὴν καλλονὴν αὐτοῦ, ἀλλὰ τὴν ἰδίαν φύσιν διαφυλάττει, τοῦ βορβόρου μηδὲν ἀδικῆσαι [12] δυναμένου τὸν χρυσὸν, οὕτω δὲ καὶ αὐτοὺς λέγουσι, κἂν ἐν ποίαις ὑλικαῖς πράξεσι καταγένωνται, μηδὲν αὐτοὺς παραβλάπτεσθαι, μηδὲ ἀποβάλλειν τὴν πνευματικὴν ὑπόστασιν.

Κεφ. κγ'. Διὸ δὴ καὶ τὰ [1] ἀπειρημένα πάντα ἀδεῶς οἱ τελειότατοι πράττουσιν αὐτῶν, περὶ ὧν αἱ γραφαὶ διαβεβαιοῦνται τοὺς ποιοῦντας αὐτὰ βασιλείαν Θεοῦ μὴ κληρονομήσειν. Καὶ γὰρ εἰδωλόθυτα [2] ἀδιαφόρως ἐσθίουσι, μηδὲ μολύνεσθαι ὑπ' αὐτῶν ἡγούμενοι, καὶ ἐπὶ πᾶσαν ἑορτά-

2. Ͽέλουσι cod. *Ven.*
3. *Ita cod. Ven., et coniecerunt iam olim Billius et Petavius. Vulgo* δι' ὧν.
4. *Ita cod. Ven, consentiente Vet. Interprete. Vulgo* αὐτῶν.
5. ἔχων cod. *Ven.*
6. *Ita cod. Ven., conspirante Vet. Interpr. Vulgo* πρὸς τὸ ἀόρατον καὶ ἀψηλάφητον.
7. γενέσϑαι cod. *Ven.*
8. τελειωϑὲν cod. *Ven.*
9. *Ita reposui de auctoritate cod. Veneti, qui conspirat cum Vet. Interprete. Vulgo* τῆς Ἀχαμὼϑ. μεμυημένους δὲ μυστήρια εἶναι τούτους *celt.*

suopte nutu propenderit proficisci. Quod autem spiritale sit idcirco mitti, ut hic cum Animali copulatum cum eoque in vivendi ratione pariter eruditum fingi formarique possit. Atque hunc demum salem illum ac Mundi lucem esse dictitant, de quibus Evangelia loquuntur. Matth. 5, 13.
Etenim animale externa sensuum disciplina opus habuit. Quam ob caussam et Mundum fabricatum esse contendunt, atque ad Animale istud, quandoquidem libertate praeditum est, quo ei salutem afferret, Salvatorem esse delapsum. Nam eorum, quae servare decreverat, omnium in sese ferunt illum habuisse primitias, puta ab Achamoth spiritum, Animalem a Conditore Christum ac functionis suae administrandae gratia corpus animali natura constans induisse, et quidem incredibili quadam arte sic elaboratum, ut videri, contrectari patique posset. Quare nihil eidem cum materia fuisse commune, quippe cum materia consequendae saluti nequaquam idonea sit. Praeterea tum rerum omnium finem atque exitum fore, cum quicquid spiritale est, id est spiritales homines, qui perfectam de Deo scientiam habent, et ab Achamoth mysteriis initiati sunt. Cuiusmodi se esse ipsos asserunt. Etenim animales homines animali quadam disciplina institutos esse, qui quidem operibus ac simplici fide stabiliuntur, neque perfectam scientiam adepti sunt. Eiusmodi nos esse, qui in Ecclesiae grege numeramur, ideoque recte factis opus esse nobis praedicant, neque aliter posse nos salutem obtinere: se vero non ullius actionis beneficio, sed quod natura spiritales sint, omnino salutis compotes fore confidunt. Nam uti quod terrenum est servari nullo modo potest, neque natura ad id idoneum est, sic contra quod est spiritale, cuiusmodi se esse volunt, utcumque sese gesserit, corrumpi nequaquam posse. Ac quemadmodum aurum in coenum abiectum pulchritudinem non amittit, sed citra ullam decoris iniuriam naturam retinet, ita semetipsos asserunt, tametsi quibusvis in actionibus, adeoque concretis cum materia, versentur, nullum ex eo detrimentum capere, neque spiritalem substantiam posse perdere.

Quocirca qui inter illos perfectissimi censentur, illicita omnia Cap. XXIII.
legibusque vetita licenter perpetrant, de quibus literae sacrae testantur: *Qui eiusmodi committant, ab hereditate regni coelestis excidere.* Galat. 5, 21.
Igitur et quae idolis immolata sunt nullo discrimine comedunt, nihilque ex ea re contagionis ad sese derivari putant, et ad omnia genti-

10. δεκτικὸν λέγουσιν αὐτοὶ cod. *Ven.*

11. ὃ αὐτοὶ εἶναι θέλουσιν *restitui ex Vet. Interprete, et cod. Ven., qui habet* οἱ αὐτοὶ εἶναι θέλουσιν. *Vulgo* θέλουσιν οἱ αὐτοὶ εἶναι.

12. δυναμένου, *quod desideratur in ed. princ., primum Petavius ex cod. Vaticano adiecit.*

Cap. XXIII. — 1. προειρημένα cod. *Ven.*

2. ἀδιαφόρως *sententia postulavit. Libri habent* διαφόρως.

*σιμον τῶν ἐθνῶν τέρψιν εἰς τιμὴν τῶν εἰδώλων γινομένην πρῶτοι συνίασιν, ὡς μηδὲ τῆς παρὰ θεῷ καὶ ἀνθρώποις μεμισημένης τῆς τῶν θηριομάχων καὶ μονομαχίας ἀνδροφόνου θέας ἀπέχεσθαι ἐνίους αὐτῶν· οἱ δὲ καὶ ταῖς τῆς σαρκὸς ἡδοναῖς κατακόρως δουλεύοντες τὰ σαρκικὰ τοῖς σαρκικοῖς καὶ τὰ πνευματικὰ τοῖς πνευματικοῖς ἀποδίδοσθαι λέγουσι. Καὶ οἱ μὲν αὐτῶν λάθρα τὰς διδασκομένας ὑπ' αὐτῶν τὴν διδαχὴν ταύτην γυναῖκας διαφθείρουσιν, ὡς πολλάκις ὑπ' ἐνίων αὐτῶν ἐξαπατηθεῖσαι, ἔπειτα ἐπιστρέψασαι γυναῖκες εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ σὺν τῇ λοιπῇ πλάνῃ καὶ τοῦτο ἐξωμολογήσαντο, οἱ δὲ καὶ κατὰ τὸ φανερὸν ἀπερυθριάσαντες ὧν ἂν ἐρασθῶσι [3] γυναικῶν ταύτας ἀπ' ἀνδρῶν [4] ἀποσπάσαντες ἰδίας γαμετὰς ἡγήσαντο· ἄλλοι δὲ αὖ πάλιν*
pag. 190. *σεμνῶς κατ' ἀρχάς, ὡς μετὰ ἀδελφῶν προσποιούμενοι συνοικεῖν, προϊόντος τοῦ χρόνου ἠλέγχθησαν, ἐγκύμονος τῆς ἀδελφῆς ὑπὸ τοῦ ἀδελφοῦ γενηθείσης. Καὶ ἄλλα δὲ πολλα μυσαρὰ καὶ ἄθεα πράσσοντες ἡμῶν μὲν διὰ τὸν φόβον τοῦ θεοῦ φυλασσομένων καὶ μέχρις ἐννοίας καὶ λόγου ἁμαρτεῖν κατατρέχουσιν ὡς [5] ἰδιωτῶν καὶ μηδὲν ἐπισταμένων, ἑαυτοὺς δὲ ὑπερυψοῦσι, τελείους ἀποκαλοῦντες, καὶ σπέρματα ἐκλογῆς. Ἡμᾶς μὲν γὰρ ἐν χρήσει τὴν χάριν λαμβάνειν λέγουσι, διὸ καὶ ἀφαιρεθήσεσθαι αὐτῆς· αὐτοὺς δὲ ἰδιόκτητον ἄνωθεν ἀπὸ τῆς ἀρρήτου καὶ ἀνονομάστου συζυγίας [6] συγκατεληλυθυῖαν ἔχειν τὴν χάριν, καὶ διὰ τοῦτο προςτεθήσεσθαι αὐτοῖς. Διὸ καὶ ἐκ παντὸς τρόπου δεῖν αὐτοὺς ἀεὶ τὸ τῆς συζυγίας μελετᾶν μυστήριον. Καὶ τοῦτο πείθουσι τοὺς ἀνοήτους αὐταῖς λέξεσι λέγοντες οὕτως. Ὃς ἂν ἐν κόσμῳ γενόμενος γυναῖκα οὐκ ἐφίλησεν, ὥςτε αὐτὴν κρατηθῆναι, οὐκ ἔστιν ἐξ ἀληθείας, καὶ οὐ χωρήσει εἰς ἀλήθειαν· ὁ δὲ ἀπὸ κόσμου [7] ὢν κρατηθεὶς γυναικὶ οὐ χωρήσει εἰς ἀλήθειαν, διὰ τὸ μὴ ἐν ἐπιθυμίᾳ κρατηθῆναι γυναικός. Διὰ τοῦτο οὖν ἡμᾶς [8] καλοὺς ψυχικοὺς ὀνομάζουσι καὶ [9] ἐκ κόσμου εἶναι λέγουσι, καὶ ἀναγκαίαν ἡμῖν τὴν ἐγκράτειαν καὶ ἀγαθὴν πρᾶξιν, ἵνα δι' αὐτῆς ἔλθωμεν εἰς τὸν τῆς μεσότητος τόπον. Αὐτοῖς δὲ πνευματικοῖς τε καὶ τελείοις καλουμένοις μηδαμῶς· [10] οὐ γὰρ πρᾶξις εἰς Πλήρωμα εἰςάγει, ἀλλὰ τὸ σπέρμα τὸ ἐκεῖθεν νήπιον ἐκπεμπόμενον, [11] ἐνθάδε τελειούμενον. Ὅταν δὲ πᾶν τὸ σπέρμα τελειωθῇ, τὴν μὲν Ἀχαμὼθ τὴν μητέρα αὐτῶν [12] μεταστῆναι τοῦ τῆς μεσότητος τόπου λέγουσι, καὶ ἐντὸς Πληρώματος εἰςελθεῖν καὶ ἀπολαβεῖν τὸν νυμφίον αὐτῆς τὸν Σωτῆρα, τὸν ἐκ πάντων γεγονότα, ἵνα συζυγία γένηται τοῦ*

3. γυναικῶν *non exstat in cod. Ven.*
4. ἀποσπόντες γαμετὰς *cod. Ven.*
5. ἰδίῳ τῶν *ed. princ., quod vitium Petavius correxit ope cod. Vaticani.*
6. κατεληλυθυῖαν *cod. Ven.*
7. ὢν μὴ κρατηθεὶς *codd. Ven. et Vatic.* γενόμενος μὴ κρατηθεὶς *reliqui libri. Negatio deleta est ex auctoritate Vet. Interpretis.*
8. *De iure huius vocabuli, quod Vet. quidem Interpres non agnoscit,* καλούς, *adeas Grabium. Billius proposuit hanc emendationem:* ἡμῖν μέν, οὓς ψυχικοὺς ὀνομάζουσι *cett., quod non probo.*

lium festa, quae ad idolorum cultum instituta sunt, primi omnium accurrunt; ut neque ab eorum qui cum bestiis depugnant, aut gladiatorum foedis illis ac deo pariter atque hominibus execrandis parricidiique plenis spectaculis quidam illorum abstineant. Alii dum in voluptatibus corporis ac libidinibus assidue volutantur, carnalia se carnalibus, ac spiritalibus spiritalia reddere profitentur. Quamobrem nonnulli clam stupra cum mulierculis disciplinae huius suae alumnis exercent, id quod pleraeque olim ab illis deceptae, ac postremo ad ecclesiam dei reversae inter alios errores persaepe confessae sunt. Sunt et qui pudore omni posito, quascumque mulieres adamarint, palam a viris abductas pro legitimis uxoribus habent. Sed alii, qui se principio sororum illas loco honestius habere simulaverant, paulatim detecti sunt, ac praegnans denique soror ex contubernio fratris inventa. Dici non potest quam impia ac detestanda alia flagitia committant; quae dum faciunt, nos scilicet, qui prae dei timore ne cogitatione vel sermone quidem scelus ullum admittere studemus, tanquam idiotas atque imperitos derident, se vero mirifice praedicant ac perfectos homines electamque stirpem nominant. Nos enim velut mutuo gratiam ad usum accipere, eaque propterea spoliandos affirmant, sibi velut peculiarem accidisse possessionem, quae de coelesti coniugio, quod neque verbis exprimi neque nominari potest, una in se descenderit; ideo novam etiam ad eam quam habent accessionem futuram. Interesse igitur sua plurimum, ut quacumque ratione possunt coniugii mysterium illud exerceant, idque ipsum stolidis hominibus his fere verbis persuadent. Quicumque cum in mundo esset mulierem non amaverit, ut eam ad amorem suum pelliceret, a veritate alienus est, nec ad eam perveniet. Sed quisquis ortus e mundo muliebri non est amore correptus, ne ipse quidem ad veritatem perveniet, quod non mulieris cupiditate flagraverit. Nos itaque quos animales nominant, esseque de mundo statuunt, temperantia et honestis actionibus indigere, quibus mediocrem ad regionem efferamur, cum ipsimet, utpote spiritales ac perfecti, nihil horum requirant. Non enim actionem ad Pleroma provehere, sed semen ipsum, quod illinc tenerum ac velut infans demissum hic apud nos absolutum redditur. Atque ubi semen omne perfectum fuerit, tum ipsorum Matrem Achamoth ex media illa sede transferri, et intra Pleroma recipi oportere, nec non et sponsum suum recuperare, Salvatorem illum,

9. *ἐγκόσμους cod. Ven.*
10. οὐ πράξεις γὰρ εἰς πληρώσεις ἄγει *cod. Ven.*
11. hic autem perfectum factum *reddidit Vet. Interpres, qui* ἔνθα δὲ *videtur legisse.*
12. *Ita codd. Ven. Rhedig. Paris.* μεταβῆναι *ed. Petavii.* μεταθῆναι *ed. princ.*

*Σωτῆρος καὶ τῆς Σοφίας τῆς Ἀχαμὼθ, καὶ τοῦτο εἶναι νυμφίον καὶ νύμφην, νυμφῶνα δὲ τὸ πᾶν Πλήρωμα. Τοὺς δὲ πνευματικοὺς ἀποδυσαμένους τὰς ψυχὰς καὶ πνεύματα νοερὰ γενομένους ἀκρατήτως καὶ ἀοράτως ἐντὸς Πληρώματος* [13] *εἰςελθόντας νύμφας ἀποδοθήσεσθαι τοῖς περὶ τὸν Σωτῆρα Ἀγγέλοις. Τὸν δὲ Δημιουργὸν μεταβῆναι καὶ αὐτὸν εἰς τὸν τῆς Μητρὸς Σοφίας τόπον, τουτέστιν ἐν τῇ μεσότητι.*
pag. 191. *Τάς τε τῶν δικαίων ψυχὰς ἀναπαύσεσθαι καὶ αὐτὰς ἐν τῷ τῆς μεσότητος τόπῳ. Μηδὲν γὰρ ψυχικὸν ἐντὸς Πληρώματος χωρεῖν.*

Κεφ. κδ'. *Τούτων δὲ γενομένων οὕτως τὸ ἐμφωλεῦον τῷ κόσμῳ πῦρ ἐκλάμψαν καὶ ἐξαφθὲν καὶ κατεργασάμενον πᾶσαν ὕλην συναναλωθήσεσθαι αὐτῇ, καὶ εἰς τὸ μηκέτ' εἶναι χωρήσειν διδάσκουσι. Τὸν δὲ Δημιουργὸν μηδὲν τούτων ἐγνωκέναι ἀποφαίνονται πρὸ τῆς τοῦ Σωτῆρος παρουσίας. Εἰσὶ δὲ οἱ λέγοντες προβαλέσθαι αὐτὸν καὶ Χριστὸν υἱὸν ἴδιον, ἀλλὰ* [1] *καὶ ψυχικόν·* [2] *περὶ τούτου διὰ τῶν προφητῶν λελαληκέναι. Εἶναι δὲ τοῦτον τὸν διὰ Μαρίας διοδεύσαντα, καθάπερ ὕδωρ διὰ σωλῆνος ὁδεύει, καὶ εἰς τοῦτον ἐπὶ τοῦ βαπτίσματος κατελθεῖν ἐκεῖνον τὸν ἀπὸ τοῦ Πληρώματος ἐκ πάντων Σωτῆρα ἐν εἴδει περιστερᾶς. Γεγονέναι δὲ ἐν αὐτῷ καὶ τὸ αὐτὸ τῆς Ἀχαμὼθ σπέρμα πνευματικόν. Τὸν οὖν κύριον ἡμῶν ἐκ τεσσάρων τούτων σύνθετον γεγονέναι φάσκουσιν, ἀποσώζοντα τὸν τύπον τῆς ἀρχεγόνου καὶ πρώτης τετρακτύος, ἔκ τε τοῦ πνευματικοῦ, ὃ ἦν ἀπὸ τῆς Ἀχαμὼθ, καὶ ἐκ τοῦ ψυχικοῦ, ὃ ἦν ἀπὸ τοῦ Δημιουργοῦ, καὶ ἐκ τῆς οἰκονομίας, ὃ ἦν κατεσκευασμένον ἀρρήτῳ τέχνῃ, καὶ ἐκ τοῦ Σωτῆρος, ὃ ἦν κατελθοῦσα εἰς αὐτὸν περιστερά. Καὶ* [3] *τοῦτον μὲν ἀπαθῆ διαμεμενηκέναι (οὐ γὰρ ἐνδέχετο παθεῖν αὐτὸν ἀκράτητον καὶ ἀόρατον ὑπάρχοντα), καὶ διὰ τοῦτο ἦρθαι, προςαγομένου αὐτοῦ τῷ Πιλάτῳ, τὸ εἰς αὐτὸν κατατεθὲν πνεῦμα Χριστοῦ. Ἀλλ' οὐδὲ τὸ ἀπὸ τῆς Μητρὸς σπέρμα πεπονθέναι λέγουσιν· ἀπαθὲς γὰρ καὶ* [4] *αὐτὸ τὸ πνευματικὸν καὶ ἀόρατον* [5] *καὶ αὐτῷ τῷ Δημιουργῷ. Ἔπαθε δὲ λοιπὸν* [6] *κατ' αὐτοὺς ὁ ψυχικὸς Χριστὸς, καὶ ὁ ἐκ τῆς οἰκονομίας κατεσκευασμένος μυστηριωδῶς,* [7] *ἵν'* [8] *ἐπιδείξῃ* [9] *αὐτοῦ ἡ Μήτηρ τὸν τύπον τοῦ ἄνω Χριστοῦ, ἐκείνου τοῦ* [10] *ἐπεκταθέντος τῷ σταυρῷ καὶ μορφώσαντος τὴν Ἀχαμὼθ μόρφωσιν τὴν κατ' οὐσίαν. Πάντα γὰρ ταῦτα τύπους ἐκείνων εἶναι λέγουσι. Τὰς δὲ ἐσχηκυίας τὸ σπέρμα τῆς Ἀχαμὼθ ψυχὰς ἀμείνους λέγουσι γεγονέναι τῶν* [11] *λοιπῶν· διὸ καὶ πλεῖον τῶν ἄλλων ἠγαπῆσθαι ὑπὸ τοῦ Δημιουργοῦ,*

13. εἰςελθεῖν τὰς νύμφας *cod. Paris.*

Cap. XXIV. — 1. καὶ, *quod omnes libri tuentur una cum Vet. Interpr., nescio cur uncinis notaverit Petavius.*

2. περὶ τούτου δὲ *voluit Petavius.*

3. *Ita cod. Ven. Vulgo* τοῦτο.

4. αὐτὸ, ἅτε πνευματικὸν *emendat Massuetus sec. Vet. Interpretem.*

5. καὶ τὸ τοῦ δημιούργου *cod. Ven.*

6. ὁ κατ' αὐτοὺς *cod. Ven.*

quia ab universis in lucem est editus, ut Salvatoris, et Sapientiae Achamoth coniugium instituatur. Idque adeo sacris in literis sponsum ac sponsam significare, thalamumque Pleroma ipsum esse. At spiritales homines, postquam animas exuerint, et ad spirituum purarumque mentium conditionem evaserint, ac nullo detinente nec aspectabiles in Pleroma penetraverint, Salvatoris comitibus Angelis collocari. Quod ad Conditorem spectat, eum quoque Sapientiae Matris in locum successurum, mediamque regionem occupaturum existimant. Eodemque loco iustorum animas otio ac quiete potituras esse, quod ad Pleroma nihil animale perveniat.

His peractis ignem illum, qui in mundi latebris delitescit, erupturum ac conflagraturum esse, donec omni consumpta materia cum eadem et ipse consumptus atque in nihilum redactus fuerit. Quorum omnium nihil ante Salvatoris adventum Conditori fuisse cognitum. Nec desunt quibus placeat etiam ab illo peculiarem filium Christum, sed animalem, productum, de quo per prophetas locutus sit. Hunc illum esse qui sic tanquam aqua per fistulas, ita per Mariam transierit; in eumque postea cum baptizaretur sub columbae descendisse specie alterum illum de Pleromate Salvatorem ex omnibus conflatum, imo etiam et eidem Achamothis spiritale semen insitum fuisse. Unde quatuor ex illis compositum esse dominum asseverant, ut primariae illius ac primigeniae Tetradis similitudinem exprimeret, nimirum e spiritali, quod ab Achamothe derivatum est, ex Animali, quod a Conditore, ex Incarnatione, quod inexplicabili quodam est artificio contextum, ac demum e Salvatore hoc est columba illa de coelo delapsa. Atque hunc quidem patibilem nunquam fuisse, quoniam pati omnino nequeat, quod neque contineri neque oculis usurpari possit. Proindeque cum ad Pilatum perductus est, demissum in eum Christi Spiritum evolasse. Sed neque maternum illud semen quicquam esse perpessum; quod nihilo magis patibile sit, utpote spiritale, nec vel ipsi Conditori quidem aspectabile. Restat igitur ut illorum opinione Animalis ille Christus sit passus, itidemque et alter qui ex Incarnatione conflatus est. Quod non sine mysterio perfectum est, ut summi illius Christi per eum Mater imaginem exhiberet, qui in Cruce distentus Achamothem substantiae informatione perpolivit; haec enim omnia superiorum illorum figuram continere. Quae vero animae Achamothis semine sint aspersae, eas ceteris esse meliores, atque impensius a Conditore diligi; qui eius tamen rei caussam non intelli-

Cap. XXIV.

7. ἵνα cod. Ven.
8. ἐπεδείξῃ ed. princ., quod vitium ex cod. Vaticani auctoritate a Petavio sublatum est.
9. δι' αὐτοῦ emendant Petavius, Massuetus aliique, secundum Vet. Interpretem.
10. ἐπεκτανθέντος cod. Ven.
11. λοιπῶν δύο. καὶ cod. Ven.

μὴ εἰδότος τὴν αἰτίαν, ἀλλὰ παρ' αὐτοῦ λογιζομένου εἶναι τοιαύτας.
pag. 192. Διὸ καὶ εἰς προφήτας, φασὶν, ἔτασσεν [12] αὐτοὺς, καὶ ἱερεῖς, καὶ βα-
σιλεῖς, καὶ πολλὰ ὑπὸ τοῦ σπέρματος τούτου εἰρῆσθαι διὰ τῶν προφη-
τῶν ἐξηγοῦνται, ἅτε ὑψηλοτέρας φύσεως [13] ὑπάρχοντος. Πολλὰ δὲ καὶ
τὴν Μητέρα περὶ τῶν ἀνωτέρω εἰρηκέναι λέγουσιν, ἀλλὰ καὶ διὰ τού-
του καὶ τῶν ὑπὸ τούτου γενομένων ψυχῶν. Καὶ λοιπὸν τέμνουσι τὰς
προφητείας τὸ μέν τι ἀπὸ τῆς Μητρὸς εἰρῆσθαι θέλοντες, τὸ δέ τι ἀπὸ
τοῦ σπέρματος, τὸ δέ τι ἀπὸ τοῦ Δημιουργοῦ. Ἀλλὰ καὶ τὸν Ἰησοῦν
ὡςαύτως τὸ μέν τι ἀπὸ τοῦ Σωτῆρος εἰρηκέναι, τὸ δέ τι ἀπὸ τῆς Μη-
τρὸς, τὸ δέ τι ἀπὸ τοῦ Δημιουργοῦ, καθὼς ἐπιδείξομεν [14] ἔτι προϊόν-
τος ἡμῖν τοῦ λόγου. Τὸν δὲ Δημιουργὸν, ἅτε ἀγνοοῦντα τὰ ὑπὲρ αὐ-
τὸν, κινεῖσθαι μὲν ἐπὶ τοῖς λεγομένοις, καταπεφρονηκέναι δὲ αὐτῶν
ἄλλοτε ἄλλην αἰτίαν νομίσαντα, [15] ἢ τὸ πνεῦμα τὸ προφητεῦον, ἔχον
καὶ αὐτὸ ἰδίαν τινὰ κίνησιν, ἢ τὸν ἄνθρωπον, ἢ τὴν προςπλοκὴν
[16] τῶν χειρόνων, καὶ οὕτως ἀγνοοῦντα διατετελεκέναι ἄχρι τῆς παρου-
σίας [17] τοῦ κυρίου. Ἐλθόντος δὲ τοῦ Σωτῆρος μαθεῖν αὐτὸν παρ'
αὐτοῦ πάντα λέγουσι, καὶ ἄσμενον αὐτῷ προςχωρήσαντα μετὰ πάσης
τῆς δυνάμεως αὐτοῦ, καὶ αὐτὸν εἶναι τὸν ἐν τῷ εὐαγγελίῳ ἑκατόνταρ-
χον, λέγοντα τῷ Σωτῆρι, Καὶ γὰρ ἐγὼ ὑπὸ τὴν ἐμαυτοῦ ἐξουσίαν ἔχω
στρατιώτας καὶ δούλους, καὶ ὃ ἐὰν προςτάξω ποιοῦσι. Τελέσειν δὲ
αὐτὸν τὴν κατὰ τὸν κόσμον οἰκονομίαν μέχρι τοῦ δέοντος καιροῦ, μά-
λιστα δὲ διὰ τὴν τῆς Ἐκκλησίας ἐπιμέλειαν, [18] ἀλλὰ καὶ διὰ τὴν ἐπί-
γνωσιν τοῦ ἑτοιμασθέντος αὐτῷ ἐπάθλου, ὅτι εἰς τὸν τῆς Μητρὸς τό-
πον χωρήσει.

Κεφ κε'. Ἀνθρώπων δὲ τρία γένη ὑφίστανται, πνευματικὸν, χοϊκὸν, ψυ-
χικὸν, καθὼς ἐγένοντο Κάϊν, Ἄβελ, [1] Σὴθ, καὶ ἐκ τούτων τὰς τρεῖς
φύσεις, οὐκέτι [2] καθ' ἕνα, ἀλλὰ κατὰ γένος. Καὶ τὸ μὲν χοϊκὸν εἰς
φθορὰν χωρεῖν, καὶ τὸ ψυχικὸν, ἐὰν [3] τὰ βελτίονα ἕληται, ἐν τῷ τῆς
μεσότητος τόπῳ ἀναπαύεσθαι, ἐὰν δὲ τὰ χείρω, χωρήσειν καὶ αὐτὸ
πρὸς τὰ ὅμοια· τὰ δὲ πνευματικὰ, [4] ἃ ἐγκατασπείρει ἡ Ἀχαμὼθ, ἔκ-
τοτε ἕως τοῦ νῦν δικαίαις ψυχαῖς παιδευθέντα ἐνθάδε καὶ [5] ἐκτρα-
φέντα, διὰ τὸ νήπια [6] ἐκπεπέμφθαι, ὕστερον τελειότητος ἀξιωθέντα
νύμφας ἀποδοθήσεσθαι τοῖς τοῦ Σωτῆρος Ἀγγέλοις δογματίζουσι, τῶν
pag. 193. ψυχῶν αὐτῶν [7] κατ' ἀνάγκην [8] ἐν μεσότητι μετὰ τοῦ Δημιουργοῦ ἀνα-

12. αὐτὰς *correxit Massuetus, secundum Vet. Interpretem, et Tertull. adv. Valent. cap.* 29.

13. *Ita cod. Ven. Vulgo* ὑπάρχουσας.

14. ἔτι *adieci ex cod. Veneto.*

15. ἤτοι *cod. Ven.*

16. *Ita correxi ex Interprete Latino. Nam Graeci libri omnes tuentur* τῶν χειρων, *quod mendum esse nemo non videt.*

17. τοῦ κυρίου. Ἐλθόντος δὲ *om. cod. Ven.*

18. ἀλλὰ *om. cod. Ven. Nec Vet. Interpr. eam particulam agnoscit.*

Cap. XXV. — 1. *Vet. Interpres habet* Seth, ut et ex his ostendant tres naturas *cett., uti videatur eum legisse* ἵνα ἐπιδείξωσι καὶ ἐκ τούτων *cett.*

2. καθ' ἕνα *cod. Ven., et Vet. Interpres,*

gens ex sese illas eiusmodi esse putet. Quamobrem prophetas ex iis, vel sacerdotes, vel reges instituit, ac pleraque a prophetis pronunciata de isto semine interpretantur, quasi illorum animae naturae cuiusdam sublimioris extiterint. Quinetiam de coelestibus multa disputasse Matrem, deque animis quos vel ille vel qui ab illo oriundi sunt produxerunt. Unde et prophetarum vaticinia ita partiuntur, quaedam ut effata Matris esse velint, alia ab semine, alia a Conditore profecta. Ipsum etiam Iesum partim a Salvatore tradita, partim a Matre, partim denique a Conditore dixisse, id quod in sequentibus ostendemus. Conditorem vero eorum quae supra se erant ignarum, iis sane quae commemoravimus fuisse commotum, sed eadem contempsisse nihilominus, et alias aliam esse caussam existimasse, sive prophetico afflatu praeditum spiritum, quod proprio quodam motu cietur, sive hominem, sive deteriorum complexionem. In eaque tamdiu ignoratione versatum quoad Dominus advenerit. Simul enim ac Salvator accessit, ab eo cuncta didicisse putant, et ad eum libenter cum omnibus suis copiis transiisse, eumque illum esse Centurionem qui in evangelio ita Salvatorem alloquitur: *Nam et ego in mea pote-* Matth. 8, 9.
*state habeo milites, et servos, et quodcumque imperavero perficiunt.* Luc. 7, 8.
Addunt mundi illum procurationi ad idoneum usque tempus praefuturum, praesertim ob Ecclesiae administrationem, eiusque praemii cognitionem, quod eidem est constitutum, nimirum ut ad Matris sedem evehatur.

Hominum porro tria genera statuuntur, Spiritale, Terrenum, Animale, quae in Caino, Abele ac Setho cernuntur. A quibus totidem naturae non iam in singulis, sed per genera propagatae sunt. Ex iis Terrenum corruptione dissolvi, Animale vero, si se potioribus dediderit, mediocri in regione conquiescere, sin deteriora eligat, ad similia transferri. Spiritalia denique, quae quidem Achamoth conseverit, ex illo tempore in hodiernum usque piarum animarum disciplinae commissa et educata, quod adhuc infantia missa sint, postea ubi perfectionem adepta fuerint, Salvatoris Angelis matrimonio collocari, cum interim animae ipsae cum Conditore necessario

Cap. XXV.

*qui habet:* iam non secundum unumquemque. *Vulgo* καθ' ἓν *extat.*

3. τὲ *cod. Ven.*

4. *Ita restitui partim ex cod. Veneto, qui habet* πνευματικὰ ἐγκατασπείρει, *consentiente Vet. Interprete, qui* Spiritalia vero inseminat Achamoth *vertit. Vulgo extat* ἃ ἂν κατασπείρῃ.

5. τραφέντα *cod. Ven.*

6. ἐκπέμπεσθαι *cod. Ven.*

7. ἐν μεσότητι κατ' ἀνάγκην *editi libri et cod. Vatic. Delevi illud* ἐν μεσότητι *ex auctoritate cod. Veneti.*

8. *Hoc alterum* ἐν μεσότητι *delet liber Vaticanus.*

*παυσαμένων εἰς τὸ παντελές. Καὶ αὐτὰς μὲν τὰς* [9] *ψυχὰς πάλιν ὑπομερίζοντες λέγουσιν ἃς μὲν φύσει ἀγαθὰς, ἃς δὲ φύσει πονηρὰς, καὶ τὰς μὲν ἀγαθὰς ταύτας εἶναι τὰς δεκτικὰς τοῦ σπέρματος γινομένας, τὰς δὲ φύσει πονηρὰς μηδέποτε ἂν ἐπιδέξασθαι ἐκεῖνο τὸ σπέρμα.*

Κεφ. κϛ'. *Τοιαύτης δὲ τῆς ὑποθέσεως αὐτῶν οὔσης, ἣν οὔτε προφῆται ἐκήρυξαν, οὔτε ὁ κύριος ἐδίδαξεν, οὔτε ἀπόστολοι παρέδωκαν, ἣν περὶ τῶν ὅλων αὐχοῦσι πλεῖον τῶν ἄλλων ἐγνωκέναι, ἐξ ἀγράφων ἀναγινώσκοντες, καὶ τὸ δὴ λεγόμενον, Ἐξ ἄμμου σχοινία πλέκειν, ἐπιτηδεύοντες, ἀξιοπίστως προσαρμόζειν πειρῶνται τοῖς εἰρημένοις, ἤτοι παραβολὰς κυριακὰς, ἢ ῥήσεις προφητικὰς, ἢ λόγους ἀποστολικοὺς, ἵνα τὸ πλάσμα αὐτῶν μὴ ἀμάρτυρον εἶναι δοκῇ, τὴν μὲν τάξιν καὶ τὸν εἱρμὸν τῶν γραφῶν ὑπερβαίνοντες, καὶ* [1] *ὅσον ἐφ' ἑαυτοῖς λύοντες τὰ μέλη τῆς ἀληθείας. Μεταφέρουσι δὲ καὶ μεταπλάττουσι, καὶ ἄλλο ἐξ ἄλλου ποιοῦντες ἐξαπατῶσι πολλοὺς τῇ τῶν ἐφαρμοζομένων κυριακῶν λογίων* [2] *κακοσυνθέτων φαντασίᾳ. Ὅνπερ τρόπον εἴ τις βασιλέως εἰκόνος καλῆς κατεσκευασμένης* [3] *ἐπιμελῶς ἐκ ψηφίδων ἐπισήμων ὑπὸ σοφοῦ τεχνίτου λύσας τὴν ὑποκειμένην τοῦ ἀνθρώπου ἰδέαν* [4] *μετενέγκοι τὰς ψηφίδας ἐκείνας καὶ μεθαρμόσοι καὶ ποιήσει μορφὴν κυνὸς ἢ ἀλώπεκος, καὶ* [5] *ταύτην φαύλως κατεσκευασμένην, ἔπειτα διορίζοιτο καὶ λέγοι ταύτην εἶναι τὴν τοῦ βασιλέως ἐκείνην εἰκόνα τὴν καλὴν ἣν ὁ σοφὸς τεχνίτης κατεσκεύασε, δεικνὺς τὰς ψηφίδας τὰς καλῶς ὑπὸ τοῦ τεχνίτου τοῦ πρώτου εἰς τὴν* [6] *τοῦ βασιλέως* [7] *εἰκόνα* [8] *συντεθείσας, καλῶς δὲ ὑπὸ τοῦ* [9] *ὑστεροῦ εἰς κυνὸς μορφὴν μετενεχθείσας, καὶ διὰ τῆς τῶν ψηφίδων φαντασίας μεθοδεύοι τοὺς ἀπειροτέρους, τοὺς κατάληψιν βασιλικῆς μορφῆς οὐκ ἔχοντας, καὶ πείθοι ὅτι αὕτη ἡ σαπρὰ τῆς ἀλώπεκος ἰδέα ἐκείνη ἐστὶν ἡ καλὴ τοῦ βασιλέως εἰκὼν, — τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι γραῶν μύθους συγκαττύσαντες,* [10] *ἔπειτα ῥήματα καὶ λέξεις καὶ παραβολὰς ὅθεν καὶ πόθεν ἀποσπῶντες, ἐφαρμόζειν βούλονται τοῖς μύθοις* [11] *αὐτῶν τὰ λόγια τοῦ θεοῦ. Καὶ ὅσα μὲν* [12] *ἐντὸς τοῦ Πληρώματος ἐφαρμόζουσιν εἰρήκαμεν.*

Κεφ. κζ'. *Ὅσα δὲ καὶ τοῖς ἐκτὸς τοῦ Πληρώματος αὐτῶν προσοικειοῦν πει-*
pag. 191. *ρῶνται ἐκ τῶν γραφῶν, ἔστι τοιαῦτα. Τὸν κύριον ἐν τοῖς ἐσχάτοις τοῦ} κόσμου χρόνοις διὰ τοῦτο ἐληλυθέναι ἐπὶ τὸ πάθος λέγουσιν, ἵν' ἐπιδείξῃ τὸ περὶ τὸν ἔσχατον τῶν Αἰώνων γεγονὸς πάθος, καὶ δι' αὐτοῦ τοῦ τέλους ἐμφήνῃ τὸ τέλος τῆς περὶ τοὺς Αἰῶνας πραγματείας·*

9. ψυχὰς cod. *Venet.*, *conspirans cum Vet. Interprete. Reliqui libri* ψυχικὰς.

Cap. XXVI. — 1. οἷον cod. *Ven.*

2. *Ita cod. Ven. Voc.* φαντασίᾳ *tuentur etiam codd. Colbert. et Bodl. Ephraemi. V. Grabii et Massueti adnotata. Vulgo extat in libris* κακοσυνθέτῳ σοφίᾳ. *Vet. Interpres habet* quae aptant ex dominicis eloquiis male composito phantasmati.

3. ἐπιμελῶς, *quod vulgo desideratur, adieci de auctoritate cod. Veneti. Tuentur etiam codd. Colb. et Bodl. Ephraemi apud*

medio in loco sese contineant. Praeterea Animas iterum hoc modo dividunt. Quasdam enim natura bonas, alias natura malas esse: bonas eiusmodi esse quae ad excipiendum semen idoneae sint, quod malae nullo modo possunt percipere.

Haec est illorum doctrina, quam neque prophetae praedicarunt, neque dominus tradidit, nec apostoli reliquerunt. Qua quidem minime scripta ex auditione sic arrepta, ut quod in proverbio est, funem ex arena texere conentur; plus se ceteris de universorum natura scire glorientur. Ad ea vero quae diximus comprobanda quaedam e sacris literis accommodant; cuiusmodi sunt usurpatae a domino parabolae, aut propheticae sententiae, aut apostolorum verba, ne confictae ab iis fabulae prorsus testimonio carere videantur. Quamquam divinorum oraculorum ordinem seriemque conturbant, ac quoad in ipsis situm est, veritatis, ut ita dicam, membra dissolvunt. Nam in alienum locum translata ac commutata pleraque et alia ex aliis facta sic proferunt, ut divinarum sententiarum, quas accommodant, callido quodam artificiosoque contextu multos in errorem inducant. Quemadmodum si imperatoris imago pulcherrimis ex tesserulis a perito quodam artifice fuerit elaborata, ac quispiam, hominis effigie dissoluta, ac transpositis aliterque collocatis tesserulis, canis aut vulpeculae speciem exprimat, ne eam quidem recte compositam, tum affirmet hoc ipsum esse egregium imperatoris simulacrum ab eximio artifice affabre factum, ostendat et illas ab eodem ad referendam principis figuram coagmentatas tesserulas, a se vero postea caninam in formam translatas, atque eiusmodi tesserularum specie imperitis illudat, qui principis imaginem nondum animo conceperint, persuadeatque quam illi vident turpem vulpis effigiem praeclaram illam imperatoris esse statuam: sic isti ad ridiculas anilesque quas consuunt nugas corrogata hinc et illinc verba et parabolas trahunt ac divina responsa fabulis suis illigare contendunt. Ex quibus quae ad Pleroma pertinere videntur paulo ante retulimus. Cap. XXVI.

Quae vero ad ea quae extra Pleroma sunt sacris ex literis accommodant, eiusmodi fere sunt. Christum dominum postremis mundi temporibus patiendi gratia advenisse dicunt, ultimi ut Aeonis casum ac calamitatem ostenderet, ac totius Aeonum negotii exitum suo Cap. XXVII.

*Grabium*, *et Vet. Interpres.*

4. *Ita codd. Ven. Rhedig. Paris., et Colb. Ephraemi.* μετενέγκει *ed. princ., et cod. Bodl. Ephraemi.* μετενέγκῃ *ed. Petav.*

5. ταύτης φαύλως κατεσκευασμένης *Ephraemi codd. Colb. et Bodl.*

6. τοῦ *om. cod. Ven.*

7. ἐκείνην εἰκόνα *auget cod. Ven.*

8. συντελεσθείσας *Ephraemi cod. Bodl.*

9. δευτέρου *Ephraemi codd. Bodl. et Colb.*

10. διά τε ῥημάτων καὶ λέξεων καὶ παραβολῶν *Ephraemi codd. Bodl. et Colb.*

11. ἑαυτῶν *Ephraemi codd. Bodl. et Colb.*

12. *Ita cod. Ven. Vulgo* ἐν τοῖς.

*τὴν δὲ δωδεκαετῆ παρθένον ἐκείνην τὴν τοῦ ἀρχισυναγώγου θυγατέρα,
ἣν ἐπιστὰς ὁ κύριος ἐκ νεκρῶν ἤγειρε, τύπον εἶναι διηγοῦνται τῆς
Ἀχαμώθ, ἣν [1] ἐπεκταθεὶς ὁ Χριστὸς [2] αὐτῶν ἐμόρφωσε, καὶ εἰς αἴσθη-
σιν ἤγαγε τοῦ καταλιπόντος [3] αὐτὴν φωτός. Ὅτι δὲ αὐτῇ ἐπέφανεν ὁ
Σωτὴρ ἐκτὸς [4] οὔσῃ τοῦ Πληρώματος, ἐν ἐκτρώματος μοίρᾳ, τὸν Παῦ-
λον λέγουσιν εἰρηκέναι ἐν τῇ [5] πρώτῃ πρὸς Κορινθίους, Ἔσχατον δὲ
πάντων ὡςπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί. Τήν τε μετὰ τῶν ἡλικιω-
τῶν τοῦ Σωτῆρος παρουσίαν πρὸς τὴν Ἀχαμὼθ ὁμοίως πεφανερωκέ-
ναι αὐτὸν ἐν τῇ αὐτῇ ἐπιστολῇ εἰπόντα, Δεῖ τὴν γυναῖκα κάλυμμα
ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς Ἀγγέλους. Καὶ ὅτι ἥκοντος τοῦ Σω-
τῆρος πρὸς αὐτὴν δι' αἰδῶ κάλυμμα ἐπέθετο [6] ἡ Ἀχαμὼθ, Μωσέα πε-
ποιηκέναι φανερὸν, κάλυμμα θέμενον ἐπὶ τὸ πρόςωπον αὐτοῦ. Καὶ
τὰ πάθη δὲ αὐτῆς, ἃ ἔπαθεν, ἐπισεσημειῶσθαι τὸν κύριον φάσκου-
σιν ἐν τῷ σταυρῷ, καὶ ἐν μὲν τῷ εἰπεῖν, Ὁ θεός μου εἰς τί ἐγκατέλι-
πές με; μεμηνυκέναι αὐτὸν ὅτι ἀπελείφθη ἀπὸ τοῦ φωτὸς ἡ Σοφία,
καὶ ἐκωλύθη ὑπὸ τοῦ Ὅρου τῆς εἰς τοὔμπροσθεν ὁρμῆς· τὴν δὲ λύ-
πην αὐτῆς ἐν τῷ εἰπεῖν, Περίλυπός ἐστιν ἡ ψυχή μου [7] ἕως θανάτου·
τὸν δὲ φόβον ἐν τῷ εἰπεῖν, Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ
τὸ ποτήριον· καὶ τὴν ἀπορίαν δὲ ὡςαύτως ἐν τῷ εἰρηκέναι, Καὶ τί
εἴπω οὐκ οἶδα. Τρία δὲ γένη ἀνθρώπων οὕτως δεδειχέναι διδάσκουσιν
αὐτὸν, τὸν μὲν ὑλικὸν ἐν τῷ [8] ἀποκριθῆναι τῷ λέγοντι, Ἀκολουθήσω
σοι; Οὐκ ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ποῦ τὴν κεφαλὴν κλῖναι· τὸ δὲ
ψυχικὸν ἐν τῷ εἰρηκέναι τῷ εἰπόντι, Ἀκολουθήσω σοι, ἐπίτρεψον δέ
μοι πρῶτον ἀποτάξασθαι [9] τοῖς ἐν τῷ οἴκῳ μου, Οὐδεὶς ἐπ' ἄροτρον
τὴν χεῖρα ἐπιβαλὼν, καὶ εἰς τὰ ὀπίσω βλέπων, εὔθετός ἐστιν ἐν τῇ βα-
pag. 195. σιλείᾳ τῶν οὐρανῶν. Τοῦτον γὰρ λέγουσι [10] τὸν μέσον εἶναι. Κἀκεῖ-
νον δὲ ὡςαύτως τὸν τὰ πλεῖστα μέρη τῆς δικαιοσύνης ὁμολογήσαντα
πεποιηκέναι, ἔπειτα μὴ θελήσαντα ἀκολουθῆσαι, ἀλλὰ ὑπὸ πλούτου
ἡττηθέντα πρὸς τὸ μὴ τέλειον γενέσθαι, καὶ τοῦτον τοῦ ψυχικοῦ γένους
γεγονέναι θέλουσι. Τὸ δὲ πνευματικὸν ἐν τῷ εἰπεῖν, Ἄφες τοὺς νε-
κροὺς θάψαι τοὺς ἑαυτῶν νεκροὺς, σὺ δὲ πορευθεὶς διάγγελλε τὴν βα-
σιλείαν τοῦ θεοῦ· καὶ ἐπὶ Ζακχαίου τοῦ τελώνου εἰπὼν, Σπεύσας κα-
τάβηθι, ὅτι σήμερον ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι· [11] τούτους γὰρ
πνευματικοῦ γένους καταγγέλλουσι γεγονέναι. Καὶ τὴν τῆς ζύμης παρα-
βολὴν, ἣν [12] ἡ γυνὴ ἐγκεκρυφέναι λέγεται εἰς ἀλεύρου σάτα τρία, τὰ
τρία γένη δηλοῦν λέγουσι. Γυναῖκα μὲν γὰρ τὴν Σοφίαν λέγεσθαι δι-
δάσκουσιν, ἀλεύρου σάτα [13] δὲ τὰ τρία γένη τῶν ἀνθρώπων, πνευμα-*

Cap. XXVII. — 1. ἐπεκτανθεὶς cod. Ven.

2. *Ita cod. Ven., consentiens cum Vet. Interprete. Vulgo* αὐτὸν.

3. αὐτὴν *ed. princ.*

4. *Ita cod. Ven., et Billius iam olim de coniectura. Vulgo* οὔσης.

5. πρώτῃ *addidi de cod. Ven., quocum consentit Vet. Interpr.*

6. ὁ ἀχαμὼθ *ed. pr.*

7. ἕως θανάτου *verba nec cod. Ven. agnoscit nec Vet. Interpr.*

illo exitu declararet. Deinde virginem illam archisynagogi filiam Luc. 8, 41.
duodecim annos natam, quam dominus accedens a morte revocavit,
Achamothis imaginem referre, quam extendens sese illorum Christus
effinxit, et luminis, quod eam destituerat, sensum indidit. Et quoniam huic adhuc extra Pleroma positae, velut abortivo cuidam, Salvator apparuit, Paulum putant ad Corinthios scribentem haec usurpasse: *Novissime autem omnium velut abortivo visus est et mihi.* Sed 1. Cor. 15, 8.
et eadem in epistola Salvatoris cum aequalibus suis ad Achamothem
accessum significasse, cum dixit, *Oportet mulierem velato esse capite,* 1. Cor. 11, 10.
*propter angelos.* Eandem illam Achamothem ad adventum Salvatoris
pudore affectam velo caput obduxisse, declaratum a Mose, cum fa- Exod 34, 29.
ciem obtegeret. Nam illas quas est perpessa calamitates animique
commotiones dominum ferunt in cruce demonstrasse. Velut cum
dixit, *Deus meus quare dereliquisti me?* ostendisse Sapientiam a lu- Matth. 27, 46.
mine destitutam, et ab Horo ne ultra pergeret prohibitam: eiusdem
vero dolorem, cum dixit, *Tristis est anima mea usque ad mortem:* Matth. 26, 38.
timorem, cum ita patrem allocutus est: *Pater si possibile est, transeat*
*a me calix iste:* ita consilii inopiam his verbis: *Et quid dicam nescio.* Ioann. 12, 27.
Quod ad tria spectat hominum genera, sic illum indicasse contendunt: materiae quidem affixum, cum interroganti, *Num te sequar?* Luc. 9, 57.
respondit, *Non habet filius hominis ubi caput reclinet:* animalem
autem, cum ei qui dixerat, *Sequar te, sed permitte mihi prius ut renunciem iis quae in domo mea sunt,* ita locutus est: *Nemo mittens ma-* Matth. 19, 16.
*num ad aratrum, et aspiciens retro, aptus est regno dei.* Hunc enim
mediae conditionis esse dicunt. Similiter eum qui se plerasque iustitiae partes implesse dixerat, sed sequi noluerat, et quo minus perfectus esse vellet, divitiarum cupiditate fuerat infractus, hunc ipsum
ex animali genere fuisse volunt. Spiritalem demum eo dicto comprehensum: *Sine mortuos sepelire mortuos suos; tu autem abiens prae-* Luc. 9, 60.
*dica regnum dei.* Item cum Zachaeo publicano dixit, *Festinans de-* Luc. 19, 5.
*scende, quia hodie in domo tua oportet me manere.* Istos enim omnes
e spiritali genere extitisse narrant. Quin etiam fermenti parabolam,
quod abscondisse mulier in farinae satis tribus legitur, triplex illud Matth. 13.
genus indicare. Siquidem mulierem istam Sapientiam, farinae sata
tria hominum esse genera, spiritale, animale, terrenum. Fermenti

8. ἀποκριθῆναι τῷ λέγοντι *recepi ex cod. Ven., qui tuetur scripturam codd. Vet. Interpretis* quod responderit dicenti *cett. Vulgo extat* εἰπεῖν τῷ ἐρωτήσαντι. *Cod. Vatic. habere videtur* ἐν τῷ ἐρωτήσαντι, *omissis vocabulis* εἰπεῖν τῷ.

9. τοῖς οἰκείοις, Οὐδεὶς *cett. habet cod. Ven.*

10. τῶν μέσων *videtur legisse Vet. Interpres, qui vertit* Hunc autem dicunt de mediis esse.

11. τούτου *cod. Ven. Vet. Interpres haec verba plane omisit.*

12. ἡ *om. cod. Ven.*

13. δὲ *particulam adieci primum de auctoritate cod. Ven.*

*τικὸν, ψυχικὸν, χοϊκόν· ζύμην δὲ αὐτὸν τὸν Σωτῆρα εἰρῆσθαι διδάσκουσι. Καὶ τὸν Παῦλον* [14] *διαρρήδην εἰρηκέναι χοϊκοὺς, ψυχικοὺς, πνευματικούς· ὅπου μὲν, Οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοί· ὅπου δὲ, Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος· ὅπου δὲ, Πνευματικὸς ἀνακρίνει* [15] *πάντα. Τὸ δὲ, Ψυχικὸς οὐ δέχεται τὰ τοῦ πνεύματος, ἐπὶ τοῦ Δημιουργοῦ φασιν εἰρῆσθαι, ὃν ψυχικὸν ὄντα μὴ ἐγνωκέναι μήτε τὴν Μητέρα πνευματικὴν οὖσαν, μήτε τὸ σπέρμα αὐτῆς, μήτε τοὺς ἐν* [16] *τῷ Πληρώματι Αἰῶνας.* [17] *Ὅτι δὲ ὧν ἤμελλε σώζειν ὁ Σωτὴρ τούτων τὰς ἀπαρχὰς ἀνέλαβε,* [18] *τὸν Παῦλον εἰρηκέναι, Καὶ ἣν ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· ἀπαρχὴν μὲν τὸ πνευματικὸν εἰρῆσθαι διδάσκοντες, φύραμα δὲ ἡμᾶς, τουτέστι τὴν ψυχικὴν ἐκκλησίαν, ἧς τὸ φύραμα ἀνειληφέναι λέγουσιν αὐτὸν, καὶ ἐν αὐτῷ* [19] *συνανεστηκέναι, ἐπειδὴ ἦν αὐτὸς ζύμη.*

Κεφ. κη΄. *Καὶ ὅτι ἐπλανήθη ἡ Ἀχαμὼθ ἐκτὸς τοῦ Πληρώματος, καὶ ἐμορφώθη ὑπὸ τοῦ Χριστοῦ, καὶ ἀνεζητήθη ὑπὸ τοῦ Σωτῆρος, μηνύειν αὐτὸν λέγουσιν ἐν τῷ εἰπεῖν αὐτὸν ἐληλυθέναι ἐπὶ τὸ πεπλανημένον* [1] *πρόβατον. Πρόβατον μὲν γὰρ πεπλανημένον τὴν Μητέρα αὐτῶν ἐξηγοῦνται λέγεσθαι, ἐξ ἧς τὴν ὧδε θέλουσιν ἐσπάρθαι Ἐκκλησίαν· πλάνην δὲ τὴν ἐκτὸς Πληρώματος ἐν τοῖς πάθεσι διατριβὴν, ἐξ ὧν γεγο-* pag. 196. *νέναι τὴν ὕλην ὑποτίθενται. Τὴν δὲ γυναῖκα τὴν σαροῦσαν τὴν οἰκίαν καὶ εὑρίσκουσαν τὴν δραχμὴν τὴν ἄνω Σοφίαν διηγοῦνται λέγεσθαι, ἥτις ἀπολέσασα τὴν Ἐνθύμησιν αὐτῆς, ὕστερον καθαρισθέντων πάντων διὰ τῆς τοῦ Σωτῆρος παρουσίας, εὑρίσκει αὐτήν. Διὸ καὶ ταύτην ἀποκαθίστασθαι κατ' αὐτοὺς ἐντὸς Πληρώματος. Συμεῶνα τὸν εἰς τὰς ἀγκάλας λαβόντα τὸν Χριστὸν, καὶ εὐχαριστήσαντα* [2] *αὐτῷ καὶ εἰπόντα, Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, τύπον εἶναι τοῦ Δημιουργοῦ λέγουσιν,* [3] *ὃς ἐλθόντος τοῦ Σωτῆρος ἔμαθε τὴν μετάθεσιν αὐτοῦ, καὶ ηὐχαρίστησε τῷ Βυθῷ. Καὶ διὰ τῆς* [4] *Ἄννης τῆς ἐν τῷ εὐαγγελίῳ κηρυσσομένης προφήτιδος ἑπτὰ ἔτη μετὰ ἀνδρὸς ἐζηκυίας, τὸν δὲ λοιπὸν ἅπαντα χρόνον χήρας* [5] *μεμενηκυίας, ἄχρις οὗ τὸν Σωτῆρα ἰδοῦσα ἐπέγνω αὐτὸν, καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι, φανερώτατα τὴν Ἀχαμὼθ μηνύεσθαι διορίζονται, ἥτις πρὸς ὀλίγον ἰδοῦσα τὸν Σωτῆρα μετὰ τῶν ἡλικιωτῶν αὐτοῦ, τῷ λοιπῷ χρόνῳ παντὶ* [6] *μένουσα ἐν τῇ μεσότητι προςεδέχετο αὐτὸν, πότε πάλιν ἐλεύσεται, καὶ* [7] *ἀποκαταστήσει αὐτὴν τῇ αὐτῆς συζυγίᾳ. Καὶ τὸ ὄνομα δὲ αὐτῆς μεμηνύσθαι ὑπὸ τοῦ Σωτῆρος ἐν τῷ εἰρηκέναι, Καὶ ἐδικαιώθη*

14. διαρρήδην *addidit primum Petavius de cod. Vatic.*

15. τὰ πάντα *cod. Ven.*

16. τῷ *non habet cod. Ven.*

17. *Ita rescripsi secundum Vet. Interpretem, postulante sententia. Vulgo extat* Ὅτι ἰδὼν ἤμελλε *cett.*

18. τὸν *non habet cod. Ven.*

19. *Hanc Grabii coniecturam firmat cod. Venetus, qui habet* συνανεσταχέναι. *Vulgo extat* συνανεσταλκέναι. *Vet. Interpres vertit* et cum semetipso erexisse.

porro nomine Salvatorem ipsum appellari. Sic etiam terrenos, animales ac spiritales a Paulo homines esse commemoratos, partim his verbis: *Qualis terrenus, tales et terreni:* partim istis: *Animalis homo* 1. Cor. 15, 48. *non percipit ea quae sunt spiritus:* partim denique cum ait, *Spiritalis* Ibid. 2, 14. *omnia diiudicat.* Ex quibus primum illud, *Animalis non percipit ea* Ibid. 2, 15. *quae sunt spiritus*, ad Conditorem putant pertinere, qui cum sit animalis, neque Matrem, utpote Spiritalem, cognoscit, neque stirpem ipsius, nec Aeones illos qui Pleromate continentur. Quod autem eorum, quibus salutem erat allaturus, primitias Salvator susceperit, ob id pronunciasse Paulum, *Et si primitiae sanctae, et massa:* ubi Rom. 11, 16. primitias ad id quod est spiritale referunt, massam ad nos, hoc est animalem Ecclesiam; cuius massam ab illo susceptam, in illoque contractam, quandoquidem erat ipse fermentum.

De Achamothe porro, eam extra Pleroma aberrantem a Christo Cap. XXVIII. fuisse formatam, et ab eodem quaesitam, ipsummet ostendisse, cum Matth. dixit venisse se ad ovem quae erraverat. Esse enim errantem ovem 15, 24. Matrem illam suam interpretantur, a qua nostra haec ecclesia consita fuerit. Errorem vero illius inter perturbationes ipsas extra Ple- Luc. 15, 8. roma commorationem, unde materiae originem arcessunt. Nam mulierem illam quae domum everrit et drachmam invenit ad coelestem Sapientiam transferunt, quae Enthymesin quam amiserat postea repurgatis omnibus per adventum Salvatoris recuperavit, ob idque Pleromati censent esse restitutam. Symeonem illum praeterea, qui Christum in ulnis gestaverit, eique gratias his verbis egerit: *Nunc* Luc. 2, 28. *dimittis servum tuum, domine, secundum verbum tuum in pace,* Conditoris imaginem referre dicunt, qui adveniente Salvatore ipsius transportationem didicerit, ac Bytho gratias egerit. Ad haec per Annam illam, quae prophetissa in evangelio praedicatur, quaeque septem annos cum viro vixisse, reliquum vero tempus omne in viduitate egisse dicitur, donec Salvatore conspecto et ipsum agnoverit, et apud omnes de eo locuta sit, manifestissime Achamothem adumbrari confirmant, quae ubi Salvatorem cum eius aequalibus raptim adspexisset, deinceps toto insequenti tempore media in regione consistens dum iterum rediret expectaverit, ac se coniugio suo restitueret. Cuius etiam nomen a Salvatore hisce verbis expressum: *Et* Luc. 7, 35.

Cap. XXVIII. — 1. *Voc.* πρόβατον *hic om. omnes libri. Adieci sententia cum postularet de Vet. Interprete.*

2. τῷ χριστῷ *pro* αὐτῷ *habet cod. Ven. Vet. Interpr. legisse videtur* τῷ θεῷ.

3. *Ita cod. Ven., et Vet. Interpres. Vulgo* ὡς.

4. Ἄννας *cod. Ven.*

5. μεμενηκυίας *reposui ex cod. Ven. Vulgo extat enim* μενούσης. *Vet. Interpres vertit* perseverasse.

6. *Ita cod. Ven., conspirans cum Vet. Interprete. Vulgo* μὲν οὖσα.

7. ἀποκαταστάσει *cod. Ven.*

ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς· καὶ ὑπὸ Παύλου δὲ οὕτως, Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις. Καὶ τὰς συζυγίας δὲ τὰς ἐντὸς Πληρώματος τὸν Παῦλον εἰρηκέναι φάσκουσιν [8] ἐπιεικῶς δείξαντα. Περὶ γὰρ τῆς περὶ τὸν βίον συζυγίας γράφων ἔφη, Τὸ μυστήριον τοῦτο μέγα ἐστὶν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν.

Κεφ. κθʹ. Ἔτι τε Ἰωάννην τὸν μαθητὴν τοῦ κυρίου διδάσκουσι τὴν πρώτην Ὀγδοάδα μεμηνυκέναι αὐταῖς λέξεσι, λέγοντες οὕτως· Ἰωάννης ὁ μαθητὴς τοῦ κυρίου βουλόμενος εἰπεῖν τὴν τῶν ὅλων γένεσιν, καθ' ἣν τὰ πάντα προέβαλεν ὁ Πατὴρ, ἀρχήν τινα ὑποτίθεται τὸ πρῶτον γεννηθὲν ὑπὸ τοῦ Θεοῦ, [1] ὃ δὴ καὶ Υἱὸν καὶ Μονογενῆ Θεὸν κέκληκεν, [2] ἐν ᾧ τὰ πάντα ὁ Πατὴρ προέβαλε σπερματικῶς. Ὑπὸ δὲ τούτου φησὶ τὸν Λόγον προβεβλῆσθαι, καὶ ἐν αὐτῷ τὴν ὅλην τῶν Αἰώνων οὐσίαν, ἣν αὐτὸς ὕστερον ἐμόρφωσεν ὁ Λόγος. Ἐπεὶ οὖν περὶ πρώτης γενέσεως λέγει καλῶς ἀπὸ τῆς ἀρχῆς, τουτέστι τοῦ [3] Θεοῦ καὶ τοῦ Λόγου, τὴν
pag. 197. διδασκαλίαν ποιεῖται. Λέγει δὲ οὕτως, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πρότερον διαστείλας τὰ τρία, Θεὸν, καὶ Ἀρχὴν, καὶ Λόγον, πάλιν αὐτὰ ἑνοῖ, ἵνα καὶ τὴν προβολὴν ἑκατέρων αὐτῶν δείξῃ, τοῦ τε Υἱοῦ καὶ τοῦ Λόγου, καὶ τὴν πρὸς ἀλλήλους ἅμα, καὶ τὴν πρὸς τὸν Πατέρα ἕνωσιν. Ἐν γὰρ τῷ Πατρὶ καὶ ἐκ τοῦ Πατρὸς ἡ Ἀρχὴ, [4] ἐν δὲ τῇ Ἀρχῇ καὶ ἐκ τῆς Ἀρχῆς ὁ Λόγος. Καλῶς οὖν εἶπεν, Ἐν ἀρχῇ ἦν ὁ λόγος, ἦν γὰρ ἐν τῷ υἱῷ· καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ γὰρ ἡ ἀρχή· καὶ Θεὸς ἦν ὁ λόγος, ἀκολούθως, τὸ γὰρ ἐκ Θεοῦ γεννηθὲν Θεός ἐστιν. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν· ἔδειξε τὴν τῆς προβολῆς τάξιν. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· πᾶσι γὰρ τοῖς μετ' αὐτὸν Αἰῶσι μορφῆς καὶ γενέσεως αἴτιος ὁ Λόγος ἐγένετο. Ἀλλὰ ὃ γέγονεν ἐν αὐτῷ, φησὶ, ζωή ἐστιν, ἐνθάδε καὶ συζυγίαν ἐμήνυσε. Τὰ μὲν γὰρ ὅλα ἔφη δι' [5] αὐτοῦ γεγενῆσθαι, τὴν δὲ [6] ζωὴν ἐν αὐτῷ. Αὕτη οὖν ἡ ἐν αὐτῷ γενομένη οἰκειοτέρα ἐστὶν [7] ἐν αὐτῷ τῶν δι' αὐτοῦ γενομένων· σύνεστι γὰρ αὐτῷ καὶ δι' αὐτοῦ καρποφορεῖ. Ἐπειδὴ γὰρ ἐπιφέρει, Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων, ἄνθρωπον εἰπὼν ἄρτι καὶ τὴν Ἐκκλησίαν ὁμωνύμως τῷ Ἀνθρώπῳ ἐμήνυσεν, ὅπως διὰ τοῦ ἑνὸς [8] ὀνόματος δηλώσῃ τὴν τῆς συζυγίας [9] κοινωνίαν. Ἐκ γὰρ τοῦ Λόγου καὶ τῆς Ζωῆς Ἄνθρωπος γίνεται καὶ Ἐκκλησία. Φῶς δὲ εἶπε τῶν ἀνθρώπων τὴν Ζωὴν διὰ τὸ [10] πεφωτίσθαι αὐτοὺς ὑπ' αὐτῆς, ὃ δή ἐστι μεμορφῶσθαι καὶ πεφανε-

8. ἐπιεικῶς *recepi de auctoritate cod. Ven. Vulgata scriptura est* ἐπὶ ἑνὸς, *quam secutus est etiam Vet. Interpres vertens* in uno ostendentem.

Cap. XXIX. — 1. *Recepi cod. Veneti scripturam, quam expressit etiam Vet. Interpres secundum cod. Claromontani fidem et auctoritatem, in quo legitur* quod etiam nunc vocat et Filium et Unigenitum Deum vocat. *Epiphanii libri vulgo praebent* ὃν δὴ καὶ υἱὸν μονογενῆ καὶ Θεὸν κέκλ.

2. ἐν τῷ *cod. Ven.*

3. υἱοῦ *videtur legisse Vet. Interpres.*

*iustificata est sapientia a filiis eius.* Velut a Paulo cum scripsit, *Sapientiam loquimur inter perfectos.* Quem insuper coniugiorum quae intra Pleroma sunt mentionem in uno fecisse, cum de hominum inter se copulatione hunc in modum scripsit: *Sacramentum hoc magnum est: ego vero dico in Christo et ecclesia.* 1. Cor. 2, 6. Eph. 5, 32.

Ioannem, domini discipulum affirmant primam Ogdoadem nominatim demonstrasse. Sic enim disputant. Ioannes domini discipulus omnium rerum originem explicare cupiens, qua a Patre universa procreata sunt, principium statuit a deo genitum, quem et filium Unigenitum et deum appellat, per quem omnia Pater quodam veluti satu propagavit. Ab hoc productum esse Verbum asserit; per istud vero totam Aeonum naturam, quam ipsum postea Verbum informavit. Cum igitur de prima generatione sermonem instituat, recte a Principio, hoc est Deo Verboque docendi initium fecit. Ita porro scribit: *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum. Sic erat in Principio apud Deum.* Postquam tria illa discrevit, Deum, Principium et Verbum, rursus in unum connectit, ut utriusque, Filii videlicet ac Verbi, productionem amborumque cum inter se, tum cum Patre coniunctionem declaret. Siquidem in Patre atque ex Patre Principium est, in Principio vero et ex Principio Verbum. Praeclare igitur dixit, *In principio erat Verbum,* erat enim in Filio, et, *Verbum erat apud Deum,* erat enim et Principium, Et *Deus erat Verbum.* Consentanee omnino dictum. Quod enim a Deo genitum est, Deus est. Sic, *Erat in principio apud Deum,* productionis ordinem ostendit. *Omnia per ipsum facta sunt, et sine ipso factum est nihil.* Etenim Verbum omnibus, qui post se sunt, Aeonibus informationis ac propagationis auctor extitit. Verum, *Quod factum est,* inquit, *in ipso vita erat;* ubi et coniugium indicat. Nam omnia per ipsum facta esse dicit, vitam autem in ipso. Haec igitur quae in illo facta est, propius ad illum in ipso pertinet quam ea quae per ipsum facta sunt. Cum illo quippe versatur, ac per ipsum fructus emittit. Nam quia statim subiicit, *Et vita erat lux hominum,* eo ipso quod Hominem commemorat, eadem voce et Ecclesiam complectitur, ut coniugii societatem intelligas. Nam ex Verbo Vitaque Homo atque Ecclesia nascuntur. Ceterum lucem hominum idcirco vitam nominavit, quod ab ea illi collustrati sint, quod idem est ac

Cap. XXIX. Ioann. 1.

4. ἐν δὲ τῇ Ἀρχῇ *quae exciderant verba, quae tam ipsa sententia quam Vet. Interpres vindicat, ex cod. Ven. reposui.*
5. αὐτοῦ *codd. Ven. Rhedig. Reg. Editi libri habent* ἑαυτοῦ.
6. ζωὴν *non comparet in cod. Ven.*
7. ἐν *praepositionem delendam censuit Billius.*
8. νοήματος *cod. Ven.*
9. ὀνομασίαν *cod. Ven.*
10. πεφωτῆσθαι *cod. Ven.*

ρῶσθαι. Τοῦτο δὲ καὶ ὁ Παῦλος λέγει· Πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστιν. Ἐπεὶ τοίνυν ἐφανέρωσε καὶ ἐγέννησε τόν τε Ἄνθρωπον καὶ τὴν Ἐκκλησίαν [11] ἡ Ζωὴ, φῶς εἰρῆσθαι αὐτῶν. Σαφῶς οὖν δεδήλωκεν ὁ Ἰωάννης διὰ τῶν λόγων τούτων τά τε ἄλλα, καὶ τὴν Τετράδα τὴν δευτέραν Λόγον καὶ Ζωὴν, Ἄνθρωπον καὶ Ἐκκλησίαν. Ἀλλὰ μὴν καὶ τὴν πρώτην ἐμήνυσε Τετράδα. Διηγούμενος γὰρ περὶ τοῦ Σωτῆρος, καὶ λέγων πάντα τὰ ἐκτὸς τοῦ Πληρώματος δι' αὐτοῦ μεμορφῶσθαι, καρπὸν εἶναί φησιν αὐτὸν παντὸς τοῦ Πληρώματος. Καὶ γὰρ φῶς εἴρηκεν αὐτὸν τὸ ἐν τῇ σκοτίᾳ φαινόμενον, καὶ μὴ καταληφθὲν ὑπ' αὐτῆς, ἐπειδὴ πάντα [12] τὰ γενόμενα ἐκ τοῦ πάθους ἁρμόσας ἠγνοή-
pag. 198. θη ὑπ' [13] αὐτῶν. Καὶ υἱὸν δὲ, καὶ ἀλήθειαν, καὶ ζωὴν λέγει αὐτὸν, καὶ λόγον σάρκα γενόμενον, Οὗ τὴν δόξαν ἐθεασάμεθα, φησὶ, καὶ ἦν ἡ δόξα αὐτοῦ, οἵα ἦν ἡ τοῦ μονογενοῦς ἡ ὑπὸ τοῦ πατρὸς δοθεῖσα αὐτῷ, πλήρης χάριτος καὶ ἀληθείας. Λέγει δὲ οὕτως· Καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. Ἀκριβῶς οὖν καὶ τὴν πρώτην ἐμήνυσε Τετράδα, Πατέρα εἰπὼν καὶ Χάριν, καὶ τὸν Μονογενῆ, καὶ Ἀλήθειαν. Οὕτως ὁ Ἰωάννης περὶ τῆς πρώτης καὶ μητρὸς τῶν [14] ὅλων Αἰώνων Ὀγδοάδος εἴρηκε. Πατέρα γὰρ εἴρηκε καὶ Χάριν, καὶ Μονογενῆ, καὶ Ἀλήθειαν, καὶ Λόγον, καὶ Ζωὴν, καὶ Ἄνθρωπον, καὶ Ἐκκλησίαν.

Κεφ. λ'. Ὁρᾷς, ἀγαπητὲ, τὴν μέθοδον ᾗ οἱ χρώμενοι φρεναπατοῦσιν ἑαυτοὺς, ἐπηρεάζοντες τὰς γραφὰς, τὸ πλάσμα αὐτῶν ἐξ αὐτῶν συνιστάνειν πειρώμενοι. Διὰ τοῦτο γὰρ καὶ [1] αὐτὸς παρεθέμην αὐτῶν τὰς λέξεις, ἵνα ἐξ αὐτῶν κατανοήσῃς τὴν πανουργίαν τῆς μεθοδείας, καὶ τὴν πονηρίαν τῆς πλάνης. Πρῶτον μὲν γὰρ εἰ προέκειτο Ἰωάννῃ τὴν ἄνω Ὀγδοάδα [2] μηνύσαι, τὴν τάξιν ἂν [3] τετηρήκει τῆς [4] προβολῆς, καὶ [5] τὴν πρώτην Τετράδα σεβασμιωτάτην οὖσαν, καθὼς λέγουσιν, ἐν πρώτοις ἂν τεθείκει τοῖς ὀνόμασι, καὶ οὕτως [6] ἐπεζεύχει τὴν δευτέραν, ἵνα διὰ τῆς τάξεως τῶν ὀνομάτων ἡ τάξις [7] δειχθῇ τῆς Ὀγδοάδος, καὶ οὐκ ἂν μετὰ τοσοῦτον διάστημα, ὡς ἐκλελησμένος, ἔπειτα ἀναμνησθεὶς ἐπ' ἐσχάτῳ [8] τῆς πρώτης ἐμέμνητο Τετράδος. Ἔπειτα δὲ καὶ τὰς συζυγίας σημᾶναι θέλων καὶ τὸ τῆς Ἐκκλησίας οὐκ ἂν παρέλιπεν ὄνομα, [9] ἀλλ' ἢ καὶ ἐπὶ τῶν λοιπῶν συζυγιῶν ἠρκέσθη τῇ τῶν ἀρρένων προσηγορίᾳ, ὁμοίως δυναμένων κἀκείνων συνυπακούεσθαι, ἵνα τὴν ἑνότητα διὰ

11. ἡ Ζωὴ *verba non habet cod. Ven.*

12. τὰ, *quod om. ed. princ., Petavius primum adiecit ex cod. Vaticano.*

13. αὐτῶν *cod. Ven., cum quo conspirat etiam Vet. Interpres. Et Grabius ita emendari voluit. Vulgata librorum scriptura est* αὐτῆς.

14. ἄλλων *cod. Ven.*

Cap. XXX. — 1. αὐτὰς *correxit Billius.*

2. μηνύσαι *cod. Ven.* μηνύσειν *reliqui libri.*

figurari et manifestum fieri. Quod Paulus ipse testatur. *Omne,* inquit, *quod manifestatur lumen est.* Quare cum Hominem atque Ecclesiam Vita patefecerit ac genuerit, merito eorumdem lux esse dicitur. Quocirca perspicue Ioannes his verbis cum alia, tum alterum quaternionem aperuit, Verbum et Vitam, Hominem atque Ecclesiam. Nec minus tamen priorem quaternionem indicat. Cum enim de Salvatore disserit, omniaque quae extra Pleroma sunt ab ipso esse formata scribit, totius illum Pleromatis fructum esse commonstrat. Nam illum lucem esse dixit, quae lucet in tenebris, nec ab ipsis comprehenditur; eo quod cum omnia, quae ex commotione ortum habuerant, composuisset, ab illis nequaquam est agnitus. Sed et filium eundem ac Veritatem, et Vitam et Verbum quod caro factum sit appellat. *Cuius,* inquit, *gloriam vidimus: eratque gloria eius quasi unigeniti eidem a Patre concessa, plena gratiae et veritatis.* Hoc enim modo scribit: *Et Verbum caro factum est, et habitavit in nobis, et vidimus gloriam eius, gloriam quasi unigeniti a Patre, plenum gratiae et veritatis.* Quo in loco primum quaternionem accuratissime descripsit, cum Patrem nominavit, et Gratiam, et Unigenitum, ac Veritatem. Ita plane Iohannes de prima, adeoque matre omnium Aeonum Ogdoade locutus est. Istos enim nominatim concepit, Patrem, Gratiam, Unigenam, Veritatem, Verbum, Vitam, Hominem, Ecclesiam.

Eph. 5, 13.

Ioann. 1, 14.

Cap. XXX.

Vides, carissime, artem illam ac fraudem, qua sibimetipsis illudunt haeretici, dum sacris literis per calumniam abutuntur, ut ex illarum testimonio fabulis suis pondus et autoritatem concilient. Quamobrem consulto illorum in medium verba protuli, ut mirificum ipsorum calliditatis artificium atque erroris pravitatem animadverteres. Primum enim, si Iohanni supremam illam Ogdoadem declarare propositum fuisset, procreationis ordinem servaret, ac priorem illum, uti asserunt, augustissimumque Quaternionem in prima nominum serie collocaret, tum secundum subiiceret, ut per vocabulorum ordinem Ogdoadis ordo demonstraretur, neque tanto intervallo, velut oblitus ac denuo recordatus, Quaternionem primum ultimum in locum coniiceret. Deinde si coniugiorum mentionem facere vellet, nunquam Ecclesiae nomen praetermitteret. Sed vel ceteris etiam in paribus recensendis solos duntaxat mares nominasset, cum et ipsi similiter una intelligi possint; ut in omnibus similitudinem aequalita-

3. ἐτετηρήκει *cod. Vatic.*
4. προσβολῆς *ed. princ.*
5. τὴν *om. cod. Ven.*
6. *Ita corrigendum putavit iam olim Grabius, et ego nunc corrigo ex cod. Veneto. Vulgo extat* ἐπεζεύχθη.
7. δειχθήσεται *cod. Ven.*
8. τῆς *addidi ex cod. Ven.*
9. ἀλλὰ καὶ *cod. Ven.*

πάντων ᾖ πεφυλακώς, [10] ἢ εἰ τῶν λοιπῶν τὰς συζύγους κατέλεγε, καὶ τὴν τοῦ Ἀνθρώπου ἂν μεμηνύκει σύζυγον, καὶ οὐκ ἂν ἀφῆκεν ἐκ μαντείας ἡμᾶς λαμβάνειν τοὔνομα αὐτῆς. Φανερὰ οὖν ἡ τῆς ἐξηγήσεως παραποίησις. Τοῦ γὰρ Ἰωάννου ἕνα θεὸν παντοκράτορα καὶ ἕνα μονογενῆ Χριστὸν Ἰησοῦν κηρύσσοντος, δι' οὗ τὰ πάντα γεγονέναι λέγει, τοῦτον υἱὸν θεοῦ, τοῦτον μονογενῆ, τοῦτον πάντων ποιητὴν, τοῦτον φῶς ἀληθινὸν, φωτίζοντα πάντα ἄνθρωπον, τοῦτον κόσμου ποιητὴν,
pag. 199. τοῦτον εἰς τὰ ἴδια ἐληλυθότα, τοῦτον αὐτὸν σάρκα γεγονότα [11] καὶ ἐσκηνωκότα ἐν ἡμῖν, οὗτοι παρατρέποντες κατὰ τὸ πιθανὸν τὴν ἐξήγησιν, ἄλλον μὲν τὸν Μονογενῆ θέλουσιν εἶναι κατὰ τὴν προβολὴν, ὃν δὴ καὶ Ἀρχὴν καλοῦσιν, ἄλλον δὲ τὸν Σωτῆρα γεγονέναι θέλουσι, καὶ ἄλλον τὸν Λόγον υἱὸν τοῦ Μονογενοῦς, καὶ ἄλλον τὸν Χριστὸν εἰς ἐπανόρθωσιν τοῦ Πληρώματος προβεβλημένον. Καὶ ἓν ἕκαστον τῶν εἰρημένων ἄραντες ἀπὸ τῆς ἀληθείας, καταχρησάμενοι τοῖς ὀνόμασιν, εἰς τὴν ἰδίαν ὑπόθεσιν μετήνεγκαν, ὥστε κατ' αὐτοὺς ἐν τοῖς τοσούτοις τὸν Ἰωάννην τοῦ κυρίου Ἰησοῦ Χριστοῦ μνείαν [12] μὴ ποιεῖσθαι. Εἰ γὰρ Πατέρα εἴρηκε, καὶ Χάριν, καὶ Μονογενῆ, καὶ Ἀλήθειαν, καὶ Λόγον, καὶ Ζωὴν, καὶ Ἄνθρωπον, καὶ Ἐκκλησίαν, κατὰ τὴν ἐκείνων ὑπόθεσιν περὶ τῆς πρώτης Ὀγδοάδος εἴρηκεν, ἐν ᾗ οὐδέπω Ἰησοῦς, οὐδέπω Χριστὸς ὁ τοῦ Ἰωάννου διδάσκαλος. Ὅτι δὲ οὐ περὶ τῶν συζυγιῶν αὐτῶν ὁ ἀπόστολος εἴρηκεν, ἀλλὰ περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃν καὶ λόγον οἶδε τοῦ θεοῦ, αὐτὸς πεποίηκε φανερόν. Ἀνακεφαλαιούμενος γὰρ περὶ τοῦ εἰρημένου αὐτῷ [13] ἄνω ἐν ἀρχῇ λόγου ἐπεξηγεῖται, Καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Κατὰ δὲ τὴν ἐκείνων ὑπόθεσιν οὐχ ὁ λόγος σὰρξ ἐγένετο, [14] ὅς γε οὐδὲ ἦλθέ ποτε ἐκτὸς Πληρώματος, ἀλλὰ ὁ [15] ἐκ τῆς οἰκονομίας μεταγενέστερος τοῦ Λόγου Σωτήρ.

Κεφ. λα'. Μάθετε οὖν, ἀνόητοι, ὅτι Ἰησοῦς ὁ παθὼν ὑπὲρ ἡμῶν, ὁ κατασκηνώσας ἐν ἡμῖν, οὗτος αὐτός ἐστιν ὁ λόγος τοῦ θεοῦ. Εἰ μὲν γὰρ ἄλλος τις τῶν Αἰώνων ὑπὲρ τῆς ἡμῶν αὐτῶν σωτηρίας σὰρξ ἐγένετο, εἰκὸς ἦν περὶ ἄλλου εἰρηκέναι τὸν ἀπόστολον. Εἰ δὲ ὁ λόγος ὁ τοῦ πατρὸς ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς, ὁ τοῦ μόνου θεοῦ μονογενὴς υἱὸς κατὰ τὴν τοῦ πατρὸς εὐδοκίαν σαρκωθεὶς ὑπὲρ ἀνθρώπων, οὐ περὶ ἄλλου τινὸς, οὐδὲ περὶ Ὀγδοάδος, τὸν λόγον [1] ἐμπεποίηται, ἀλλ' ἢ περὶ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ. Οὐδὲ γὰρ ὁ λόγος κατ' αὐτοὺς προηγουμένως σὰρξ γέγονε. Λέγουσι δὲ τὸν Σωτῆρα ἐνδύσασθαι σῶμα ψυχικὸν ἐκ τῆς οἰκονομίας κατεσκευασμένον ἀρρήτῳ προνοίᾳ πρὸς

10. ἢ εἰ emendatio est Billii et Petavii, quam firmat Vet. Interpres. Libri tam scripti quam editi praebent solum εἰ.

11. καὶ ἐσκηνωκότα verba om. cod. Ven.

12. μὴ particulam, quae desideratur in cod. Rhedig. et in editis libris, reposui de cod. Veneto. Petavius et Billius coniecerant οὐ ποιεῖσθαι.

13. ἄνω ἀρχὴ λόγου cod. Ven.

temque servaret. Vel si reliquorum coniuges enumeraret, etiam Hominis attigisset, neque divinandi illius nominis necessitatem nobis attulisset. Est igitur minime obscura illius interpretationis calumnia. Cum enim Iohannes unum deum omnipotentem, unumque Christum Iesum illius unigenitum praedicet, per quem facta esse omnia confirmat, atque hunc esse *dei filium*, hunc *Unigenam*, hunc *conditorem omnium*, hunc *veram lucem, quae illuminat omnem hominem*, hunc *mundi fabricatorem*, hunc *qui in propria venit, qui caro factus est, et habitavit in nobis*, esse testetur, isti callida ac malitiosa interpretatione detorquentes alium productione fingunt Unigenam extitisse, quem et Principium vocant, alium Salvatorem, aliud Verbum Unigenae filium, alium Christum corrigendi caussa Pleromatis exortum. Sicque eorum quae dicuntur singula a veritate promentes ac nominibus abutentes ad usum suum opinionemque transferunt. Ex qua illorum sententia sequitur, tot in verbis Ioannem Iesu Christi mentionem ne litera quidem attigisse. Licet enim Patrem nominarit, et Gratiam, Unigenitum, et Veritatem, ac Verbum, Vitam, Hominem, et Ecclesiam, haec illi censent de prima Ogdoade esse dicta, in qua nondum Iesus, nondum Christus Ioannis magister continetur. Verum longe abesse ut de Coniugiis illis apostolus loqui voluerit, deque Christo Iesu domino nostro intelligendum esse, quod et Verbum solet appellare dei, non obscure ipse declarat. Etenim cum de Verbo illo, quod antea in principio fuisse dixerat, summatim disputata colligeret, ita pronuntiare pergit: *Et Verbum caro factum est, et habitavit in nobis.* At istorum opinione Verbum neque caro factum est, neque unquam a Pleromate discessit, sed Salvator quidam alius procurandae caussa salutis editus, Verboque recentior.

Quamobrem discite tandem aliquando, stulti, discite Iesum illum qui nostra caussa passus est, qui habitavit in nobis, eundem dei esse Verbum. Nam si alius ex Aeonum numero salutis nostrae gratia carnem induisset, aequum erat de alio quoque mentionem ab apostolo fieri. Sin idem Patris Verbum, quod e coelo delapsum est, eodem postliminio rediit, unius inquam ille dei unicus filius ex benevolo Patris affectu hominum caussa carne vestitus, non de alio quopiam, non de illa nescio qua Ogdoade, sed de Iesu Christo Domino nostro sermonem instituit. Neque enim Verbum isti praecipue censent carnem esse factum. Sed Salvatorem ferunt animale quoddam induisse corpus, quod incarnatione ipsa inexplicabili sapientia consti- Cap. XXXI.

14. ὥστε οὐδὲ *cod. Ven.*

15. ἐκ *praepositionem, quae desideratur in reliquis, adieci ex cod. Veneto. Vet. Interpres habet* sed qui ex omnibus factus est. *Unde Billius rescribendum esse putavit* ὁ ἐκ πάντων γεγονώς *cett.*

Cap. XXXI. — 1. πεποίηται *cod. Ven.*

τὸ ὁρατὸν γενέσθαι καὶ ψηλαφητόν. Σάρξ δέ ἐστιν ἡ ἀρχαία ἐκ τοῦ χοῦ κατὰ τὸν Ἀδὰμ ἡ γεγονυῖα πλάσις ὑπὸ τοῦ Θεοῦ, ἣν ἀληθῶς γεγο-
pag. 200. νέναι τὸν λόγον τοῦ Θεοῦ ἐμήνυσεν ὁ Ἰωάννης. Καὶ λέλυται αὐτῶν ἡ πρώτη καὶ ἀρχέγονος Ὀγδοάς. Ἑνὸς γὰρ καὶ τοῦ αὐτοῦ δεικνυμένου Λόγου, καὶ Μονογενοῦς, καὶ Ζωῆς, καὶ Φωτὸς, καὶ Σωτῆρος, καὶ Χριστοῦ, καὶ Υἱοῦ Θεοῦ, καὶ τούτου αὐτοῦ σαρκωθέντος ὑπὲρ ἡμῶν, λέλυται ἡ τῆς Ὀγδοάδος σκηνοπηγία· ταύτης δὲ λελυμένης διαπέπτωκεν αὐτῶν πᾶσα ἡ ὑπόθεσις, [2] ἣν ψευδῶς ὀνειρώττοντες κατατρέχουσι τῶν γραφῶν, ἰδίαν ὑπόθεσιν ἀναπλασάμενοι· ἔπειτα λέξεις καὶ ὀνόματα σποράδην κείμενα συλλέγοντες μεταφέρουσι, καθὼς προειρήκαμεν, ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν, ὅμοια ποιοῦντες τοῖς ὑποθέσεις τὰς τυχούσας αὐτοῖς προβαλλομένοις, ἔπειτα πειρωμένοις ἐκ τῶν Ὁμήρου ποιημάτων μελετᾶν αὐτὰς, ὥστε τοὺς ἀπειροτέρους δοκεῖν ἐπ' ἐκείνης τῆς ἐξ ὑπογυίου μεμελετημένης ὑποθέσεως Ὅμηρον τὰ ἔπη πεποιηκέναι, καὶ πολλοὺς συναρπάζεσθαι διὰ τῆς τῶν ἐπῶν συνθέτου ἀκολουθίας, μὴ ἄρα ταῦθ' οὕτως Ὅμηρος εἴη πεποιηκώς. [3] Ὡς ὁ τὸν Ἡρακλέα ὑπὸ Εὐρυσθέως ἐπὶ τὸν ἐν τῷ Ἅιδη κύνα πεμπόμενον διὰ τῶν Ὁμηρικῶν στίχων γράφων οὕτως (οὐδὲν γὰρ κωλύει παραδείγματος χάριν ἐπιμνησθῆναι καὶ τούτων, ὁμοίας καὶ τῆς αὐτῆς οὔσης ἐπιχειρήσεως τοῖς ἀμφοτέροις)·

Ὡς εἰπὼν ἀπέπεμπε δόμων βαρέα στενάχοντα
Φῶθ' Ἡρακλῆα, μεγάλων ἐπιΐστορα ἔργων,
Εὐρυσθεὺς, Σθενέλοιο πάϊς Περσηϊάδαο,
Ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο.
Βῆ ῥ' ἴμεν, ὥςτε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθὼς,
Καρπαλίμως ἀνὰ ἄστυ, φίλοι δ' [4] ἅμα πάντες ἕποντο,
Νύμφαι τ' ἠΐθεοί τε, πολύτλητοί τε γέροντες,
Οἴκτρ' ὀλοφυρόμενοι, ὡςεὶ θάνατόνδε κιόντα.
Ἑρμείας δ' ἀπέπεμπεν, ἰδὲ γλαυκῶπις Ἀθήνη.
Ἤιδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο.

Τίς οὐκ ἂν τῶν ἀπανούργων συναρπαγείη ὑπὸ τῶν ἐπῶν τούτων καὶ νομίσειεν οὕτως [5] αὐτὰ Ὅμηρον ἐπὶ ταύτης τῆς ὑποθέσεως [6] πεποιη-
pag. 201. κέναι; Ὁ δ' ἔμπειρος τῆς Ὁμηρικῆς ὑποθέσεως [7] ἐπιγνώσεται, εἰδὼς ὅτι τὸ μέν τι αὐτῶν ἐστι περὶ Ὀδυσσέως εἰρημένον, τὸ δὲ περὶ αὐτοῦ τοῦ Ἡρακλέως, τὸ δὲ περὶ Πριάμου, τὸ δὲ περὶ Μενελάου καὶ Ἀγαμέμνονος. Ἄρας δὲ αὐτὰ, καὶ ἓν ἕκαστον ἀποδοὺς [8] τῇ ἰδίᾳ, ἐκποδὼν ποιήσει [9] τὴν ὑπόθεσιν. Οὕτω δὲ καὶ [10] ὁ τὸν κανόνα τῆς ἀληθείας

2. ἣν πᾶς ἀψευδῶς cod. Ven.
3. ὡς ὁ non habet cod. Ven.
4. ἅμα codd. Ven. Rhedig. Paris. Vulgo extat ἀνὰ.
5. αὐτὰ εἰπεῖν Ὅμηρον cod. Ven.
6. πεποιηκέναι — — ὑποθέσεως om. cod. Ven.
7. ἐπεὶ γνώσεται cod. Ven. Vet. Interpres cum habeat cognoscet quidem versus, argumentum autem non cognoscet

tutum est, ut videri contrectarique posset. Ceterum caro vetus illud opus dei est, iam tum ab Adami temporibus ex humo formatum, quam dei Verbum fuisse verissime Ioannes prodidit. Ita prima illorum et antiquissima Ogdoas in nihilum recidit. Quoniam enim uni eidemque convenire monstratum est, ut et Unigenitus, et Vita, et Lumen, et Salvator, et Christus, et Dei filius esset, et is ipse nostra caussa carnem indueret, tota illa Ogdoadis fabula dilapsa concidet. Qua discussa universam ruere pariter dogmatum illorum structuram necesse est, quam illi sibi velut per somnium effingentes sacras literas depravant, dum eas ad argumentum suum accommodare student. Deinde sparsas dictiones ac vocabula passim reperta colligentes ab nativo sensu et proprio in alienum, ut diximus, per vim transferunt. Quemadmodum ii faciunt qui qualibet materia proposita, depromptis ex Homero versibus, sic eam tractant atque expoliunt, ut imperitis persuadeant de recenti illo suo argumento Homerum ista cecinisse, ac plerisque series ipsa carminum ac contextus imponat, quasi haec in eum modum fuerint ab Homero digesta. Sic ille nescio quis, qui Herculem ab Eurystheo ad infernum canem extrahendum missum Homericis versibus ita descripsit (nihil enim exempli gratia prohibet ista commemorari, cum par idemque sit amborum institutum):

*Sic ait, et tectis gemebundum extrusit ab altis* Od. κ, 76.
*Magnanimum Alciden, factorum laude potentem* Od. φ, 26.
*Perseïdae Eurystheus Stheneli clarissima procles,* Il. τ, 123.
*Infernum ut superas custodem efferret in auras.* Il. ϑ, 368.
*Ergo ille intrepidus montani more leonis* Od. ζ, 15.
*Urbe ruens tota sociis comitantibus ibat;* Il. ω, 327.
*Hunc iuvenes miserique senes castaeque puellae* Od. λ, 38.
*Deducunt longo gemitu, ceu morte propinqua.* Il. ω, 328.
*Tum se Mercurius comitem cum Pallade iungit,* Od. λ, 625.
*Quam non fraterni casus curaeque latebant.* Il. β, 409.

Quem non simplicem minimeque malum hominem versus isti decipiant, ut eos quemadmodum audit, de hoc argumento ab Homero scriptos assentiatur? At qui Homeri lectione tritus est, facile ista discernet, nec ignorabit horum partim de Ulysse dicta, partim de Hercule, partim ad Priamum, partim ad Menelaum et Agamemnonem pertinere. Quibus inde translatis ac suo loco restitutis totum illud opus dissolvet. Sic omnino, qui veritatis regulam neutram in

*legisse videtur plenius* ἐπιγνώσεται μὲν τὰ ἔπη, τὴν δὲ ὑπόθεσιν οὐκ ἐπιγνώσεται.

8. *Vet. Interpres:* et unumquemque suo libro reddiderit.

9. *Vet. Interpres* praesens argumentum *vertit.*

10. ὁ *om. cod. Ven.*

ἀκλινῆ ἐν ἑαυτῷ κατέχων, ὃν διὰ τοῦ βαπτίσματος εἴληφε, τὰ μὲν ἐκ τῶν γραφῶν ὀνόματα καὶ τὰς λέξεις καὶ τὰς παραβολὰς ἐπιγνώσεται, τὴν δὲ βλάσφημον ὑπόθεσιν ταύτην οὐκ ἐπιγνώσεται. Καὶ γὰρ εἰ τὰς ψηφῖδας γνωρίσει, ἀλλὰ τὴν ἀλώπεκα ἀντὶ τῆς βασιλικῆς εἰκόνος οὐ παραδέξεται· ἓν ἕκαστον δὲ τῶν εἰρημένων ἀποδοὺς τῇ ἰδίᾳ τάξει καὶ προσαρμόσας τῷ τῆς ἀληθείας [11] σωματίῳ γυμνώσει, καὶ ἀνυπόστατον ἐπιδείξει τὸ πλάσμα αὐτῶν.

Κεφ. λβʹ. [1] Ἐπειδὴ τῇ σκηνῇ ταύτῃ [2] λείπει ἡ ἀπολύτρωσις, ἵνα τις τὸν μῖμον [3] αὐτῶν περαιώσας τὸν ἀνασκευάζοντα λόγον [4] ἐπενέγκῃ, καλῶς ἔχειν ὑπελάβομεν ἐπιδεῖξαι πρότερον ἐν οἷς οἱ πατέρες αὐτοὶ τοῦδε τοῦ [5] μύθου διαφέρονται πρὸς ἀλλήλους, ὡς ἐκ διαφόρων πνευμάτων τῆς πλάνης ὄντες. Καὶ ἐκ τούτου γὰρ [6] ἀκριβέστατα συνιδεῖν ἔσται, καὶ πρὸ τῆς ἀποδείξεως, βεβαίαν τὴν ὑπὸ τῆς ἐκκλησίας κηρυσσομένην ἀλήθειαν, καὶ τὴν ὑπὸ τούτων παραπεποιημένην ψευδηγορίαν. Ἡ μὲν γὰρ ἐκκλησία, καίπερ καθ' ὅλης τῆς οἰκουμένης ἕως περάτων τῆς γῆς διεσπαρμένη, παρὰ δὲ τῶν ἀποστόλων καὶ τῶν ἐκείνων μαθητῶν παραλαβοῦσα τὴν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, τὸν πεποιηκότα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰς θαλάσσας καὶ πάντα τὰ ἐν αὐτοῖς, πίστιν, καὶ εἰς ἕνα Χριστὸν Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ, τὸν σαρκωθέντα ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, καὶ εἰς πνεῦμα ἅγιον, τὸ διὰ τῶν προφητῶν κεκηρυχὸς τὰς οἰκονομίας καὶ [7] τὴν ἔλευσιν καὶ τὴν [8] ἐκ παρθένου γέννησιν καὶ τὸ πάθος καὶ τὴν ἔγερσιν ἐκ νεκρῶν καὶ τὴν ἔνσαρκον εἰς τοὺς οὐρανοὺς ἀνάληψιν τοῦ ἠγαπημένου Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν, καὶ τὴν ἐκ τῶν οὐρανῶν ἐν τῇ δόξῃ τοῦ πατρὸς παρουσίαν αὐτοῦ, [9] ἐπὶ τὸ ἀνακεφαλαιώσασθαι τὰ πάντα καὶ ἀναστῆσαι πᾶσαν σάρκα πάσης ἀνθρωπότητος, ἵνα Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν καὶ θεῷ καὶ σωτῆρι καὶ βασιλεῖ κατὰ τὴν εὐδοκίαν τοῦ πατρὸς τοῦ ἀοράτου pag. 202. πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται αὐτῷ, καὶ κρίσιν δικαίαν ἐν τοῖς πᾶσι ποιήσηται, τὰ μὲν πνευματικὰ τῆς πονηρίας καὶ ἀγγέλους, τοὺς παραβεβηκότας καὶ ἐν ἀποστασίᾳ γεγονότας, καὶ τοὺς ἀσεβεῖς καὶ ἀδίκους καὶ ἀνόμους καὶ βλασφήμους τῶν ἀνθρώπων εἰς τὸ αἰώνιον πῦρ πέμψῃ, τοῖς δὲ δικαίοις καὶ ὁσίοις, καὶ τὰς ἐντολὰς αὐτοῦ τετηρηκόσι, καὶ ἐν τῇ ἀγάπῃ αὐτοῦ διαμεμενηκόσι, τοῖς ἀπ' ἀρχῆς, τοῖς [10] δὲ ἐκ μετανοίας, ζωὴν χαρισάμενος ἀφθαρσίαν δωρήσηται καὶ δόξαν αἰωνίαν περιποιήσῃ.

11. σωματίῳ *scripsi cum Grabio. Libri habent* σωματείῳ.

Cap. XXXII. — 1. Ἐπειδὴ δὲ *coniecit Billius*, Ἐπεὶ δὴ *vel* Ἐπεὶ δὲ *Grabius et Massuetus. Vet. Interpres habet:* Quoniam autem scenae huic deest *cett.*

2. λείπη *cod. Ven.*

3. *Ita cod. Ven., conspirans cum Vet. Interprete qui habet* ipsorum. *Vulgo enim exstat* αὐτόν.

4. *Ita corrigendum erat secundum Vet. Interpr., et cod. Ven., qui habet* ἐπενέγκει.

partem inflexam, quam in baptismo acceperit, apud se retineat, deprompta sacris e literis vocabula ac dictiones et parabolas agnoscat, contumeliosum hoc vero in deum argumentum repudiet, atque in tesserulas animadvertet, nunquam ut vulpeculam pro imperatoris effigie obtrudi sibi patiatur, verum unumquodque eorum quae dicta sunt ordini suo reddens, ac veritatis velut corpori accommodans, illorum nugas detegat atque inanes esse demonstret.

Postremo quia iam velut in scena peracto fabulae exodio dimittendi tempus est, consultum fore duximus, si ad illorum confutandum errorem aliquid subiiceremus. Sed prius tamen ostendendum illud est, quibus in rebus fabulae illius auctores a se invicem dissideant, quos diversi velut falsitatis spiritus contrarias in partes abripiunt. Hoc enim ex capite vel citra probationem ullam certissime constabit, cum solidam ac stabilem esse veritatem illam, quam ecclesia praedicat, tum adulterinam ac mendacem illorum esse doctrinam. Siquidem ecclesia toto licet orbe ad extremos usque terrarum limites dispersa, cum ab apostolis eorumque discipulis fidem acceperit in unum deum patrem omnipotentem, qui coelum terramque ac maria cum universis quae in illis comprehensa sunt condidit, et in unum Iesum filium dei, qui pro nostra salute carnem induit, atque in spiritum sanctum, qui omnem illam unice dilecti Christi Iesu domini nostri administrationem et adventum ortumque de virgine per prophetas praenuntiavit, nec non et perpessionem ac resurrectionem, et in coelum ascensionem cum corpore, futurumque olim indidem paterna cum maiestate descensum, ut in summam velut universa contrahat, et omnium hominum corpora revocet ad vitam, atque ut Christo Iesu domino nostro ac deo et salvatori regique de illius qui videri non potest, voluntate patris, *Omne genu flectatur coelestium, terrestrium et infernorum, et omnis ipsum lingua confiteatur*, utique rectum in omnes iudicium exerceat, ac spiritalia nequitiae, hoc est desertores angelos ac rebelles, et impios omnes ac sceleratos et facinorosos, ac contumeliosos in deum homines sempiternis flammis addicat, iustis vero sanctisque, qui mandata sua diligenter observaverint et in eius caritate sive iam inde ab initio, sive post poenitentiam perseveraverint, vitam immortalitatemque largiatur, atque aeternam illis gloriam impertiat.

Cap. XXXII.

Eph. 1, 10.

Phil. 2, 10.

*Vulgata scriptura est* ἐπενεγκεῖν.
5. *Ita cod. Ven. Vulgo* ϑυμοῦ.
6. ἀκριβέστατα *codd. Ven. et Vatic. Vulgo* ἀκριβῶς.
7. τὴν ἔλευσιν *restitui ex cod. Ven. et Vet. Interprete. Vulgo* τὰς ἐλεύσεις.
8. ἐκ τῆς παρϑένου *cod. Vatic.*
9. ἐπὶ δὲ τὸ *cod. Ven.*
10. δὲ καὶ ἐκ *cod. Vatic.*

Κεφ. λγ'. Τοῦτο τὸ κήρυγμα παρειληφυῖα, καὶ ταύτην τὴν πίστιν, ὡς προέφαμεν, ἡ ἐκκλησία, καίπερ ἐν ὅλῳ τῷ κόσμῳ διεσπαρμένη, ἐπιμελῶς φυλάσσει, ὡς ἕνα οἶκον οἰκοῦσα, καὶ ὁμοίως πιστεύει τούτοις, ὡς μίαν ψυχὴν καὶ τὴν αὐτὴν ἔχουσα καρδίαν, καὶ συμφώνως ταῦτα κηρύσσει καὶ διδάσκει καὶ παραδίδωσιν, ὡς ἓν στόμα κεκτημένη. [1] Καὶ γὰρ αἱ κατὰ τὸν κόσμον διάλεκτοι ἀνόμοιαι· ἀλλ' ἡ δύναμις τῆς παραδόσεως μία καὶ ἡ αὐτή, καὶ οὔτε αἱ ἐν Γερμανίαις ἱδρυμέναι ἐκκλησίαι ἄλλως πεπιστεύκασιν, ἢ ἄλλως παραδιδόασιν, οὔτε ἐν ταῖς Ἰβερίαις, οὔτε ἐν Κελτοῖς, οὔτε κατὰ τὰς ἀνατολάς, οὔτε ἐν Αἰγύπτῳ, οὔτε ἐν Λιβύῃ, οὔτε αἱ κατὰ μέσα τοῦ κόσμου ἱδρυμέναι· ἀλλ' ὥςπερ ὁ ἥλιος τὸ κτίσμα τοῦ Θεοῦ ἐν ὅλῳ τῷ κόσμῳ εἷς καὶ ὁ αὐτός, οὕτω καὶ [2] τὸ φῶς, τὸ κήρυγμα τῆς ἀληθείας πανταχῇ φαίνει, καὶ φωτίζει πάντας ἀνθρώπους τοὺς βουλομένους εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ οὔτε ὁ πάνυ δυνατὸς ἐν λόγῳ τῶν ἐν ταῖς ἐκκλησίαις προεστώτων ἕτερα τούτων ἐρεῖ (οὐδεὶς γὰρ ὑπὲρ τὸν διδάσκαλον), οὔτε ὁ ἀσθενὴς ἐν τῷ λόγῳ ἐλαττώσει τὴν παράδοσιν. Μιᾶς γὰρ καὶ τῆς αὐτῆς πίστεως οὔσης, οὔτε ὁ πολὺ περὶ αὐτῆς δυνάμενος εἰπεῖν ἐπλεόνασεν, οὔτε ὁ τὸ ὀλίγον ἠλαττόνησε. Τὸ δὲ πλεῖον ἢ ἔλαττον κατὰ σύνεσιν εἰδέναι τινὰς οὐκ ἐν τῷ τὴν ὑπόθεσιν αὐτὴν ἀλλάσσειν γίνεται, καὶ ἄλλον Θεὸν παρεπινοεῖν παρὰ τὸν δημιουργὸν καὶ ποιητὴν καὶ τροφέα τοῦ δὲ τοῦ παντός, ὡς μὴ ἀρκουμένους [3] τούτῳ, ἢ ἄλλον Χριστόν, ἢ ἄλλον Μονογενῆ, ἀλλὰ ἐν τῷ τὰ ὅσα ἐν παραβολαῖς εἴρηται [4] προςεπεξεργάζεσθαι καὶ συνοικειοῦν τῇ τῆς πίστεως ὑποθέσει, καὶ ἐν τῷ τήν τε πραγματείαν καὶ οἰκονομίαν
pag. 203. τοῦ Θεοῦ τὴν ἐπὶ τῇ ἀνθρωπότητι [5] γινομένην ἐκδιηγεῖσθαι, καὶ ὅτι ἐμακροθύμησεν ὁ Θεὸς ἐπί τε τῇ τῶν παραβεβηκότων ἀγγέλων ἀποστασίᾳ καὶ ἐπὶ τῇ παρακοῇ τῶν ἀνθρώπων σαφηνίζειν, καὶ διὰ τί τὰ μὲν πρόςκαιρα, τὰ δὲ αἰώνια, καὶ τὰ μὲν οὐράνια, καὶ τὰ δὲ ἐπίγεια εἷς καὶ ὁ αὐτὸς Θεὸς πεποίηκεν ἀπαγγέλλειν, καὶ διὰ τί ἀόρατος ὢν ἐφάνη τοῖς προφήταις ὁ Θεός, οὐκ ἐν μιᾷ ἰδέᾳ, ἀλλὰ ἄλλως ἄλλοις συνιεῖν, καὶ διὰ τί διαθῆκαι πλείους γεγόνασι τῇ ἀνθρωπότητι μηνύειν, καὶ τίς ἑκάστης τῶν διαθηκῶν ὁ χαρακτὴρ διδάσκειν, καὶ διὰ τί συνέκλεισε πάντα εἰς ἀπείθειαν ὁ Θεός, ἵνα τοὺς πάντας ἐλεήσῃ, ἐξερευνᾶν, καὶ διὰ τί ὁ λόγος τοῦ Θεοῦ σὰρξ ἐγένετο καὶ ἔπαθεν εὐχαριστεῖν, καὶ διὰ τί ἐπ ἐσχάτων [6] τῶν καιρῶν ἡ παρουσία τοῦ υἱοῦ τοῦ Θεοῦ, τουτέστιν ἐν τῷ τέλει ἐφάνη ἡ ἀρχή, ἀπαγγέλλειν, καὶ περὶ τοῦ τέλους καὶ τῶν μελλόντων, ὅσα τε κεῖται ἐν ταῖς γραφαῖς, ἀναπτύσσειν, καὶ

CAP. XXXIII. — 1. *Ita omnes libri. Cum Grabio rescribendum videtur* Κἂν γάρ.
2. τὸ φῶς τὸ κήρυγμα *restitui ex auctoritate cod. Veneti et Vet. Interpretis, qui habet* sic et lumen, praedicatio veritatis *cett.*
3. τούτῳ *restitui ex cod. Veneto. Vulgo extat* τούτους.
4. προςεπεξεργάζεσθαι καὶ συνοικειοῦν *cod. Ven.* προςεπεργάζεσθαι καὶ οἰκειοῦν *reliqui libri.*
5. γενομένην, *uti correxit Billius secundum Vet. Interpr., habet cod. Paris.*

Cum igitur ecclesia doctrinam eiusmodi fidemque, uti diximus, acceperit, eam vel orbe toto diffusa studiose conservat, quasi in una quadam domo habitans, ac similiter omnibus illis assentitur, tanquam anima una eodemque corde praedita, eademque concordissime sic, quasi unum os habeat, docet ac praedicat. Etenim tametsi hominum linguae sint dissimiles, eadem tamen traditae doctrinae vis est ubique; neque aut constitutae in Germania ecclesiae credunt aliter ac suos perdocent, aut quae in Hispaniis ac Galliis aut ad Orientem, aut in Aegypto vel Libya mediove orbe stabilitae. Sed quemadmodum sol nobilissimum dei opus unus in toto mundo atque idem est semper, sic veritatis praedicatio ubique terrarum illucescit, ac mortales omnes illustrat, qui quidem illius ad notitiam pervenire voluerint. Adeo ut neque is qui inter ecclesiarum antistites dicendi facultate pollet, ab illis diversa profiteatur (nemo enim est praeceptore suo superior), neque qui infans est et indisertus, de tradita sibi disciplina quicquam diminuat. Quoniam enim una est eademque fides, neque qui de ea copiose potest dicere plus aliquid obtinet, neque minus, qui pauca duntaxat eloqui potest. Quod autem plus minusve nonnulli intelligentia ac scientia consequantur, nihil hoc ad immutandam doctrinam pertinet; neque idcirco deum alium praeter conditorem excogitant atque huius universitatis artificem et altorem, quasi minime sint altero illo contenti, neque alium Christum, neque porro Unigenitum alium. Sed in id duntaxat illorum elaborat industria, ut quae aenigmatum quibusdam involucris obtecta sunt expoliant atque explicent, et ad communis fidei institutum accommodent, sive ut divinum illud in hominum salute procuranda negotium administrationemque omnem exponant, idque ipsum declarent, quomodo illam rebellium spirituum defectionem hominumque contumaciam deus patientissime tulerit, quid caussae sit cur unus idemque deus alia temporaria, alia sempiterna fecerit, itemque coelestia quaedam, alia terrena, cur qui oculis aspici nequit, prophetis non una specie visendum se praebuerit, sed aliis alio modo quae vellet significaverit, cur testamenta plura sint hominibus condita, quaeve utriusque notae ac propria veluti lineamenta sint: ut illud etiam inquirant, cur omnia deus perduellione concluserit, ut omnium misereri posset, atque ob id insuper gratias agant, quod Verbum dei caro factum ac supplicio est affectum, illud etiam edisserant, cur in extrema tempora Filii dei adventus inciderit, hoc est cur omnium sese principium in fine prodiderit: ad haec de mundi exitu futurisque rebus quaecumque sacris reperiuntur in libris, excutiant, nec illud taceant, cur despe- Cap. XXXIII.

6. τῶν om. cod. Ven.

[7] ἔτι ὅτι τὰ ἀπεγνωσμένα ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα τῶν ἁγίων πεποίηκεν ὁ θεὸς μὴ σιωπᾶν, καὶ πῶς τὸ θνητὸν τοῦτο σαρκίον ἐνδύσεται ἀθανασίαν, καὶ τὸ φθαρτὸν ἀφθαρσίαν, διαγγέλλειν, πῶς τε ἐρεῖ, Ὁ οὐ λαὸς λαὸς, καὶ ἡ οὐκ ἠγαπημένη ἠγαπημένη, καὶ πῶς πλείονα τῆς ἐρήμου τὰ τέκνα μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα, κηρύσσειν. Ἐπὶ τούτων γὰρ καὶ ἐπὶ τῶν ὁμοίων αὐτοῖς ἐπεβόησεν ὁ ἀπόστολος· Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ· ἀλλὰ οὐκ ἐν τῷ ὑπὲρ τὸν κτίστην καὶ δημιουργὸν μητέρα τούτων καὶ [8] αὐτοῦ Ἐνθύμησιν Αἰῶνος πεπλανημένου παρεπινοεῖν, καὶ εἰς τοσοῦτον ἥκειν βλασφημίας οὐδὲ τὸ ὑπὲρ ταύτην πάλιν Πλήρωμα [9] τότε μὲν ἕνα, νῦν δὲ ἀνήριθμον φῦλον Αἰώνων ἐπιψεύδεσθαι, καθὼς λέγουσιν οὗτοι οἱ ἀληθῶς ἔρημοι θείας συνέσεως διδάσκαλοι, τῆς οὔσης ἐκκλησίας [10] πάσης μίαν καὶ τὴν αὐτὴν πίστιν ἐχούσης εἰς πάντα τὸν κόσμον, καθὼς προέφαμεν.

Κεφ. λδ'. Ἴδωμεν νῦν καὶ τὴν τούτων ἄστατον γνώμην δύο που καὶ τριῶν ὄντων, πῶς περὶ τῶν αὐτῶν οὐ τὰ αὐτὰ λέγουσιν, ἀλλὰ τοῖς [1] πράγμασι καὶ τοῖς ὀνόμασιν ἐναντία ἀποφαίνονται. Ὁ μὲν γὰρ πρῶτος ἀπὸ
pag. 204. τῆς λεγομένης Γνωστικῆς αἱρέσεως τὰς ἀρχὰς εἰς ἴδιον χαρακτῆρα διδασκαλείου μεθαρμόσας Οὐαλεντῖνος οὕτως [2] ἐξαφόρισεν, ὁρισάμενος εἶναι Δυάδα ἀνονόμαστον, ἧς τὸ μέν τι καλεῖσθαι Ἄρρητον, τὸ δὲ Σιγήν. Ἔπειτα ἐκ ταύτης Δυάδος δευτέραν Δυάδα προβεβλῆσθαι, ἧς τὸ μέν τι Πατέρα ὀνομάζει, τὸ δὲ Ἀλήθειαν. Ἐκ δὲ τῆς Τετράδος ταύτης καρποφορεῖσθαι Λόγον καὶ Ζωὴν, Ἄνθρωπον καὶ Ἐκκλησίαν· εἶναί τε ταύτην Ὀγδοάδα πρώτην. Καὶ ἀπὸ μὲν τοῦ Λόγου καὶ τῆς Ζωῆς δέκα δυνάμεις λέγει προβεβλῆσθαι, καθὼς προειρήκαμεν· ἀπὸ δὲ τοῦ Ἀνθρώπου καὶ τῆς Ἐκκλησίας δώδεκα, ὧν μίαν ἀποστᾶσαν καὶ ὑστερήσασαν τὴν λοιπὴν πραγματείαν πεποιῆσθαι. Ὅρους τε δύο ὑπέθετο, ἕνα μὲν μεταξὺ τοῦ Βυθοῦ καὶ τοῦ λοιποῦ Πληρώματος, διορίζοντα τοὺς γενητοὺς Αἰῶνας ἀπὸ τοῦ ἀγενήτου Πατρὸς, ἕτερον δὲ τὸν ἀφορίζοντα [3] αὐτῶν τὴν Μητέρα ἀπὸ τοῦ Πληρώματος. Καὶ τὸν Χριστὸν δὲ οὐκ ἀπὸ τῶν ἐν τῷ Πληρώματι Αἰώνων προβεβλῆσθαι, ἀλλὰ ὑπὸ τῆς Μητρὸς ἔξω γενομένης κατὰ τὴν γνώμην τῶν κρειττόνων ἀποκεκυῆσθαι μετὰ σκιᾶς τινος. Καὶ τοῦτον μὲν, ἅτε ἄρρενα ὑπάρχοντα, ἀποκόψαντα ἀφ' ἑαυτοῦ τὴν σκιὰν, ἀναδραμεῖν εἰς τὸ Πλήρωμα, τὴν δὲ Μητέρα ὑπολειφθεῖσαν μετὰ τῆς σκιᾶς, κεκενωμένην τε τῆς πνευματικῆς ὑποστάσεως, ἕτερον υἱὸν [4] προενέγκασθαι, καὶ τοῦτον εἶναι

7. ἔτι ὅτι *reposui ex cod. Veneto, cum vulgati libri teneant* τί ὅτι.
8. αὐτὸν *cod. Ven. Cf. Grabium ad Vet. Interpretem, qui habet* Sed non in eo, ut supra creatorem et fabricatorem matrem eius et illorum, Euthymesin Aeonis errantis adinvenires.
9. τότε μὲν ἕνα *cod. Ven.* τὸ μὲν ἕνα

ratae prius gentes in idem cum sanctis ius hereditatis ac veluti corpus et societatem a deo fuerint ascitae: qui fieri possit ut mortalis ista caruncula immortalitatem, et corruptibile hoc incorruptionem induat, aut quemadmodum dicturus sit, *Non populus populus erit, et non dilecta dilecta*, quomodo *Plures desertae, quam virum habentis sint filii*. Nam de his ac similibus exclamat apostolus: *O altitudo divitiarum ac sapientiae, et scientiae dei! quam incomprehensibilia sunt iudicia eius, et investigabiles viae eius!* Non id autem agunt, ut supra Creatorem ac Conditorem horum Matrem ac vagi Aeonis Cogitationem male comminiscantur, ac tam insignem deo contumeliam faciant, neque ut Pleroma nescio quod illa superius modo XXX duntaxat Aeonibus definiant, modo infinitam illorum nationem constituant, ut egregii illi magistri ac divina plane scientia destituti faciunt, cum una eademque sit, ut diximus, toto orbe germanae ecclesiae fides.

1. Corinth. 15, 54. Ose. 2, 23. Rom. 9, 25. Esai. 54, 1. Galat. 4, 27. Rom. 11, 33.

Cap. XXXIV.

Age vero videamus modo quanta sit duorum vel trium istorum inconstantia, atque de iisdem non eadem pronuncient, sed et rebus ipsis et vocabulis a se invicem dissentiant. Etenim qui a Gnosticorum haeresi deprompta quaedam initia primus peculiaris ad sectae formam transtulit, Valentinus ita definiit: Binarium quendam sine nomine constituit, ex Arrheto et Sige constantem. Ab hoc secundum propagatum esse Binarium, quo Pater ac Veritas continetur. Tum ex Quaternario Verbum et Vitam, Hominem, Ecclesiamque prodiisse; hanc esse primam Ogdoadem. Inde ex Verbo ac Vita decem profluxisse Virtutes, quas antea retulimus: ab Homine et Ecclesia duodecim; a quibus una deficiens ordinemque deserens reliquum omne opus absolvit. Adiecit et Horos duos, alterum qui Bythum inter ac Pleroma reliquum intercedit et genitos Aeonas ab Ingenito Patre dirimit, alterum qui Matrem illorum a Pleromate secernit. Christum porro non a Pleromatis Aeonibus editum, sed ab extorri Matre ex meliorum recordatione cum quadam umbra procreatum. Eundemque, cum esset masculus, abiecta a semet umbra ad Pleroma recurrisse, Matrem vero cum umbra relictam ac spiritali substantia exhaustam alium procreasse filium, videlicet Conditorem, cui in

*reliqui libri.* τότε μὲν λ̄ (*vel* τριάκοντα) *emendari voluerunt Fronto Ducaeus, Billius, Grabius.*

10. πάσης *desideratur in cod. Ven.*

Cap. XXXIV. — 1. ὀνόμασιν καὶ τοῖς πράγμασιν *cod. Ven. Eundem verborum ordinem tenet Vet. Interpres.*

2. ἐξαφόρισεν *restitui meo periculo secutus corruptam magis cod. Venet. scripturam, in quo legitur* ἐξηφόρησεν, *quam vulgatam* ἐξηροφόρησεν. *Vet. Interpres habet* Qui enim est primus ab ea quae dicitur Gnostica haeresis, antiquas in suum characterem doctrinas transferens Valentinus sic definivit: dualitatem *cett.*

3. αὐτῶν *cod. Ven. faciens cum Vet. Interprete. Vulgo extat* αὐτῷ.

4. προσενέγκασθαι *cod. Ven.*

*τὸν Δημιουργὸν, ὃν καὶ Παντοκράτορα λέγει τῶν* [5] *ὑποκειμένων·* [6] *συμπροβεβλῆσθαι δὲ αὐτῷ καὶ* [7] *ἀρίστερον ἄρχοντα ἐδογμάτισεν, ὁμοίως τοῖς ῥηθησομένοις ὑφ' ἡμῶν* [8] *ψευδωνύμως Γνωστικοῖς. Καὶ τὸν Ἰησοῦν ποτὲ μὲν ἀπὸ τοῦ συσταλέντος ἀπὸ τῆς Μητρὸς αὐτῶν, συναναχυθέντος τοῖς ὅλοις, προβεβλῆσθαί* [9] *φησι, τουτέστι τοῦ Θελητοῦ, ποτὲ δὲ ἀπὸ τοῦ ἀναδραμόντος εἰς τὸ Πλήρωμα, τουτέστι τοῦ Χριστοῦ, ποτὲ δὲ ἀπὸ τοῦ Ἀνθρώπου καὶ τῆς Ἐκκλησίας. Καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον ὑπὸ τῆς Ἐκκλησίας φησὶ προβεβλῆσθαι εἰς ἀνάκρισιν καὶ καρποφορίαν τῶν Αἰώνων, ἀοράτως εἰς αὐτοὺς εἰσιόν· δι' οὗ τοὺς Αἰῶνας καρποφορεῖν τὰ φυτὰ τῆς ἀληθείας.*

[10] ΠΕΠΛΗΡΩΤΑΙ ΤΑ ΕΙΡΗΝΑΙΟΥ ΚΑΤΑ ΟΥΑΛΕΝΤΙΝΩΝ.

Κεφ. λε'. *Καὶ ταῦτα μὲν καὶ τὰ τοιαῦτα ὁ προειρημένος ἀνὴρ πρεσβύτης*
pag. 205. *Εἰρηναῖος, ὁ κατὰ πάντα ἐκ πνεύματος ἁγίου κεκοσμημένος, ὡς γενναῖος ἀθλητὴς ὑπὸ τοῦ κυρίου προβεβλημένος, καὶ ἐπαλειφθεὶς τοῖς ἐπουρανίοις χαρίσμασι τοῖς κατὰ τὴν ἀληθινὴν πίστιν καὶ γνῶσιν, καταπαλαίσας τε καὶ καταγωνισάμενος τὴν πᾶσαν αὐτῶν ληρώδη ὑπόθεσιν διεξῆλθε κατὰ λόγον τὰ ὑπ' αὐτῶν κενοφωνούμενα. Ἀκρότατα δὲ αὐτοὺς ἐν τῷ ἑξῆς δευτέρῳ αὐτοῦ λόγῳ καὶ τοῖς ἄλλοις διήλεγξε, περιττοτέρως βουλόμενός πως τὸν χαμαὶ ῥιφέντα καὶ εἰς ἧτταν τραπέντα σῦραι, καὶ ἐνώπιον πάντων θριαμβεῦσαί τε καὶ φωράσαι τὴν ἐν αὐτῷ τῷ ῥιφέντι ἀναίσχυντόν τε καὶ ἀσθενῆ προὔκλησιν ματαιοφροσύνης. Ἡμεῖς δὲ ἀρκεσθέντες τοῖς τε παρ' ἡμῶν λεχθεῖσιν ὀλίγοις, καὶ τοῖς ὑπὸ τῶν τῆς ἀληθείας συγγραφέων τούτων λεχθεῖσί τε καὶ συνταχθεῖσι, καὶ ὁρῶντες ὅτι ἄλλοι πεπονήκασι, φημὶ δὲ Κλήμης, καὶ Εἰρηναῖος, καὶ Ἱππόλυτος, καὶ ἄλλοι πλείους, οἳ καὶ θαυμαστῶς τὴν κατ' αὐτῶν πεποίηνται ἀνατροπὴν, οὐ πάνυ τι τῷ καμάτῳ προςθεῖναι, ὡς προεῖπον, ἠθελήσαμεν, ἱκανωθέντες τοῖς προειρημένοις ἀνδράσι, καὶ αὐτὸ τοῦτο διανοηθέντες, ὅτι παντὶ συνετῷ καὶ ἐξ αὐτῶν τῶν ἐν τοῖς διδάγμασιν αὐτῶν λόγων ἡ ἀνατροπὴ αὐτῶν κατ' αὐτῶν φανήσεται.*

Κεφ. λϛ'. *Πρῶτον μὲν, ὅτι διάφορα παρ' αὐτοῖς τὰ φρονήματα, καὶ ἕτερος τὰ* [1] *τοῦ ἑτέρου καταλύειν ἐπαγγέλλεται· δεύτερον δὲ, ὅτι ἀσύστατα τὰ παρ' αὐτοῖς μυθοποιήματα, οὔτε που γραφῆς εἰπούσης, οὔτε τοῦ Μωϋσέως νόμου, οὔτε τινὸς προφήτου τῶν μετὰ Μωϋσέα, ἀλλ' οὔτε τοῦ σωτῆρος, οὔτε τῶν αὐτοῦ εὐαγγελιστῶν, ἀλλ' οὔτε μὴν τῶν ἀποστόλων.*

5. ὑποκειμένων αὐτῷ *voluerunt restitui ad Vet. Interpr. Non opus est.*

6. προβεβλῆσθαι *cod. Ven.*

7. *Ita cod. Ven. et Vet. Interpres. Vulgo* ἄριστον.

8. ψευδωνύμοις *cod. Ven.*

9. *Ita codd. (Ven.?) Rhedig. Paris. et ed. princ. Etiam Vet. Interpres vertit dicit. Petavius edidit* φασι.

omnia, quae quidem ipsi subiecta sunt, dominatum ac potestatem tribuunt. Cum hoc et alium productum esse sinistrum Principem arbitratus est; perinde ut Gnostici illi, falso ita dicti, de quibus postea dicemus. Iesum porro nonnunquam a Theleto illo genitum affirmat, qui ab ipsorum Matre contractus unaque cum universitate profusus est, interdum ab eo, qui se ad Pleroma receperit, scilicet Christo. Alias a Christo et Ecclesia. Spiritum denique sanctum ab Ecclesia originem traxisse putat, et ad examinandos ac fecunditate donandos Aeonas editum, cum in illos ita subiisset, ut aspici nullo modo posset; cuius adeo ipsi beneficio veritatis stirpes emittunt.

HACTENUS IRENAEUS CONTRA VALENTINIANOS.

Haec atque his similia optimus ille senex Irenaeus totidem verbis de vanissimis illorum opinionibus disseruit, vir omnino spiritus sancti donis instructissimus, ac tanquam fortis athleta productus a domino, et coelestibus ornamentis, ut ita dixerim, ad certamen perunctus, qui sincerae fidei ac scientiae praesidiis omnia illorum prostravit evertitque mendacia. Quod in secundo libro ac sequentibus aliis potissimum perfecit, ubi illos uberiore stylo confutavit, cum velut humi abiectum ac superatum adversarium trahere, ac quodammodo triumphare visus est velle, et profligati nugatoris impudentem magis quam fortem ad provocandum audaciam palam omnibus detegere. Nos autem partim iis, quae a nobis breviter sunt disputata, partim quae ab aliis sinceris id genus scriptoribus elucubrata sunt, contenti, cum nonnullos quoque videamus de hoc argumento scripsisse, praesertimque Clementem, Irenaeum et Hippolytum, aliosque complures, qui admirabili quadam facultate illorum dogmata refutarunt, non multum in eo, ut dictum est, elaborare studuimus, satis superque illorum opera factum arbitrati, idque ipsum apud nos existimantes, neminem esse paululum intelligentem cui vel ex ipsis illorum libris ac dogmatibus non ea facile occurrant quae ad illos refellendos idonea sint. Cap. XXXV.

Imprimis quod opinionum a se invicem varietate dissentiant, alterque alterius decreta convellere sese profiteatur: deinde quod tales sint illorum fabulae, ut cohaerere nullo modo possint, cum neque in sacris literis, nec in Mosis lege, neque apud Mose recentiores prophetas illarum extet ulla mentio, neque a salvatore quicquam, vel eius evangelistis, aut denique apostolis de iisce sit proditum. Cap. XXXVI.

10. Πεπλήρωται τὰ τοῦ Εἰρηναίου. Καὶ cett. cod. Ven. Cap. XXXVI. — 1. τοῦ *Petavius adiecit ex cod. Vatic.*

*Εἰ γὰρ ταῦτα ἀληθινὰ ὑπῆρχεν, ὁ ἐλθὼν φωτίσαι τὴν οἰκουμένην κύριος, καὶ πρὸ αὐτοῦ οἱ προφῆται, ἔπειτα δὲ καὶ οἱ ἀπόστολοι, οἱ ἐλέγξαντες τὴν εἰδωλολατρείαν, πᾶσάν τε παράνομον πρᾶξιν, καὶ μὴ δειλιάσαντες γράφειν κατὰ πάσης παρανόμου διδασκαλίας καὶ ἐναντιότητος, σαφῶς ἂν τὰ τοιαῦτα ἡμῖν κατήγγελλον. Καὶ μάλιστα αὐτοῦ τοῦ σωτῆρος λέγοντος ὅτι, Τοῖς μὲν ἔξω ἐν παραβολαῖς, ὑμῖν δὲ τὰς παραβολὰς εἰς ἐπίλυσιν βασιλείας οὐρανῶν ῥητέον. Ὅσας γοῦν ἐν εὐαγγελίοις παραβολὰς εἴρηκεν, εὐθὺς ἐπιλύσας φαίνεται. Ἀμέλει φησὶ καὶ τίς ὁ κόκκος τοῦ [2] σινάπεως, καὶ τίς ἡ ζύμη, καὶ τίς βαλοῦσα τὴν ζύμην εἰς τὰ τρία σάτα, τίς ὁ ἀμπελὼν, τίς ἡ συκῆ, τίς ὁ σπορεὺς, τίς ἡ καλλίστη γῆ· καὶ μάτην οὗτοι ἐνθουσιῶνται ὑπὸ δαιμόνων ἐλαυνόμενοι. Περὶ ὧν φησιν ὁ ἁγιώτατος ἀπόστολος Παῦλος, Ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς διδασκαλίας, προςέχοντες μύθοις καὶ διδασκαλίαις δαιμόνων. Καὶ πάλιν ὁ ἅγιος Ἰάκωβος λέγων περὶ τῆς τοιαύτης διδασκαλίας ὅτι, Οὐκ ἔστιν ἄνωθεν ἡ αὐτὴ σοφία κατερχομένη, ἀλλ' ἐπίγειος, ψυχικὴ, δαιμονιώδης· ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνικὴ, εὐπειθὴς, ἀδιάκριτος, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, καὶ τὰ ἑξῆς, ἧς οὐδὲ εἷς καρπὸς ἐν τοῖς προειρημένοις εὑρίσκεται. Παρ' αὐτοῖς γὰρ ἀκαταστασία, καὶ πᾶν παράνομον πρᾶγμα, δαιμόνων τε κνήματα καὶ συρίγματα δρακόντων, ἄλλοτε ἄλλως καὶ ἄλλο ἑκάστου αὐτῶν λαλοῦντος· παρ' οἷς οὐκ ἔλεος, οὐκ οἶκτος εὑρίσκεται, ἀλλὰ διακρίσεις καὶ διαφοραὶ, καὶ οὐδαμοῦ ἁγνεῖαι, οὐδαμοῦ εἰρήνη, οὐδαμοῦ [3] ἐπιείκεια.*

pag. 286.

Κεφ. λζ'. *Βούλομαι δὲ πάλιν ἀναγκαζόμενος ὑπὸ τοῦ λόγου, εἰ καὶ παύσασθαι ὑπεσχόμην, ὀλίγων τῶν παρ' αὐτοῖς εἰρημένων μνημονεύσας ἀνατρέψαι. Οὐ γὰρ τοῦ κατὰ τέχνην μοι λόγου μέλει, ἀλλὰ τῆς τῶν ἐντυγχανόντων ὠφελείας. Λέγουσι τοίνυν ὅτι ὁ δωδέκατος Αἰὼν ὁ ἐν ὑστερήματι γενόμενος παντελῶς τοῦ ἀριθμοῦ τῶν δώδεκα ἐξέπεσε, καὶ ἀπόλλυται ὁ ἀριθμὸς ὁ δωδέκατος. Τοῦτο δέ φασι γεγενῆσθαι τῷ τὸν Ἰούδαν ὄντα δωδέκατον ἐκπεπτωκέναι, καὶ οὕτω τὸν δωδέκατον ἀριθμὸν ἠφανίσθαι. Ὁμοίως δὲ καὶ περὶ τῆς αἱμορροούσης, καὶ τῆς τὴν μίαν δραχμὴν ἀπὸ τῶν δέκα δραχμῶν ἀπολεσάσης. Δείκνυται δὲ ὅτι οὔτε ὁ δωδέκατος Αἰὼν πρόςωπον Ἰούδα ἔχειν δυνήσεται, ὡς τῷ ἁγιωτάτῳ Εἰρηναίῳ προείρηται. Ἰούδας μὲν γὰρ παντελῶς ἀπόλωλεν, [1] ὁ δωδέκατος λεγόμενος Αἰὼν κατὰ τὸ αὐτῶν πλάσμα οὐκ ἐκενώθη. Ἔστη γὰρ ἐνώπιον αὐτοῦ ὁ Μεταγωγεὺς, ἢ ὁ Ὁροθέτης, φήσας πρὸς αὐτὸν,*

2. σινάπεος ed. princ. 3. ἐπιείκια ed. princ.

Nam si veritati illa consentanea forent, certe dominus, qui ad illuminandum orbem venerat, et ante illum prophetae, tum apostoli, qui falsorum deorum superstitionem ac flagitiorum scelerumque genus omne redarguerunt, nec impiam omnem contrariamque doctrinam scriptis suis profligare sunt veriti, illi inquam aperte nobis illa significassent; praesertim cum salvator ita ipse dixisset: *Ceteris quidem* Luc. 8, 10.
*in parabolis, vobis autem parabolae ad regni coelestis enarrationem edisserendae sunt.* Quocirca quaecumque in evangelio parabolae ab eo propositae sunt, statim illarum sensum aperuisse videtur. Nam et granum sinapis quid sibi vellet exposuit, quid fermentum, quaeve mulier esset illa quae in tria farinae sata fermentum immiserit, quid illa vitis ac ficus, quis ille qui seminat, quaeve optima sit terra. Itaque frustra illi caeco daemonis impetu conciti rapiuntur; de quibus merito sanctus Paulus ita loquitur: *Novissimis temporibus aver-* 1. Tim. 4, 1.
*tent se quidam a doctrina, intendentes fabulis, et doctrinis daemonum.* Cui et Iacobus adstipulatur, de eiusmodi dogmatibus ita loquens: *Non est enim ista sapientia desursum descendens, sed terrena, anima-* Iac. 3, 15.
*lis, diabolica. Quae autem desursum est sapientia, primum quidem pudica est, deinde pacifica, modesta, suadibilis, bonis consentiens, plena misericordia et fructibus bonis* etc. cuius ne minimus quidem in his quos commemoravimus fructus cernitur. Quippe apud illos inconstantia ac nefaria omnia facinora, daemonumque fetus et serpentum sibili reperiuntur. Aliter aliis temporibus, atque aliud unusquisque praedicat. Nulla illic misericordia vel clementia, sed dissensiones ac discordiae, nulla usquam castimonia, nulla pax, aequitas animi nulla.

Cap. XXXVII.

Ac mihi sane libet, quoniam ad id sermonis et argumenti me necessitas impellit, tametsi finem facere constitueram, pauca ex illorum decretis ad refutandum seligere. Neque enim orationis artificio, sed lectorum utilitati mihi serviendum arbitror. Aiunt igitur duodecimum Aeonem, cum defecisset, a duodenario illo numero penitus excidisse, atque ita duodecimum hunc numerum esse sublatum. Hoc autem tum contigisse, cum Iudas apostolorum duodecimus exclusus est; sicque duodecimus numerus ille periit. Similiter et in muliere illa, quae sanguinis profluvio laborabat, et in alia, quae decem ex drachmis unam perdiderat. Atqui demonstrari illud potest, Aeonem illum duodecimum Iudae personam minime posse sustinere. Etenim Iudas funditus periit, duodecimus autem Aeon ille, vel ut ipsimet fictis iisce fabulis docent, non penitus extinctus est. Stetit enim, aiunt, ex eius adverso Metagogeus, hoc est traductor, qui et Horo-

Cap. XXXVII. — 1. *Repone* ὁ δὲ δωδέκατος, *vel* ὁ δωδέκατος δέ.

[2] Ἰαὼ, ὡς αὐτοί φασι, καὶ οὕτως [3] ἐστερεώθη. Οὔτε ἡ δώδεκα ἔτεσιν αἱμορροοῦσα τῷ αὐτῶν δράματι ὁμοιωθήσεται. Ἐσώθη γὰρ μετὰ δώ-
pag. 207. δεκα ἔτη, ἐν οἷς τῷ αἵματι τῆς ῥύσεως ἐφέρετο. Οὐ γὰρ ἐν τοῖς ἕνδεκα ἔτεσιν ἀπαθὴς διετέλει, καὶ ἐν τῷ δωδεκάτῳ δὲ σέσωσται. Οὔτε ἡ τὰς δέκα δραχμὰς κεκτημένη ἀπώλεσε τὴν μίαν εἰς τέλος ἵνα ὁ Αἰὼν τῆς ὕλης ἀπολωλὼς μυθεύηται παρ' αὐτοῖς. Ἧψε γὰρ τὸν λύχνον, καὶ ηὗρε τὴν δραχμήν.

Κεφ. λη'. Ἐκ τοίνυν τῶν δύο λόγων τούτων ἢ τριῶν τὰ πάντα αὐτῶν εὐθὺς ἐλεγχθέντα καταλειφθήσεται δραματουργήματα καὶ ἀδρανῆ καὶ ἕωλα τοῖς τῆς φρονήσεως υἱοῖς καὶ τέκνοις τοῖς τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς ἐκκλησίας. Ἵνα γὰρ μὴ κατὰ τῶν αὐτῶν φερόμενος εἰς μῆκος ἄπειρον ἐλάσω τὴν πραγματείαν, ἕως τῆς ἐνταῦθα ὑφηγήσεως ποιησάμενος τὴν ὑπόμνησιν, καὶ ἐπιθεὶς πέρας τῇ τοσαύτῃ αὐτῶν μοχθηρίᾳ, ἐπὶ τὰς ἑξῆς βαδιοῦμαι, θεὸν ἐπικαλούμενος ὁδηγόν τε καὶ ἐπίκουρον τῆς ἡμῶν ἀσθενείας εἰς τὸ σωθῆναι ἀπὸ ταύτης καὶ τῶν προειρημένων αἱρέσεων καὶ τῶν μελλουσῶν ἀναδείκνυσθαι τοῖς φιλολόγοις καὶ βουλομένοις τὰ ἀκριβῆ εἰδέναι τῶν ἐν τῷ κόσμῳ κενοφωνιῶν τε καὶ ἀσυστάτων δογμάτων. Εἰς πολλοὺς γὰρ οὗτος τὴν ἑαυτοῦ ὀνειροπολίαν ἐκσπείρας, Γνωστικὸν ἑαυτὸν καλέσας, πολλοὺς ὡς εἰπεῖν σκορπίους ὡς μίαν ἅλυσιν συνέδησεν, ὡς ἡ παλαιὰ καὶ ἐναργὴς παραβολὴ ὑπάρχει, ὅτι ἅλυσίν τινα οἱ σκορπίοι ἀπὸ ἑνὸς εἰς τὸν ἕτερον δεσμοῦντες ἕως δέκα ἢ καὶ πλείους ἀπὸ στέγης ἢ δώματος ἑαυτοὺς χαλῶσι, καὶ οὕτως μετὰ δόλου τὴν λύμην τοῖς ἀνθρώποις ἐργάζονται· οὕτως καὶ οὗτος καὶ οἱ αὐτοῦ καλούμενοι Γνωστικοὶ τῆς πλάνης ἀρχηγέται γεγόνασι, καὶ παρ' αὐτοῦ τὰς προφάσεις ὑπειληφότες ἕτερος ὑφ' ἑτέρου μαθητευθεὶς μετὰ τὸν διδάσκαλον προςθήκην τῆς πλάνης εἰργάσατο, καὶ ἑτέραν αἵρεσιν εἰςηγήσατο [1] ἐχομένην τῆς προτέρας. Καὶ οὕτω κατὰ τὴν διαδοχὴν εἰς διαφόρους αἱρέσεις αὐτοὶ οἱ κληθέντες Γνωστικοὶ ἐμερίσθησαν, παρὰ Οὐαλεντίνου μέντοι, ὡς ἔφην, καὶ τῶν πρὸ αὐτοῦ τὰς προφάσεις εἰληφότες. Ὅμως αἱ προειρημέναι σὺν τῇ τούτου τοῦ Οὐαλεντίνου τῇ τῆς ἀληθείας διδασκαλίᾳ καταπατηθεῖσαι ὑφ' ἡμῶν παρεἰσθωσαν. Ἡμεῖς δὲ τὰς ἑξῆς ἐν τῇ τοῦ θεοῦ δυνάμει διασκοπήσωμεν.

2. Ἰαὼ, ὡς αὐτοί φασι, καὶ cett. *ego correxi. Libri vulgati habent* Ἰαώτ· ὡσαύτως φασὶ, καὶ cett.

3. *Cf. supra cap.* 13., *ubi pro* ἀποστερηθῆναι *reponendum videbatur* ἀποσταυρωθῆναι, *vel, quod Graeci libri magis suadent,* ἀποστερεωθῆναι.

Cap. XXXVIII. — 1. *Vulgo* ἐχομένης.

theta sive Definitor dicitur, et ad eum Iaot inclamans hac illum voce firmavit. Neque vero duodecimum iam annum sanguine fluens mulier ad istorum fabulam convenit, quae vertente demum anno duodecimo, postquam toto illo tempore profluvio sanguinis laborasset, repente consanuit. Non enim undecim annis expers morbi duodecimo demum sanitatem obtinuit. Ac neque mulier illa, quae denas drachmas habebat, unam ex iis amisit omnino, quo commentitius ille ac materiae concretus Aeon constare possit. Accendit enim lucernam, et drachmam reperit.

Quamobrem duobus hisce tribusve verbis illorum discussa somnia Cap. XXXVIII. quam putida et imbecilla sint facile prudens quilibet et sanctae ac catholicae dei ecclesiae filius animadvertet. Iam enim veritus ego, ne si pluribus in eam sectam invectus fuero, in infinitum abeat oratio, ad hunc usque locum progressus modum adhibebo refellendae illorum nequitiae, meque ad ceteras redarguendas conferam. Sed primum viae mihi ducem et imbecillitatis adiutorem meae deum invocabo, uti me et ab huius sectae superiorumque omnium et ab insequentium contagione liberet, quas in eruditorum hominum gratiam, qui absurda illa et inania dogmata, quae in hunc orbem eruperunt, accuratius explorare student, deinceps persequemur. Siquidem Valentinus iste suis in quamplurimos diffusis communicatisque somniis, cum sese Gnosticum appellari maluisset, multos, ut ita dixerim, scorpios in unam catenam constrinxit, id quod vetus ac testata similitudo declarat. Nimirum scorpios ad decem pluresve catenae instar alios ab aliis suspensos sese ex tecto ac solario demittere, sicque ex insidiis homines opprimere. Sic ille posterique eius omnes Gnostici falsi dogmatis auctores extitere, et ab illo erroris argumenta nacti ac successione quadam invicem edocti ad eam quam a magistro acceperat suam quilibet opinionem adiecit, novamque sectam cum priore cohaerentem invexit. Qua re factum est ut Gnostici varia haereseon divortia paulatim fecerint; qui quidem omnes a Valentino, ut diximus, iisque insuper qui eo superiores extiterant initium acceperunt. Nunc universae pariter veritatis doctrina prostratae ac proculcatae praetereundae sunt, quo eadem dei ope ac virtute freti reliquas perscrutemur.

pag. 208.

## ΚΑΤΑ ΣΕΚΟΥΝΔΙΑΝΩΝ,

οἷς συνήφθη Ἐπιφάνης καὶ Ἰσίδωρος. Δωδεκάτη, ἡ καὶ τριακοστὴ δευτέρα.

Κεφ. α΄. *Παρελθόντες δὲ τὴν τοῦ Οὐαλεντίνου αἵρεσιν, καὶ πολλὰ μοχθήσαντες ἐν τῇ ἀκανθώδει αὐτοῦ σπορᾷ, διὰ πολλοῦ, ὡς εἰπεῖν, καμάτου καὶ γεωργικῆς κακοπαθείας ἐπὶ τὰ λείψανα τῆς ἀκανθώδους αὐτοῦ σπορᾶς καὶ ἑρπετώδους αὐτοῦ θηριομορφίας ἐλευσόμεθα, τὸ ἅγιον πνεῦμα αἰτησάμενοι παρὰ Χριστοῦ εἰς τὸ δι' αὐτοῦ ἐπισπάσαι ταῖς ψυχαῖς τῇ ἐν θεῷ διδασκαλίᾳ καὶ σεμνῷ λόγῳ, καὶ τοὺς ἰοὺς ἀνασπάσαι δυνηθῆναι ἀπὸ τῶν οὕτως* [1] *προῃρημένων. Ἄρξομαι δὲ περὶ τούτων λέγειν κατὰ διαδοχὴν τίς τίνος διάδοχος γεγένηται τῶν ἐξ αὐτοῦ ὁρμωμένων καὶ ἑτέραν παρὰ τὴν ἐκείνου σπορὰν διδασκόντων. Σεκοῦνδος τοίνυν τις ἐξ αὐτῶν ὤν, καὶ περισσότερόν τι βουλόμενος φρονῆσαι, πάντα μὲν τὰ κατὰ τὸν Οὐαλεντῖνον ἐξηγεῖται, περισσότερον δὲ ἦχον εἰς ἀκοὰς τῶν ἐμβεβροντημένων ἐξήχησεν. Οὗτος γὰρ κατὰ Οὐαλεντῖνον ὤν, ὡς προεῖπον, ὑπὲρ δὲ Οὐαλεντῖνον φρονῶν, λέγει εἶναι τὴν πρώτην Ὀγδοάδα Τετράδα δεξιὰν καὶ Τετράδα ἀριστερὰν, οὕτως παραδιδοὺς καλεῖσθαι, τὴν μὲν μίαν Φῶς, τὴν δὲ ἄλλην Σκότος. Τὴν δὲ ἀποστᾶσάν τε καὶ ὑστερήσασαν δύναμιν μὴ εἶναι ἀπὸ τῶν τριάκοντα Αἰώνων,* [2] *ἀλλὰ μετὰ τοὺς τριάκοντα Αἰῶνας, ὡς εἶναι ἀπὸ τῶν μετὰ τὴν Ὀγδοάδα τὴν ἄλλην κατωτέρω γενομένων. Τὰ δὲ πάντα περὶ Χριστοῦ καὶ τῶν ἄλλων δογμάτων ὡσαύτως τῷ ἰδίου* [3] *χορηγῷ ἰοῦ καὶ δοτῆρι τοῦ δηλητηρίου Οὐαλεντίνῳ δογματίζει. Μὴ πολλῶν δὲ ὄντων τῶν ὑπὸ τούτου διαφόρως ξενολεκτουμένων ἀρκεσθῆναι μὲν ἡγησάμην δεῖν τοῖς προειρημένοις, ἔχουσι καὶ ἀφ' ἑαυτῶν τὴν ἀνατροπήν,* [4] *ὅμως γ' οὖν καὶ περὶ αὐτοῦ ὀλίγα λέξω, ἵνα μὴ δι' ἀπορίαν παραλελῆλυθέναι τι κατ' αὐτὸν δόξω. Εἰ γὰρ Τετράδες δεξιαὶ καὶ εὐώνυμοι παρ' αὐτοῖς τάσσονται, εὑρεθήσεταί τι ζητούμενον μέσον τοῦ τε δεξιοῦ καὶ τοῦ ἀριστεροῦ· πᾶν γὰρ ὁτιοῦν δεξιὰς ἔχον καὶ εὐωνύμους τάξεις μέσον ἕστηκε τῶν εὐωνύμων αὐτοῦ καὶ δεξιῶν· καὶ οὐδαμοῦ δυνήσεται εἶναι δεξιὰ ἢ ἀριστερὰ, εἰ μή τι ἂν ἐκ μεσολαβοῦντος σώματος ἑκατέρου μέρους ἡ διάκρισις* [5] *γένηται. Ἄρα οὖν, ἀνόητε Σεκοῦνδε, καὶ οἱ ἀπὸ σου ἠπατημένοι, τὸ μεσαίτατον, ἀφ' οὗπερ καὶ ἀριστερὰ καὶ δεξιὰ ὑποπίπτουσιν, ἔσται ἕν τι, καὶ οὐ δυνήσεται ἀλλότριον εἶναι τοῦ ἑνός τινος*

pag. 209.

Cap. I. — 1. προῃρημένων *correxi Petavium et Cornarium secutus, qui vertit* qui praeoccupati sunt. *Vulgo enim scriptum est* προειρημένων.

2. ἀλλὰ ἀπὸ τῶν καρπῶν αὐτῶν, *inquit Pseudo-Orig. Philos. pag.* 193. *ed. Mill.*

3. *Sustuli voculam* τῷ *ante* ἰοῦ *in libris obviam, quae structuram perturbabat. Accrevit enim, ni fallor, ex syllaba* γῷ

# ADVERSUS SECUNDIANOS,
## ad quos sese Epiphanes et Isidorus applicarunt, quae est haeresis XII. sive XXXII.

Posteaquam Valentiniana haeresi defuncti sumus, et in eius dumetis ac vepribus magnopere laboravimus, deinceps incredibili cum sudore ac cuiusdam velut agriculturae molestia ad reliquas illius evellendas spinas ac tetras serpentum-effigies profligandas veniemus. Sed inprimis spiritus sancti opem a Christo postulabimus, ut huius illum interventu per coelestem doctrinam religiososque sermones in hominum animos elicere, ab iisque, qui id ultro voluerint, pestiferum virus extrahere possimus. Sequar vero in iis exponendis aetatum ordinem, ac cuius quisque successor extiterit in illis recensendis aperiam, qui ab illo profecti diversa quaedam doctrinae semina sparserunt. Horum igitur e numero Secundus quidam fuit, qui plus aliquid quam ceteri sapere studens, etsi eadem quae Valentinus asserit omnia, ampliore tamen sonitu furiosorum aures opplevit. Hic eodem quo Valentinus tempore eundem ipsum novo aliquo invento superare gestiens primam Ogdoadem ex Tetrade dextra ac sinistra conflari docuit, quarum alteram Lumen, Tenebras alteram appellari voluit. Iam vero Virtutem illam, quae defecisse et ad inopiam fuisse redacta dicitur, negat ex tricenario illo numero Aeonum extitisse, sed inferioris cuiusdam ordinis, ex eorum videlicet grege fuisse qui infra aliam Ogdoadem collocantur. De Christo aliisque dogmatibus eadem cum auctore veneni sui ac ministratore Valentino statuit. Quare cum haud ita multa sint ab isto diversis ac peregrinis explicata vocibus, pauca haec quae dicta sunt sufficere putavi, quae per seipsa satis ad refellendum argumentorum suppeditant. Sed de illo tamen breviter quoque disputandum est, ne ideo, quod contra ipsum afferre nihil possemus, praetermisisse videamur. Igitur si Tetrades ex illorum opinione dextrae sunt ac sinistrae, medium inter eas quiddam assignari oportet, propterea quod, quicquid dextros habet ac sinistros ordines, in eorum medio collocari necesse est, neque dextra vel sinistra uspiam esse possunt, nisi ex interiecto corpore utriusque partis discrimen petatur. Quamobrem, stolidissime mortalium Secunde, vosque Secundiani omnes, medium erit unum aliquid, cui sinistra dextraque quae dicuntur subiecta sint; neque ab uno illo alie- Cap. I.

*vocabuli* χωρηγῷ *per errorem repetita. Nisi maluerit aliquis reponere* τοῦ ἰοῦ, *propter sequens* τοῦ δηλητηρίου.

4. ὅμως γ' οὖν *reposui pro* ὅμως δ' οὖν, *quae vulgata est scriptura.*

5. γένοιτο *cod. Vatic.*

*τὸ ἐξ αὐτοῦ ὑποπίπτον δεξιόν τε καὶ εὐώνυμον. Καὶ ἐξανάγκης ἀναχθήσεται τὸ πᾶν εἰς τὸ ἓν ὄν, οὗ ἀνώτατον οὐδὲ ἕν ἐστιν, οὔτε ὑποβεβηκὸς, οὔτε κατώτατον, εἰ μὴ τὰ ὑπ' αὐτοῦ ἐκτισμένα. Καὶ ἔσται τοῦτο φανερὸν τοῖς τὴν ἀλήθειαν καταμανθάνουσιν, ὅτι εἷς Θεός ἐστιν, ὁ πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα. Εἰ δὴ εἷς Θεός ἐστιν, ἐξ οὗ τὰ πάντα, οὔτε τι ἀριστερόν ἐστιν ἐν αὐτῷ, οὔτε ἐλάττωμα ἕτερον, οὔτε τι ὑποβεβηκὸς, πλὴν τῶν ὑπ' αὐτοῦ ἐκτισμένων. Τὰ δὲ μετὰ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα πάντα καλῶς ἐκτισμένα, καὶ εἰς σύστασιν ὑπ' αὐτοῦ ἀφθόνως εὖ προεληλυθότα.*

Κεφ. β'. *Εἰ δὲ καὶ πάλιν ἐρεῖ ὁ τοιοῦτος ἡμῖν προελθὼν ἕτερος ὄφις, ὅτι τὰ μὲν δεξιὰ καὶ εὐώνυμα ἐκ τοῦ ἑνὸς ὑπάρχει, αὐτὸς δὲ μεσαίτατός ἐστι, καὶ ἑαυτῷ μὲν προςάγεται τὰ δεξιὰ, καὶ χαίρει τούτοις, [1] δεξιὰ δὲ καλεῖ καὶ φῶς, τὰ δὲ εὐώνυμα ὡς ἀλλότρια αὐτοῦ καὶ ἐπὶ ἀριστερὰ κείμενα ἀπωθεῖται, λεγέτω μοι πόθεν λαμβάνει ταύτην τὴν γεωμετρίαν, ἵνα καλῶς ῥυθμίσῃ ἀμετάστατον δεξιάν τε καὶ εὐώνυμον. Παρ' ἡμῖν γὰρ δεξιὰ εἰκότως ὀνομάζεται, ἤτοι ἀριστερὰ, ἀπὸ τῶν ἐν τῷ σώματι πεπηγμένων μελῶν, ἐν οἷς οὐδέποτε ἐναλλαγὴ γίνεται· τὰ δὲ ἐκτὸς ἡμῶν δύναται εἶναι ποτὲ μὲν δεξιὰ, ποτὲ δὲ εὐώνυμα. Παντὶ μὲν γὰρ τῷ ὁρῶντι κατὰ ἀνατολὴν νότος, εἴτ' οὖν μεσημβρία, δεξιὰ κληθήσεται, τὸ κλῖμα δὲ τὸ βόρειον, ἤτοι ἀρκτῷον, ἀριστερόν. [2] Τοῦ δὲ ἀνάπαλιν ἐπὶ τὰ δυτικὰ μέρη ἀναστραφέντος ἀνθρώπου τινὸς εὑρεθήσεται ἑτερωνύμως τὰ κλίματα, ὅπερ πρὸ ὥρας δεξιὸν ὑπῆρχε, νότιόν τε μεσημβρινὸν, εἰς ἀριστερὰ αὖθις μεταβαλλόμενον, καὶ τὸ εἰς ἀριστερὰ τοῦ τινος κεκλιμένον ἀνθρώπου, εἴτ' οὖν ἀρκτῷον, εἴτ' οὖν βόρειον κλίμα, εἰς δεξιὰν αὐτοῦ μεταβαλλόμενον. Ποῦ τοίνυν ὁ ἀπατεὼν ἐφηῦρεν ἑαυτῷ τὴν κατὰ Θεὸν γεωμετρίαν; Καὶ, ὦ τῆς τοιαύτης πολλῆς ληρολογίας τῆς τὰ πάντα συγχεούσης, φάσκει δὲ [3] τὸ ὑστέρημα μετὰ τοὺς*

pag. 210. *τριάκοντα Αἰῶνας γεγενῆσθαι. Πόθεν ἄρα τὴν τοῦ ὑστερήματος φύσιν κατείληφας, ὦ οὗτος, ἢ ἀποστᾶσαν δύναμιν λέγε; Εἰ μὲν γὰρ εὗρες ταύτην ἀπὸ βλαστήματος τῶν ἄνω, οὐ κτιστὴν, ἀλλὰ γεννητὴν, ἐπειδὴ σοί τε καὶ τῷ σου ἐπιστάτῃ οὐκ ἐκτισμένα τὰ κτιστὰ ὁρίζεται, ἀλλὰ γεννητὰ, καὶ ἀπὸ μετουσίας ἑκάστης φύσεως παρ' ἑκάστης λαβούσης τὰ αὖθις γεννώμενα ἀναφῦναι, ἆρά γε κατὰ τὸν αὐτοῦ λόγον [4] κατὰ σαυτοῦ ὁπλίζῃ; Εἰ γὰρ ἀπὸ τῶν ἄνω καὶ ἡ ὑστέρα δύναμις καὶ ἡ ἀποστασία γεγένηται, ἔφυ δὲ, ὡς εἰπεῖν, καὶ ἐβλάστησε, μετέχει ἄρα τῶν ἄνω χαρισμάτων, ἐπειδὴ ἐπικοινωνεῖ τῷ Πληρώματι ἡ ὑστέρα, καὶ τὸ Πλήρωμα τῇ ὑστέρᾳ, καὶ οὐδὲν προσενεχθήσεται τοῦτο πρὸς ἐκεῖνο, οὔτε*

Cap. II. — 1. δεξιὰ δὲ ταῦτα καλεῖ *cod. Vatic.*

2. Τοῦ δὲ *reponendum erat pro* Τὸ δὲ, *quod libri vulgati habent. Ita etiam in eis quae sequuntur* καὶ τὸ εἰς ἀριστερὰ τ ο ῦ τ ι ν ο ς κεκλιμένον ἀ ν θ ρ ώ π ο υ *cett.*

3. *Ita rescribendum erat, vel invitis codicibus scriptis, cum Petavio. Vulgo enim extat* μετὰ τὸ ὑστέρημα τοῦ τριάκοντα

num id esse poterit quod ei subiicitur dextrum aut sinistrum: atque ita ad unam quandam naturam universa referentur, qua nihil neque superius sit neque inferius infimumve, praeterquam quae ab eo condita sunt, eritque veritatis gnaris haud obscurum, unum deum esse, patrem, filium et spiritum sanctum. Iam si unus deus est, a quo sunt omnia, nihil neque sinistrum, neque alia ratione deficiens inerit ipsi, neque inferius praeter illa quae procreavit. Cetera post patrem filium spiritumque sanctum praeclare ab eo producta sunt, ac citra ullam invidiam egregie constituta.

Quod si eiusmodi quidam nobis e latebris eductus serpens obiiciat ab uno esse dextra pariter et sinistra, quod ipsum in eorum medio versetur, sibique quae dextra sunt adsciscat, iisque gaudeat, et eadem dextrorum ac luminis appellet nomine, contra vero sinistra tanquam a se aliena et in laeva parte collocata repudiet, dicat quaeso unde illam geometriam hauserit, ut dextram sinistramque sine ulla mutatione constantem commode metiatur. Nam apud nos dextra sinistrave quorundam ratione membrorum, quae fixa sunt, merito vocantur, quae permutari invicem nequeunt. Quae vero extra nos sunt, alias dextra fiunt, alias sinistra. Etenim qui se ad orientem obverterit, hic ad dextram austrum sive meridiem habebit, septentriones ad sinistram. Sin occidentem versus sese converterit, mundi illi cardines diversis nominibus afficientur, quaeque paulo ante dextra fuerat meridies, in sinistram mutabitur, quae ad sinistram vergere dicebatur hominis aquilonaris regio, ad dexteram esse dicetur. Ubinam ergo veterator iste suam illam modulando deo geometriam reperit? O incredibilem futilitatem atque universa miscentem! Quod vero post triginta illos Aeonas defectum extitisse narrat, libet de eo sciscitari. Heus tu! Potes dicere unde illius defectus naturam ac desciscentem Virtutem cognoveris? Si enim a superioribus pullulasse dicas, non creatam, sed genitam, cum ex tua ac magistri tui sententia quae condita sunt non creata fuerint, sed genita, ac quaevis natura quadam ab altera communicatione transfusum id quod habet acceperit atque in lucem prodierit, iam ipse confessione tua induaris oportet. Etenim si a superioribus posterior illa Virtus ac defectus extiterit, indeque, ut ita loquar, pullularit, erit plane coelestium ornamentorum particeps, quandoquidem commune aliquid cum Pleromate habet illa posterior, et cum posteriore Pleroma; neque aliud ab altero dissidebit, cum utraque communibus invicem terminis Cap. II.

Αἰῶνος γεγενῆσθαι. *Cf. supra cap.* 1.
4. *Ita, praeeunte Cornario (qui quidem vertit* contra te ipsum armaris) *correxit Petavius, ex Vaticani codicis auctoritate. Antea enim editum legebatur* καὶ τὰς αὐτοῦ ὁπλίζῃ.

ἐκεῖνο πρὸς τοῦτο, ἑκατέρων κατὰ τὰ τέρματα ἀλλήλοις ἐπικοινωνούντων. Καὶ ἐκ παντὸς λόγου διελεγχθήσῃ ἐξ ἐπισπορᾶς δαίμονος ἔχων τὴν τῆς πλάνης σου κόσμησιν, πάντων ἐλεεινῶν ἐλεεινότατε.

Κεφ γ'. Ἵνα δὲ μὴ παραλείψωμαί τι τῶν παρά τισι γινομένων τε καὶ λεγομένων, κἄν τε ἐν ἑκάστῃ πολλοὶ εἶεν οἱ ἔξαρχοι, καὶ αὐχοῦντες ἕτερα ἀνθ' ἑτέρων ὑπὲρ τοὺς αὐτῶν διδασκάλους μυθοποιεῖσθαι, ἔτι [1] ἐπιμενῶ ὑφηγούμενος τοὺς ἐν αὐτῇ τῇ αἱρέσει ὄντας, ἕτερα δὲ παρὰ [2] ταύτην λέγοντας, φημὶ δὲ περὶ Ἐπιφάνους, [3] καὶ Ἰσιδώρου, ἐκ προφάσεως Παραινετικῶν ῥημάτων ἑαυτὸν ἔτι εἰς περισσότερον βυθὸν ταλαιπωρίας καταγαγόντος, τἀληθῆ μὲν οὖν ἀπὸ Καρποκράτους τοῦ ἰδίου πατρὸς κατὰ σάρκα εἰληφότος τὰς προφάσεις, συνημμένου δὲ τῇ αἱρέσει τοῦ προειρημένου Σεκούνδου, καὶ αὐτοῦ τῶν Σεκουνδιανῶν ὑπάρχοντος. Πολλὴ γὰρ ἑκάστου τῶν πεπλανημένων πρὸς τὸν ἕτερον διαφορά, καὶ συρφετώδης, ὡς εἰπεῖν, πολυμιξία κενοφωνίας. Οὗτος γὰρ ὁ Ἐπιφάνης, ὡς ἔφην, υἱὸς ὢν Καρποκράτους, μητρὸς δὲ Ἀλεξανδρείας οὕτω καλουμένης, τούτοις, ὡς προεῖπον, συνάπτεται, ἀπὸ Κεφαλληνίας μὲν τὸ πρὸς [4] πατρὸς γένος ὤν, ἑπτακαιδεκαέτη βιώσας χρόνον θᾶττον τὸν βίον κατέστρεψε, τοῦ κυρίου ὥσπερ ἀκάνθας τοὺς φαύλους ἀπαλλάσσοντος, κρεῖττόν τι περὶ τῆς οἰκουμένης προνοοῦντος· μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν οἱ πρὸς αὐτοῦ πεπλανημένοι τῆς ἀπ' αὐτοῦ πληγῆς οὐκ ἀπέσχοντο. Ἐν [5] Σάμῳ γὰρ ὡς θεὸς ἔτι καὶ εἰς δεῦρο τιμᾶται.
pag. 211. Τέμενος γὰρ αὐτῷ ἱδρύσαντες οἱ ἐπιχώριοι θυσίας καὶ τελετὰς ἐπιτελοῦσι κατὰ νεομηνίαν, βωμοὺς δὲ αὐτῷ ἔστησαν, καὶ Μουσεῖον εἰς ὄνομα αὐτοῦ περίπτυστον ἀνεστήσαντο, τὸ δὴ Ἐπιφάνους Μουσεῖον καλούμενον. Θύουσι γὰρ αὐτῷ οἱ Κεφαλλῆνες εἰς τοσαύτην πλάνην ἐληλακότες, καὶ σπένδουσι, καὶ ἐν τῷ ἱδρυμένῳ αὐτοῦ τεμένει εὐωχοῦνται, ὕμνους [6] τε αὐτῷ ᾄδουσι. Δι' ὑπερβολὴν δὲ τῆς ἐκείνου παιδείας ἐγκυκλίου τε καὶ Πλατωνικῆς ἡ πᾶσα τοῖς προειρημένοις κατά τε τὴν αἵρεσιν καὶ κατὰ τὴν ἑτέραν πλάνην, λέγω τὴν εἰς εἰδωλομανίαν τοὺς ἐπιχωρίους τρέψασαν, γέγονεν ἀπ' αὐτοῦ ἀπάτη. Συνείπετο γοῦν οὗτος ὁ Ἐπιφάνης Σεκούνδῳ, καὶ τοῖς ἀμφ' αὐτόν. Τὴν γὰρ αὐτοῦ ἰοβολίαν ἀπεμάξατο, λέγω τὴν τῆς ἑρπετώδους φθορᾶς περιττολογίαν.

Κεφ. δ'. Ἰσίδωρον δὲ φάσκουσιν ἐν Παραινέσεσι τῆς αὐτοῦ μοχθηρίας αἴτιον γεγενῆσθαι. Εἰ δὲ καὶ αὐτὸς τὰ ἴσα φρονῶν καὶ ἐξ αὐτῶν ὁρμώμενος ἐτύγχανεν, ἢ ἐκ φιλοσόφων μαθὼν παραινετικός τις καὶ αὐτὸς ὑπῆρχεν, οὐ πάνυ σαφῶς περὶ τοῦ Ἰσιδώρου γνῶναι ἠδυνήθημεν. Πλὴν

Cap. III. — 1. ἐπιμενῶ *rescripsi cum Petavio. Vulgo* ἐπιμένων *extat.* Adhuc perseverabo in narrando *convertit etiam Cornarius. Immo* ὑφηγεῖσθαι *est* suadere, docere, instruere.

2. ταύτην *reposui pro* τούτων, *quod libri habent.*

3. *Vulgo* Ἐπιφάνους τοῦ Ἰσιδώρου.

4. μητρὸς *Grabius Spicileg. SS. Patrum II, pag.* 59., *ex Clemente Alex. Strom.*

copulentur. Quamobrem, hominum infelicissime, non aliunde quam ex daemonis instinctu totam illam errorum hausisse structuram omni ex parte convinceris.

Sed ne quid a nobis praetermittatur, quod a quoquam dicatur aut fiat, cum praesertim plures sint in eadem secta principes, qui diversis concinnandis fabulis magistros etiam ipsos superare sese gloriantur, volo in iis commemorandis, qui in eadem haeresi sunt, sed alia quaedam insuper asserunt, paulisper immorari. Epiphanem atque Isidorum intelligo, qui cohortationum ac praeceptorum specie in profundiorem sese infelicitatis voraginem immersit. Et cum a Carpocrate parente suo revera falsi dogmatis initium acceperit, ad Secundi tamen opiniones adhaesit, et ad Secundianos adscriptus est. Inprimis enim magna est aberrantium istorum hominum a se invicem dissensio, et inanissimae loquacitatis incondita quaedam ac perturbata varietas. Nam, ut ab Epiphane ordiar, Carpocratis iste filius ex Alexandria matre, hoc enim ei nomen fuit, ad illos, uti diximus, aggregatur, qui ex Cephallenia paterno genere oriundus, cum ad XVII. aetatis annum pervenisset, immatura morte praereptus est. Nimirum sceleratos homines deus sic tanquam spinas evulsit, humanoque generi melius aliquid providit. Post illius obitum iis qui ab eo decepti fuerant plaga illa lethalis adhaesit. Et in hanc usque diem in insula Samo divinis honoribus afficitur. Nam incolae templum ei condiderunt, et ineunte mense sacra quaedam ac ceremonias obeunt; nec non artes et Museum ad detestandi illius nominis memoriam consecrarunt; Epiphanis quippe Museum appellant. Cephallenii, inquam, eo vecordiae progressi sunt, ut et ei sacrificia ac libationes offerant, et in fano illius epulum praebeant, et hymnos in eius honorem concinant. Habuit vero ad infelices illos decipiendos, ac non modo ad eam sectam, sed et ad aliud genus erroris, hoc est simulacrorum superstitionem traducendos magnam illecebram exquisita quaedam hominis eruditio, et cum in omni humanitatis genere, tum in Platonicis dogmatibus apprime versata. Qui quidem Epiphanes ad Secundum se atque eius fautores applicavit, illiusque in se virus, hoc est imbutam venenata quadam peste loquacitatem expressit. Cap. III.

Isidorum vero narrant quibusdam Cohortationum libris nequitiae suae fundamenta iecisse. Sed utrum eadem is ex secta atque iisdem opinionibus extiterit, an ex philosophorum disciplina cohortationum artifex esse didicerit, certi nihil explorare docuimus. Utcumque se Cap. IV.

*III, 2. pag. 511. Pott., et Theodoreto.*
5. Σάμῃ τῆς Κεφαλληνίας *habet Clemens Alex. l. l.*
6. τε *reposui pro* δὲ, *quae vulgata est scriptura.*

οὗτοι πάντες καττύουσι τὴν ἴσην πραγματείαν. Πρῶτον μὲν ὅτι ἐνομοθέτει αὐτὸς ὁ Ἐπιφάνης σὺν τῷ αὐτοῦ πατρί τε καὶ πρωτοστάτῃ τῆς αἱρέσεως Καρποκράτει, καὶ τοῖς ἀμφ' αὐτὸν, κοινὰς εἶναι τὰς τῶν ἀνθρώπων γυναῖκας, ἔκ τε τοῦ Πλάτωνος Πολιτειῶν πρόφασιν λαβὼν, καὶ τὴν ἰδίαν ἐπιθυμίαν ἐκτελῶν. Ἐντεῦθεν δὲ τὴν ἀρχὴν ποιεῖται, λέγων ὡς ἐν τῷ εὐαγγελίῳ ἐμφέρεται τοῦ σωτῆρος φάσκοντος τρεῖς μὲν εὐνούχους εἶναι, τόν τε ἐξ ἀνθρώπων εὐνουχιζόμενον, καὶ τὸν ἐκ γενετῆς, καὶ τὸν κατὰ τὴν βασιλείαν τῶν οὐρανῶν ἑαυτὸν ἑκουσίως εὐνουχίσαντα. Καὶ, φησὶν, οἱ τοίνυν κατὰ ἀνάγκην οὐ κατὰ λόγον εὐνοῦχοι γίνονται, οἱ δὲ ἕνεκα τῆς βασιλείας τῶν οὐρανῶν ἑαυτοὺς εὐνουχίσαντες, διὰ τὰ ἐκ τοῦ γάμου συμβαίνοντα φασὶ, [1] τὴν ἐπὶ λογισμὸν τῶν ἐπιτηδείων ἀσχολίαν δεδιότες. Βέλτιον γαμῆσαι ἢ πυροῦσθαι, μὴ εἰς πῦρ ἐμβάλῃς τὴν ψυχήν σου, φησὶ λέγειν τὸν ἀπόστολον, ἡμέρας καὶ νυκτὸς ἀντέχων, καὶ φοβούμενος μὴ τῆς ἐγκρατείας ἀποπέσῃς. Πρὸς γὰρ τὸ ἀντέχειν γινομένη ψυχὴ μερίζεται τῆς ἐλπίδος. [2] Ἀνέχου τοί-
pag. 212. νυν, ὡς ἤδη προεῖπον τῆς παραινέσεως εἰς μέσον φέρων τὸν λόγον, φησὶ κατὰ λέξιν ὁ Ἰσίδωρος ἐν τοῖς Ἠθικοῖς, μαχίμης γυναικὸς, ἵνα μὴ ἀποσπασθῇς τῆς χάριτος τοῦ θεοῦ, τό τε πῦρ ἀποσπερματίσας εὐσυνειδήτως προσεύχου. Ὅταν δὲ, φησὶν, ἡ εὐχαριστία σου εἰς αἴτησιν [3] ὑποπέσοι, καὶ στῇς τὸ λοιπὸν [4] οὐ κατορθώσας μὴ σφαλῆναι, γάμησον. Εἶτα πάλιν φησὶν, Ἀλλὰ νέος τις ἢ πένης ἐστὶν, ἢ [5] καταφερὴς, τουτέστιν ἀσθενὴς, καὶ οὐ θέλει γῆμαι κατὰ τὸν λόγον, οὗτος τοῦ ἀδελφοῦ μὴ χωριζέσθω. Αἰσχρὰς δέ τινας ὑπονοίας ἑαυτῷ προςποριζόμενος δραματουργεῖ ὁ τάλας. Λεγέτω, φησὶ τοίνυν, ὅτι, Εἰςελήλυθα ἐγὼ εἰς τὰ ἅγια· οὐδὲν δύναμαι παθεῖν. Ἐὰν δὲ ὑπόνοιαν ἔχῃ, εἰπάτω, Ἀδελφὲ, ἐπίθες μοι χεῖρα, ἵνα μὴ ἁμαρτήσω, καὶ λήψεται βοήθειαν, καὶ αἰσθητὴν καὶ νοητήν. Θελησάτω μόνον ἀπαρτίσαι τὸ καλὸν, καὶ ἐπιτεύξεται. Εἶτα πάλιν φησὶν, Ἐνίοτε τῷ μὲν στόματι λέγομεν, Οὐ θέλομεν ἁμαρτῆσαι, ἡ δὲ διάνοια ἔγκειται [6] εἰς τὸ ἁμαρτάνειν. Ὁ τοιοῦτος διὰ φόβον οὐ ποιεῖ ὃ θέλει, ἵνα μὴ ἡ κόλασις αὐτῷ ἐλλογισθῇ. Ἡ δὲ ἀνθρωπότης ἔχει ἀναγκαῖά τινα καὶ φυσικὰ μόνα· ἔχει τὸ περιβάλλεσθαί [7] τι ἀναγκαῖον καὶ φυσικὸν, φυσικὸν δὲ [8] τὸ τῶν ἀφροδισίων, [9] οὐκ ἀναγκαῖον δέ.

Κεφ. ε΄. Ταύτας παρεθέμην τὰς φωνὰς, ὁ κατὰ τούτων γράψας [1] ἔλεγχον,

Cap. IV. — 1. τὴν ἐπὶ λογισμὸν rescripsi pro τὸν ἐπιλογισμὸν, *quod libri praebent. Petavius censebat corrigenda haec verba ex Clemente Alex. Strom. lib. III,* 1. *pag.* 509. *Pott. ita:* τὸν ἐπιλογισμὸν τοῦτον λαμβάνουσιν, τὴν περὶ τὸν πορισμὸν τῶν ἐπιτηδείων ἀσχολίαν δεδιότες.

2. Ἀντέχου *habet Clemens Alex.*

3. ὑποπέσῃ *habet Clemens Alex.*

4. *Corrupta haec apud Clementem sic extant:* οὐ κατορθῶσαι, ἀλλὰ μὴ σφαλῆναι, γάμησον. *De interpretatione v. Grabium l. l. pag.* 66 *sq.*

5. κατωφερὴς *extat apud Clementem.*

res habeat, in eodem omnes consuendo dogmate versantur. Inprimis Epiphanes illud cum patre, eodemque haeresis conditore Carpocrate decrevit, promiscuas esse coniuges oportere; partim quod ita Plato in libris de Republica statuisset, partim ut privatam libidinem expleret. Sed inde disputandi initium facit. Tria eunuchorum esse genera, quod a salvatore dictum evangelia sacra testantur. Nam Matth. 19, 12.
alios esse qui ab hominibus exsecti sunt, alios ita a natura factos, alios qui coelestis regni gratia sponte sese castrarunt. Qui igitur, aiunt, tales necessitate sunt facti, non id certo consilio ac ratione susceperunt: qui se vero propter coeleste regnum castraverunt, id ad declinandas coniugii molestias egerunt, quod illud procurandae rei familiaris onus ac sollicitudinem timerent. *Melius est nubere quam* 1. Cor. 7, 9.
*uri*. Proinde cave animam tuam in ignem immittas (sic enim ab apostolo praeceptum esse dicunt), dum noctes diesque resistis, ac ne a castitate excidas pertimescis. Siquidem animus noster, dum in repugnando obsistendoque totus est a spe sua dissipatus, abstrahitur. *Patienter igitur tibi, ut paulo ante cohortando monui* (haec in Ethicis Isidori verba sunt), *contumacis uxoris mores sustinendi sunt, ne dei gratiam amittas: cumque una cum semine libidinis flammam eieceris, tum te optima fretus conscientia ad orandum converte. Sed cum in postulationem gratiarum actio tua delapsa fuerit, ac deinceps stare coeperis, neque id tamen obtinueris ut labi prorsus ac titubare desinas ad nuptias confugito.* Pergit deinde: *Sed iuvenis aut pauper est aliquis aut proclivior, hoc est imbecillus, neque ex apostolico praecepto ducere ei libet uxorem, hic a fratre minime discedat.* Tum execrandorum flagitiorum excogitatas rationes afferens miras infelix tragoedias facit. *Dicat,* inquit, *Ingressus sum in sancta, pati nihil possum. Quod si cogitatio eum aliqua subeat, dicat, Frater, impone mihi manum, ne peccem; et confestim praesentem cum in corpore ipso, tum in mente opem experietur. Velit modo quod honestum est perficere, et voti compos existet.* Post haec ita loquuntur: *Nonnunquam ore tenus dicimus: Peccare nolumus, sed animus in peccata propendet. Qui eiusmodi est, quod vult propter metum non facit, ne ei poena constituatur. At hominum generi necessaria quaedam sunt ac naturalia duntaxat. Nam vestibus uti naturale simul ac necessarium est; naturalis est venerea voluptas.*

Haec illorum in medium afferre verba sum coactus, ut eos re- Cap. V.

6. ἐπὶ *habet Clemens.*

7. τι ἀναγκαῖον *correxi, cum libri haberent* τὸ ἀναγκαῖον. *Clemens* ἀναγκαῖον *sine articulo tuetur.*

8. καὶ τὸ *auget cod. Vatic.*

9. *Ita corrigenda erant haec verba ex Clemente. Vulgo extat* τὸ τῶν ἀφροδισίων. Ἀναγκαίως δὲ ταύτας παρεθέμην *cett.*

Cap. V. — 1. ἐλέγχων *ed. princ. Apud Clementem haec ita se habent:* Ταύτας παρεθέμην τὰς φωνὰς εἰς ἔλεγχον τῶν μὴ βιούντων ὀρθῶς Βασιλιδιανῶν, ὡς ἤτοι ἐχόντων ἐξουσίαν καὶ τοῦ ἁμαρτάνειν *cett.*

μὴ βιούντων ὀρθῶς καὶ Βασιλειδιανῶν καὶ Καρποκρατιανῶν καὶ τῶν ἀπὸ Οὐαλεντίνου καὶ τῶν Ἐπιφάνους καλουμένων, ᾧ δὴ συνήφθη Σεκοῦνδος ὁ προτεταγμένος. Ἐξ ἀλλήλων γὰρ ἕκαστος ἤτοι οὗτος ἐκείνῳ μεταδοὺς, ἢ ἐκεῖνος τούτῳ, τὰ δεινὰ ἀπεμπολήσαντες καὶ εἴς τι πρὸς ἀλλήλους διαφερόμενοι, ὅμως ἐν μιᾷ αἱρέσει ἑαυτοὺς κατέθεντο· ὥςτε καὶ ἔχειν ἐξουσίαν ἐδογμάτισαν καὶ [2] τοῦ ἁμαρτάνειν διὰ τὴν τελειότητα, [3] ἁπάντων γε σωθησομένων [4] φυσικῶς, κἄν τε νῦν ἁμάρτωσι, διὰ τὴν ἔμφυτον ἐκλογήν· ἐπεὶ μηδὲ [5] τὰ αὐτὰ αὐτοῖς πράττειν συγχωροῦσιν οἱ προπάτορες τῶν δογμάτων τούτων. Φασὶ δὲ καὶ οὗτοι, ὡς [6] ἐπὶ τὸ ὑψηλότερον καὶ γνωστικώτερον ἐπεκτεινόμενοι τὴν πρώτην Τετράδα οὕτως· [7] Ἔστι τις πρὸ πάντων Προαρχὴ, προανεννόητος, ἄρρητός τε καὶ ἀνονόμαστος, ἣν ἐγὼ Μονότητα ἀριθμῶ. Ταύτῃ τῇ Μονότητι pag. 213. συνυπάρχει δύναμις, ἣν καὶ αὐτὴν ὀνομάζω Ἑνότητα. Αὕτη ἡ Ἑνότης ἥ τε Μονότης τὸ ἓν οὖσαι προήκαντο μὴ προέμεναι ἀρχὴν [8] ἐπὶ πάντων νοητὴν ἀγέννητόν τε καὶ ἀόρατον, ἣν ἀρχὴν ὁ λόγος [9] Μονάδα καλεῖ. Ταύτῃ τῇ Μονάδι συνυπάρχει δύναμις ὁμοούσιος αὐτῇ, ἣν καὶ αὐτὴν ὀνομάζω τὸ Ἕν. Αὗται αἱ δυνάμεις, ἥ τε Μονότης καὶ Ἑνότης, Μονάς τε καὶ τὸ Ἓν προήκαντο τὰς λοιπὰς προβολὰς τῶν Αἰώνων.

Κεφ. ϛʹ. Εἶτα οἱ καλῶς συγγραψάμενοι [1] τὴν ἀλήθειαν τούτων ἐν τοῖς σφῶν αὐτῶν συγγράμμασιν ἤλεγξαν, Κλήμης τε, ὅν φασί τινες Ἀλεξανδρέα, ἕτεροι δὲ Ἀθηναῖον· ἀλλὰ καὶ ὁ ἱερὸς Εἰρηναῖος καταγελῶν αὐτῶν τὸ τραγικὸν ἐκεῖνο [2] ἐπὶ τοῖς προειρημένοις εἰς μέσον φέρων ἧκεν, Ἰοῦ, ἰοῦ, καὶ φεῦ, φεῦ. [3] Τὸ τραγικὸν γὰρ ὡς ἀληθῶς ἐπειπεῖν ἔστιν ἐπὶ τῇ τοιαύτῃ συμφορᾷ τῶν τὰ γελοιώδη ταῦτα γεγραφότων τῆς τοιαύτης ὀνοματοποιΐας, καὶ τῇ τοσαύτῃ τόλμῃ, ὡς ἀπερυθριάσας τῷ ψεύσματι αὐτοῦ ὄνομα τέθεικεν. Ἐν γὰρ τῷ λέγειν, Ἔστι τις Προαρχὴ πρὸ πάντων προανεννόητος, ἣν ἐγὼ [4] Μονάδα καλῶ, καὶ πάλιν, Ταύτῃ τῇ [5] Μονάδι συνυπάρχει δύναμις, ἣν καὶ αὐτὴν Ἑνότητα ὀνομάζω, σαφέ-

2. τοῦ *reposui ex Clemente, cum Epiphanii libri haberent* τὸ.

3. ἁπάντων *scripsi pro* ἢ πάντων *vel* ἢ πάντων, *quod in Epiphanii vulgo libris, prove* ἢ πάντως, *quod apud Clementem legitur.*

4. *Ita reposui pro* φυσικῶν, *quod vulgo extat. Sed verius fortasse erat* φύσει, *quod Clemens habet, utpote cui vocabulo facile poterat accrescere syllaba* κῶν *de sequente vocabulo* κἂν *repetita.*

5. ταῦτα αὐτοῖς *habet Clemens.*

6. *Haec quoque ex Irenaeo I, 5, 2 sqq. sunt dehausta.*

7. *V. Pseudo-Orig. Philosoph. p.* 198 *sq. ed. Mill.*

8. *Cum Vetus Irenaei Interpres verterit* principium omnium, *praepositionem* ἐπὶ *delendam censuerunt Billius, Grabius, aliique.*

9. *Vocem* μονάδα, *quae desideratur in ed. princ. (ut etiam in cod. Rhedig.) ex*

darguerem sceleratos homines et impios, Basilidianos, inquam, et Carpocratianos, ac Valentini Epiphanisque discipulos, ad quem Secundus prius a nobis commemoratus adiungitur. Etenim illi a se invicem propagati, sive iste alteri, sive alter isti velut malas merces, ita pestiferam doctrinam communicaverint. Ac licet aliqua in re dissideant, in eadem tamen haesere secta, ut vel peccare sibi propter vitae perfectionem licere dicerent: ex qua fit ut, quantumvis modo deliquerint, tamen quod naturaliter ad consequendam salutem delecti sint, insita quadam ipsos oporteat necessitate servari. Neque vero primi dogmatum architecti eorundem perpetrandorum ipsis potestatem faciunt. Sed ut ad illos revertar, dum se ad id quod sublimius atque in cognitione illa sua praestantius est, acrius contenderunt, primam videlicet Tetradem, ita disputant: *Ante omnia primum est,* inquiunt, *Principium quoddam, primumque intelligentiam omnem superans, quod nec explicari verbis nec appellatione declarari potest, quam ego Unitatem numero. Cum hac Virtus quaedam existit, quam et Singularitatem voco. Ambae porro cum unum atque idem sint, Principium quoddam omnium rerum, quod intelligentia sola percipitur, neque genitum est aut aspectabile, citra productionem ullam ediderunt; quod Principium in sacris literis Unitas dicitur. Cum hac Unitate eiusdem substantiae alia Virtus existit, quam et ipsam Unum appello. Quae quidem Virtutes, Unitas inquam, et Singularitas, Monas et Unum, reliquas Aeonum origines propagarunt.*

Verum quam haec a veritate abhorreant omnia, egregii quidam scriptores editis adversus eos commentariis demonstrarunt, praecipue vero Clemens Alexandrinus, quem Atheniensem alii faciunt, ac sanctus Irenaeus, qui postquam illos derisit, tragicam illam exclamationem subiicit: Heu! heu! Proh! proh! Merito siquidem illud de scena depromptum ad eam transferri calamitatem potest quam portentosis vocibus ac tam effrenata audacia nugarum illi scriptores invehunt, qui mendaciis suis ficta quaedam nomina impudenter affingunt. Nam cum ita scribit: *Ante omnia primum quoddam est Principium ac Primum, intelligentiam omnem superans, quod ego Monadem appello,* ac rursum: *Cum hac Monade Virtus existit, quam et ipsam Singulari-* Cap. VI.

*cod. Vaticano et Vet. Interprete primum restituit Petavius.*

Cap. VI. — 1. τὴν *reposui ex cod. Vaticano. Vulgo extat* καὶ.

2. *Delenda erat vocula* ὃ *vulgo ante* ἐπὶ *obvia, sententiam plane perturbans. Accreverat videlicet ex praegresso vocabulo* ἐκεῖνο.

3. *Vetus Irenaei Interpres:* Iu, iu! et Pheu, pheu! Tragicum vere dicere oportet super hanc nominum factionem, et tantam audaciam, quemadmodum sine rubore mendacio suo nomina posuit. In eo enim quod dicit *cett.*

4. *Billius cum Vet. Interpr. Irenaei reponit* Μονότητα.

5. *Billius cum Vet. Irenaei Interprete reponit* Μονότητι.

στατα ὅτι τε πλάσμα αὐτοῦ ἐστι τὰ εἰρημένα ὡμολόγηκε, καὶ ὅτι αὐτὸς ὀνόματα τέθεικε τῷ πλάσματι ὑπὸ μηδενὸς πρότερον ἄλλου τεθειμένα. Καὶ σαφές ἐστιν ὅτι αὐτὸς ταῦτα τετόλμηκεν ὀνοματοποιῆσαι, καὶ εἰ μὴ παρῆν τῷ βίῳ αὐτὸς, οὐκ ἂν ἡ ἀλήθεια εἶχεν ὄνομα. Οὐδὲν οὖν κωλύει καὶ ἄλλον τινὰ ἐπὶ τῆς αὐτῆς ὑποθέσεως οὕτως ὁρίσασθαι ὀνόματα. Εἶτα λοιπὸν εἰς ταῦτα αὐτὸς ὁ μακάριος [6] ἐπίσκοπος Εἰρηναῖος, ὥς γε προείπαμεν, γελοιώδη ῥήματα καὶ αὐτὸς προεῖπεν ἑτερωνυμίαν ἀφ' ἑαυτοῦ, ὡς ἀντάξια τῆς αὐτῶν ληρῳδίας χαριεντιζόμενος πεπόνων γένη, καὶ σικύων, καὶ κολοκυνθῶν, ὡς ἐπὶ ὑποκειμένων τινῶν ἐπιπλασάμενος, ὡς τοῖς φιλολόγοις σαφὲς ἂν εἴη ἀφ' ὧν προανέγνωσαν.

Κεφ. ζ. [1] Ἄλλοι δὲ πάλιν αὐτῶν τὴν πρώτην καὶ ἀρχέγονον Ὀγδοάδα τούτοις τοῖς ὀνόμασι κεκλήκασι· πρῶτον Προαρχὴν, ἔπειτα Ἀνεννόητον, τὴν δὲ τρίτην Ἄρρητον, καὶ τὴν τετάρτην Ἀόρατον· καὶ ἐκ μὲν τῆς
pag. 214. πρώτης Προαρχῆς προβεβλῆσθαι πρώτῳ καὶ πέμπτῳ [2] τόπῳ Ἀρχὴν, ἐκ δὲ [3] τῆς Ἀνεννοήτου δευτέρῳ καὶ ἕκτῳ τόπῳ Ἀκατάληπτον, ἐκ δὲ τῆς Ἀρρήτου τρίτῳ καὶ ἑβδόμῳ τόπῳ Ἀνονόμαστον, ἐκ δὲ τῆς Ἀοράτου [4] Ἀγέννητον, πλήρωμα τῆς πρώτης Ὀγδοάδος. Ταύτας βούλονται τὰς δυνάμεις προϋπάρχειν τοῦ Βυθοῦ καὶ τῆς Σιγῆς, ἵνα τελείων τελειότεροι φανῶσιν ὄντες, καὶ Γνωστικῶν γνωστικώτεροι· πρὸς οὓς δικαίως ἄν τις ἐπιφωνήσειεν, Ὦ ληρολόγοι σοφισταί. Καὶ γὰρ περὶ αὐτοῦ τοῦ Βυθοῦ [5] πολλαὶ καὶ διάφοροι γνῶμαι παρ' αὐτοῖς. Οἱ μὲν γὰρ αὐτὸν ἄζυγον λέγουσι, μήτε ἄρρενα, μήτε θήλειαν, μήτε ὅλως ὄντα τι· ἄλλοι δὲ ἀρρενόθηλυν αὐτὸν λέγουσιν εἶναι, Ἑρμαφροδίτου φύσιν αὐτῷ περιάπτοντες· Σιγὴν δὲ πάλιν ἄλλοι συνευνέτιν αὐτῷ προσάπτουσιν, ἵνα γένηται πρώτη συζυγία, καὶ ἐκ τούτου καὶ ἐκ ταύτης τὰ κατάλοιπα οὕτω [6] δραματουργήσωσι. Καὶ πολλή τις ἐν αὐτοῖς ἡ εἰς ὕπνον βαθὺν τὸν νοῦν αὐτῶν καταφέρουσα ληρολόγος ὀνειροπολία.

Καὶ τί μοι ἐπὶ τὸ πολὺ κατατρίβεσθαι, φωρατῆς οὔσης τῆς κατ' αὐτοὺς ὑποθέσεως, καὶ τοῦ κατ' αὐτοὺς ἐλέγχου καὶ ἀνατροπῆς ἀπὸ τῶν προειρημένων παντὶ τῷ βουλομένῳ τῆς ζωῆς αὐτοῦ ἔχεσθαι, καὶ μὴ ἀπατᾶσθαι κενοῖς μύθοις; Ἀλλὰ ταῦτά μοι περὶ τούτων εἰρήσθω. Παρελθὼν δὲ ταύτην ἐπὶ τὰς ἑξῆς διασκοπήσω ὁδὸν ἐμαυτῷ ἀσφαλῆ

6. *Voc.* ἐπίσκοπος *non agnoscit cod. Vatic.*

Cap. VII. — 1. *Pseudo-Orig. Philos.* p. 199.

2. τόπῳ *reposui ex Vet. Irenaei Interprete et Pseudo-Origene.*

3. *Verba* τῆς Ἀρχῆς, *quae vulgo ante* τῆς Ἀνεννοήτου *in libris extant, ex auctoritate Vet. Interpr. Pseudo-Origenis et Tertulliani (Adv. Valent. cap. 35.) delevi.*

*tatem voco*, manifeste fatetur esse haec quae proposita sunt omnino conficta, seque fabulae huic imposuisse nomina quae ab nemine hactenus usurpata fuerant. Proindeque nemini dubium est quin haec ille primum indiderit, ac nisi ipse in vita extitisset aliquando, veritas utique proprio nomine caritura fuerit. Quid igitur prohibet alium quemlibet in eadem materia certa vocabula constituere? Quare sanctus episcopus Irenaeus, ut diximus, ridicula quaedam nomina ac per iocum a seipso composita subiicit, tanquam illorum nugis consentanea, cuiusmodi sunt peponum ac cucurbitarum aut colocyntharum genera, quorum appellationes certis rebus attribuit; id quod eruditi homines facile ex iis quae antea legerint animadvertent.

Ceterum nonnulli ex illis primam atque antiquissimam Ogdoadem Cap. VII. hisce nominibus insigniunt. Primam enim esse statuunt Proarchen, hoc est primum omnium Principium, tum Anennoëtum, sive quod intelligentia capi non potest, tertium Inexplicabile, quartum Aoratum, id est aspectum fugiens. Iam a Proarche primo ac quinto loco Principium exortum. A Principio vero, quod Anennoëtum vocant, secundo sextoque loco productum Acataleptum, hoc est incomprehensibile. Ab inexplicabili deinde tertio loco ac septimo Anonomastum, sive Innominabile. Demum ab Aorato Agennetum, sive Ingenitum, prodiisse primae illius Ogdoadis complementum. Has illi Virtutes ante Bythen ac Sigen extitisse censent, ut perfectis perfectiores atque intelligentibus intelligentiores esse videantur. O nugacissimi vanissimique sophistae! Sic enim eos iure quispiam appellet. Nam et de Bytho plures sunt apud illos alioqui, ac discrepantes sententiae. Quidam enim iniugem illum esse definiunt, nec marem scilicet, nec feminam, neque omnino alterius generis aliud quicquam. Alii utrumque ei sexum attribuunt, et Androgynum faciunt. Sigen porro alii coniugem illius esse dicunt, ut hoc par sit omnium antiquissimum, ex quo cetera ad eum modum velut scenicam fabulam pertexunt. Ita summa est apud ipsos nugarum ac somniorum licentia, quibus eorum mens altissimo quodam veterno ac sopore detinetur.

Quamquam quid hic ego diutius immoror, cum ipsum per sese illorum argumentum omne facile prodatur, appareatque vel ex iis quae dicta sunt quemadmodum everti convincique possit? Sit si modo quispiam, qui inhaerere vitae cupiat, nec inanissimis nugis ac mendaciis decipi. Sed de iis hactenus. Nos hac haeresi praetermissa tutum ad ceteras iter, ac planum prospiciemus, ut in illorum

4. *Vet. Interpr. addit* quarto et octavo loco.
5. πολλαὶ καὶ, *quod nec Vet. Interpres agnoscit, desideratur in cod. Vatic.*
6. *Ita cod. Vatic. Vulgo* δραματουργήσουσι.

*καὶ τρίβον λείαν, ὅπως τὰς τούτων μοχθηρίας διεξιὼν τε καὶ ἐλέγχων ἐμαυτόν τε καὶ τοὺς ἀκούοντας ἐν τῇ τοῦ θεοῦ δυνάμει διασώσω. [7] Διὰ τῆς τοῦ κυρίου ἡμῶν διδασκαλίας καὶ ἀληθινῆς θεωρίας ὡς μύαγρον ταύτην τὴν ἔχιδναν, τὴν πολλαῖς ἑτέραις ἐχίδναις ἐοικυῖαν, τῷ [8] ὑποδείγματι τοῦ εὐαγγελίου καταπατήσαντες τὰς ἑξῆς διασκοπήσωμεν.*

## ΚΑΤΑ ΠΤΩΛΕΜΑΙΤΩΝ,

### τριςκαιδεκάτη, ἡ καὶ τριακοστὴ τρίτη.

Κεφ. α'. *[1] Τοὺς περὶ Σεκοῦνδον καὶ τὸν ὀνομασθέντα Ἐπιφάνην ἐξ Ἰσιδώρου τὴν παραίνεσιν εἰς ἑαυτῶν ὑπόνοιαν ἀπεμπολήσαντας Πτολεμαῖος διαδέχεται,* pag. 215. *τῆς μὲν αὐτῶν τῶν καλουμένων Γνωστικῶν ὑπάρχων αἱρέσεως καὶ τῶν κατὰ Οὐαλεντῖνον σὺν ἑτέροις τισὶν, ἕτερα δὲ παρὰ τοὺς αὐτοῦ διδασκάλους ὑποτιθέμενος, οὗ καὶ τὸ ὄνομα αὐχοῦσιν οἱ αὐτῷ πειθόμενοι, Πτολεμαῖοι καλούμενοι. Οὗτος τοίνυν ὁ Πτολεμαῖος, καὶ οἱ σὺν αὐτῷ, ἔτι ἐμπειρότερος ἡμῖν τοῦ ἑαυτῶν διδασκάλου προελήλυθε, τῇ ἐκείνων ὑφηγήσει προςθήκης τινὸς ὑπερβολὰς ἐξευρών. [2] Δύο γὰρ οὗτος συζύγους τῷ θεῷ τῷ παρ' αὐτοῖς Βυθῷ καλουμένῳ ἐπενόησέ τε καὶ ἐχαρίσατο. Ταύτας δὲ καὶ [3] Διαθέσεις ἐκάλεσεν, Ἔννοιάν τε καὶ Θέλημα· καὶ τὴν μὲν Ἔννοιαν ἀεὶ συνυπάρξασαν ἐν αὐτῷ, ἐννοουμένην ἀεὶ τὸ τί προβαλέσθαι, τὸ δὲ Θέλημα ἐν αὐτῷ ἐπιγινόμενον. Πρῶτον γὰρ ἐνενοήθη [4] προβαλεῖν, εἶτα, φησὶν, ἠθέλησε. Διὸ καὶ τῶν δύο διαθέσεων τούτων ἢ καὶ δυνάμεων (δυνάμεις γὰρ αὐτὰς πάλιν καλεῖ), τῆς Ἐννοίας καὶ τῆς Θελήσεως, [5] ὥςπερ συγκραθεισῶν εἰς ἀλλήλας [6] ἡ προβολὴ τοῦ Μονογενοῦς καὶ τῆς Ἀληθείας κατὰ συζυγίαν ἐγένετο. [7] Οὕς τινας τύπους καὶ εἰκόνας τῶν δύο διαθέσεων τοῦ Πατρὸς [8] προελθεῖν τῶν ἀοράτων ὁρατὰς, [9] τοῦ μὲν Θελήματος τὴν Ἀλήθειαν, τῆς δὲ Ἐννοίας τὸν Νοῦν· καὶ διὰ τούτου τοῦ Θελήματος ὁ μὲν ἄρρην εἰκὼν τῆς ἀγεννήτου [10] Ἐννοίας γέγονεν, ὁ δὲ θῆλυς τοῦ Θελήματος. Τὸ Θέλημα τοίνυν δύναμις ἐγένετο τῆς Ἐννοίας. Ἐνενόει μὲν γὰρ ἡ Ἔννοια τὴν προβολὴν, οὐ μέν τοι προβαλεῖν αὐτὴ καθ' ἑαυτὴν ἠδύνατο ἃ ἐνενόει· ὅτε δὲ ἡ τοῦ Θελήματος δύναμις ἐπεγένετο, τότε ὃ ἐνενόει προέβαλε.*

Κεφ. β'. *Καὶ φεῦ τῆς τοιαύτης τοῦ ματαιόφρονος ληρῳδίας. Τοῦτο γὰρ*

7. *In editis libris intercisum est demum post* θεωρίας.

8. *Petavius emendat* ὑποδήματι, *quod verum esse arbitror.*

Cap. I. — 1. Τοὺς — — — ἀπεμπολήσαντας *emendatio Ios. Scaligeri est. Libri habent* Τοῦ — — — ἀπεμπολήσαντος.

2. *V. Pseudo-Origenis Philos. p.* 199. *edit. Mill.*

3. *Ita correxi cum Grabio ex Irenaei Vet. Interprete I,* 6., *qui habet* quas et dispositiones vocant. *Consentit Pseudo-Orig. l. l. Epiphanii libri praebent* διαθέσεσιν.

4. προσβαλεῖν *ed. princ., quod vitium Petavius ex cod. Vatic. sustulit.*

5. *Rescribo* ὥςπερ *ex Pseudo-Origene l. l.*

6. *Ita Billius correxit, sententia postulante, ex Vet. Irenaei Interprete. Concor-*

**recensenda confutandaque nequitia cum nobismetipsis, tum aliis quoque divina ope freti consulere possimus. Quam ad rem domini nostri doctrinam ac notissimam veritatis contemplationem adhibebimus, ut illam myagron viperam, quae plurimarum aliarum similis est, velut evangelico calceo proculcantes ceteras aggrediamur.**

## ADVERSUS PTOLEMAITAS,
## quae est haeresis XIII., sive XXXIII.

**Secundus igitur atque Epiphanes Isidori cohortationes ad usum sectae suae opinionisque transtulerunt. Successit iis Ptolemaeus, qui licet Gnosticorum, qui ita dicuntur, haeresin, ac Valentinianorum, nec non et aliorum quorundam sit amplexus, nonnulla tamen ad ea quae a magistris hauserat, adiecit; cuius etiam nomine sectatores quidam eius gloriantur, quos Ptolemaeos nominant. Hic ille cum suis Ptolemaeus longe iis quos praeceptores habuit eruditione praestitit, et illorum doctrinam magna accessione cumulavit. Etenim deo, quem illi Bython appellant, coniuges duas a se inventas attribuit, quas et Affectiones vocavit, Cogitationem videlicet ac Voluntatem; quarum prior in illo semper existens ac cogitans aliquid produxerit, altera vero postea recentior accesserit. Primum enim, inquit, de procreando cogitavit, deinde voluit. Quocirca duabus iis Affectionibus, sive Virtutibus, nam et Virtutes easdem vocat, Cogitatione ac Voluntate, velut invicem commistis, Unigenae Veritatisque par est exortum. Quas quidem duarum paternarum Affectionum, tanquam quae videri nequeunt, aspectabiles figuras ac simulacra prodiisse sentiunt: Voluntatis scilicet Veritatem, Cogitationis vero Mentem. Ac per Voluntatem quidem Ingenitae Cogitationis masculam effigiem extitisse, ipsiusmet vero Voluntatis, femineam fuisse. Voluntas ergo Cogitationis administra vis fuit. Siquidem haec tametsi de productione apud se cogitaret, minime tamen per se ipsam proferre cogitata potuit. Sed ut Voluntatis vis accessit, tum quod cogitabat produxit.** Cap. I.

**O stultas anilesque fabulas! Nemo enim, qui paululum iudicii** Cap. II.

*dat Pseudo-Origenes l. l. Vulgo extat* τῇ προβολῇ.

7. ὥς τινας *habet Pseudo-Origenes.*

8. διελθεῖν *habet Pseudo-Origenes. Irenaei libri inter* egressas *et* adgressas *et* progressas *variant.*

9. *Recte Vet. Interpr.* Thelematis quidem Nun, Ennoeas autem Aletheian, et propter hoc adventiciae Voluntatis masculus est imago cett. *Pseudo-Origenes:* τοῦ μὲν Θελήματος τὸν Νοῦν, τῆς δὲ Ἐννοίας τὴν Ἀλήθειαν· καὶ διὰ τοῦτο τοῦ ἐπιγεννητοῦ Θελήματος ὁ ἀρρενικὸς, τῆς δὲ ἀγεννήτου Ἐννοίας ὁ θῆλυς ἐπὶ τὸ Θέλημα ὥςπερ δύναμις ἐγένετο τῆς Ἐννοίας.

10. ἐννοίας *cod. Vatic. et inde edit. Petav.* οὐσίας *cod. Rhedig. et edit. princ. Alteram scripturam testatur etiam Vet. Interpres Irenaei.*

οὐκ ἂν οὐδὲ ἐπὶ ἀνθρώπου λαμβάνοιτο παρά τινι τῶν ἐχόντων ἐρρωμένην τὴν διάνοιαν, μή τι γε ἐπὶ θεοῦ. Δοκεῖ δέ μοι φρονιμώτερος αὐτοῦ ὑπάρχειν Ὅμηρος, ἐν τῷ τὸν [1] Δία φροντίδα παρ' αὐτῷ ποιούμενον ἀναγράφεσθαι, μεριμνῶντά τε καὶ χαλεπαίνοντα καὶ [2] ἄϋπνον παννύχως διατετελεκότα, [3] ὅπως τοῖς Ἀχαιοῖς ἐπιβουλεύσῃ, τῆς Θέτιδος αὐτὸν ἀξιωσάσης εἰς τὸ δίκην τῖσαι τοὺς τῶν Ἑλλήνων ἐξάρχους τε καὶ αὐτοὺς τοὺς Ἕλληνας, διὰ τὴν πρὸς τὸν Ἀχιλλέα ὕβριν. Οὐδὲν γὰρ οὗτος ὁ Πτολεμαῖος εἰς δόξαν τοῦ παρ' αὐτοῦ Πατρὸς τῶν ὅλων, τοῦ καὶ Βυθοῦ καλουμένου, εὐλογώτερον τῶν παρὰ Ὁμήρου εἰς τὸν
pag. 216. Δία εἰρημένων ἐπενόησεν· ἀλλ' αὐτὸν κατείληφε μᾶλλον τὸν Δία ὡς παρὰ Ὁμήρου λαβὼν τὴν Ἔννοιαν. Μᾶλλον γὰρ τὴν Ὁμηρικὴν κατάληψιν περὶ Διὸς καὶ Ἀχαιῶν εἰκότως ἂν φήσειεν, τὴν τοσαύτην αὐτοῦ τόλμαν ἐξεμέσας, ἢ περὶ τοῦ τῶν ὅλων δεσπότου, ὃς ἅμα τῷ [4] ἐννοηθῆναι καὶ [5] ἐπιτετέλεκε τοῦθ' ὅπερ ἠθέλησε, καὶ ἅμα τῷ θελῆσαι καὶ ἐννοεῖται τοῦθ' ὅπερ καὶ ἠθέλησε, [6] τοῦτο ἐννοούμενος ὃ καὶ θέλει, καὶ τότε θέλων ὅτε ἐννοεῖται, ὅλος ἔννοια ὤν, [7] ὅλος θέλημα, ὅλος νοῦς, ὅλος ὀφθαλμὸς, ὅλος ἀκοὴ, ὅλος πηγὴ πάντων τῶν ἀγαθῶν. Καὶ οὐδενὸς [8] εἴσω πάθους περιέχεται. Θεὸς γὰρ, καὶ οὐ φροντίζων, καὶ ἀπορῶν ὡς [9] ὁ Βυθὸς, ἤτοι ὁ Ζεὺς, περὶ οὗ λέγοντα Ὅμηρον Πτολεμαῖος περὶ Βυθοῦ λέγων ἐμιμήσατο. Εἰς δὲ περισσότερον ἔλεγχον τοῦ ἀπατεῶνος καθ' ἑξῆς ὑποτάξας παραθήσομαι τὰ ὑπ' αὐτοῦ φύσει Πτολεμαίου Φλώρᾳ τινὶ γυναικὶ γραφέντα, ἐπαγωγά τε καὶ δηλητήρια ῥήματα, ἵνα μή τις νομίσειεν ἡμᾶς ἐξ ἀκοῆς μόνον τὸν ἀπατεῶνα ἐλέγχειν, μὴ πρότερον ἐντυχόντας τῇ παρ' αὐτοῦ [10] παραπεποιημένῃ διδασκαλίᾳ. Πρὸς γὰρ τοῖς εἰρημένοις καὶ τὸν νόμον τοῦ θεοῦ [11] τὸν διὰ Μωϋσέως βλασφημῶν οὐκ αἰσχύνεται, ἃ καὶ ἔστι ταῦτα·

## ΠΤΟΛΕΜΑΙΟΥ ΠΡΟΣ ΦΛΩΡΑΝ.

Κεφ. γ'. Τὸν διὰ Μωϋσέως τεθέντα νόμον, ἀδελφή μου καλὴ Φλώρα, ὅτι [1] μὴ πολλοὶ προκατελάβοντο, μήτε τὸν θεμέλιον [2] αὐτὸν ἐγνωκότες, μήτε τὰς προστάξεις [3] αὐτοῦ, ἀκριβῶς ἡγοῦμαι καὶ σοὶ εὐσύνοπτον ἔσεσθαι [4] μαθούσῃ τὰς διαφωνούσας γνώμας περὶ αὐτοῦ. Οἱ μὲν γὰρ ὑπὸ τοῦ θεοῦ καὶ πατρὸς νενομοθετῆσθαι [5] τούτοις λέγουσιν, ἕτεροι δὲ τούτοις τὴν ἐναντίαν ὁδὸν τραπέντες ὑπὸ τοῦ ἀντικειμένου φθοροποιοῦ διαβόλου τεθεῖσθαι τοῦτον ἰσχυρίζονται, ὡς καὶ τὴν τοῦ κόσμου

Cap. II. — 1. *Hom. Il. II, init.*

2. ἄυπνος *cod. Vatic.*

3. *Vulgo* τὸ πῶς.

4. ἐννοηθῆναι *reposui ex auctoritate cod. Vaticani. Vulgo reperitur* νοηθῆναι.

5. *Vulgo* ἐπιτετελεχέναι. *Vet. Interpres vertit* perficit id quod cogitavit. *Olim, respectu particulae* καὶ, *in sequentibus quoque cumulata, putaveram reponendum* ἐπιτετέλεκε καὶ *cett.*

6. *Vet. Interpres:* tunc cogitans cum vult *cett., uti legisse videatur* τότε ἐννοούμενος ὅτε θέλει *cett.*

7. ὅλος θέλημα, *quod cod. Rhedig. et edit. princ. non magis agnoscunt quam Vet. Interpres, Petavius ex auctoritate cod. Va-*

babeat, ne de homine quidem, nedum de deo quicquam audeat eiusmodi statuere. Mihi vero etiam Homerus prudentior illo fuisse videtur, dum sollicitum Iovem, curisque confectum et iratum, insomnem noctem egisse descripsit, de Graecorum pernicie cogitantem, cum esset rogatus a Thetide, ut ad ulciscendam Achillis iniuriam tam a Graecorum principibus quam Graecis ipsis poenas repeteret. Nihil enim Ptolemaeus de illo suo omnium parente, quem Bythum nominat, aptius excogitavit quam est ab Homero de Iove confictum. Sed Iovis ipsius, qualem ab Homero didicerat, notionem informasse videtur. Imo vero tantam ad expromendam audaciam Homericum illud de Iove Graecisque commentum tolerabilius usurparet, quam ita de communi omnium domino disputaret. Qui simul atque animo concepit aliquid, statim quicquid voluerit efficit, statimque ac voluit, animo concipit quod voluit, ac tum cogitans cum vult, volensque cum cogitat. Nimirum totus ipse cogitatio est, totus voluntas, totus mens, totus lumen, totus oculus, totus auditus, totus bonorum omnium fons, prorsusque ab omni perturbatione remotus, non sollicitus, non anxius, velut Bythus ille, vel Iuppiter, de quo quae ab Homero scripta sunt, Ptolemaeus ad Bythum transtulit. Atque ut improbissimus hic planus magis magisque refellatur, iuvat hoc loco ea subiicere quae ad Floram quandam mulierculam scripsit, plena illa quidem illecebrae ad persuadendum ac pestifera, ne quis forsitan putet me ex auditu solo contra nebulonem hunc egisse, nullumque depravatae eius doctrinae vestigium antea pervidisse. Et quidem praeter ea quae diximus Mosaicam etiam legem maledictis incessit. Est autem eiusmodi haec epistola:

## PTOLEMAEI AD FLORAM EPISTOLA.

Legem illam quae a Mose tradita est, Flora soror amantissima, neque perspectam haberi quamplurimos, neque eius velut fundamenta, vel praescripta cognoscere, facile te intellecturam existimo, si quam variae de illa sint opiniones didiceris. Sunt enim qui illam a deo putant ac patre fuisse constitutam. Alii contrariam viam ingressi ab eius aemulo nefario daemone latam affirmant, a quo et mundum fa- Cap. III.

*ticani adiecit.*

8. εἴσω πάθους *dedi ex emendat. Petavii et Cornarii, qui vertit:* et in nullo affectu haereat.

9. *Articulum adieci ex cod. Vatic.*

10. πεποιημένη *cod. Vatic.*

11. τὸν, *quod desideratur in ed. princ., Petavius primum adiecit ex cod. Vatic.*

Cap. III. — 1. μὴ *delet Cornarius vertens:* quod legem per Moysen datam multi praeoccuparint *cett.*

2. αὐτοῦ *coniecerunt Cornarius, Petavius, Grabius, Massuetus. Cf. Grabe Spicileg. II, pag.* 69 *sqq.*

3. *Ita Grabius aliique pro vulgato* αὐτῶν.

4. μαθούσῃ *cod. Venet. Vulgo* μαθούσης.

5. τοῦτον *vel* τούτῳ *reponendum esse suspicor.*

*προςάπτουσιν αὐτῷ δημιουργίαν, πατέρα καὶ ποιητὴν τοῦτον λέγοντες εἶναι. Τοῦτο δὲ τοῦ παντὸς διέπταισαν οὗτοι διαδόντες ἀλλήλοις, καὶ ἑκάτεροι αὐτῶν [6] διαμαρτόντες παρά σφισιν αὐτοῖς τῆς τοῦ προκειμένου ἀληθείας. Οὔτε γὰρ ὑπὸ τοῦ τελείου θεοῦ καὶ πατρὸς φαίνεται τοῦτον τεθεῖσθαι ([7] ἑπόμενος γάρ ἐστιν), ἀτελῆ τε ὄντα, καὶ [8] τοῦ σφετέρου πληρωθῆναι ἐνδεῆ, ἔχοντά τε προςτάξεις ἀνοικείας τῇ τοῦ τοιούτου θεοῦ φύσει τε καὶ γνώμῃ, οὔτ' αὖ πάλιν τῇ τοῦ ἀντικειμένου ἀδικίᾳ νόμον [9] προςάπτειν, [10] ἀδικεῖν αἱροῦντος· [11] τῶνδε ἐξ ἴσου μὴ συνορώντων τὰ ὑπὸ τοῦ σωτῆρος εἰρημένα. Οἰκία γὰρ ἢ πόλις μερισθεῖσα ἐφ' ἑαυτὴν ὅτι μὴ δύναται στῆναι, ὁ σωτὴρ ἡμῶν ἀπεφήνατο. Ἔτι γε τὴν τοῦ κόσμου δημιουργίαν ἰδίαν λέγει εἶναι ([12] ἅτε πάντα δι' αὐτοῦ γεγονέναι, καὶ χωρὶς αὐτοῦ [13] γέγονεν οὐδὲν) ὁ ἀπόστολος, [14] προαποστερήσας τὴν τῶν ψευδηγορούντων ἀνυπόστατον σοφίαν, καὶ οὐ φθοροποιοῦ θεοῦ, ἀλλὰ δικαίου καὶ μισοπονήρου. Ἀπρονοήτων δέ ἐστιν ἀνθρώπων, τῆς προνοίας τοῦ Δημιουργοῦ μὴ αἰτίαν λαμβανομένων, καὶ μὴ μόνον τὸ τῆς ψυχῆς ὄμμα, ἀλλὰ καὶ τὸ τοῦ σώματος πεπηρωμένων. Οὗτοι μὲν οὖν ὡς διημαρτήκασι τῆς ἀληθείας δῆλόν σοί ἐστιν ἐκ τῶν εἰρημένων. Πεπόνθασι δὲ [15] τοῦτο ἰδίως ἑκάτερος αὐτῶν, οἱ μὲν διὰ τὸ ἀγνοεῖν τὸν τῆς δικαιοσύνης θεὸν, οἱ δὲ διὰ τὸ ἀγνοεῖν τὸν τῶν ὅλων πατέρα, ὃν μόνος ἐλθὼν ὁ μόνος εἰδὼς ἐφανέρωσε. Περιλείπεται δὲ ἡμῖν ἀξιωθεῖσι [16] τὰ τῶν ἀμφοτέρων τούτων ἐκφῆναί σοι καὶ ἀκριβῶσαι αὐτόν τε τὸν νόμον, ποταπός τις εἴη, καὶ τὸν ὑφ' οὗ τέθειται, τὸν νομοθέτην, ῥηθησομένων ἡμῖν τὰς ἀποδείξεις ἐκ τῶν τοῦ σωτῆρος ἡμῶν λόγων παριστῶντες, δι' ὧν μόνον ἔστιν ἀπταίστως ἐπὶ τὴν κατάληψιν τῶν ὄντων ὁδηγεῖσθαι.*

(pag. 217. in margin beside "οὕτου θεοῦ φύσει")

Κεφ. δ'. *Πρῶτον οὖν μαθητέον, ὅτι ὁ σύμπας ἐκεῖνος νόμος ὁ περιεχόμενος τῇ Μωσέως Πεντατεύχῳ, οὐ πρὸς ἑνός τινος νενομοθέτηται, λέγω δὴ οὐχ ὑπὸ μόνου θεοῦ, ἀλλ' εἰσί τινες [1] αὐτοῦ προςτάξεις καὶ ὑπ' ἀνθρώπων τεθεῖσαι, καὶ τριχῇ τοῦτον διαιρεῖσθαι οἱ τοῦ σωτῆρος λόγοι διδάσκουσιν ἡμᾶς. Εἷς τε γὰρ αὐτὸν τὸν θεὸν καὶ τὴν τούτου νο-*

6. *Fortasse corrigendum est* διήμαρτον οὕτως παρά *cett.*

7. *Haec librorum vett. scriptura, et ea genuina est. Verte:* congruens enim suo operi deus est, *h. e. congruere suo operi debet. Grabius vertit:* est enim alius qui ordine sequitur deus. *Petavius volebat* ἑπόμενον, *alii putabant* ἑπόμενος γὰρ οὐκ ἔστιν.

8. ὑφ' ἑτέρου *coniecit Petavius, probavit Grabius. At vera est scriptura librorum veterum. Verto:* et sui absolutionem desiderans. *Quod enim a perfecto et absoluto deo profectum dicitur, si non respondet origini, de suo, h. e. de divino compleri necesse habet, ut divinum queat absolutumque censeri.*

9. *Petavius supplet* χρή. *Melius videtur rescribi posse* προςαπτέον, *quod Stieren. in textum recepit.*

10. τὸ ἀδικεῖν ἀναιροῦντος *coniecit Aug. Neander in libro* Genet. Entwurf d.

bricatum asserunt, et eundem conditorem ac patrem esse dictitant. Verum illi, qui eiusmodi dogmata sibi invicem communicarunt, vehementer hallucinati sunt, et ab eo quem sibi proposuerant, scopo veritatis aberrarunt. Nam nec a perfecto deo ac patre stabilita videtur, utpote minus perfecta, et ad sui absolutionem plura desiderans ac mandata quaedam continens, quae dei natura ac decreto sunt aliena. Neque vero adversarii improbitati tribuenda lex est, cuius proprium sit inique facere; quique ita statuunt, quae a salvatore dicta sunt nequaquam animadvertunt. Ita enim ille pronuntiavit, *Stare* Matth. 12, 25.
*domum vel civitatem non posse, quae in seipsam divisa sit.* Praeterea mundum a se fabricatum asserit, *omniaque per ipsum facta, et* Ioann. 1, 3.
*sine ipso nihil esse factum.* Quibus verbis apostolus mendacissimorum hominum minime solidam sapientiam refellit, nec pestifero alicui deo, sed iusto, et improbitatis omnis inimico illarum rerum auctoritatem concedit. Sed temerariorum hominum illa iudicia sunt, neque conditoris providentiae caussas intelligentium, quique non animi solum, sed etiam corporis oculis videantur esse capti. Quantopere igitur illi a veritate dissideant ex iis quae dicta sunt abunde potes cognoscere. Sed utrosque proprium quiddam ac peculiare ad ita sentiendum induxit. Alios quidem, quod auctorem iustitiae deum ignorarent, alios quod universorum parentem peraeque nescirent, quem ille solus adveniens qui solus norat aperuit. Nobis vero quibus utrumque dei beneficio cognitum est, reliquum illud est, ut de lege certi aliquid exploratique doceamus, cuiusmodi videlicet illa sit, et a quonam legislatore sancita: ita tamen ut quicquid a nobis allatum fuerit, id non aliunde quam ex ipsis salvatoris verbis probetur. His enim solis velut itineris ducibus adhibitis ad rerum cognitionem sine errore perducimur.

Inprimis igitur sciendum est universam illam legem, quae quin- Cap. IV.
que Mosis voluminibus continetur, non ab uno esse legislatore profectam, solo videlicet deo, sed admista quaedam hominum esse mandata, ut, quemadmodum salvator ipse docuit, trifariam lex sit omnis distributa. Quaedam enim ad ipsum deum eiusque sanctiones perti-

Gnost. Systeme *pag.* 162. *Pro* αἱροῦντος *in editis extat* αἰροῦντος.

11. *Ita rescripsi mei ingenii periculo pro eo quod libri habent* τῶν τε ἑξῆς τί.

12. *Intellege* ἅτε λέγων. *Petavius corrigit* τά τε.

13. γεγονέναι *emendari vult Grabius.*

14. removens *vertit Cornarius.*

15. *Ita correxit Petav. ex cod. Vatic.* οὗτοι *edit. princ.*

16. τὰ τῶν *mea est coniectura. Libri habent* τε τῆς. *Petavius* γνώσεως *putat deesse. Cornarius vertit:* Superest itaque nobis quorum amborum errorem cognitum habemus, exponere tibi ac declarare *cett.*

Cap. IV. — 1. αὐτοῦ *reposui pro* αὐτῶν *quod vulgo extat. Posset etiam* αὐτῷ *vel* ἐν αὐτῷ.

*μοθεσίαν [2] διαιρεῖται· διαιρεῖται δὲ καὶ εἰς τὸν Μωσέα, οὐ [3] καθὰ αὐτὸς δι' αὐτοῦ νομοθετεῖ ὁ θεὸς, ἀλλὰ καθὰ ἀπὸ τῆς ἰδίας ἐννοίας ὁρμώμενος καὶ ὁ Μωσῆς ἐνομοθέτησέ τινα· καὶ εἰς τοὺς πρεσβυτέρους τοῦ λαοῦ διαιρεῖται, [4] οἳ πρῶτοι εὑρίσκονται ἐντολάς τινας ἐνθέντες ἰδίας. Πῶς οὖν τοῦτο οὕτως ἔχον ἐκ τῶν τοῦ σωτῆρος δείκνυται λόγων μάθοις δ' ἂν ἤδη. Διαλεγόμενός που ὁ σωτὴρ πρὸς τοὺς περὶ τοῦ ἀποστασίου συζητοῦντας αὐτῷ, ὃ δὴ ἀποστάσιον ἐξεῖναι [5] ἐνενομοθέτητο, ἔφη αὐτοῖς ὅτι, Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψε τὸ ἀπολύειν τὴν γυναῖκα αὐτοῦ· ἀπ' ἀρχῆς γὰρ οὐ γέγονεν*
pag. 218. *οὕτως. Θεὸς γὰρ, φησὶ, συνέζευξε ταύτην τὴν συζυγίαν, καὶ ὃ συνέζευξεν ὁ κύριος, ἄνθρωπος [6] μὴ χωριζέτω, ἔφη. Ἐνταῦθα ἕτερον μὲν τοῦ θεοῦ [7] δείκνυσι νόμον, τὸν κωλύοντα χωρίζεσθαι γυναῖκα [8] ἀπὸ ἀνδρὸς αὐτῆς, ἕτερον δὲ τὸν τοῦ Μωϋσέως, τὸν διὰ τὴν σκληροκαρδίαν ἐπιτρέποντα χωρίζεσθαι τοῦτο τὸ ζεῦγος. Καὶ δὴ κατὰ τοῦτο ἐναντία τῷ θεῷ νομοθετεῖ ὁ Μωσῆς. Ἐναντίον γάρ ἐστι τῷ μὴ διαζευγνύναι. Ἐὰν μέντοι καὶ τὴν τοῦ Μωϋσέως γνώμην, καθ' ἣν τοῦτο ἐνομοθέτησεν, ἐξετάσωμεν, εὑρεθήσεται τοῦτο οὐ κατὰ προαίρεσιν [9] ποιήσας τὴν ἑαυτοῦ, ἀλλὰ κατὰ ἀνάγκην διὰ τὴν τῶν νενομοθετημένων ἀσθένειαν. Ἐπεὶ γὰρ τὴν τοῦ θεοῦ γνώμην φυλάττειν οὐκ ἠδύναντο οὗτοι, ἐν τῷ μὴ ἐξεῖναι αὐτοῖς ἐκβάλλειν τὰς γυναῖκας αὐτῶν, [10] αἷς τινες αὐτῶν ἀηδῶς συνῴκουν, καὶ ἐκινδύνευον ἐκ τούτου ἐκτρέπεσθαι πλέον εἰς ἀδικίαν, καὶ ἐκ ταύτης εἰς ἀπώλειαν, τὸ ἀηδὲς τοῦτο βουλόμενος ἐκκόψαι αὐτῶν ὁ [11] Μωϋσῆς, δι' οὗ καὶ ἀπόλλυσθαι ἐκινδύνευον, δεύτερόν τινα ὡς κατὰ περίστασιν ἧττον κακὸν ἀντὶ μείζονος ἀντικαταλλασσόμενος, τὸν τοῦ ἀποστασίου νόμον ἀφ' ἑαυτοῦ ἐνομοθέτησεν αὐτοῖς, ἵνα ἐὰν ἐκεῖνον μὴ δύνωνται [12] φυλάττειν, κἂν τοῦτόν γε φυλάξωσι, καὶ μὴ εἰς ἀδικίας καὶ κακίας ἐκτραπῶσι, δι' ὧν ἀπώλεια αὐτοῖς ἔμελλε τελειοτάτη ἐπακολουθήσειν. Αὕτη μὲν ἡ τούτου γνώμη, καθ' ἣν ἀντινομοθετῶν εὑρίσκεται τῷ θεῷ. Πλὴν ὅτι γε Μωσέως αὐτοῦ δείκνυται ἐνταῦθα ἕτερος ὢν παρὰ τὸν τοῦ θεοῦ νόμον, ἀναμφισβήτητόν ἐστι, κἂν δι' ἑνὸς τὰ νῦν ὦμεν δεδειχότες. Ὅτι δὲ καὶ τῶν πρεσβυτέρων εἰσί τινες συμπεπλεγμέναι παραδόσεις ἐν τῷ νόμῳ, δηλοῖ καὶ τοῦτο ὁ σωτήρ. Ὁ γὰρ θεὸς, φησὶν, εἶπε, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται. Ὑμεῖς δὲ, φησὶν, [13] εἰρήκατε, τοῖς πρεσβυτέροις λέγων, δῶρον τῷ θεῷ ὃ ἐὰν ὠφεληθῇς ἐξ ἐμοῦ, καὶ ἠκυρώσατε τὸν νόμον τοῦ θεοῦ, διὰ τὴν [14] παράδο-*

2. *Hoc prius* διαιρεῖται, *quod exciderat, restitui ex altero.*

3. καθὰ αὐτὸς *rescripsi cum Petavio.* καθὰ δι' αὐτοῦ *cod. Venet. Vulgo extat* καθ' αὐτὸ (*cod. Rhedig.* αὐτὸ). *Cornarius:* non quemadmodum per ipsum legem dat deus.

4. οἳ *scripsi pro vulgato* καὶ, *Cornarium secutus, qui vertit:* qui primi comperiuntur *cett. Pro* πρῶτοι *cod. Reg. habet* πρῶτον.

5. *Ita Petav. de cod. Vatic. Cornarius ediderat* νενομοθέτητο.

6. ἔφη, μὴ χωριζέτω *cod. Venet.*

nent, alia Mosi tribuenda sunt, non quidem quatenus aliquid a deo illius interventu decretum est, sed quatenus per sese ac suapte sponte nonnulla constituit; aliorum denique seniores qui in populo erant auctores extiterunt; ac primi illi privata quaedam praecepta inserere sunt ausi. Quod quemadmodum sese habeat ex ipsis salvatoris verbis intelliges. Hic enim quodam in loco ad eos verba faciens qui de repudii libello secum disputabant, quod permissione legis licebat, sic illos allocutus est: *Moyses ad duritiam cordis vestri permisit vobis di-* Matth.19,8.
*mittere uxores vestras. Ab initio autem non fuit sic. Deus enim,* inquit, *coniugium hoc copulavit, et quod deus coniunxit homo non separet.* Ubi aliam esse dei legem ostendit, quae uxorem a viro seiungi prohibeat, aliam Mosis, qui ob duritiem cordis par illud dissociari permittat. In quo Moses quiddam deo contrarium tulit, ei scilicet cautioni qua dissolvi matrimonia vetuerat. Sed si legislatoris ipsius mentem, qua ad illud decernendum inductus est, accurate consideremus, inveniemus procul dubio non id eum sponte sua, sed necessitate fecisse, quo eorum quibus praescribebat imbecillitati consuleret. Qui cum divinum illud decretum de retinendis uxoribus suis tolerare non possent, ac moleste quidam earum consortia sustinerent, periculum ut esset, ne ea se occasione gravioribus sceleribus obstringerent, quibus extremam in perniciem ruerent, ut hoc incommodum devitaret Moyses, quod ad illorum interitum spectabat, secundam quandam repudii legem privata auctoritate constituit, minusque ex ea occasione malum cum maiore compensavit; ut si minus priorem illam servare possint, hanc saltem retineant, neque se in flagitia sceleraque committant, per quae ultimum exitium consequatur. Haec illius ratio fuit propter quam contrarium quiddam deo statuisse cernitur. Enim vero diversam hic a divina Moysis legem extitisse, extra omnem controversiam est; etsi id in uno tantum decreto probatum sit. Eidem vero legi traditas a senioribus illigatas esse regulas non obscure salvator ostendit. *Deus enim,* inquit, *di-* Matth.15,4. et Marc. 7, 10.
*xit, Honora patrem tuum, et matrem tuam, ut bene sit tibi. Vos autem dixistis,* seniores inquit alloquens, *Munus deo quodcumque ex me tibi proderit; et irritam fecistis legem dei propter traditiones senio-*

7. *Ita edidit Petavius de auctoritate cod. Vatic. Cornarius ediderat* δείκνυς.

8. ἀπὸ ἀνδρὸς *codd. Vatic. Venet. Vulgo* ἀπὸ τοῦ ἀνδρὸς.

9. ποιήσας, *quod desideratur in edit. princ., Petavius primum adiecit ex cod. Vatic.*

10. αἷς *emendatio est Petavii, quam a Stierenio receptam video. Vulgo extat* αἵ τινες *cett. Cornarius vertit:* quae cum ipsis iniucunde habitabant.

11. *Cod. Venet.* μωσῆς δι' οὗ καὶ ἀπέλλεσθαι.

12. *Cod. Venet.* φυλάσσειν.

13. *Cod. Venet. om.* εἰρήκατε.

14. *Cod. Venet.* παράδωσιν ὑμῶν τῶν πρεσβυτέρων.

σιν τῶν πρεσβυτέρων ὑμῶν. Τοῦτο δὲ Ἡσαΐας ἐξεφώνησεν εἰπών, Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με, διδάσκοντες [15] διδασκαλίας, ἐντάλματα ἀνθρώπων. Σαφῶς οὖν ἐκ τούτων εἰς τρία διαιρούμενος ὁ σύμπας ἐκεῖνος δείκνυται νόμος. Μωϋσέως τε γὰρ αὐτοῦ, καὶ τῶν πρεσβυτέ-
pag. 219. ρων, καὶ αὐτοῦ τοῦ θεοῦ εὕρομεν νομοθεσίαν ἐν αὐτῷ. Αὕτη μὲν οὖν ἡ διαίρεσις τοῦ σύμπαντος ἐκείνου νόμου ὧδε ἡμῖν διαιρεθεῖσα τὸ ἐν αὐτῷ ἀληθὲς ἀναπέφαγκεν.

Κεφ. ε'. Πάλιν δὲ δὴ τὸ ἓν μέρος, ὁ αὐτοῦ τοῦ θεοῦ νόμος, διαιρεῖται εἰς τρία τινά, εἴς τε τὴν καθαρὰν νομοθεσίαν, τὴν ἀσύμπλοκον τῷ κακῷ, ὃς καὶ κυρίως Νόμος λέγεται, ὃν οὐκ ἦλθε καταλῦσαι ὁ σωτήρ, ἀλλὰ πληρῶσαι (οὐ γὰρ ἦν ἀλλότριος αὐτοῦ ὃν ἐπλήρωσεν, οὐ γὰρ εἶχε τὸ τέλειον), καὶ εἰς τὸ συμπεπλεγμένον τῷ χείρονι, καὶ [1] τῇ ἀδικίᾳ, ἣν ἀνεῖλεν ὁ σωτὴρ ἀνοίκειον ὄντα τῇ ἑαυτοῦ φύσει· διαιρεῖται δὲ καὶ εἰς τὸ τυπικὸν καὶ συμβολικόν, τὸ κατ' εἰκόνα [2] τῶν πνευματικῶν καὶ διαφερόντων νομοθετηθέν, ὃ μετέθηκεν ὁ σωτὴρ ἀπὸ αἰσθητοῦ καὶ φαινομένου ἐπὶ τὸ πνευματικὸν καὶ ἀόρατον. Καὶ ἔστι μὲν ὁ τοῦ θεοῦ νόμος ὁ καθαρὸς καὶ ἀσύμπλοκος τῷ χείρονι αὐτὴ ἡ Δεκάλογος, οἱ δέκα λόγοι ἐκεῖνοι οἱ ἐν ταῖς δυσὶ πλαξὶ δεδιχασμένοι, εἴς τε ἀναίρεσιν τῶν [3] ἀφεκτέων καὶ εἰς πρόσταξιν τῶν ποιητέων, οἳ καίπερ καθαρὰν ἔχοντες τὴν νομοθεσίαν, μὴ ἔχοντες δὲ τὸ τέλειον, ἐδέοντο τῆς παρὰ τοῦ σωτῆρος πληρώσεως· ὁ δέ ἐστι συμπεπλεγμένος τῇ ἀδικίᾳ, οὗτος ὁ κατὰ τὴν ἄμυναν καὶ ἀνταπόδοσιν τῶν προαδικησάντων κείμενος, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκκόπτεσθαι κελεύων, καὶ φόνον ἀντὶ φόνου ἀμύνασθαι. Οὐδὲν γὰρ ἧττον καὶ ὁ δεύτερος ἀδικῶν ἀδικεῖ, τῇ τάξει μόνον διαλλάσσων, τὸ αὐτὸ ἐργαζόμενος ἔργον. Τοῦτο δὲ [4] πρόσταγμα δίκαιον μὲν ἄλλως καὶ ἦν καὶ ἔστι, διὰ τὴν ἀσθένειαν τῶν νομοθετηθέντων ἐν παρεκβάσει τοῦ καθαροῦ νόμου τεθέν, ἀνοίκειον δὲ [5] τῇ τοῦ πατρὸς τῶν ὅλων φύσει τε καὶ ἀγαθότητι· ἴσως δὲ τοῦτο κατάλληλον, ἐπάναγκες δὲ μᾶλλον. Ὁ γὰρ καὶ τὸν ἕνα φόνον οὐ βουλόμενος ἔσεσθαι ἐν τῷ λέγειν, Οὐ φονεύσεις, προστάξας τὸν φονέα ἀντιφονεύεσθαι, δεύτερον νόμον νομοθετῶν καὶ δυσὶ φόνοις βραβεύων, ὁ τὸν ἕνα ἀπαγορεύσας, ἔλαθεν ἑαυτὸν ὑπ' ἀνάγκης κλαπείς. Διὸ δὴ ὁ ἀπ' ἐκείνου παραγενόμενος υἱὸς τοῦτο τὸ μέρος τοῦ νόμου ἀνῄρηκεν, ὁμολογήσας καὶ αὐτὸς εἶναι τοῦ θεοῦ, ἔν τε τοῖς ἄλλοις

15. *Cod. Venet.* διδασκαλίαις.

Cap. V. — 1. *Ita emendarunt Pelav. Grabius aliique pro* τὴν ἀδικίαν *quae vulgata est scriptura. Quid* ὃν *sibi velit emendatio a Pelavio in marg. pro* ἣν *proposita equidem nondum potui assequi. Cod. Rhedig. habet* ἣν ἂν ἀνεῖλεν.

2. πνευματικῶν καὶ *rescripsi cum Petavio, e gemello huius capitis loco. Libri omnes habent* τῶν κατ' εἰκόνα διαφερόντων. *Quamquam Petavio* διαφερόντως *magis placuit. Grabius plane delendum esse censuit alterum illud* κατ' εἰκόνα.

3. ἀφεκτέων *scripsi cum Petavio pro* ἀφθέκτων, *quod. ed. princ. et cod. Rhedig. praebent, vel* ἀφθέγκτων, *quod rece-*

*rum vestrorum.* Hoc ipsum pronuntiavit Esaias, dicens, *Populus* Esai. 29, 13.
*hic labiis me honorat, cor autem eorum longe est a me. Sine caussa autem colunt me docentes doctrinas et mandata hominum.* Ex iis liquet omnem illam esse legem divisam in partes tres, in eaque et Mosis ipsius et seniorum et dei mandata contineri. Atque haec universae legis a nobis instituta partitio illius nobis veritatem ostendit.

Sed ea pars legis, quae a deo profecta est, tria rursum in membra dividitur. Cap. V.
Alia enim sunt sincera praecepta et ab omni mali permistione secreta, quae proprie lex appellatur, quam salvator non venit solvere, sed adimplere. Non enim a se erat aliena quam ad- Matth. 5, 17.
implevit; alioqui perfici implerique non posset. Alia sunt deterioribus implicata, qualis iniustitia est, quam salvator abhorrentem a natura sua funditus sustulit. Postremo alia sunt quae typica ac symbolica vocantur, hoc est umbrae quaedam praestantiorum et imagines; quod genus salvator ab eo quod sensibus expositum est et externum ad spiritale nec aspectabile convertit. Iam vero pura illa sinceraque lex dei, nec cum deteriore coniuncta, Decalogus est ipse, sive decem illa praecepta duabus distincta tabulis, quibus aut cavenda prohibentur aut facienda mandantur. Quae etsi pura sint ac liquida, tamen quod nondum perfecta sint, impleri a salvatore debuerant. Ad illud vero genus, quod iniustitiae aliquid habet, leges illae referendae sunt, quibus iniuriarum persecutio, eorumque qui priores nos laeserint, vindicatio praescribitur. Velut cum *Ocu-* Lev. 24, 20.
*lum pro oculo, dentem evelli pro dente, ac caedem caede* compensari praecipit. Neque enim minus iniuste agit qui id post alterum perpetrat, cum solius ordinis intersit, atque idem omnino facinus committat. Sed illud praeceptum alioqui iustum erat, et est modo, propter eorum infirmitatem quibus editum fuit, cum sit adversus sincerioris legis violationem praescriptum, licet a communis omnium parentis natura ac bonitate sit alienum; vel consentaneum potius est, sed necessitate quadam expressum. Nam qui vel unicum homicidium vetat fieri, dum ita statuit, Non occides, cum postea caedis auctorem vicissim interfici iubet ac secundam legem ferens duplicem caedem imperat, qui unam prohibuerat, ad ea necessitate coactus et imprudens decurrisse videtur. Atque ideo missus ab illo filius eam legis partem antiquavit quam quidem a deo latam et ipse confessus

*pit Petavius ex cod. Vatic. Etiam Cornarius vertit* ad sublationem interdictorum. *Grabius retinet* ἀφθέγκτων *et vertit* nefandorum.

4. *Cod. Venet.* τὸ πρόςταγμα.

5. *Cod. Venet.* τῆς.

[6] καθαριθμεῖσθαι τῇ παλαιᾷ αἱρέσει, καὶ ἐν οἷς ἔφη ὁ θεὸς εἰπὼν, Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω. Τὸ δέ ἐστι μέρος
pag. 220. αὐτοῦ τυπικὸν, τὸ κατ' εἰκόνα τῶν πνευματικῶν, καὶ [7] διαφερόντων κείμενον, [8] τὸ ἐν προςφοραῖς, λέγω, καὶ περιτομῇ, καὶ σαββάτῳ, καὶ νηστείᾳ, καὶ πάσχᾳ, καὶ ἀζύμοις, καὶ τοῖς τοιούτοις νομοθετηθέντα· Πάντα γὰρ ταῦτα εἰκόνες καὶ σύμβολα ὄντα τῆς ἀληθείας φανερωθείσης μετετέθη. Κατὰ μὲν τὸ φαινόμενον καὶ σωματικῶς ἐκτελεῖσθαι ἀνῃρέθη, κατὰ δὲ τὸ πνευματικὸν ἀνελήφθη, τῶν μὲν ὀνομάτων τῶν αὐτῶν μενόντων, ἐνηλλαγμένων δὲ τῶν πραγμάτων. Καὶ γὰρ [9] προςφορὰς προςφέρειν προςέταξεν ἡμῖν ὁ σωτὴρ, [10] ἀλλ' οὐχὶ τὰς δι' ἀλόγων ζώων, ἢ τούτων τῶν θυμιαμάτων, ἀλλὰ διὰ πνευματικῶν αἴνων καὶ δοξῶν καὶ εὐχαριστίας, καὶ διὰ τῆς εἰς τοὺς πλησίον κοινωνίας καὶ εὐποιΐας. Καὶ [11] περιτομῇ περιτετμῆσθαι ἡμᾶς βούλεται, ἀλλ' οὐχὶ τῆς ἀκροβυστίας τῆς σωματικῆς, ἀλλὰ καρδίας τῆς πνευματικῆς. Καὶ τὸ σάββατον φυλάσσειν· ἀργεῖν γὰρ θέλει ἡμᾶς ἀπὸ τῶν ἔργων τῶν πονηρῶν. Καὶ νηστεύειν δὲ, [12] ἀλλ' οὐ τὴν σωματικὴν [13] βούλεται νηστείαν ἡμᾶς νηστεύειν, ἀλλὰ τὴν πνευματικὴν, ἐν ᾗ ἐστιν ἀποχὴ πάντων τῶν φαύλων. Φυλάσσεται μεντοί γε καὶ παρὰ τοῖς ἡμετέροις ἡ κατὰ τὸ φαινόμενον νηστεία, ἐπεὶ καὶ ψυχῇ τι συμβάλλεσθαι δύναται αὕτη μετὰ λόγου γινομένη, ὁπότε μηδὲ διὰ τὴν πρός τινας μίμησιν γίνεται, μήτε διὰ τὸ ἔθος, μήτε διὰ τὴν ἡμέραν, ὡς ὡρισμένης [14] εἰς τοῦτο ἡμέρας· ἅμα δὲ καὶ εἰς ἀνάμνησιν τῆς ἀληθινῆς νηστείας, ἵνα οἱ μηδέπω ἐκείνην δυνάμενοι νηστεύειν ἀπὸ τῆς κατὰ τὸ φαινόμενον νηστείας ἔχωσι τὴν [15] ἀνάμνησιν αὐτῆς. Καὶ τὸ πάσχα δὲ ὁμοίως, καὶ τὰ ἄζυμα, ὅτι εἰκόνες ἦσαν, δηλοῖ καὶ Παῦλος ὁ ἀπόστολος, τὸ δὲ πάσχα ἡμῶν, [16] λέγων, ἐτύθη Χριστὸς, καὶ, Ἵνα ἦτε, φησὶν, ἄζυμοι, μὴ μετέχοντες [17] ζύμης (ζύμην [18] δὲ νῦν τὴν κακίαν [19] λέγει), ἀλλ' ἦτε νέον φύραμα.

Κεφ. ς'. [1] Οὗτος γοῦν καὶ αὐτὸς ὁ τοῦ θεοῦ εἶναι νόμος ὁμολογούμενος εἰς τρία διαιρεῖται. Εἷς τε τὸ πληρούμενον ἀπὸ τοῦ σωτῆρος· τὸ γὰρ, Οὐ φονεύσεις, Οὐ μοιχεύσεις, Οὐκ ἐπιορκήσεις ἐν τῷ Μηδ' ὀργισθῆναι, μηδὲ [2] ἐπιθυμῆσαι, [3] μηδὲ ὀμόσαι περιείληπται. Διαιρεῖται δὲ καὶ εἰς τὸ ἀναιρούμενον τελείως· τὸ γὰρ, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, συμπεπλεγμένον τῇ ἀδικίᾳ, καὶ αὐτὸ ἔργον τῆς ἀδικίας ἔχον, ἀνῃρέθη ὑπὸ τοῦ σωτῆρος διὰ τῶν ἐναντίων. Τὰ δὲ
pag. 221. ἐναντία ἀλλήλων [4] εἰσὶν ἀναιρετικά. Ἐγὼ γὰρ λέγω ὑμῖν μὴ ἀντιστῆ-

6. καταριθμεῖσθαι *mea est emendatio. Libri habent* καταριθμεῖται.
7. *Vulgo* διαφερόντως.
8. *Cod. Venet.* τὰ.
9. προφορὰς προφέρειν *ed. princ.*
10. *Cod. Venet.* ἀλλὰ οὐχὶ.
11. *Cod. Venet.* περιτομὴν.
12. *Cod. Venet.* ἀλλὰ οὐχὶ.
13. *Cod. Venet.* νηστείαν βούλεται.
14. *Praepositionem* εἰς *repetii cum Petavio ex ultima syllaba vocabuli* ὡρισμένης.
15. ἀνάμησιν *ed. princ. Quod vitium Petavius correxit de auctoritate cod. Vatic.*

est; quae cum in ceteris ad antiquam haeresin ascribitur, tum in iis quae deus hisce verbis statuit: *Qui maledixerit patri vel matri,* Lev. 20, 9. *morte moriatur.* Matth. 15, 4. Ad illud vero genus quod typicum sive adumbratum dicitur, id omne pertinet, quod spiritalium atque excellentium rerum figuras continet; cuiusmodi sunt sacrorum offerendorum ceremoniae, circumcisio, sabbatum, ieiunium, pascha, azyma, aliaque similia lege praescripta. Quae omnia cum nihil aliud praeter figuras atque imagines forent, patefacta veritate translata sunt, imo vero quod ad externam speciem attinet, usumque corporeum, sublata, spiritali quadam ratione retenta sunt. Iisdem quippe manentibus adhuc nominibus rerum est facta mutatio. Nam offerre quidem sacra dominus instituit: at non mutarum pecudum, aut id genus suffituum, sed spiritalis potius laudis ac praedicationis et eucharistiae, tum in hominum genus liberalitatis ac beneficentiae. Idem circumcidi praeterea non corporis, sed cordis animique praeputium iubet. Itemque servari sabbatum, ut a pravis duntaxat actionibus feriemur. Ieiunare porro cum imperat, non illam corporis inediam, sed animi temperantiam decernit, ut a flagitiis omnibus abstineamus. Quamquam a nostris exercitiis illud quoque ieiunium adhibetur, quatenus ad animorum utilitatem confert aliquid, si cum ratione suscipias, non imitandi cuiusquam studio, non consuetudine, non certarum dierum religione, vel definito aliquo tempore; praesertim cum veri ieiunii memoriam refricet, ut qui nondum illud asseculi fuerint, ab exteriore commonefacti alterius recordentur. Similiter et pascha azimaque figuras extitisse quasdam Paulus ipse declarat: *Pascha,* inquit, *nostrum* 1. Cor. 5, 7. *immolatus est Christus:* et, *Ut sitis,* ait, *azymi non habentes fermentum* (fermentum vero malitiam appellat), *sed sitis nova conspersio.*

Cap. VI. Sic igitur lex ipsa, quam a deo manasse fatentur omnes, trifariam dividitur. In eam partem quam salvator implevit. Haec enim omnia, *Non occides, Non moechaberis, Non peierabis,* in iisce con- Exod. 20, 13 sq. tinentur, *Non irasceris, Non concupisces.* In eam quae penitus sub- Matth. 5. lata est. His enim praeceptis, *Oculum pro oculo, dentem pro dente,* Levit. 24, 20. quae cum iniustitia permista sunt, eiusque secum aliquid trahunt, contrariis legibus derogatur. Contraria porro sese invicem perimunt. *Ego enim dico vobis omnino non resistere malo. Sed si quis* Matth. 5, 39.

16. λέγων *reposui ex codd. Vatic. Venet. Vulgo extat* λέγεται.
17. *Cod. Venet.* τῆς ζύμης.
18. δὲ *scripsi pro* τε, *quod libri retinent.*
19. *Cod. Venet.* λέγειν.
Cap. VI. — 1. Οὕτως *volebat Grabius, cum aliis.*
2. ἐπιθυμῆσαι *codd. Vatic. Venet.* ἐπιθυμήσεις *cod. Rhedig. et editi libri.*
3. μηδὲ ὀμόσαι *adieci ex codd. Vatic. Venet. In editis libris, ut etiam in cod. Rhedig., ea verba desiderantur.*
4. *Cod. Venet.* ἐστὶν.

ναι ὅλως τῷ πονηρῷ, ἀλλὰ ἐάν τίς σε ῥαπίσῃ, στρέψον αὐτῷ καὶ τὴν ἄλλην σιαγόνα. Ἀλληγορεῖται δὲ καὶ εἰς τὸ μετατεθὲν καὶ ἐναλλαγὲν ἀπὸ τοῦ σωματικοῦ ἐπὶ τὸ πνευματικὸν τὸ συμβολικὸν τοῦτο κατ' εἰκόνα τῶν διαφερόντων νενομοθετημένον. Αἱ γὰρ εἰκόνες καὶ τὰ σύμβολα παραστατικὰ ὄντα ἑτέρων πραγμάτων καλῶς ἐγίνοντο μέχρι μὴ παρῆν ἀλήθεια. Παρούσης δὲ τῆς ἀληθείας τὰ τῆς ἀληθείας δεῖ ποιεῖν, οὐ τὰ τῆς εἰκόνος. Ταῦτα δὲ καὶ οἱ μαθηταὶ αὐτοῦ καὶ ὁ ἀπόστολος [5] ἔδειξε Παῦλος, τὸ μὲν τῶν εἰκόνων, ὡς ἤδη εἴπομεν, διὰ τοῦ πάσχα καὶ τῶν ἀζύμων δείξας δι' ἡμᾶς, τὸ δὲ τοῦ συμπεπλεγμένου νόμου τῇ ἀδικίᾳ, εἰπὼν τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι κατηργῆσθαι, τὸ δὲ τοῦ ἀσυμπλόκου τῷ χείρονι, ὁ μὲν νόμος, εἰπὼν, ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή.

Κεφ. ζ. Ὡς μὲν οὖν συντόμως ἔστιν εἰπεῖν, αὐτάρκως οἶμαί σοι δεδεῖχθαι καὶ τὴν ἐξ ἀνθρώπων [1] παρεισδῦσαν νομοθεσίαν, καὶ αὐτὸν τὸν τοῦ θεοῦ νόμον τριχῇ διαιρούμενον. Περιλείπεται δὲ ἡμῖν [2] τί ποτέ ἐστιν οὗτος ὁ θεὸς ὁ τὸν νόμον θέμενος. Ἀλλὰ καὶ τοῦτο ἡγοῦμαί σοι δεδεῖχθαι ἐπὶ τῶν προειρημένων, εἰ ἐπιμελῶς ἀκήκοας. Εἰ γὰρ μήτε ὑπ' αὐτοῦ τελείου θεοῦ τέθειται οὗτος, ὡς ἐδιδάξαμεν, μήτε μὴν ὑπὸ τοῦ διαβόλου, ὃ μηδὲ θεμιτόν ἐστιν εἰπεῖν, ἕτερός τίς ἐστι παρὰ τούτους οὗτος ὁ θέμενος τὸν νόμον. Οὗτος δὲ δημιουργὸς καὶ ποιητὴς τοῦδε τοῦ παντός ἐστι κόσμου καὶ τῶν ἐν αὐτῷ, ἕτερος ὢν παρὰ τὰς τούτων οὐσίας, μέσος τούτων καθεστὼς, [3] ἐνδίκως καὶ τὸ τῆς μεσότητος ὄνομα ἀποφέροιτο ἄν. Καὶ εἰ ὁ τέλειος θεὸς ἀγαθός ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν, ὥςπερ καὶ ἔστιν (ἕνα γὰρ μόνον εἶναι ἀγαθὸν θεὸν τὸν ἑαυτοῦ πατέρα ὁ σωτὴρ ἡμῶν ἀπεφήνατο, ὃν αὐτὸς ἐφανέρωσεν), ἔστι δὲ καὶ ὁ τῆς τοῦ ἀντικειμένου φύσεως, κακός τε καὶ πονηρὸς ἐν ἀδικίᾳ [4] χαρακτηριζόμενος. Τούτων δὲ οὖν [5] μέσος καθεστὼς, καὶ μήτε ἀγαθὸς ὢν, μήτε μὴν κακὸς, μήτε ἄδικος, ἰδίως τε λεχθείη ἂν δίκαιος, τῆς κατ' αὐτὸν δικαιοσύνης ὢν βραβευτὴς, καὶ ἔσται μὲν καταδεέστερος τοῦ τελείου θεοῦ καὶ τῆς ἐκείνου δικαιοσύνης ἐλάττων οὗτος ὁ θεὸς, ἅτε δὴ καὶ γεννητὸς ὢν, καὶ οὐκ ἀγέννητος. Εἷς γάρ ἐστιν
pag. 222. ἀγέννητος ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα ἰδίως, τῶν πάντων ἠρτημένων ἀπ' αὐτοῦ. Μείζων δὲ καὶ κυριώτερος τοῦ ἀντικειμένου γενήσεται, καὶ ἑτέρας οὐσίας τε καὶ φύσεως πεφυκὼς παρὰ τὴν ἑκατέρων τούτων οὐσίαν. Τοῦ μὲν γὰρ ἀντικειμένου ἐστὶν ἡ οὐσία φθορά τε καὶ σκότος· ὑλικὸς γὰρ οὗτος καὶ [6] πολυσχεδής. Τοῦ δὲ πατρὸς τῶν ὅλων τοῦ ἀγεννήτου ἡ οὐσία ἐστὶν ἀφθαρσία τε καὶ φῶς [7] αὐτὸ ὂν, ἁπλοῦν τε καὶ

5. *Cod. Venet.* Παῦλος ἔδειξε.
Cap. VII. — 1. παρεισδῦσαν *cod. Vatic.* παρεισδύσασαν *editi libri.*
2. *Rescribendum puto* τίς *pro* τί.
3. *Rescribendum puto* ὡς ἐνδίκως.
4. χαρακτηριαζόμενος *cod. Vatic. Sic* χαρακτηριαστά *habet cod. Venetus haer.* 31, 6. *in verbis* ὠνομάσθησαν τέκνα, καὶ

*te percusserit in maxillam praebe illi et alteram.* Quod quidem ad excellentium rerum adumbrandam speciem constitutum, et a corporeis ad spiritalia translatum ac mutatum per allegoriam exponitur. Etenim effigies ac signa aliis rebus declarandis adhibita tantisper opportunitatem habuerunt, quoad nondum veritas affulserat. Qua succedente non quae imagini, sed quae veritati congruunt, facere convenit. Idque ipsum cum reliqui omnes discipuli, tum apostolus Paulus ostendit. Qui figuratum illud genus propter nos, ut diximus, in paschate azymisque demonstrat. De altero vero, quod implicatum iniustitia est, loquitur, cum legem mandatorum ait in dogmatibus Eph. 2, 15.
abrogatam. De tertio denique, quod deterioris est expers, *Lex,* Rom. 7, 12.
inquit, *sancta est, et mandatum sanctum, et iustum et bonum.*

Quamobrem satis superque tibi, quantum breviter comprehendi Cap. VII.
potest, declaratas eas leges arbitror quae ex auctoritate hominum irrepserunt, ipsamque dei legem trifariam esse divisam. Superest ut quis ille sit deus legis auctor dicendum videatur. Atqui istud etiam ex iis quae hactenus disputata sunt, si attente audieris, puto tibi demonstratum. Nam si neque a perfecto illo deo posita lex est, uti docuimus, neque vero a diabolo, quod dictu etiam nefas est, alius sit oportet, qui eam legem stabilierit. Hic est igitur totius ille mundi eorumque quae in eo continentur artifex et conditor, ab illorum natura diversus, et in eorum medio suo iure collocandus, qua ex mediocritate peti eius appellatio potest. Quod si perfectus ille deus natura sua bonus est, ut est revera (Unum enim bonum esse deum ac Matth. 19, 17.
parentem suum salvator asseruit, quem et hominibus patefecit), est autem et contraria natura praeditus, malus videlicet ac pravus, qui iniustitia velut propria nota circumscribitur, qui inter ambos illos interiectus est, ut neque bonus, neque malus sit aut iniustus, peculiari quadam ratione iustus appellari potest, quatenus iustitiae quam habet moderatione fungitur. Atque et perfecto deo minor et iustitiae illius impar sit idem ille deus oportet, utpote non ingenitus, sed generatione productus. Unus enim est ingenitus pater, a quo proprie sunt universa, cum ab eo apta sint et suspensa. Erit tamen adversario illo altero maior ac praestantior, tametsi diversam sit ab utroque naturam substantiamque sortitus. Nam adversarii natura corruptio est ac tenebrae; cum materia quippe concretus est, ac multiplex. At parentis omnium ingeniti natura corruptionis est expers, luxque ipsa per semet existens, simplex et uniusmodi. Ho-

ἀχαρακτήριστα, *quod emendandum est in* ἀχαρακτηριαστά.
5. μέσος *cod. Vatic.* μέσον *editi libri.*
6. πολυσχιδής *placuit Grabio.*
7. αὐτὸ ὂν *codd. Vatic. Venet.* αὐτοὸν *libri editi.*

μονοειδές. Ἡ δὲ [8] τούτων οὐσία διττὴν μέν τινα δύναμιν προήγαγεν, αὐτὸς δὲ τοῦ κρείττονός ἐστιν εἰκών. Μηδέ σε τὰ νῦν τοῦτο θορυβείτω, θέλουσαν μαθεῖν πῶς ἀπὸ μιᾶς ἀρχῆς τῶν ὅλων οὔσης [9] καὶ ὁμολογουμένης ἡμῖν καὶ πεπιστευμένης, [10] τῆς ἀγεννήτου καὶ ἀφθάρτου καὶ ἀγαθῆς, συνέστησαν καὶ αὗται αἱ φύσεις, ἥ τε τῆς φθορᾶς καὶ τῆς μεσότητος, [11] ἀνομοούσιοι αὗται καθεστῶσαι, τοῦ ἀγαθοῦ φύσιν ἔχοντος τὰ ὅμοια [12] ἑαυτοῦ καὶ ὁμοούσια γεννᾶν τε καὶ προφέρειν. Μαθήσῃ γὰρ, θεοῦ διδόντος, ἑξῆς καὶ τὴν [13] τούτου ἀρχήν τε καὶ γέννησιν, ἀξιουμένη τῆς ἀποστολικῆς παραδόσεως, ἣν ἐκ διαδοχῆς καὶ ἡμεῖς παρειλήφαμεν, [14] μετὰ καιροῦ κανονίσαι πάντας τοὺς λόγους τῇ τοῦ [15] σωτῆρος διδασκαλίᾳ. Ταῦτά σοι, ὦ ἀδελφή μου Φλώρα, δι' ὀλίγων εἰρημένα οὐκ [16] ἠτόνησα, [17] καὶ κατὰ τῆς συντομίας προέγραψα. Ἅμα μὲν τὸ προκείμενον ἀποχρώντως ἐξέφηνα· ἃ καὶ εἰς τὰ ἑξῆς τὰ μέγιστά σοι συμβαλεῖται, ἐάν γε ὡς καλὴ γῆ καὶ ἀγαθὴ γονίμων σπερμάτων τυχοῦσα [18] τὸν δι' αὐτῶν καρπὸν ἀναδείξῃς.

ΠΕΠΛΗΡΩΝΤΑΙ ΤΑ ΠΤΟΛΕΜΑΙΟΥ ΠΡΟΣ ΦΛΩΡΑΝ.

Κεφ. η΄. Τίς δὲ τούτων τῶν ῥημάτων καὶ τῆς τοῦ γόητος τούτου καὶ τῆς τῶν σὺν αὐτῷ ἀνέξεται φρενοβλαβείας, Πτολεμαίου τε, φημὶ, καὶ τῶν ἀμφ' αὐτὸν εἰς τοσοῦτον κυκώντων καὶ καττυόντων πλάσματα; Οὔτε γὰρ τῶν παλαιῶν τραγῳδοποιῶν τις, οὔτε οἱ καθεξῆς μιμηλοὶ τὸν τρόπον, οἱ περὶ Φιλιστίωνα λέγω, καὶ Διογένη, τὸν τὰ Ἄπιστα γράψαντα, ἢ οἱ ἄλλοι πάντες, οἱ τοὺς μύθους ἀναγεγραφότες καὶ ῥαψῳδήσαντες,
pag. 223. τοσοῦτον ψεῦδος ἠδυνήθησαν ἐκτυπῶσαι, ὡς οὗτοι τολμηρῶς φερόμενοι κατὰ τῆς ἑαυτῶν ζωῆς δεινὰ ἑαυτοῖς κατεσκεύασαν, καὶ τὸν νοῦν τῶν πειθομένων αὐτοῖς ἀνθρώπων εἰς μωρὰς ζητήσεις περιέβαλον, καὶ γενεαλογίας ἀπεράντους, αὐτοὶ τὰ ἐν χερσὶ μὴ ἐπιστάμενοι, καὶ τὰ ἐπουράνια ἐπαγγελλόμενοι μέτροις τισὶν ὁροθετεῖν, καί τινων μαιωτικῶν μητρῶν ὡς ἐπουρανίων, [1] τῶν οὐκ οὐσῶν ὡς ὑπαρχουσῶν, ἐπιστήμας ἀναδεχόμενοι. Ἀκούσας δέ τις παρὰ τούτων, εἰ μὲν τῶν ἀφρονεστάτων εἴη, τῷ ψεύδει [2] νομίζων τι παρ' αὐτοῖς μετάρσιον ἐγνωκέναι ῥᾳδίως ὑπαχθήσεται· ὅτι, Πᾶν ὄρνεον κατὰ γένος συνάγεται, καὶ τῷ ὁμοίῳ κολληθήσεται ἀνὴρ, φησὶν ἡ γραφή. Εἰ δέ τις τύχοι αὐτοῖς τῶν συνετῶν καὶ τὸν εὔλογον λογισμὸν κεκτημένων, καταγελάσει μὲν τῆς

8. *Cod. Venet.* τούτου.
9. *Cod. Venet.* τε καί.
10. *Ita Petavius, Grabius aliique editores. Libri habent* τοῦ.
11. *Ita codd. Vatic. Venet. Ed. princ. et edit. Petav. habent* ἀνομοούσιαι.
12. δὲ αὐτῷ *cod. Vatic.* ἑαυτῷ *cod. Venet.*
13. τούτων *placuit Stierenio.*
14. μετὰ καιροῦ *mea est emendatio. Libri habent* μετὰ καὶ τοῦ.
15. *Cod. Venet.* σωτῆρος ἡμῶν διδασκαλίᾳ

rum natura duplicem sane Virtutem peperit; sed conditor tamen ipse imago praestantioris est. Neque vero ea te res perturbet, scire cupientem quomodo, cum unum sit et esse fateamur ac credamus, rerum omnium principium generationis aeque ac corruptionis expers idemque bonum, ambae hae naturae constare potuerint, corruptionis nimirum et mediae cuiusdam conditionis, quae a se invicem natura discrepent, cum id bono insitum sit, ut sibi quam simillima, eiusdemque secum naturae gignat ac proferat. Tu enim, opitulante deo huius principium ac generationem animo percipies, ubi traditam quandam ab apostolis doctrinam audieris, quam nos successione quadam ad nos usque propagatam accepimus, cum eo quidem ut quicquid afferetur in medium, id ad salvatoris doctrinam velut regulam exigatur. Haec apud te, Flora soror carissima, paucis comprehendere ac disputare potui, summatimque praescripsi, ita tamen ut quod erat propositum, quantum satis esset, explicarim. Quam rem deinceps magno tibi usui fore confido: si modo, perinde ac bonus ager et fecundus, excepta semina fructuum ubertate compenses.

HACTENUS PTOLEMAEI AD FLORAM EPISTOLA.

Quis eiusmodi verborum ac circumforanei huius asseclarumque eius, Ptolemaeum ac socios intelligo, vesaniam possit sustinere, qui ineptissimas fabulas ita confundunt ac consuunt? Non enim quisquam ex antiquis illis tragoediarum scriptoribus, aut ex posterioribus mimis, qualis Philistio et Diogenes fuit, qui Incredibilia scripsit, aut e reliquis omnibus fabularum aut rhapsodiarum auctoribus, tam immania comminisci mendacia potuerunt, qualia nebulones isti propriam in perniciem execrabilia horrendaque fabricarunt; quibus sectatorum animos stultissimis quaestionibus ac genealogiis interminabilibus implicarunt: cum ne ea quidem scirent quae in manibus sunt posita, et certis interim mensuris coelestia se definire profiterentur, atque obstetricantium quorundam uterorum velut coelestium matricum, rei plane commentitiae, sic tanquam verae solidaeque scientiam prae se ferrent. Cuiusmodi qui ab illis audiat, si paulo insipientior sit, sublime quiddam se apud illos didicisse ratus facile mendaciorum lenociniis inducetur. *Quoniam avis omnis secundum genus suum congregatur, et omnis homo simili sui sociabitur*, ait scriptura. Sin paulo intelligentior aliquis ac recto iudicio praeditus occurrat,

Cap. VIII. — 1. Tim. 1, 4. — Sir. 13, 20.

16. ἐφθόνησα *placuit Petavio.*
17. καὶ κατὰ *ego. Libri habent* καὶ τὸ.
18. *Cod. Venet.* τῶν.
Cap. VIII. — 1. τῶν οὐκ οὐσῶν *cod. Vatic.* μητρῶν οὐκ οὐσῶν *cod. Rhedig. et edit. princ.* μητρῶν, ὡς οὐσῶν *edit. Petav.*
2. νομίζων τι *scripsi cum Petavio.* νομίζοντι *extat in cod. Rhedig. et edit. princ.* νομίζον τι *edit. Petav.*

τοσαύτης ληρῳδίας, ἀπ' αὐτῆς δὲ τῆς ὑποθέσεως τῶν παρ' αὐτοῖς λεγομένων τὴν ἀνατροπὴν εἴσεται. Ἐλέγχονται γὰρ οὗτοι παντάπασι καθ' ἑαυτῶν ὁπλιζόμενοι τὰ ψεύδη τῆς αὐτῶν ματαιοπονίας. Πόθεν γὰρ ὑμῖν, ὦ οὗτοι Πτολεμαῖοί τε καὶ Πτολεμαῖαι, τοῦ Βυθοῦ τὰ μέτρα, καὶ αἱ μαιώσεις τῶν τοκετῶν καὶ γεννητικῶν ὑποθέσεων ἡ γνῶσις; Ὡς γὰρ παρόντες καὶ τῶν ἐπουρανίων τὰς φύσεις θεασάμενοι, καὶ ὡς αὐτοὶ προόντες τοῦ παρ' [3] ὑμῶν Βυθοῦ καλουμένου, ἐπαγγέλλεσθε τὴν εἴδησιν ἡμῖν ὑποδεικνύναι, οὐδενὸς πώποτε τῶν προφητῶν τοῦτο εἰρηκότος, οὐκ αὐτοῦ Μωϋσέως, οὐ τῶν πρὸ αὐτοῦ, οὐ τῶν μετ' αὐτὸν, οὐ τῶν εὐαγγελιστῶν, οὐ τῶν ἀποστόλων. Εἰ μὴ ἄρα τὰ ἐθνόμυθα ποιήματα εἴποις τῶν περὶ Ὀρφέα τε καὶ Ἡσίοδον καὶ Στησίχορον, παρ' οἷς αἱ τῶν ἀνθρώπων γενεαὶ μετεποιήθησαν εἰς θεῶν ἐπωνυμίας, καὶ τὰ ἐν ἀνθρώποις τετελεσμένα ποιητικῶς ἐδραματουργήθη. Κἀκεῖνοι γὰρ οὕτως ἐνόμισαν, ἐκθειάσαντες τοὺς περὶ Δία καὶ Ῥέαν καὶ Ἥραν καὶ Ἀθηνᾶν καὶ Ἀπόλλωνα καὶ Ἀφροδίτην, καὶ τὰς τούτων κακίας [4] γονὰς τιμήσαντες, εἰς φαντασίαν πολυθείας καὶ εἰδωλολατρείας τὸν κόσμον ἐνέβαλον. Ἀλλὰ οὐκέτι μοι πολλή τις χρεία γενήσεται εἰς τήν σου, ὦ Πτολεμαῖε, ἀνατροπήν τε καὶ ἔλεγχον, καὶ τῶν κατά σε, ἤδη τῶν σῶν προπατόρων τὸν ἔλεγχον ἱκανῶς εἰληφότων. Διὰ τῶν προειρημένων
pag. 224. τὴν κατά σου αἰσχύνην συστησάμενος διέξειμι τὴν τῶν ἑτέρων πλάνην, θεὸν ἐπικαλούμενος ἐπίκουρον τῆς ἡμῶν μετριότητος, ὅπως τὴν παρ' ἑκάστῳ ἔθνει κακῶς ἐπινενοημένην ὑπόθεσιν φωράσω τε καὶ θριαμβεύσω, ἐπὶ τῇ ἐπαγγελίᾳ τῆς σπουδῆς παρὰ θεοῦ αἰτούμενος τὴν χάριν.

Κεφ. Ϛ'. Ἵνα δὲ μὴ ἀβασάνιστα ᾖ τὰ τρία σου λεξείδια, ἃ δὴ πρὸς Φλώραν τὸ γύναιον ἐπιστέλλων ἐκομπάσω, ὦ Πτολεμαῖε, — ἀεὶ γὰρ αἱ ὀφιώδεις διδασκαλίαι γυναικάρια σεσωρευμένα ἁμαρτίαις ἀπατῶσι, κατὰ τὸν τοῦ ἀποστόλου λόγον, — καὶ αὐτὰς δὴ τὰς λέξεις [1] καιρίως ἐνταῦθα παραθήσομαι, καὶ τὴν αὐτῶν ἀνατροπὴν, ἀναγκαίαν οὖσαν εἰς τὸ μὴ καταλειφθῆναι ῥίζαν τῆς ζιζανιώδους σου σπορᾶς, ἑξῆς ἀκολούθως ποιήσομαι. Φάσκεις γὰρ, ὦ οὗτος, τὸν νόμον τριχῇ διῃρῆσθαι, καὶ τὸ μὲν ἔχειν τι ἐκ τοῦ θεοῦ, τὸ δὲ ἐκ Μωϋσέως, τὸ δὲ ἐκ τῶν πρεσβυτέρων. Καὶ ὅτι μὲν ἐκ τῶν πρεσβυτέρων οἴει γεγραμμένον οὐκ ἔχεις ποῦ ἀποδεῖξαι, τοῦτό ἐστι δῆλον. Οὐδαμοῦ γὰρ ἐν νόμῳ [2] ἐμφέρονται αἱ τῶν πρεσβυτέρων παραδόσεις. Ἀλλὰ ἀγνοῶν καὶ τὰς βίβλους καὶ τὴν ἀλήθειαν φαντάζῃ συκοφαντῶν, καὶ τὰς ἀκολουθίας ἀγνοῶν ἑκάστης ἀκριβοῦς εἰδήσεως. Αἱ γὰρ παραδόσεις τῶν πρεσβυτέρων Δευ-

3. ὑμῖν cod. Vatic.
4. μονὰς codd. Rhedig. et Paris.

CAP. IX. — 1. καιρίως cod. Vatic. κυρίως libri editi.

nugas illas deridendas putabit, atque ex illis ipsis quae disputant quemadmodum refutari possint perspicit. Si quidem suis ipsi vanissimis mendaciis contra se armati esse penitus arguuntur. Volo enim mihi respondeatis, o Ptolemaei omnes ac Ptolemaeae, unde illae vobis Bythi mensurae, ac partuum obstetricationes, et variarum generationum cognitio. Sic enim tanquam praesentes interfueritis, ac coelestium naturam contemplati sitis, imo Bythum illum vestrum antecesseritis, earum nobis rerum scientiam ostenditis. Atqui nullus id unquam e prophetarum numero dixit, non Moyses ipse, non Moyse prior aliquis vel posterior, non evangelistarum, non apostolorum denique quispiam. Nisi forte ad gentilium poëmata confugias, qualia sunt Orphei, Hesiodi, Stesichori, apud quos hominum generationes ad deorum appellationes translatae sunt, eaque quae inter mortales gesta fuerant poëtico more conformata. Fuit enim huiuscemodi illorum opinio, cum Iovem, ac Rheam, et Iunonem, Palladem, Apollinem Veneremque divinis honoribus consecrantes, eorumque pessimam sobolem venerati, totum orbem variorum deorum ac simulacrorum inanium erroribus imbuerunt. Mihi vero ad tuam, o Ptolemaee, tuorumque confutationem nihil idcirco magnopere requirendum est, quod maiores tuos abunde iam refellimus. Quare cum ex iis quae dicta sunt quam pudenda sint tua illa dogmata declaratum fuerit, implorata prius ope numinis uti meae tenuitati succurrat, ad aliorum discutiendos errores me conferam, ut quae in unaquaque gente pestiferae opiniones inventae sunt, eas detegam, ac de omnibus quodammodo triumphem. Quod institutum a me propositumque studium ut exequar coelestem mihi favorem gratiamque postulabo.

Verum ut pauca illa verba interim expendamus, quae ad Floram ingenti cum fastu arrogantiaque scripsisti (solent enim onustae Cap. IX.
peccatis mulierculae, ut ait apostolus, vipereis eiusmodi dogmatibus 2. Tim. 3, 6.
decipi), tuas ipsas, Ptolemaee, voces hoc loco proponam, easque necessitate coactus, ne qua infelicis lolii radix supersit, congruo ordine refellam. Legem asseris trifariam esse divisam, ut partim a deo, partim a Moyse, partim a senioribus manarit. De senioribus porro cur ita sentias, nihil, ut apparet, afferre potes in scripturis expressum. Nusquam enim in lege tradita illa a senioribus decreta memorantur. Sed sacrorum librorum peraeque ac veritatis ignarus calumniari sciens instituis, accurataeque singulorum notitiae consequentiam non vides. Nam seniorum traditiones *Δευτερώσεις* a

2. *Reposui* ἐμφέρονται *ex cod. Vatic. Amat Epiphanius hoc verbo uti. Sic iterum paulo infra. Cf.* 25, 2. 30, 13. 32, 4. 69, 61. *Vulgo extat* ἐκφέρονται.

τερώσεις παρὰ τοῖς Ἰουδαίοις λέγονται. Εἰσὶ δὲ αὗται τέσσαρες· μία μὲν, ἡ εἰς ὄνομα Μωϋσέως φερομένη, δευτέρα δὲ ἡ τοῦ καλουμένου Ῥαββιακιβὰ, τρίτη Ἀδδὰ, ἤτοι Ἰούδα, τετάρτη τῶν υἱῶν Ἀσαμωναίου. Ἐπεὶ ποῦ ἔχεις, φιλόνεικε καὶ ἀκατάστατε τὴν γνώμην, δεῖξαι ἐν ταῖς πέντε βίβλοις τῆς Πεντατεύχου καὶ θεοῦ νομοθεσίας, ὅτι ἐρρήθη ὁ λόγος ὁ παρὰ τῷ σωτῆρι εἰρημένος, [3] Ὃς ἐρεῖ τῷ πατρὶ αὐτοῦ Κορβὰν, ὅ ἐστι δῶρον, οὐκ ὠφεληθήσεταί τι ἐξ αὐτοῦ; Ἀλλ' οὐκ ἔχεις δεῖξαι. Ἆρα γοῦν ἐξέπεσέ σου ὁ λόγος, τοῦ ῥήματος οὐδαμοῦ τῇ Πεντατεύχῳ ἐμφερομένου, καὶ μάτην τὴν ὑπὸ σοῦ ἠπατημένην Φλώραν ἐφάντασας. Τὰ δὲ ὑπὸ Μωϋσέως οὐκ ἐκτὸς τοῦ θεοῦ καὶ αὐτὰ ἐνομοθετήθη, ἀλλὰ ἐκ τοῦ θεοῦ διὰ Μωϋσέως, ὃ καὶ ἐξ αὐτῆς τῆς τοῦ σωτῆρος ἐπικρίσεως δείκνυται. Αὐτὰς γὰρ ἃς παρήγαγες μαρτυρίας κατὰ σαυτοῦ ἐπισυνήγαγες. Φάσκει γὰρ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ ὅτι, Μωϋσῆς ἔγραψε κατὰ τὴν σκληροκαρδίαν ὑμῶν. Ὃ δὲ ἔγραψε Μωϋσῆς, οὐκ ἐκτὸς βου-
pag. 225. λήσεως θεοῦ ἔγραψεν, ἀλλὰ ἐκ πνεύματος ἁγίου ἐνομοθέτησε. Λέγει γὰρ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ, Ὃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. Καὶ πῶς συνέζευξε διεξῆλθε τὸ ῥῆμα, ἵνα μάθωμεν, λέγων, Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Εἶτα ἐπιφέρει, λέγων, Ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· καί τοί γε οὐδαμοῦ τοῦ κυρίου τοῦτο εἰρηκότος, ὁπηνίκα τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἔπλασεν, ἢ μόνον, Ποιήσωμεν αὐτῷ κατ' αὐτὸν βοηθόν. Ἀλλὰ τοῦτο ὑπὸ τοῦ Ἀδὰμ εἴρηται, [4] ὅτε ἀνέστη ἐκ τοῦ ὕπνου, καὶ εἶπε, Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου, αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη. Εἶτά φησιν, Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Οὐ τοῦ θεοῦ τοίνυν τοῦτο εἰπόντος, τοῦ δὲ Ἀδὰμ εἰρηκότος, τοῦ κυρίου δὲ ἐπιμαρτυροῦντος ἐν τῷ εὐαγγελίῳ θεοῦ εἶναι τὸ ῥῆμα, τὸ διὰ τοῦ Ἀδὰμ εἰρημένον, ἀπ' αὐτῆς τῆς ὑποθέσεως ἔδειξεν ὅτι ἐκεῖ μὲν Ἀδὰμ εἴρηκε, θεοῦ δὲ βούλησις ἐφθέγγετο. Καὶ ὧδε ὁ Μωϋσῆς ἐνομοθέτησε, θεοῦ αὐτῷ καταγγείλαντος τὴν νομοθεσίαν. Καὶ αὗται μὲν ἤδη αἱ δύο σου λέξεις διέπεσον, καὶ οὐ πόρρωθεν ἀλλὰ ἀπ' αὐτῆς τῆς χρήσεως. Καὶ ὅτι μὲν νομοθεσία θεοῦ ἐστι, τοῦτο δῆλον. Πανταχοῦ δὲ θεὸς νομοθετεῖ τὰ μὲν εἰς χρόνους, τὰ δὲ εἰς τύπους, τὰ δὲ εἰς ἀποκάλυψιν τῶν μελλόντων ἔσεσθαι ἀγαθῶν, ὧν ἐλθὼν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἔδειξε τὴν πλήρωσιν ἐν τῷ εὐαγγελίῳ.

Κεφ. ί. Τὰ δὲ τῆς παρὰ σοὶ ἑτέρας θεῶν διαιρέσεως τριχῇ πάλιν διαιρεθείσης ἐπαναλαβὼν καὶ αὐτὰ δείξω παρὰ σοὶ σεσυκοφαντημένα, καὶ οὐκ

3. Ὃς non comparet in libris.
4. Libri habent ὅτι. Cornarius iam vertit quando.

Iudaeis vocantur. Quatuor autem illarum sunt genera. Primum est quod sub Mosis nomine circumferunt. Secundum est quod Rabbi Akibae tribuunt. Tertium Addae, sive Iudae. Quartum ad Asamonaei filios refertur. Cedo igitur, homo contentiosissime ac levissime, quonam in Pentateuchi divinaeque legis volumine illam potes demonstrare sententiam quam in evangelio Christus attulit? *Qui di-* Marc. 7, 11.
*xerit patri suo Corban, quod est donum, nihil ipsi proderit:* quod mihi nunquam ostendes. Quamobrem friget illa tua disputatio, cum id nullo Pentateuchi loco scriptum extet, ac miserae illi mulierculae nequicquam imposuisti. Ceterum quae a Moyse sancita sunt, a deo minime sunt aliena, a quo, Moyse sequestre atque interprete, tradita sunt; quod se ipsum salvatoris iudicium evidenter approbat, adeoque quibus uteris testimoniis, ea contra temetipsum protulisti. Sic enim in evangelio dominus loquitur: *Moyses haec scripsit ad du-* Matth. 19, 8.
*ritiem cordis vestri.* Iam quod Moyses scripsit, non citra dei voluntatem scripsit, sed sancto spiritu impellente constituit. Mox enim salvator in eodem evangelio, *Quod deus*, inquit, *coniunxit, homo non separet.* Quemadmodum vero coniunxerit, verba ipsa, ut intelligeremus, adiecit: *Propter hoc relinquet homo patrem suum, et adhaerebit uxori suae, et erunt duo in carnem unam.* Tum infert: *Quod ergo deus coniunxit, homo non separet.* Atqui nunquam illud dominus, cum Adamum Evamque formaret, usurpasse legitur, sed hoc solum: *Faciamus ei adiutorium simile sibi.* Istud vero ab Adamo di- Gen. 2, 18.
ctum est, qui a somno expergefactus, *Hoc nunc os*, ait, *ex ossibus meis, et caro de carne mea: haec vocabitur Virago, quia ex viro sumpta est.* Pergit deinde: *Propter hoc relinquet homo patrem et matrem, et adhaerebit uxori suae, et erunt duo in carnem unam.* Cum igitur non hoc deus, sed Adamus dixerit, et ea ipsa tamen dei esse verba dominus in evangelio testetur, satis res ipsa declarat, tum haec Adami quidem ore, sed dei esse voluntate prolata. Similiter et Moyses legem edidit, quam dictante domino didicerat. Quare duo illa tamen verba non procul arcessitis rationibus, sed usu propemodum ipso ac prolatione conciderunt. Etenim illam a deo profectam esse legem nemini obscurum arbitror. Idem ille vero ubique decernere solet, partim quae temporibus congruunt, partim quae certis rebus adumbrandis serviunt, partim quibus futura bona declarantur, quae in evangelio demum adventu suo Christus Iesus dominus noster implevit.

Venio iam ad alteram illam institutam a te deorum triplicem dif- Cap. X.
ferentiam, quam eadem ratione calumniose confictam esse, teque id

ἄλλο τι ὄν, ἀλλὰ γόητος τὸ ἔργον. Ποῖος γὰρ ἡμῖν τρίτος θεὸς πάρεστιν, ἐκ δύο συσταθεὶς ὁμοιομάτων, καὶ οὔθ' ἕτερος ὢν τῶν δύο, οὔτε τὴν κακίαν ἔχων καὶ ἀδικίαν, ὡς ἔφης, οὔτε τὴν ἀγαθότητα καὶ φωτεινὴν οὐσίαν, μεσαίτατος δὲ ὢν δίκαιος; Καὶ γὰρ ἀληθῶς ἀλλότριος ὢν πάσης δικαιοσύνης εἰκότως ἀγνοεῖς τί ποτέ ἐστι δικαιοσύνη, ἑτέραν αὐτὴν παρὰ τὴν ἀγαθότητα νομίζων. Πολὺ δὲ ἐλεγχθήσῃ, ὦ ῥᾳδιουργὲ καὶ ἀλλότριε τῆς ἀληθείας. Οὐδαμόθεν γὰρ γίνεται τὸ δίκαιον ἀλλ'
pag. 226. ἐξ ἀγαθότητος, καὶ οὐδὲ ἄλλως τις γενήσεται ἀγαθὸς, εἰ μὴ ᾖ δίκαιος. Ὅθεν καὶ κύριος ἐπαινῶν τὴν νομοθεσίαν καὶ τοὺς αὐτῆς δικαίους ἔλεγε, Κοσμεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ οἰκοδομεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ οἱ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς. Πόθεν δὲ γεγόνασι προφῆται καὶ δίκαιοι, ἀλλ' ἢ ἀπὸ τῆς τοῦ πατρὸς ἀγαθότητος; Καὶ ἵνα δείξῃ ὅτι ἐν τῷ μέρει τῆς ἀγαθότητος ὁ δίκαιος ἕστηκεν, ἔλεγεν, Ὅμοιοι γένεσθε τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς, ὅτι ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ ἀγαθοὺς καὶ πονηροὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους· ἵνα δείξῃ τὸ δίκαιον ἀγαθὸν, καὶ τὸ ἀγαθὸν δίκαιον, καὶ τὸ πονηρὸν ἄδικον, καὶ τὸ ἄδικον πονηρόν. Τὴν δὲ ἐπιπλοκὴν, ἣν ἔφης, τοῦ νόμου οὐ δύνασαι ἀποδεῖξαι. Ἑάλως γὰρ συκοφαντῶν τὸν νόμον, ἐπιπλοκήν τινα αὐτῷ προςάπτων, διὰ τὸ εἰρηκέναι τὸν νόμον, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, καὶ ἐπειδὴ φονεύει ὁ νόμος τὸν φονευτήν. Ἀλλὰ ἐξ αὐτῆς τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πραγματείας δειχθήσεται ὅτι οὐκ ἐπιπλοκή τις ἦν, ἀλλ' ἡ αὐτὴ ἦν νομοθεσία καὶ τὸ αὐτὸ ἐνεργεῖ τῇ ὑπὸ τοῦ σωτῆρος εἰρημένῃ ἐντολῇ, τὸ, Ἐάν τίς σε τυπτήσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. Καὶ ὁ νόμος πάλαι τοῦτο κατεσκεύαζε λέγων, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, τουτέστι, Στρέψον αὐτῷ τὴν σιαγόνα. Ἵνα γὰρ διαφύγοι ἃ πάθοι ἂν εἰ πλήξει, παρεῖχε τὴν σιαγόνα τῷ τύπτοντι, εἰδὼς ὅτι εἰ ἀφέλοι ὀφθαλμὸν, τὰ αὐτὰ πείσεται διὰ τὸν νόμον.

Κεφ. ια'. Ὡς γὰρ ὁ πατὴρ βούλεται παιδεύειν τὰ τέκνα, καὶ ἑκάστῃ ἡλικίᾳ ἁρμοζόμενος προβαίνει τῇ παιδείᾳ, καὶ οὐκ ἴσως τὸ μικρὸν βρέφος παιδεύει τῷ μειρακίῳ, οὐδὲ τὸ μειράκιον ὡςαύτως τῷ νεανίσκῳ, οὐδὲ τὸν νεανίαν τῷ τελείῳ ἀνδρὶ, ἀλλὰ τῷ μὲν ὑποτιτθίῳ διὰ δακτύλου παιδεία γίνεται, παιδίῳ δὲ μείζονι διὰ χειρὸς ῥαπίσματος, μειρακίῳ δὲ διὰ ἱμάντος, νεανίσκῳ διὰ ῥάβδου, ἀνδρὶ δὲ ἐκδίκησις τῶν μειζόνων παραπτωμάτων μάχαιρα διὰ νόμου, οὕτως καὶ ὁ κύριος ἑξῆς ἐνομοθέτει ἑκάστῃ γενεᾷ τὰ ἁρμόζοντα. Ἐκείνους μὲν γὰρ φόβῳ ἐσωφρόνιζεν, ὡς παιδίοις μικροῖς διαλεγόμενος, καὶ ἀγνοοῦσι τὴν δύναμιν τοῦ ἁγίου πνεύματος, τοὺς δὲ τελείους τελείων ἠξίου μυστηρίων. Καὶ ἐν τῷ εὐαγ-
pag. 227. γελίῳ γὰρ οὕτω πως λέγει τοῖς μαθηταῖς ἐν πολλοῖς τόποις· Οὐκ οἴδατε

quod plani hominis ac nebulonis est egisse perspicue comprobabo. Ecquis enim tertius ille nobis deus est duplici ex similitudine conflatus, qui nec alter sit e duobus, nec infuscatus malitia vel iniustitia, ut ais, ulla, neque bonitate lucidaque natura praeditus, sed medii cuiusdam sit ordinis iustus? Ac merito tu quidem ab omni remotus iustitia quid ea sit ignoras, cum hanc ipsam a bonitate seiungis. In quo, hominum nequissime ac veritatis inimicissime, manifesti erroris argueris. Non enim aliunde quam ex bonitate quod iustum appellamus oritur, neque quisquam, nisi idem bonus sit, esse iustus poterit. Ideoque dominus Mosis legem suo praeconio commendans aiebat: *Ornatis sepulcra prophetarum et aedificatis monumenta iustorum, et patres vestri occiderunt illos.* Unde igitur prophetae iustique nisi a parente bonitatis extiterunt? Atque ut intelligeres iustum in bonitatis parte versari, *Similes*, ait, *estote patri vestro qui in coelis est, qui oriri facit solem suum super bonos et malos, et pluit super iustos et iniustos;* ut et iustum esse bonum et bonum iustum, et improbum iniustum et iniustum improbum esse monstraret. Nam quod implicatam ac perplexam legem esse contendis, id omnino demonstrare non potes, ac per summam, ut apparet, calumniam hanc ei labem aspergis ex eo quod ita lex praecipiat: *Oculum pro oculo, dentem pro dente;* simul etiam quod parricidam iubet interfici. Verum quae a domino Iesu dum viveret gesta administrataque sunt manifestissime demonstrant nihil in lege esse perplexum aut implicitum in sese, idemque praestare prorsus quod illa salvatoris lex efficit: *Si quis percusserit te in dextram maxillam, praebe illi et alteram.* Quod ipsum lex olim obtinere studebat, cum ita praeciperet: *Oculum pro oculo* etc. hoc est praebe illi maxillam. Nam ut eas poenas effugeret, ob quas si percuteret luere oporteret, verberanti maxillam praebuit, haud ignarus si oculum eruisset, idem sibi ex lege esse sustinendum.

Matth. 23, 29. Matth. 5, 45. Levit. 24, 20. Matth. 5, 39.

Atque ut pater liberos sic instituit, ut ad singulorum se aetates accommodans paulatim erudiat, nec infantem eadem qua adolescentulum disciplina contineat, nec adolescentulum perinde ac iuvenem, aut hunc ut robusta iam ac virili aetate praeditum coërceat, quinimo tenellum adhuc ac pene lactentem digito castigat, puerulum vero paulo grandiorem colapho, loris adolescentulum, iuvenem virgis obiurgat, porro ubi vir inter viros esse coepit, si gravius quiddam deliquerit, gladio ex lege plectetur, ita dominus unicuique hominum aetati consentanea praescripsit. Quippe veteres illos, tanquam cum puerulis ac vim sancti spiritus ignorantibus ageret, metu ac terrore castigabat. Tum perfectioribus perfectiora mysteria proposuit. Nam in evangelio passim ita discipulos compellasse legitur: *Nescitis quid fa-* Cap. XI. Ioann. 13, 7.

*τί ποιῶ, ὕστερον δὲ γνώσεσθε, τουτέστιν ὅταν τέλειοι γένησθε. Καὶ πάλιν· Οὐκ ᾔδεισαν, ἕως ἀνέστη ἐκ τῶν νεκρῶν. Ὁ δὲ Παῦλος· Οὔπω γὰρ ἠδύνασθε, ἀλλ' οὐδὲ ἔτι δύνασθε· δεικνὺς ὅτι καιρῶν προιόντων τελειότεραι ἐντολαὶ, οὖσαι μὲν αἱ αὐταὶ, μεταβαλλόμεναι δὲ εἰς ἑτέραν σχέσιν, ἀλλὰ τοῖς νέοις μὲν ἄλλως σχηματιζόμεναι, ἑτέρως δὲ τοῖς ἐντελεστέροις. Νομοθετήσας γὰρ ὁ νόμος ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, οὐκ εἶπεν αὐτοῖς, Ἐκβάλλετε ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ἀλλ', Ἐὰν ἐκβάλῃ τις ὀφθαλμὸν, ἐκβληθήσεται ὁ ὀφθαλμὸς τοῦ ἐκβαλόντος. Ἕκαστος δὲ φειδόμενος τοῦ ἰδίου σώματος, παρεδίδου τὴν σιαγόνα τύπτεσθαι, καὶ οὐκ ἔτυπτε. Καὶ ἀπὸ τότε ἐφυλάττετο τὰ νῦν ἐν τῷ εὐαγγελίῳ τηλαυγῶς εἰρημένα, τότε μὲν ἀνάγκῃ, ὡς νέων σωφρονιζομένων, νῦν δὲ προαιρέσει, ἅτε δὴ τελείων πειθομένων. Εἰ δὲ φάσκεις περιπλοκὴν εἶναι [1] ταύτην, τὸ λέγειν, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ τὸ τὸν φονέα φονεύεσθαι, ἰδοὺ, καὶ περὶ τῆς ἡμέρας τῆς κρίσεως βλέπομεν τὸν σωτῆρα λέγοντα ὅτι, Ἐλεύσεται ὁ αὐτοῦ δεσπότης (τοῦτο δὲ περὶ ἑαυτοῦ ἔλεγεν, αὐτὸς πάντων ὢν δεσπότης), καὶ, φησὶ, καὶ διχοτομήσει αὐτὸν τὸν δοῦλον, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει. [2] Οὔκουν καὶ περὶ τοῦ σωτῆρος ἐξοπλίζῃ συκοφαντεῖν πάλιν ῥήματα, καὶ εἴποις ἂν τοῦτον μὴ εἶναι ἀγαθὸν, καί τοί γε ἐκ [3] πατρὸς ἀγαθοῦ γεγεννημένον καὶ ἀγαθὸν ὄντα, ἀλλὰ δίκαιον, καὶ οὐθ' ἕτερον παρὰ τὸν πατέρα; Δύνασαι ἄρα καὶ αὐτὸν ἀπαλλοτριοῦν τῆς τοῦ πατρὸς οὐσίας, ὦ οὗτος, ὁ προελθὼν ἡμῖν πάλιν διαιρέτης καὶ γεωμέτρης τῶν νόμων, τριχῶς τὰ πάντα διαιρῶν. Καὶ τῷ μὲν εἰπεῖν ὅτι εἰς τύπους συμβολικῶς τινα ἐν τῷ νόμῳ γέγραπται, ὀλίγα παρήψω τῆς ἀληθείας, ἵνα διὰ τῶν ὀλίγων δυνηθῇς καὶ εἰς τὰ ἄλλα ἀπατῆσαι. Καὶ γὰρ τῷ ὄντι ἐκείνοις τυπικῶς συνέβαινεν, ἐγράφη δὲ ἡμῖν εἰς νουθεσίαν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε, φησὶν ὁ ἁγιώτατος ἀπόστολος, περί τε περιτομῆς λέγων καὶ σαββάτου καὶ τῶν ἄλλων. Εἴθε δὲ πάντα ἠλήθευες, καὶ οὐκέτι τρίτον μέσον θεὸν τὸν μὴ ὄντα ἔφερες ἡμῖν, μᾶλλον δὲ σαυτῷ καὶ τοῖς ὑπό σου ἠπατημένοις.*

Κεφ. ιβ'. *Νομίζω δὲ καὶ ἐν τῷ παρόντι ἱκανῶς πρὸς τάς σου λέξεις, ὦ ἀγύρ-*
pag. 228. *τα, εἰρῆσθαι, ὧν ποιήσας τὸν ἔλεγχον ἐπὶ τὰς ἑξῆς αἱρέσεις βαδιοῦμαι, τὸν αὐτὸν θεὸν συνήθως ἐπικαλούμενος ἐπικουρῆσαι τῇ ἡμῶν μετριότητι, εἰς τὸ φωράσαι ἑκάστης αἱρέσεως παραπεποιημένης τὸν ἔλεγχον. Ὅτι μὲν γὰρ συρίγμασιν ἑαυτοῦ, ὡς ἀπὸ θαλάσσης ἀνελθὼν [1] καρχα-*

Cap. XI. — 1. ταύτων *ed. princ.*
2. Οὔκουν *ego rescripsi. Libri habent* Οὐκοῦν. *Petavius et particulam deesse et tollendam esse interrogationem censuit.*
3. τοῦ πατρὸς *cod. Rhedig.*

Cap. XII. — 1. *Franc. Franci Confut. Animadv. Antonii Cercoetii pag. 76 sq.:* „Quis unquam," *inquit Salmasius Petavium pro more, sed iure, castigans,* „Quis unquam audivit aut legit marinum canem viperam sibilis suis evocare? De muraena id omnes philosophi naturales scripsere. Καρχαρίας quidem ἐπιθετικῶς vocatur canis marinus, quia revera καρχαρίας est sive καρχαρόδους. Hoc tamen epitheton non soli cani ma-

*cio, scietis autem postea*, nimirum cum perfectiores eritis. Item illud: *Nesciebant, donec a mortuis resurgeret*. Sic et Paulus: *Nondum enim* Ioann. 2, 22.
*poteratis, sed nec adhuc potestis*: ut ostenderet procedentibus tempo- 1. Cor. 3, 2.
ribus perfectiora dari praecepta; quae licet eadem sint semper, aliam nihilominus rationem induunt, nec eodem iunioribus quo robustis modo temperantur. Cum enim legis haec esset formula: *Oculum pro oculo*, non dixit, Eruite oculum pro oculo, sed, Si quis oculum eruerit, ei oculus eruetur. Ideo quilibet ut corpori suo consuleret maxillam verberanti praebebat, non ipse verberabat. Qua ratione iam tum ea servabantur quae in evangelio modo tam apertis verbis concepta sunt, cum eo tamen discrimine, quod illi metu ac necessitate velut adolescentes in officio continerentur, hi utpote confirmata iam aetate sponte sua ac voluntate obtemperent. Atenim contraria ista videntur: *Oculum pro oculo*, et interfectorem interfici iubere. Sed de illa supremi iudicii die sic loquentem Christum videmus: *Veniet*, Matth. 24, 50.
inquit, *eius dominus* (se ipsum autem intelligit, qui sit omnium dominus), *et servum ipsum in duas partes secabit; et partem eius cum infidelibus ponet*. Restat igitur ut contra salvatorem ipsum calumnias tuas, ac maledicta convertas, eumque esse bonum inficieris, tametsi bonus eum pater genuerit, bonusque sit ac iustus, nec a patre diversus. Quocirca tu qui legum nobis partitor ac geometra repente prodiisti, ac trifariam universa dividis, potes illum a patris abalienare natura. Quod autem nonnulla definis in lege esse adumbrandi significandique caussa scripta, veritatis nonnihil attigisti, ut paucis iis aspersis viam tibi in ceteris ad fallaciam fraudemque munires. Nec enim diffitendum est quin *haec illis in figura contigerint, scripta sint* 1. Cor. 10, 11.
*autem ad correptionem nostram, in quos fines seculorum devenerunt*, ait sanctus apostolus, cum de circumcisione ac sabbato, ceterisque disputat. Atque utinam veritatem in omnibus retineres, neque tertium nescio quem deum ac medium, qui nullus est, nobis, vel tibi potius ac tuis obtruderes!

Sed impurissimam illam tuam vocem satis in praesentia com- Cap. XII.
pressam arbitror, impudentissime nebulo! Cuius convicta falsitate antequam reliquas ad haereses progrediamur, divinam pro eo ac solemus opem implorabimus, ut ad illas iugulandas tenuitati nostrae vires suppeditet. Satis enim ex iis quae diximus intellectum opinor Ptolemaeum, marini canis instar, qui e pelago prosiliens viperam

rino convenit, sed etiam aliis multis. Quare et muraenae dentatae tribui potest, quae et ipsa καρχαρόδους, ut ex Aristotele constat. Non dubium igitur quin καρχαρίας hoc loco muraena sit. Verum et illud perquam absurdum, quod canem marinum viperas sibilis suis evocare scribit. Quis unquam canes marinos sibilare dixit? Ne id quidem dicit Epiphanius, qui συρίγματα illa non cani marino tribuit, ut facit Petavius in sua versione, sed Ptolemaeo ipsi. Muraena

ρίας καὶ ἔχιδναν [2] προσκαλούμενος, τὴν Φλώραν διὰ τῶν γραμμάτων, αὐτήν τε καὶ ἄλλους σὺν αὐτῇ ἠπάτησε, δέδεικται ἐν τοῖς εἰρημένοις. Ἐν δὲ τῇ τῆς ἀληθείας σαγήνῃ, ἧς τὸ αἴνιγμα ὁ κύριος ἐν τῷ εὐαγγελίῳ βασιλείαν οὐρανῶν ἀπεφήνατο, ἐνειλήσαντες καὶ τῶν πονηρῶν ἰχθύων ἕνα ὄντα αὐτὸν ἐλέγξαντες, τῷ τὰ μοχθηρὰ ῥήματα αὐτοῦ φανερὰ ποιῆσαι, τῇ τῆς ἀληθοῦς πίστεως διδασκαλίᾳ [3] ἠρήσαμεν. Ἐν τῇ τοῦ θεοῦ τοίνυν δυνάμει συντρίψαντες τοῦτον αὐτοὶ μὲν θεῷ εὐχαριστήσωμεν, ἐπὶ δὲ τὰς ἑξῆς ὁμοίως, ὡς προεῖπον, προέρχεσθαι ἐπιβαλώμεθα.

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.

ipsa non sibilis evocat viperam, nec enim sibilat muraena, haud magis quam canis marinus, sed viperae sibilo evocatur e pelago. Apud solum Petavium sibilant canes marini, et sibilis suis evocant viperas e pelago prosilientes."

sibilis suis evocat, sic illum Floram literis excivisse, ac tam eam, quam ceteros in fraudem impulisse. Nos autem posteaquam veritatis hunc sagena, cuius similitudine coeleste in evangelio regnum dominus expressit, irretitum tenuimus, atque e malorum piscium esse numero demonstravimus, dum sincerae fidei doctrina impuras illius voces elisimus, obtrito dei ope profligatoque monstro, primum illi quantas possumus gratias habemus, deinde ad ceteras eodem, ut diximus, pede gradum faciemus.

LIBRI PRIMI TOMUS SECUNDUS DESINIT.

*Καρχαρίας una cum σμυραίναις, et aliis quibusdam inter venenatos pisces retulit Epiphanius supra haer. 30., cap. ult.*

2. *An προχαλούμενος?*

3. *Ita reponendum utique erat pro ἠτήσαμεν, quod libri retinent.*

pag. 229. ## ΤΑΔΕ ΕΝΕΣΤΙ [1] ΕΝ ΤΩΙ ΤΡΙΤΩΙ ΤΟΜΩΙ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ, ΕΝ ΩΙ ΕΙΣΙΝ ΑΙΡΕΣΕΙΣ ΔΕΚΑΤΡΕΙΣ.

α΄. *Μαρκώσιοι.* Μάρκος τις γεγένηται, Κολορβάσου συμφοιτητὴς, δύο ἀρχὰς καὶ αὐτὸς παρεισάγων. Ἀθετεῖ δὲ νεκρῶν ἀνάστασιν. Φαντασίας δέ τινας δι' ἐκπωμάτων ἐξ ἐπαοιδῆς εἰς κυάνεον χρῶμα καὶ πορφύρεον μεταβαλὼν ἐμυσταγώγει τὰς ἀπατωμένας γυναῖκας. Καὶ αὐτὸς δὲ τῶν εἰκοσιτεσσάρων στοιχείων βούλεται τὰ πάντα [2] ἡγεῖσθαι ὁμοίως Οὐαλεντίνῳ.

β΄. *Κολορβάσιοι.* Καὶ οὗτος ὁ Κολόρβασος ὡσαύτως τὰ αὐτὰ διηγούμενος, κατά τι δὲ διαφερόμενος πρὸς τὰς ἄλλας αἱρέσεις, φημὶ δὲ πρὸς τὰς περὶ Μάρκον καὶ Οὐαλεντῖνον, τὰς προβολὰς καὶ Ὀγδοάδας [3] ἑτέρως ἐδίδαξε.

γ΄. *Ἡρακλεωνῖται.* Καὶ [4] αὐτοὶ τῇ τῶν Ὀγδοάδων [5] φέρονται μυθολογίᾳ, ἑτέρως δὲ παρὰ τὸν Μάρκον καὶ Πτολεμαῖον καὶ Οὐαλεντῖνον, καὶ τοὺς ἄλλους. Ἀλλὰ καὶ πρὸς τῇ τελευτῇ τοὺς παρ' αὐτοῖς τελευτῶντας ὁμοίως τῷ Μάρκῳ λυτροῦνται δι' ἐλαίου, ὀποβαλσάμου, καὶ ὕδατος, ἐπικλήσεις τινὰς Ἑβραϊκαῖς λέξεσιν ἐπιλέγοντες, ἐπὶ τῇ κεφαλῇ τοῦ δῆθεν λυτρουμένου.

δ΄. *Ὀφῖται.* Ὀφῖταί εἰσιν οἱ τὸν ὄφιν δοξάζοντες καὶ τοῦτον τὸν Χριστὸν ἡγούμενοι, ἔχοντες δὲ φύσει [6] τὸ ἑρπετὸν ἐν κίστῃ τινί.

ε΄. *Καϊανοί.* Καὶ Καϊανοὶ ὡσαύτως ἅμα [7] τῶν πρότερον τὸν νόμον καὶ τὸν λαλήσαντα ἐν νόμῳ ἀθετοῦντες, σαρκός τε ἀνάστασιν ἀρνούμενοι, τὸν Κάϊν δοξάζουσι, λέγοντες αὐτὸν τῆς ἰσχυροτέρας εἶναι δυνάμεως· ἅμα δὲ καὶ τὸν Ἰούδαν ἐκθειάζουσιν, ὁμοῦ τε καὶ τοὺς περὶ Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρὼμ, ἀλλὰ καὶ τοὺς Σοδομίτας.

pag. 230. ϛ΄. *Σηθιανοί.* Οὗτοι πάλιν τὸν Σὴθ δοξάζουσι, φάσκοντες αὐτὸν εἶναι ἐκ τῆς ἄνω μητρὸς μεταμεληθείσης ἐφ' [8] οἷς τοὺς περὶ τὸν Κάϊν προεβάλετο, εἶτα μετὰ [9] τὸ τὸν Κάϊν ἀποβληθῆναι, καὶ τὸν Ἄβελ ἀπο-

1. καὶ ἐν *auget cod. Rhedig.*
2. ἡγεῖσθαι ὁμοίως *edidit Petav. de auctoritate cod. Vatic. In cod. Rhedig. et edit. princ. exlat* ὁμοιοῦσθαι. *Cum cod. Vatic. facit etiam Ioannes Damascenus.*
3. ἑτέρως *cod. Rhedig. et Ioannes Damascenus. Vulgo* ἑτέρους.
4. οὗτοι *Ioannes Damasc.*
5. φαίνονται μυθολογίᾳ στοιχοῦντες *habet Ioannes Damasc.*

## INDICULUS HAERESEON, QUAE IN TOMO III. LIBRI I. CONTINENTUR, SUNTQUE NUMERO XIII.

I. Marcosii. Marcus quidam extitit Colorbasi condiscipulus. Is duo similiter principia constituit. Mortuorum resurrectionem negabat. Utebatur praestigiis eiusmodi, ut certis carminibus poculorum liquorem in caeruleum purpureumque colorem verteret; quibus sacris infelices mulierculas initiare solebat. Idem ad XXIV. elementa perinde ac Valentinus universa revocare nititur.

II. Colorbasii. Hic easdem fere opiniones amplexus est. Sed nonnulla tamen sunt in quibus ab aliis haeresibus discrepat, Marci ac Valentini potissimum. Siquidem propagationes Aeonum et Ogdoadas alio modo tradidit.

III. Haeracleonitae. Etiam isti commentitias Ogdoadas retinuerunt. In quibus explicandis a Marci et Ptolemaei ac Valentini ceterorumque opinione discesserunt. Suos porro sub ipsum vitae exitum, perinde ac Marcus instituit, oleo, opobalsamo et aqua lustratos in salutem asserunt, unaque voces quasdam Hebraicas in eius qui expiatur caput insusurrant.

IV. Ophitae. Hi serpentem venerantur ac praedicant; eumque esse Christum asserunt. Ob id verum in cista serpentem asservant.

V. Caiani. Veterem legem et eum qui illius legis tempore locutus est repudiant. Resurrectionem carnis abnegant. Cainum commendant; quem praestantioris cuiusdam virtutis fuisse praedicant. Sed et Iudam divinis honoribus afficiunt, nec non et Core, Dathan et Abiron ac Sodomitas.

VI. Sethiani. Hi Sethum laudibus efferunt. Quem a suprema parente procreatum putant, cum eam poeniteret quod Cainum edidisset. Quo eiecto Abeloque interfecto cum summo patre congressa

6. ὄφιν τὸ ἑρπετὸν *cod. Vatic. Vulgatam scripturam tuetur etiam Ioannes Damasc.*

7. ταῖς πρότερον *cod. Vatic.*

8. οἷς, *quod habet etiam Ioannes Damasc., emendavit Petavius. Vulgo* ἧς.

9. *Ita emendavit Petavius. Consentit Ioannes Damasc. Edit. princ. et cod. Rhedig. non habent illud* τὸ.

*κτανθῆναι, συνελθούσης τῷ ἄνω πατρὶ, καὶ καθαρὸν σπέρμα τὸν Σὴθ ποιησάσης, ἐξ οὗπερ λοιπὸν κατήχθη τὸ πάντων ἀνθρώπων γένος. Καὶ αὐτοὶ δὲ ἀρχὰς καὶ ἐξουσίας, καὶ ὅσα οἱ ἄλλοι δογματίζουσιν, ἐδογμάτισαν.*

*ζ'. Ἀρχοντικοί. Οὗτοι πάλιν εἰς πολλοὺς Ἄρχοντας τὸ πᾶν ἀναφέρουσι, καὶ τὰ γενόμενα ἐκ τούτων γεγενῆσθαι λέγουσιν. Ἁλίσκονται δὲ καὶ ἐπὶ αἰσχρότητί τινι· σαρκὸς δὲ ἀνάστασιν ἀθετοῦσι, καὶ παλαιὰν διαθήκην διαβάλλουσι. Κέχρηνται δὲ καὶ παλαιᾷ καὶ νέᾳ διαθήκῃ ἑκάστην λέξιν εἰς τὸν ἑαυτῶν νοῦν μεθοδεύοντες.*

*η'. Κερδωνιανοί. Οἱ ἀπὸ Κέρδωνος ἀπὸ [10]Ἡρακλέωνος, [11]δεξαμένου τὴν μετοχὴν τῆς πλάνης, προςθέντος δὲ τῇ ἀπάτῃ· ὃς ἀπὸ τῆς Συρίας εἰς Ῥώμην μεταναστὰς τὸ κήρυγμα αὐτοῦ ἐξέθετο ἐν χρόνοις Ὑγίνου ἐπισκόπου. Δύο δὲ ἀρχὰς κηρύττει οὗτος ἐναντίας ἀλλήλαις, μὴ εἶναι [12]δὲ τὸν Χριστὸν γεννητόν· ὁμοίως τε νεκρῶν ἀνάστασιν ἀθετεῖ, καὶ [13]τὰ κατὰ τὴν παλαιὰν διαθήκην.*

*θ'. Μαρκιωνισταί. Μαρκίων ὁ ἀπὸ Πόντου ὁρμώμενος ἐπισκόπου μὲν ἦν υἱός, φθείρας δὲ παρθένον ἀπέδρα, διὰ τὸ ἐξεῶσθαι ὑπὸ τοῦ ἰδίου πατρὸς ἀπὸ τῆς ἐκκλησίας, ἀνελθών τε εἰς Ῥώμην καὶ αἰτήσας μετάνοιαν τοὺς κατ' ἐκεῖνο [14]καιροῦ, καὶ μὴ τυχὼν, ἐπαρθεὶς κατὰ τῆς πίστεως ἐδογμάτισε, τρεῖς ἀρχὰς εἰςηγησάμενος, ἀγαθόν τε καὶ δίκαιον καὶ φαῦλον, εἶναί τε καινὴν διαθήκην ἀλλοτρίαν τῆς παλαιᾶς καὶ τοῦ ἐν αὐτῇ λαλήσαντος. Ἀνάστασιν σαρκὸς ἀθετεῖ. Βάπτισμα δίδωσιν οὐ μόνον ἓν, ἀλλὰ καὶ τρία μετὰ τὸ παραπεσεῖν. Ὑπὲρ δὲ τῶν τεθνεώτων κατηχουμένων ἄλλοι παρ' αὐτοῖς βαπτίζονται. Ἀδεῶς δὲ καὶ γυναιξὶν ἐπιτρέπει δῆθεν λουτρὸν διδόναι.*

*ι'. Λουκιανισταί. Λουκιανός τις ἀρχαῖος, οὐχ ὁ νῦν ἐν χρόνοις Κωνσταντίνου γενόμενος, πάντα κατὰ Μαρκίωνα ἐδογμάτισε, πρὸς δὲ τούτους καὶ ἕτερά τινα παρὰ τὸν Μαρκίωνα καὶ αὐτὸς δῆθεν περισσοτέρως δογματίζει.*

pag. 231. *ια'. [15]Ἀπελληανοί. Καὶ οὗτος ὁ Ἀπελλῆς τὰ ὅμοια Μαρκίωνι καὶ Λουκιανῷ κακίζει τὴν πᾶσαν ποίησιν καὶ τὸν πεποιηκότα, οὐχ ὁμοίως δὲ τούτοις τρεῖς ἀρχὰς εἰςηγήσατο, ἀλλὰ μίαν μὲν ἀρχὴν, καὶ ἕνα θεὸν ὄντα ἀνώτατον καὶ ἀκατονόμαστον, αὐτὸν δὲ τὸν ἕνα πεποιηκέναι ἄλλον. Καὶ οὗτος ὁ γεγονὼς πονηρὸς εὑρεθεὶς ἐποίησεν ἐν τῇ αὐτοῦ φαυλότητι τὸν κόσμον.*

*ιβ'. Σευηριανοί. Σευῆρος πάλιν τις τῷ Ἀπελλῇ [16]συνεπόμενος*

10. *Ita rescripsi cum vulgo exstare viderem* Ἡρακλείου. *Io. Damascenus habet* ἀπὸ Κέρδωνος τοῦ Ἡρακλέωνα διαδεξαμένου.

11. δεξαμένου *emendatio est Petavii. Vulgo extat* δεξάμενοι. *Ioannes Damasc. habet* διαδεξαμένου.

12. τε *Ioannes Damasc.*

**sinceram stirpem, videlicet Sethum, protulit, a quo universum genus hominum manavit. Postremo principia et potestates ceteraque ut alii omnia statuunt.**

**VII. Archontici. Plures isti ad principes universa referentes quaecumque facta sunt ab illis orta definiunt. Habent et foedissimae quoddam libidinis genus. Carnis resurrectionem respuunt. Vetus Testamentum calumniose reiiciunt. Quamquam et hoc et novo insuper nonnunquam utantur, ex quibus singulas voculas callide ad mentem suam accommodant.**

**VIII. Cerdoniani. A Cerdone orti sunt, qui quem ab Heraclio errorem hauserat novis inventis adauxit. Ac cum Romam e Syria profectus esset, Hygini papae temporibus sua dogmata disseminavit. Duo porro principia contraria invicem affirmat. Negat Christum esse genitum. Mortuorum excitationem cum vetere testamento reiicit.**

**IX. Marcionistae. Marcio oriundus ex Ponto episcopo patre natus est, a quo ob virginis stuprum eiectus ex ecclesia Romam aufugit. Ubi cum ab iis, qui tum ecclesiae praeerant, poenitentiam frustra postulasset, catholicam fidem oppugnare instituit. Quamobrem tria esse principia dixit, bonum, iustum et malum. Novum testamentum a vetere eiusdemque auctore alienum esse docuit. Carnis resurrectionem sustulit. Non unum baptisma duntaxat, sed etiam tria post delictum indulget. Pro mortuis illorum catechumenis baptismum alii suscipiunt. Mulieribus conferre baptismum sine ullo discrimine permittit.**

**X. Lucianistae. Lucianus his antiquior, non alter ille qui Constantino imperante floruit, in omnibus Marcionis vestigiis inhaesit. Etsi quibusdam adiectis cumulatius aliquid docere studuit.**

**XI. Apelliani. Apelles similiter atque Marcio et Lucianus quicquid conditum est cum ipso conditore vituperat. Non tamen tria, ut illi, principia, sed unum tantum invexit, itidemque deum unum ac supremum et nominis expertem, qui singularem alterum procreaverit. Qui cum malus evasisset, mundum sua illa improbitate condidit.**

**XII. Severiani. Severus hic Apellis assecla vinum ac vitem**

13. τὴν παλαιὰν *Ioannes Damasc.*
14. καιροῦ ἡγουμένους τῆς ἐκκλησίας *auget Ioannes Damasc.*
15. Ἀπελλιανοί *Ioannes Damasc.* *Repone* Ἀπελληϊανοί.
16. ἐποχούμενος *Ioannes Damasc.*

*τὸν μὲν οἶνον ἀποβάλλεται καὶ τὴν ἄμπελον, ἔκ τε τοῦ δρακοντοειδοῦς Σατανᾶ καὶ γῆς μυθολογῶν πεφυκέναι συνελθόντων ἀλλήλοις. Τήν τε γυναῖκα παραιτεῖται, φάσκων ἀριστερᾶς δυνάμεως αὐτὴν ὑπάρχειν, ὀνομασίας τέ τινας Ἀρχόντων καὶ βίβλους τινὰς ἀποκρύφους παρειςάγει. [17] Τὰ ὅμοια δὲ ταῖς ἄλλαις τὴν σαρκὸς ἀνάστασιν ἀθετεῖ, καὶ παλαιὰν διαθήκην.*

*ιγ′. Τατιανοί. Οὗτος συνήκμασεν Ἰουστίνῳ τῷ Μάρτυρι, τῷ ἁγίῳ [18] καὶ φιλοσόφῳ. Μετὰ δὲ τὴν τοῦ μάρτυρος Ἰουστίνου τελευτὴν, τοῦ καὶ φιλοσόφου, προςεφθάρη τοῖς τοῦ Μαρκίωνος δόγμασι, μαθητευθεὶς τῷ αὐτῷ, τά τε ἴσα αὐτῷ ἐδογμάτισε, καὶ ἕτερα προςθεὶς παρ' ἐκεῖνον. Ἐλέγετο δὲ ἀπὸ Μεσοποταμίας [19] ὁρμᾶσθαι.*

17. ὁμοίως *Ioannes Damasc.*
18. τῷ καὶ *cod. Vatic.*
19. ὁρμᾶσθαι. Ταῦτα τὰ κεφαλαῖα τοῦ α^ου^ βιβλίου τῶν τριῶν τόμων τοῦ κατὰ μ̄ ἐξαιρέσεων. *cod. Vatic.*

penitus damnat. Quae ex Satanae serpentis et terrae congressu propagata fingit. Muliebrem quoque sexum repudiat, quod ad sinistram virtutem pertineat. Principum vocabula quaedam atque apocryphos libros inducit. In mortuorum resurrectione veterique testamento refellendo cum aliis haeresibus consentit.

XIII. Tatiani. Tatianus primum cum sancto Iustino Martyre ac philosopho floruit. Post cuius obitum contagione Marcionis dogmatum afflatus eius discipulus fuit, ad eaque quae cum eo communiter tenuit nova insuper addidit. Ferunt e Mesopotamia oriundum hunc fuisse.

pag. 232. *ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ*

# ΕΠΙΦΑΝΙΟΥ

## ΚΑΤΑ ΤΩΝ ΑΙΡΕΣΕΩΝ

### ΤΟΜΟΣ ΤΡΙΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.

## ΚΑΤΑ *ΜΑΡΚΟΣΙΩΝ,

τεσσαρεσκαιδεκάτη, ἡ καὶ τριακοστὴ τετάρτη.

Κεφ. α'. *Μάρκος δέ τις, ἀφ' οὗπερ οἱ Μαρκώσιοι καλούμενοι, ἀπὸ τούτων ὁρμώμενος, καὶ ἕτερα παρὰ τούτους τολμήσας, κακὰ τῷ κόσμῳ ἐξήμεσε. Τούτους γὰρ διαδέχεται τοὺς περὶ Σεκοῦνδον, καὶ Ἐπιφάνη, καὶ Πτολεμαῖον, καὶ Οὐαλεντῖνον, εἰς περισσοτέραν δὲ ἀγυρτώδη συνάθροισιν ἐπήρθη. Γύναια γὰρ καὶ ἄνδρας ὑπ' αὐτοῦ πεπλανημένα τε καὶ πεπλανημένους ἐπηγάγετο, ὑποληφθεὶς ὁ ἐλεεινὸς διορθωτὴς εἶναι τῶν προειρημένων ἀπατεώνων, μαγικῆς ὑπάρχων κυβείας ἐμπειρότατος, ἀπατήσας δὲ τοὺς προειρημένους πάντας καὶ τὰς προειρημένας, προςέχειν [1] αὐτῷ ὡς γνωστικωτάτῳ καὶ δύναμιν τὴν μεγίστην ἀπὸ τῶν ἀοράτων καὶ ἀκατονομάστων τόπων ἔχοντι, ὡς πρόδρομος ὢν ἀληθῶς τοῦ Ἀντιχρίστου ἀποδέδεικται. Τὰ γὰρ Ἀναξιλάου παίγνια τῇ τῶν λεγομένων Μάγων πανουργίᾳ συμμίξας, δι' αὐτῶν φαντάζων τε καὶ μα-*
pag. 233. *γεύων εἰς ἔκπληξιν τοὺς ὁρῶντάς τε καὶ πειθομένους αὐτῷ περιέβαλεν. Ὡς καὶ οἱ ὑπ' αὐτοῦ ἔτι καὶ εἰς δεῦρο τοῦτο ἐπιτελοῦσιν. Οἱ δὲ τὰ ἀπὸ περιεργίας ὁρῶντες, δοκοῦσι δυνάμεις τινὰς ἐν χερσὶν αὐτοῦ ἐπιτελεῖσθαι, καὶ τῶν παρ' αὐτοῖς ταῦτα ποιούντων. Τὸν γὰρ νοῦν καὶ αὐτοὶ ἀπολέσαντες οὐχ ὁρῶσι, μὴ γινώσκοντες δοκιμάσαι ὅτι ἀπὸ μαγείας ἡ σύστασις τοῦ παρ' αὐτοῦ παιγνίου, ὡς ἔπος εἰπεῖν, ἐπιτελεῖται. Αὐτοὶ γὰρ ἐμβρόντητοι παντάπασι γεγόνασιν, ὑπαχθέντες κακῇ τινι ὑπονοίᾳ. Φασὶ γὰρ τρία ποτήρια λευκῆς ὑάλου παρ' αὐτοῖς ἑτοιμάζεσθαι, κεκραμένα λευκῷ οἴνῳ, καὶ ἐν τῇ ἐπιτελουμένῃ παρ' αὐτοῦ ἐπω-*

*) *Ita cod. Rhedig. et editi libri.*

Cap. I. — 1. ἐποίησεν, *vel simile quid, desideravit Petavius. Rationem non video. Infinitivus est quem dicunt finalis. Vetus Irenaei Interpres, consentientibus libris vetustis, habet:* et non paucas feminas seducens, ad se c o n v e r t i t, velut ad scientissimum et perfectissimum *cett. Gatakerus Adversar. Misc. Posth. p.* 808. *verba* ὑποληφθεὶς — — — καὶ τὰς προειρημένας *per parenthesin illata statuens in hunc modum convertit:* Mulierculas siquidem virosque ab ipso seductas seductosque adduxit (cum impostorum ante di-

SANCTI

# EPIPHANII

# CONTRA HAERESES

LIBRI I. TOMUS III.

## CONTRA MARCOSIOS,
## haeresis XIV., sive XXXIV.

Marcus vero quidam, a quo Marcosiorum secta pullulavit, a prioribus illis profectus, ac diversa quaedam ab illis sentiens, pestiferum in orbem virus evomuit. Hic enim Secundo atque Epiphani et Ptolemaeo Valentinoque succedens insaniores ad nugas ac velut circulatorum fabulas asserendas progressus est. Et quidem mulierculas virosque fraudibus suis circumventos induxit, superiorum illorum impostorum corrector habitus, cum magicarum esset artium apprime peritus. Compluribus igitur utriusque sexus se ut potissimum audirent persuasit, utpote scientissimum maximaque ex nomine carentibus visumque fugientibus locis potestate praeditum; ex quo revera se Antichristi praecursorem ostendit. Anaxilai*ludicra quippe somnia cum eorum quos magos nominant, versutia coniungens atque iisce praestigiis et artibus illudens spectatores omnes ac fautores suos in stuporem admirationemque convertit; quod ipsum ad hodiernam usque diem sectatores illius faciunt. Cuiusmodi magicae artis fallacias qui vident, ut ab illo quondam dum viveret, sic ab illius modo sectatoribus, miracula fieri arbitrantur. Cum enim mente etiam ipsi capti sint, ut ista discernere omnino nequeant, magicis cantationibus ludicra, ut uno verbo dicam, eiusmodi tribuenda non vident. Falsa quippe opinione decepti hebetes atque attoniti redduntur. Ferunt enim tria apud illos candidissimo ex vitro vasa comparari, in quae album vinum infusum, dum illam quam putant eucharistiam, revera Cap. I.

ctorum corrector haberetur, offuciarumque magicarum peritissimus existeret, dictas autem dictosque omnes decepisset) ut sibi attenderent [*prout Lucas de Simone Mago Act.* 9. 10. ᾧ προςεῖχον πάντες] utpote qui et scientissimus esset, maximamque sive a locis sive a logis invisitatis innominatisque vim, seu virtutem, obtineret.

*δῆ, τῇ νομιζομένῃ εὐχαριστίᾳ, μεταβάλλεσθαι εὐθὺς τὸ μὲν ἐρυθρὸν ὡς αἷμα, τὸ δὲ πορφύρεον, τὸ δὲ κυάνεον. Ἐγὼ τοίνυν, ἵνα μὴ εἰς δεύτερον κάματον ἑαυτὸν ἐπιδῶ, ἀρκεσθῆναι δεῖν ἡγησάμην τοῖς ἀπὸ τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου Εἰρηναίου κατ' αὐτοῦ τοῦ Μάρκου καὶ τῶν ἐξ αὐτοῦ ὁρμωμένων πραγματευθεῖσιν· ἅ τινα ἐνταῦθα πρὸς ἔπος ἐκθέσθαι ἐσπούδασα, καὶ ἔστι τάδε. Φάσκει γὰρ* [2] *αὐτὸς Εἰρηναῖος ὁ ἅγιος ἐν τῷ ὑποφαίνειν τὰ ὑπ' αὐτῶν λεγόμενα, λέγων οὕτως·*

## [1] ΕΚ ΤΟΥ ΑΓΙΟΥ ΕΙΡΗΝΑΙΟΥ.

Κεφ. β'. *Ποτήρια οἴνῳ κεκραμένα προςποιούμενος εὐχαριστεῖν, καὶ ἐπὶ πλέον ἐκτείνων τὸν λόγον τῆς ἐπικλήσεως πορφύρεα καὶ ἐρυθρὰ ἀναφαίνεσθαι ποιεῖ· ὡς δοκεῖν τὴν ἀπὸ τῶν ὑπὲρ τὰ ὅλα χάριν τὸ αἷμα τὸ ἑαυτῆς στάζειν ἐν τῷ ἐκείνῳ ποτηρίῳ διὰ τῆς ἐπικλήσεως αὐτοῦ, καὶ ὑπεριμείρεσθαι τοὺς παρόντας ἐξ ἐκείνου γεύσασθαι τοῦ πόματος, ἵνα καὶ εἰς αὐτοὺς ἐπομβρήσῃ ἡ διὰ τοῦ μάγου τούτου κληϊζομένη Χάρις. Πάλιν δὲ γυναιξὶν ἐπιδοὺς ἐκπώματα κεκραμένα αὐτὰς εὐχαριστεῖν ἐγκελεύεται παρεστῶτος αὐτοῦ, καὶ τούτου γενομένου αὐτὸς ἄλλο ποτήριον πολλῷ μεῖζον ἐκείνου, οὗ ἡ ἐξηπατημένη ηὐχαρίστησε* [2] *προςενεγκὼν, καὶ μετακενώσας ἀπὸ τοῦ μικροτέρου τοῦ ὑπὸ τῆς γυναικὸς* [3] *ηὐχαριστημένου εἰς τὸ ὑπ' αὐτοῦ* [4] *κεκοσμημένον, ἐπιλέγων ἅμα οὕτως· Ἡ πρὸ τῶν ὅλων, ἡ ἀνεννόητος καὶ ἄρρητος Χάρις πληρώσαι σου τὸν ἔσω ἄνθρωπον, καὶ πληθύναι ἐν σοὶ τὴν γνῶσιν αὐτῆς, ἐγκατασπείρουσα*
pag. 234. *τὸν κόκκον τοῦ σινάπεως εἰς τὴν ἀγαθὴν γῆν. Καὶ τοιαῦτά τινα εἰπὼν, καὶ ἐξοιστρήσας τὴν ταλαίπωρον, θαυματοποιὸς ἀνεφάνη, τοῦ μεγάλου πληρωθέντος ἐκ τοῦ* [5] *μικροῦ ποτηρίου, ὥςτε καὶ ὑπερεκχεῖσθαι ἐξ αὐτοῦ. Καὶ ἄλλα τινὰ τούτοις παραπλήσια ποιῶν ἐξηπάτησε πολλοὺς, καὶ* [6] *ἀπηγήοχεν ὀπίσω αὐτοῦ. Εἰκὸς δὲ αὐτὸν καὶ δαίμονά τινα πάρεδρον ἔχειν, δι' οὗ αὐτός τε προφητεύειν δοκεῖ καὶ, ὅσας ἀξίας ἡγεῖται, μετόχους τῆς χάριτος αὐτοῦ προφητεύειν ποιεῖ. Μάλιστα γὰρ περὶ γυναῖκας ἀσχολεῖται, καὶ τούτων τὰς εὐπαρύφους καὶ περιπορφύρους καὶ πλουσιωτάτας, ἃς πολλάκις ὑπάγεσθαι πειρώμενος* [7] *κολακεύων φησὶν αὐταῖς, Μεταδοῦναί σοι θέλω τῆς ἐμῆς χάριτος, ἐπειδὴ ὁ πατὴρ τῶν ὅλων τὸν ἄγγελόν σου διαπαντὸς βλέπει πρὸ προσώπου* [8] *αὐτοῦ. Ὁ δὲ τόπος* [9] *τοῦ μεγέθους ἐν ἡμῖν ἐστι* [10] *δι' ἡμᾶς. Εἰς τὸ ἐγκαταστῆσαι λάμβανε πρῶτον ἀπ' ἐμοῦ καὶ δι' ἐμοῦ τὴν χάριν. Εὐτρέπισον σεαυ-*

2. αὐτὸς *emendatio Petavii est. Libri habent* αὐτοῖς. *Cornarius vertit* de ipsis.

Cap. II. — 1. *Inscriptionem non habet cod. Rhedig., nec ipsa edit. princeps. V. Irenaeum I*, 13, 2 *seqq.*

2. proferens *vertit Irenaei Interpres. Unde Billius* προσενεγκὼν *coniecit reponendum.*

3. εὐχαριστημένου *cod. Venet.*

4. qui est ab eo allatus *vertit Irenaei Interpres Vetus, unde Billius et Petavius* κεκομισμένον, *Fr. Iunius* πεφορημένον *sunt ariolati. Codd. Venet. Vatic. Rhedig. retinent* κεκοσμημένον; *in cod. Rhedig. autem, id quod silentio transiisse noluerim, loco literae* ῆ *in vocabulo* κεκοσμη-

autem incantamenta, peragunt, subito commutatur, ut aliud sanguinei, purpurei aliud, aliud caerulei coloris appareat. Ego vero, ne actum agere videar, satis esse mihi persuasi, si iis uterer quae contra Marcum hunc eiusque disciplinae studiosos a sanctissimo beatissimoque Irenaeo disputata leguntur, quae quidem ad verbum hic adscribenda censui. Sunt autem eiusmodi, quae in illorum recensendis dogmatibus pertexuit:

## EX IRENAEO.

Pocula vino temperata, gratiarum actionem simulans, et solennem precationis formulam longiorem adhibens, purpurea rubraque ut appareant efficit; adeo ut supernam illam coelestemque gratiam ad eius invocationem suum in illa vasa sanguinem instillare putes atque adstantium nemo sit qui non liquorem hunc gustare vehementer appetat, quo eius animum divina illa, quam magus implorat, gratia uberrime perfundat. Praeterea mulieribus temperata illa vasa porrigens coram se benedicere iubet. Tum aliud poculum eo cui benedictionem mulier impertiit longe capacius proferens, et in id e minore illo transfundens, ita praefatur: *Gratia dei, quae ante omnia est, neque animo concipi aut explicari potest, interiorem tuum hominem compleat, ac suam in te cognitionem augeat, granum sinapis in bonam terram demittens.* His dictis statim infelicem illam in furorem vertit, et praestigiarum se artificem comprobat. Repente enim maius illud poculum, in quod minus defusum est, sic repletur ut sese liquor superfundat. Haec et iis similia pleraque faciens compluribus illusit ac secum abduxit. Credibile est adesse illi daemonem quendam, cuius opera et vaticinari videatur et, quas esse dignas censuerit, eandem illis divinandi vim tribuat. Nam cum mulieribus potissimum versatur, eisdemque eleganti ornatu ac purpura praetextatis et locupletibus, quas ut ad sese pelliciat, sic eas blandiens alloquitur: *Libet gratiae tibi meae aliquid aspergere, quoniam rerum omnium parens angelum tuum assiduo coram sese videt. Locus porro magnitudinis tuae in nobis est. In unum coalescere nos oportet. Primum igitur a me ac per me gratiam accipe. Praepara te tanquam sponsam sponsum* CAP. II.

μένον *rasurae vestigia sunt conspicua, quae duarum fere literarum spatium complent.*

5. μικροῦ *codd. Vatic. et Venet., edit. Petav.* μεγάλου *cod. Rhedig. et edit. princ.*

6. ἀπηγείοχεν *codd. Venet. Vatic. Rhedig. et edit. princ.* ἀπηγήοχεν *edit. Petav. Sic infra haer.* 66, 71. *reperitur* συνηγήοχε.

7. *Ita codd. Venet. et Vatic. et edit. Petav.* χολακεύειν *edit. princ.*

8. *Ita codd. Vatic. Venet. Rhedig., editt. princ. et Petav., non* αὐτοῦ, *ut legitur alibi.*

9. tuae magnitudinis *habet Vet. Interpr. Irenaei.*

10. δι' ἡμᾶς εἰς τὸ ἐγκαταστῆσαι *codd. Venet. et Vatic. Vulgo extat* δι' ἡμᾶς ἐγκαταστῆσαι. *Vet. Interpres:* Locus autem tuae magnitudinis in nobis est; oportet nos in unum convenire.

τὴν, ὡς νύμφη ἐκδεχομένη τὸν νυμφίον ἑαυτῆς, ἵνα ἔσῃ ὃ ἐγὼ, καὶ ἐγὼ ὃ σύ. Καθίδρυσον ἐν τῷ νυμφῶνί σου τὸ σπέρμα τοῦ φωτός. Λάβε παρ' ἐμοῦ τὸν νυμφίον, καὶ χώρησον αὐτὸν, καὶ χωρήθητι ἐν αὐτῷ. Ἰδοὺ ἡ χάρις κατῆλθεν ἐπί σε. Ἄνοιξον τὸ στόμα σου, καὶ προφήτευσον. Τῆς δὲ γυναικὸς ἀποκρινομένης, Οὐ προεφήτευσα πώποτε, καὶ οὐκ οἶδα προφητεύειν, ἐπικλήσεις τινὰς ποιούμενος, ἐκ δευτέρου εἰς κατάπληξιν τῆς ἀπατωμένης φησὶν αὐτῇ, Ἄνοιξον τὸ στόμα σου, λάλησον ὅτι δήποτε, καὶ προφητεύεις. Ἡ δὲ χαυνωθεῖσα καὶ κεπφωθεῖσα ὑπὸ τῶν προειρημένων, διαθερμανθεῖσα τὴν ψυχὴν ὑπὸ τῆς προςδοκίας τοῦ μέλλειν αὐτὴν προφητεύειν, τῆς καρδίας πλέον τοῦ δέοντος παλλούσης, ἀποτολμᾷ λαλεῖν ληρώδη, καὶ τὰ τυχόντα πάντα κενῶς καὶ τολμηρῶς, ἅτε ὑπὸ κενοῦ [11] τεθερμαμμένη πνεύματος (καθὼς ὁ κρείσσων ἡμῶν ἔφη περὶ τῶν τοιούτων, ὅτι τολμηρὸν καὶ ἀναιδὲς ψυχὴ κενῷ ἀέρι θερμαινομένη), καὶ ἀπὸ τούτου λοιπὸν προφῆτιδα ἑαυτὴν [12] μεταλαμβάνει, καὶ εὐχαριστεῖ Μάρκῳ τῷ ἐπιδιδόντι τῆς ἰδίας χάριτος αὐτῇ, καὶ ἀμείβεσθαι αὐτὸν πειρᾶται, οὐ μόνον κατὰ τὴν τῶν ὑπαρχόντων δόσιν, ὅθεν καὶ χρημάτων πλῆθος πολὺ συνενήνοχεν, ἀλλὰ καὶ κατὰ τὴν τοῦ σώματος κοινωνίαν, κατὰ πάντα ἑνοῦσθαι αὐτῷ προθυμουμένη, ἵνα σὺν αὐτῷ κατέλθῃ εἰς τὸ ἕν. Ἤδη δὲ τῶν [13] προτέ-
pag. 235. ρων τινὲς γυναικῶν τῶν ἐχουσῶν τὸν φόβον τοῦ θεοῦ καὶ μὴ ἐξαπατηθεισῶν, ἃς ὁμοίως ταῖς λοιπαῖς ἐπετήδευσε παραπείθειν, κελεύων αὐταῖς προφητεύειν, καὶ καταφυσήσασαι καὶ καταθεματίσασαι αὐτὸν ἐχωρίσθησαν τοῦ τοιούτου θιάσου, ἀκριβῶς εἰδυῖαι ὅτι προφητεύειν οὐχ ὑπὸ Μάρκου τοῦ μάγου ἐγγίνεται τοῖς ἀνθρώποις, ἀλλ' οἷς ἂν ὁ θεὸς ἄνωθεν ἐπιπέμψῃ τὴν χάριν αὐτοῦ, οὗτοι θεόςδοτον ἔχουσι τὴν προφητείαν, καὶ τότε λαλοῦσιν ἔνθα καὶ ὁπότε Θεὸς βούλεται, ἀλλ' οὐχ ὅτε Μάρκος κελεύει. Τὸ γὰρ κελεῦον τοῦ κελευομένου μεῖζόν τε καὶ κυριώτερον, ἐπεὶ τὸ μὲν προηγεῖται, τὸ δὲ ὑποτέτακται. Εἰ οὖν Μάρκος μὲν κελεύει, ἢ ἄλλος τις (ὡς εἰώθασιν ἐπὶ τοῖς δείπνοις [14] τοῦ κλήρου οὗτοι πάντοτε παίζειν καὶ ἀλλήλοις ἐγκελεύεσθαι), τὸ προφητεύειν, καὶ πρὸς τὰς ἰδίας ἐπιθυμίας ἑαυτοῖς μαντεύεσθαι, ἔσται ὁ κελεύων μείζων τε καὶ κυριώτερος τοῦ προφητικοῦ πνεύματος, ἄνθρωπος ὢν, ὅπερ ἀδύνατον. Ἀλλὰ τοιαῦτα κελευόμενα ὑπ' αὐτῶν πνεύματα, καὶ λαλοῦντα ὁπότε βούλονται αὐτοὶ, ἐπίσαθρα καὶ ἀδρανῆ ἐστι, τολμηρὰ δὲ καὶ ἀναιδῆ ὑπὸ τοῦ Σατανᾶ ἐκπεμπόμενα πρὸς ἐξαπάτησιν καὶ ἀπώλειαν τῶν μὴ εὔτονον τὴν πίστιν, ἣν ἀπ' ἀρχῆς διὰ τῆς ἐκκλησίας παρέλαβον, φυλασσόντων.

Sume primum *cett.* *Ad* ἐγκαταστῆσαι *intellege* τὸ μέγεθος.

11. τεθερμαμμένη *cod. Vatic.* τεθερμαμένη *edit. princ.* τεθερμασμένη *edit. Petav.*

12. *Billius et Petavius correxerunt* ὑπολαμβάνει. *Mallem* καταλαμβάνει. *Interim vett. librorum auctoritate servata* μεταλαμβάνει *interpretor* in prophetida sese commutat, *vel* prophetida sese intellegit.

*suum expectans, ut et tu id ipsum sis quod ego sum, et ego sim quod tu es. Age lucis semina in thalamo tuo colloca. Accipe a me sponsum, eumque cape et ab eo capere. Ecce descendit in te gratia: aperi os tuum, et vaticinare.* Ad haec respondente femina, *Nunquam vaticinata sum, neque vaticinari scio,* ille certas invocationes proferens rursum ut stolidae illi stuporem iniiciat, *Aperi,* inquit, *os tuum, et quicquid volueris loquere, et vaticinaberis.* Illa istiusmodi inflata verbis elataque ac prophetici illius afflatus expectatione inflammata, palpitante plus solito pectore, nugas quasdem effutire ac quicquid in buccam venerit effundere non dubitat, non minus vane quam temere, utpote inani spiritu calefacta. Nam, ut quidam nobis multo praestantior de hominibus eiusmodi dixit, audax et impudens est animus inani aëre calefactus. Ex illo deinceps tempore vatem se mulier existimat, et Marco, qui de sua in ipsam virtute transfudit, gratias agit, itaque referre studet, ut non fortunas modo suas ei largiatur (unde pecuniarum ingentem ille vim collegit), verum etiam corporis sui potestatem faciat, cum eoque penitus copulari cupiat, ut in unum cum ipso coalescere possit. Sed accidit interdum, nonnullae ut fideliores feminae ac timore dei praeditae, nec ab illo deceptae, tametsi perinde eas ut reliquas in fraudem tentaret impellere ac vaticinari iussisset, hunc ipsum nihilominus respuerent ac detestarentur, seque ab illo coetu segregarent, haud ignarae quin prophetandi vis non a Marco derivaret in homines, sed iis potius, quibus divinitus munus illud esset oblatum, singulari quodam beneficio contingeret, qui non simulatque Marcus imperasset, sed ubicumque ac quandocumque deus vellet, loquerentur. Nam quod alteri iubet aliquid, id eo cui iubetur maius est ac praestantius, quoniam illud primarium, hoc inferius est et subiectum. Igitur si Marcus imperat, aliusve quis, uti mos est in conviviis sortito ac per ludum facere seque invicem ad divinandum ac sibi ipsi vaticinandum, ut quemque libido fert, impellere, erit is qui iubet homo prophetico spiritu potior et excellentior, quod fieri omnino non potest. Quamobrem spiritus isti, qui illorum iussu concitati quoties iisdem ipsis libuerit loquuntur, nihili sunt et imbecilles, licet temerarii impudentesque sint atque a satana ad eos circumveniendos perdendosque missi, qui non constanter fidem illam retinuerint quam initio susceperunt.

13. *Ita omnes libri. Sed Vet. Interpres habet* quaedam ex fidelissimis mulieribus; *unde non defuerunt qui* πιστοτέρων *reponendum esse statuerent.*

14. τοῦ κλήρου, *intellege* παίγνιον, *vel simile quid.* τῷ κλήρῳ *volebat Galakerus Adv. Miscell. Posth. p. 808 seq. De ludo ceterum isto citat Galakerus Poll. Onom. IX, 7. Epictet. Dissert. I, 25. Tac. Annal. I, 13. Cf. etiam interprr. ad Irenaeum. Verba* ὡς εἰώθασιν — — ἐγκελεύεσθαι *per parenthesin esse dicta primum Galakerus vidit. Hinc Latinus quoque Irenaei Interpres corrigendus.*

Κεφ. γ'. Ὅτι δὲ φίλτρα καὶ ἀγώγιμα πρὸς τὸ καὶ τοῖς σώμασιν αὐτῶν ἐνυβρίζειν ἐμποιεῖ οὗτος ὁ Μάρκος ἐνίαις τῶν γυναικῶν, εἰ καὶ μὴ πάσαις, αὗται πολλάκις ἐπιστρέψασαι εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ ἐξωμολογήσαντο καὶ κατὰ τὸ σῶμα ἠχρειῶσθαι ὑπ' αὐτοῦ, καὶ ἐρωτικῶς πάνυ αὐτὸν πεφιληκέναι· ὥςτε καὶ διάκονόν τινα τῶν ἐν τῇ Ἀσίᾳ τῶν ἡμετέρων, ὑποδεξάμενον αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ περιπεσεῖν ταύτῃ τῇ συμφορᾷ, τῆς γυναικὸς αὐτοῦ εὐειδοῦς ὑπαρχούσης, καὶ τὴν γνώμην καὶ τὸ σῶμα διαφθαρείσης ὑπὸ τοῦ μάγου τούτου, καὶ ἐξακολουθησάσης αὐτῷ πολλῷ τῷ χρόνῳ. Ἔπειτα μετὰ πολλοῦ κόπου τῶν ἀδελφῶν ἐπιστρεψάντων [1] αὐτὴν, τὸν ἅπαντα χρόνον ἐξομολογουμένη διετέλεσε, πενθοῦσα καὶ θρηνοῦσα ἐφ' ᾗ ἔπαθεν ὑπὸ τοῦ μάγου διαφθορᾷ. Καὶ μαθηταὶ δὲ αὐτοῦ τινες περιπολίζοντες [2] ἐν τοῖς αὐτοῖς ἐξαπατῶντες γυναικάρια πολλὰ διέφθειραν, τελείους ἑαυτοὺς ἀναγορεύοντες, ὡς
pag. 236. μηδενὸς δυναμένου ἐξισωθῆναι τῷ μεγέθει τῆς γνώσεως αὐτῶν, μηδ' ἂν Παῦλον, μηδ' ἂν Πέτρον εἴπῃς, μηδ' ἄλλον τινὰ τῶν ἀποστόλων, ἀλλὰ πλείω πάντων ἐγνωκέναι, καὶ τὸ μέγεθος τῆς γνώσεως τῆς ἀῤῥήτου [3] δυνάμεως μόνους καταπεπωκέναι, εἶναί τε αὐτοὺς ἐν ὕψει ὑπὲρ πᾶσαν δύναμιν· διὸ καὶ ἐλευθέρως πάντα πράσσειν, μηδένα ἐν μηδενὶ φόβον ἔχοντας. Διὰ γὰρ τὴν ἀπολύτρωσιν ἀκρατήτους καὶ ἀοράτους γίνεσθαι τῷ κριτῇ. Εἰ δὲ καὶ ἐπιλάβοιτο αὐτῶν, παραστάντες αὐτῷ μετὰ τῆς ἀπολυτρώσεως τάδε εἴποιεν, Ὦ πάρεδρε θεοῦ καὶ μυστικῆς [4] πρὸ αἰῶνος Σιγῆς, ἣν τὰ μεγέθη διαπαντὸς βλέποντα τὸ πρόςωπον τοῦ πατρὸς ὁδηγῷ σοι καὶ [5] προςαγωγεῖ [6] χρώμενα ἀνασπῶσιν ἄνω τὰς αὐτῶν μορφὰς, ἃς ἡ μεγαλότολμος ἐκείνη [7] φαντασιασθεῖσα διὰ τὸ ἀγαθὸν τοῦ προπάτορος προεβάλετο ἡμᾶς τὰς εἰκόνας, τότε ἐνθύμιον τῶν ἄνω ὡς ἐνύπνιον ἔχουσα, ἰδοὺ ὁ κριτὴς ἐγγὺς, καὶ ὁ κῆρύξ με κελεύει ἀπολογεῖσθαι. Σὺ δὲ, ὡς ἐπισταμένη τὰ ἀμφοτέρων, τὸν ὑπὲρ ἀμφοτέρων ἡμῶν λόγον, ὡς ἕνα ὄντα, τῷ κριτῇ παράστησον. Ἡ δὲ μήτηρ ταχέως ἀκούσασα τούτων τὴν Ὁμηρικὴν Ἄϊδος κυνέην αὐτοῖς περιέθηκε, πρὸς τὸ ἀοράτως ἐκφυγεῖν τὸν κριτὴν, καὶ παραχρῆμα ἀνασπάσασα αὐτοὺς εἰς τὸν νυμφῶνα εἰςήγαγε, καὶ ἀπέδωκε τοῖς [8] ἑαυτῶν νυμφίοις. Τοιαῦτα [9] δὴ λέγοντες καὶ πράττοντες καὶ ἐν τοῖς καθ' ἡμᾶς κλίμασι τῆς Ῥοδανουσίας πολλὰς ἐξηπατήκασι γυναῖκας, αἵτινες κεκαυτηριασμέναι τὴν συνείδησιν αἱ μὲν καὶ εἰς φανερὸν ἐξομολογοῦνται, αἱ δὲ δυςωπούμεναι τοῦτο, ἡσυχῇ δέ πως ἑαυτὰς ἀπηλπικυῖαι τῆς ζωῆς τοῦ θεοῦ, ἔνιαι μὲν εἰς τὸ παντελὲς ἀπέστησαν, ἔνιαι δὲ ἐπαμφοτερίζουσι, καὶ τὸ τῆς παροιμίας πεπόνθασι, μήτε ἔξω μήτε ἔσω

Cap. III. — 1. αὐτὴν cod. *Venet.* *Conspirat Vet. Interpres.* *Vulgc* αὐτὴ.
2. in iisdem studiis *recte vertit Billius.*
3. δυναμένους cod. *Venet.*
4. προαιῶνος cod. *Paris.* pro aeonoa *habet Vet. Irenaei Interpres.*
5. προςαγωγῇ cod. *Venet.*
6. *Iam dudum ita correxerunt ex Vet.*

Iam vero etiam philtra et amatorias illecebras ad contumeliam corporum a Marco quibusdam mulieribus oblata, non tamen omnibus, ipsaemet ad ecclesiam reversae persaepe fassae sunt; se ab illo constupratas esse et ipsius amore illecebrisque captas. Adeo ut diaconus quidam e nostris in Asia cum hospitio illum excepisset, in eam calamitatem inciderit, eiusque coniux egregia forma mulier et animo et corpore a mago illo corrupta longo eum tempore sectata sit, donec magno cum labore adnitentibus fratribus ad meliorem frugem conversa reliquum vitae tempus in poenitentia traduxit, moerens ac vehementer deplorans quod a mago corrumpi se ac vitiari sivisset. Quinetiam discipuli quidam illius varia oppida peragrantes compluribus mulierculis iisdem artibus illuserunt, cum perfectos se esse iactarent, neque quemquam posse secum scientiae copia conferri, non si Paulum Petrumque nomines, aut ex apostolorum numero quemlibet; plura enim se solos omnibus intelligere, solos inexplicabilis illius Virtutis hausisse magnitudinem. Quocirca supra Virtutem omnem sublimes attolli sese, atque idcirco libere omnia facere metus omnis expertes. Nam ob redemptionem, quam adepti sunt, minime se a iudice comprehendi, ac ne videri quidem, posse. Quod si forte sibi manus iniiceret, tum vero cum redemptione illa sua coram eo talia dicturos: *O dei ac mysticae ante secula Siges assessor, quo duce ac conciliatore Magnitudines eae, quae Patris faciem perpetuo contuentur, vultus suos in coelum subtrahunt, vultus inquam eos, quibus nimium audax illa conspectis ob summi bonitatem Parentis nos velut effigies produxit, cum coelestium cogitationem velut per somnium concepisset: en iudex appropinquat, ac me praeco caussam iubet agere. Tu igitur, utpote quae res utriusque probe teneas, communem iudici pro utroque nostrum orationem expromito.* Quibus statim auditis Mater Homericam Plutonis galeam illis imponit, uti se iudicis aspectui subductos eripiant. Tum sine mora sursum evectos et in thalamum introductos sponsis suis restituit. Haec illi dictis factisque profitentes, vel in hoc nostro Rhodani tractu plerasque mulieres in errorem traxerunt. Quae *cauteriatam habentes conscientiam* partim id perfricta fronte prae se ferunt, partim verecundia ductae, ac paulatim tamen in vitae coelestis desperationem impulsae, tandem aut ab veritate se penitus abstraxerunt, aut adhuc dubitando fluctuant atque, ut proverbio fertur,

Cap. III.

1. Tim. 4, 2.

*Irenaei Interprete, sententia efflagitante. Libri omnes habent* χρώμεθα.

7. φαντασθεῖσα *codd. Paris. et Rhedig.*

8. ἑαυτῶν *emendatio est. Libri omnes habent* ἑαυτοῦ. *Petavius correxit* αὐτῶν.

reddidit suis sponsis *habet Vet. Irenaei Interpres.*

9. δή *codd. Ven. Rhedig.* δὲ *reliqui libri.*

οὖσαι, ταύτην ἔχουσαι τὴν ἐπικαρπίαν τοῦ σπέρματος τῶν τέκνων τῆς γνώσεως.

Κεφ. δ'. [1] Οὕτως Μάρκος μήτραν καὶ ἐκδοχεῖον τῆς Κολορβάσου [2] Σιγῆς αὐτὸν μονώτατον γεγονέναι λέγων, ἅτε μονογενὴς ὑπάρχων, [3] αὐτὸ [4] τὸ τοῦ ὑστερήματος κατατεθὲν εἰς αὐτὸν ὧδέ πως ἀπεκύησεν. Αὐτὴν τὴν πανυπερτάτην ἀπὸ τῶν ἀοράτων καὶ ἀκατονομάστων [5] τόπων Τετράδα κατεληλυθέναι σχήματι [6] γυναικείῳ πρὸς αὐτὸν (ἐπειδή, φησί, τὸ ἄρρεν αὐτῆς ὁ κόσμος φέρειν οὐκ ἠδύνατο), καὶ μηνῦσαι [7] αὐτὴν τίς ἦν, καὶ pag. 227. τὴν τῶν πάντων γένεσιν, ἣν οὐδενὶ πώποτε οὐδὲ θεῶν, οὐδὲ ἀνθρώπων ἀπεκάλυψε, τούτῳ μονωτάτῳ διηγήσασθαι, οὕτως εἰποῦσαν· Ὅτε τὸ πρῶτον ὁ [8] Πατὴρ ὤδινεν ὁ ἀνεννόητος καὶ ἀνούσιος, ὁ μήτε ἄρρεν μήτε θῆλυ, ἠθέλησεν αὐτοῦ τὸ ἄρρητον [9] ῥητὸν γεννηθῆναι, καὶ τὸ ἀόρατον μορφωθῆναι, ἤνοιξε τὸ στόμα, καὶ προήκατο Λόγον ὅμοιον αὐτῷ, ὃς παραστὰς ὑπέδειξεν αὐτῷ ὃ ἦν, αὐτὸς τοῦ ἀοράτου μορφὴ φανείς. Ἡ δὲ ἐκφώνησις τοῦ ὀνόματος ἐγένετο τοιαύτη. Ἐλάλησε λόγον τὸν πρῶτον τοῦ ὀνόματος αὐτοῦ, ἥτις ἦν Ἀρχὴ, καὶ ἦν ἡ συλλαβὴ αὐτοῦ στοιχείων τεσσάρων. [10] Ἐπισυνῆψε τὴν δευτέραν, καὶ ἦν καὶ αὐτὴ στοιχείων τεσσάρων. [11] Ἑξῆς ἐλάλησε τὴν τρίτην, καὶ ἦν καὶ αὐτὴ στοιχείων δέκα. Καὶ τὴν μετὰ ταῦτα ἐλάλησε, καὶ ἦν καὶ αὐτὴ στοιχείων δεκαδύο. Ἐγένετο οὖν ἡ ἐκφώνησις τοῦ ὅλου ὀνόματος στοιχείων μὲν τριάκοντα, συλλαβῶν δὲ τεσσάρων. Ἕκαστον δὲ τῶν στοιχείων ἴδια γράμματα καὶ ἴδιον χαρακτῆρα καὶ ἰδίαν ἐκφώνησιν καὶ σχήματα καὶ εἰκόνας ἔχειν, καὶ μηδὲν αὐτῶν εἶναι ὃ τὴν ἐκείνου καθορᾷ μορφὴν [12] οὗπερ αὐτὸ στοιχεῖόν ἐστιν· ἀλλὰ οὐδὲ [13] γινώσκειν αὐτὸν, οὐδὲ μὴν τὴν τοῦ πλησίον αὐτοῦ ἕκαστον ἐκφώνησιν [14] πάλιν ἀρκεῖν, ἀλλὰ [15] ὃ αὐτὸ ἐκφωνεῖ, ὡς [16] τὸν πᾶν ἐκφωνοῦντα, τὸ ὅλον ἡγεῖσθαι ὀνομάζειν. Ἕκαστον γὰρ αὐτῶν μέρος ὂν τοῦ ὅλου τὸν ἴδιον ἦχον ὡς τὸ πᾶν ὀνομάζειν, καὶ μὴ παύσασθαι ἠχοῦντα, μέχρις ὅτου

Cap. IV. — 1. Οὗτος cod. *Venet.*, *conspirante Vet. Irenaei Interprete*, *qui habet* Hic Marcus. *Corrigendum puto* Sic Marcus.

2. Σιγῆς, *quod abest ab omnibus Epiphanii libris*, *duce Vet. Interprete et sententia ipsa postulante restitui ex vocabulo* εἰςηγήσατο, *quod vulgo extat, corruptela videlicet vocum* Σιγῆς αὐτὸν.

3. αὐτὸ cod. *Venet.* *Vulgo* αὐτῷ.

4. *Vet. Interpres pro* τὸ τοῦ ὑστερήματος *videtur legisse* τὸ σπέρμα.

5. τόπων *flagitante sententia duce Vet. Irenaei Interprete reposui pro* τούτων *quod libri Epiphanii habent. Cf. supra cap.* 1.

6. γυναικείου cod. *Venet.*

7. αὐτὴν cod. *Venet.* αὐτὴ *reliqui libri.*

8. *Vet. Interpres plenius:* pater, cuius pater nemo est, qui est inexcogitabilis *cett.*, *ut, cum verbi* ὤδινεν *apud eum nullum appareat vestigium*, πατὴρ ἀπάτωρ, *quomodo Petavius censuit*, *vel*, *ut alii*, οὗ πατὴρ οὐδείς ἐστιν *in suo exemplo legisse videatur.*

9. ῥητὸν, *quod abest ab Epiphanii libris*, *absorptum videlicet voce praegressa* ἄρρητον, *ex Vet. Interprete et Pseudo-Origene p.* 203. *Müll. restitui, ubi et* γενέσθαι *pro* γεννηθῆναι.

10. ἔπειτα συνῆψε *habet Pseudo-Origenes l. l.*

11. ἐξελάλησε *habet codex scriptus Pseudo-Origenis l. l.*

12. οὗπερ αὐτὸ *ex Pseudo-Origene l. l. restituendum erat, facillima mutatione, pro eo quod vulgo extat* οὗπερ αὐτός. *Mar-*

nec intra nec extra consistunt, talemque ex illa scientissimorum hominum velut semente fructum referunt.

Ceterum Marcus iste Colorbasicae Siges uterum ac conceptaculum unum se ac singularem fuisse praedicabat, ut qui unigena eidem fuerit, ac defectus semen, quod in se receperat, hoc fere modo peperit. Quippe summam illam Tetradem ex iis locis, quae videri nominarique nequeunt, ad sese muliebri specie descendisse (quoniam, inquit, quod in ea masculini sexus erat sustinere mundus non poterat), deinde se quaenam esset aperuisse, universorumque generationem, quam nemini deorum unquam hominumque patefecerat, soli ipsi iisce verbis exposuisse: Cum primum Pater is qui neque cogitatione capi potest et naturae omnis est expers, neque porro mas est aut femina, parturire coepit, quod in se erat inexplicabile gigni, quod inaspectabile, formari cupiens, os aperuit, similemque sui Sermonem edidit. Qui quidem adstans ei quidnam esset ostendit, cum inaspectabilis illius velut effigies appareret. Eiusmodi porro nominis illa pronuntiatio extitit. Primum appellationis suae vocabulum elocutus est: hoc autem Ἀρχή, sive Principium, erat, cuius syllaba quatuor elementis constabat. Mox alteram syllabam adiecit, quae et ipsa elementa continebat quatuor. Inde tertiam decem ex elementis compositam. Mox quartam elementorum duodecim. Ita nominis totius appellatio ex triceuis est elementis, syllabis vero coagmentata quatuor. Ita tamen, ut et elementum quodlibet proprias literas propriosque characteres et pronuntiationem propriam habeat, figuram deniqne effigiemque propriam, neque quicquam sit quod illius formam, cuius elementum est, aspiciat, imo ne cognoscat quidem. Neque porro vicini sibi quodlicet elementi pronuntiationem novit, sed sic ille pronuntiat, ut totum proferens nominare universum existimet. Singula quippe, cum universi sint partes, peculiarem sibi sonum velut totum efferre, nec prius ab edendo sono Cap. IV.

*suetus*, *Vet. Interpretis versionem* neque ipsum super elementum est. *secutus speciosius quam verius correxit* ὃ ὑπὲρ αὐτοῦ. *At ille legisse potius videtur* ἢ ὅπερ αὐτὸ, *indeque scripsisse* et nihil eorum esse quod illius videat formam, nec quod ipsum super elementum est.

13. γινώσκειν *cod. Venet. Vulgo* γινώσκει.

14. πάλιν ἀρκεῖν *mea est emendatio. Libri omnes habent* πολιορκεῖ. *Pseudo-Origenes l. l.* οὐδὲ μὴν τὴν τοῦ πλησίου αὐτοῦ ἕκαστον ἐκφώνησιν γινώσκειν, ἀλλὰ μηδὲ ἐκφωνεῖν ὡς τὸ πᾶν ἐκφωνοῦντα, ὅτι τὸ ἡγεῖσθαι ὀνομάζειν αὐτὸν *cett.*

15. ὃ αὐτὸ *ego. Vulgo extat* ὁ αὐτὸς.

16. τὸν *ego.* τὸ *libri omnes. Possis etiam* τὸ πᾶν, *modo* ἐκφωνῶντα *pluraliter sumas, ad* ἕκαστον *referendum. Loci interpretationem verissimam dedit V. Cl. Aug. Neander in Genet. Entwurf der Gnost. Systeme p.* 171. *Vet. Interpres ex corrupto, puto, exemplario, praeter verae sententiae intellegentiam omnem, convertit sic:* Sed nec cognoscere eum, sed ne quidem proximi eius unumquodque enuntiationem scire, sed quod ipse enuntiat, ita omne quod enuntiat illud quod est totum nominet.

ἐπὶ τὸ ἔσχατον γράμμα τοῦ [17] ἐσχάτου στοιχείου [18] μονογλωσσήσαντα
[19] καταντῆσαι. Τότε δὲ καὶ τὴν ἀποκατάστασιν τῶν ὅλων ἔφη γενέ-
σθαι, ὅταν τὰ πάντα κατελθόντα εἰς τὸ ἓν γράμμα μίαν καὶ τὴν
[20] αὐτὴν ἐκφώνησιν ἠχήσῃ· ἧς ἐκφωνήσεως εἰκόνα τὸ Ἀμὴν ὁμοῦ λε-
γόντων ἡμῶν ὑπέθετο εἶναι. Τοὺς δὲ φθόγγους ὑπάρχειν τοὺς μορ-
φοῦντας τὸν ἀνούσιον καὶ ἀγέννητον Αἰῶνα, καὶ εἶναι τούτους μορ-
φὰς ἃς ὁ κύριος ἀγγέλους εἴρηκε· τὰς [21] δὲ διηνεκῶς βλεπούσας τὸ
πρόςωπον τοῦ πατρός. Τὰ δὲ ὀνόματα τῶν στοιχείων τὰ ῥητὰ καὶ
κοινὰ Αἰῶνας καὶ Λόγους, καὶ Ῥίζας, καὶ Σπέρματα, καὶ Πληρώ-
ματα, καὶ Καρποὺς ὠνόμασε. Τὰ δὲ καθ' ἕνα αὐτῶν καὶ ἑκάστου
ἴδια ἐν τῷ ὀνόματι τῆς Ἐκκλησίας ἐμπεριεχόμενα νοεῖσθαι ἔφη, ὡς
[22] στοιχείων τοῦ στοιχείου τὸ ὕστερον γράμμα φωνὴν προήκατο τὴν
pag. 238. αὐτοῦ, οὗ ἦχος ἐξελθὼν κατ' εἰκόνα τῶν στοιχείων στοιχεῖα ἴδια ἐγέν-
νησεν· ἐξ ὧν τά τε ἐνταῦθα [23] διακεκοσμῆσθαί φησι, καὶ [24] τὰ πρὸ
τούτων γεγενῆσθαι. Τὸ μέν τοι γράμμα [25] αὐτὸ, οὗ ὁ ἦχος ἦν συν-
επακολουθῶν τῷ ἤχει [26] κάτω, ὑπὸ τῆς συλλαβῆς τῆς ἑαυτοῦ ἀνειλῆ-
φθαι ἄνω [27] λέγει εἰς ἀναπλήρωσιν τοῦ ὅλου, μεμενηκέναι δὲ εἰς τὰ
κάτω τὸν ἦχον, ὥςπερ ἔξω ῥιφέντα. Τὸ δὲ στοιχεῖον αὐτὸ, ἀφ' οὗ τὸ
γράμμα σὺν τῇ ἐκφωνήσει τῇ ἑαυτοῦ συγκατῆλθε κάτω, [28] γραμμάτων
εἶναί φησι τριάκοντα, καὶ ἓν ἕκαστον τῶν τριάκοντα γραμμάτων ἐν
ἑαυτῷ ἔχειν ἕτερα γράμματα, δι' [29] ὧν τὸ ὄνομα τοῦ γράμματος ὀνο-
μάζεται. Καὶ [30] αὖ πάλιν τὰ ἕτερα δι' ἄλλων ὀνομάζεσθαι γραμμάτων,
καὶ τὰ ἄλλα δι' ἄλλων, ὡς εἰς ἄπειρον ἐκπίπτειν τὸ πλῆθος [31] τῶν
γραμμάτων. Οὕτω δ' ἂν σαφέστερον μάθοις τὸ λέγομενον.

Κεφ. ε'. Τὸ δέλτα στοιχεῖον γράμματα ἐν ἑαυτῷ ἔχει πέντε, αὐτὸ [1] δὲ τὸ
δέλτα, καὶ τὸ ε, καὶ τὸ λάμβδα, καὶ τὸ ταῦ, καὶ τὸ ἄλφα. Καὶ ταῦτα
πάλιν τὰ γράμματα δι' ἄλλων γράφεται γραμμάτων, καὶ τὰ ἄλλα δι'
ἄλλων. Εἰ οὖν ἡ πᾶσα ὑπόστασις τοῦ δέλτα εἰς ἄπειρον ἐκπίπτει, ἀεὶ
ἄλλων ἄλλα [2] γράμματα γεννώντων καὶ διαδεχομένων ἄλληλα, πόσῳ
μᾶλλον ἐκείνου τοῦ στοιχείου μεῖζον εἶναι τὸ πέλαγος τῶν γραμμάτων.
Καὶ [3] εἰ τὸ ἓν γράμμα οὕτως ἄπειρον, ὅρα ὅλου τοῦ ὀνόματος τὸν βυ-

17. ἐσχάτου *Pseudo-Origenes et Vet. Interpres*, *cum reddiderit* novissimi elementi. *Vulgo* ἑκάστου.

18. *Ita codd. Vatic. et Venet. Vulgo* μονογλωσσήσαντος. μονογλωττήσαντι *Pseudo-Origenes.*

19. *Ita cod. Venet. et Pseudo-Origenes. Vulgo* καταστῆσαι.

20. αὐτὴν *non habet cod. Venet.*

21. *Hoc* δὲ *non agnoscit Pseudo-Origenes. Accrevit, ni fallor, ex syllaba* δι *sequentis vocabuli.*

22. στοιχείων τοῦ *addidi ex codd. Venet. Vatic. Rhedig. Paris. et Vet. Interpr. Pro* ὡς *non defuerunt qui* ὧν *scribendum censerent, cum Vet. Interpres haberet* Quorum elementorum *cett. Pseudo-Origenes:* νοεῖσθαι τῶν στοιχείων τοῦ ἐσχάτου στοιχείου τὸ ὕστερον [γράμμα] φωνὴν *cett.*

23. διακεκοσμῆσθαι *codd. Venet. Vatic. et Pseudo-Origenes.* κατακεκοσμῆσθαι *vulgata scriptura est.*

24. τὰ *codd. Venet. Vatic. et Pseudo-Origenes. Vulgo* τῶν.

25. *Secutus sum Pseudo-Origenem et Vet. Irenaei Interpretem. Nam verba* τὸ ἦχος τῷ ἤχει, *quamquam in omnibus, quotquot novi, Epiphanii libris invenian-*

desistere quam ad extremam extremi elementi literam singulariter pronuntiando lingua pervenerit. Ac tum demum restitutum iri omnia definit, cum omnes in unam redactae literae una eademque pronuntiatione resonabunt. Huius vero pronuntiationis simile quiddam aiebat existere, cum omnes pariter Amen dicimus. Sonos esse vero quibus naturae ac generationis expers Aeon ille informetur, eosdemque formas esse quibus angelorum nomen a domino tributum est, Matth. 18, 10.
quae Patris faciem assidue contuentur. Iam vero elementorum nomina, quae quidem exprimi fas est, suntque communia, Aeones, et Sermones, ac Radices, Semina, Pleromata ac Fructus appellabat. Quae autem singillatim cuiusque sunt propria, ea Ecclesiae vocabulo comprehensa intelligi significabat. Quorum elementorum extrema ultimi litera vocem suam emisit, cuius sonus exiens ad elementorum similitudinem propria elementa produxit; a quibus inferiora haec ordinata, superiora vero genita esse censuit. Addit vero literam, cuius sonus sonum infra consequebatur, a syllaba sua sursum evectam ad universum explendum; sonum autem ipsum velut foras abiectum in inferioribus haesisse. Elementum porro, cuius illa litera est, cum pronuntiatione sua deorsum descendit, idque literis constare tricenis asserit, quarum singulae alias in se literas complexae sint, quibus literae nomen appelletur. Easdemque rursum literas aliis nominari literis, quae iterum aliis et ipsae nuncupentur, ut in infinitum illa literarum multitudo procedat. Quae omnia facilius hoc modo percipies.

Elementum delta quinque literas continet, nimirum D, E, L, Cap. V.
T, A. Quae literae aliis insuper literis scribuntur, et hae vicissim aliis. Igitur si id, in quo ipsius delta natura consistit, in infinitum excurrit, et ab aliis alia propagantur invicemque succedunt, quanto magis ipsiusmet elementi maius erit literarum velut pelagus? Et si adeo infinita sit una duntaxat litera, vide totius nominis quam im-

*tur post* αὐτὸ *addita, cum sententiam prorsus perturbent gravissimisque notentur glossematis indiciis, plane vides delenda fuisse.*

26. κάτω *recte restituerunt Grabius, aliique, pro vulgata scriptura* καὶ τό. *Et Vet. Interpres habet* deorsum. *In cod. Veneto extat* καὶ τῷ.

27. *Ita corrigendum erat, nec praeter auctoritatem Vet. Interpretis, qui vertit* dicit. *Libri habent* λέγειν.

28. *Ita Pseudo-Origenes. In libris Epiphanii reperitur* κάτω, ὃ γραμμάτων. *Delevi illud* ὃ, *quod nec Vet. Interpres non agnoscit, cum Grabio, Massueto aliisque Irenaei editoribus.*

29. *Ex Pseudo-Origene et Vet. Interprete reposui* ὧν *pro* οὗ, *quod vulgo extat in Epiphanii libris.*

30. μὴν *Pseudo-Origenes.*

31. διὰ τῶν γραμμάτων γραφέντος *Pseudo-Origenes.*

Cap. V. — 1. τε *corrigunt Petavius, Grabius aliique.*

2. γράμματα *non extat in edit. princ. Adiecit primum Petavius de cod. Vatic. Reperitur etiam in Pseudo-Origene et in cod. Veneto.*

3. εἰς *cod. Venet.*

*θὸν τῶν γραμμάτων, ἐξ ὧν τὸν Προπάτορα [4] ἡ Μάρκου Σιγὴ συνεστάναι ἐδογμάτισε. Διὸ καὶ τὸν Πατέρα ἐπιστάμενον τὸ ἀχώρητον αὐτοῦ δεδωκέναι τοῖς στοιχείοις, ἃ καὶ Αἰῶνας καλεῖ, ἑνὶ ἑκάστῳ αὐτῶν τὴν ἰδίαν ἐκφώνησιν ἐκβοᾶν, διὰ τὸ μὴ δύνασθαι ἕνα τὸ ὅλον ἐκφωνεῖν. Ταῦτα δὲ σαφηνίσασαν αὐτῷ τὴν Τετρακτὺν εἰπεῖν [5] θέλω δή σοι καὶ αὐτὴν ἐπιδεῖξαι τὴν Ἀλήθειαν. Κατήγαγον γὰρ αὐτὴν ἐκ τῶν ὕπερθεν δομάτων, ἵν' ἐςίδῃς αὐτὴν γυμνὴν, καὶ [6] καταμάθῃς τὸ κάλλος αὐτῆς, ἀλλὰ καὶ ἀκούσῃς αὐτῆς λαλούσης, καὶ θαυμάσῃς τὸ φρόνημα αὐτῆς. Ὅρα οὖν κεφαλὴν ἄνω [7] τὸ ἄλφα καὶ τὸ ω̄, τράχηλον δὲ β̄ καὶ ψ̄, ὤμους ἅμα χερσὶ γ̄ καὶ χ̄, στήθη δ̄ καὶ φ̄, διάφραγμα ε̄ καὶ ῡ, [8] νῶτον ζ̄ καὶ τ̄, κοιλίαν η̄ καὶ σ̄, μηροὺς θ̄ καὶ ρ̄, γόνατα ῑ καὶ π̄, κνήμας κ̄ καὶ ο̄, σφυρὰ λ̄ καὶ ξ̄, πόδας μ̄ καὶ ν̄. Τοῦτό ἐστι τὸ σῶμα τῆς κατὰ τὸν [9] μάγον Ἀληθείας. Τοῦτο τὸ σχῆμα τοῦ στοιχείου, οὗτος ὁ χαρακτὴρ*

pag. 239. *τοῦ γράμματος. Καὶ καλεῖ τὸ στοιχεῖον τοῦτο Ἄνθρωπον, εἶναί τε πηγήν φησιν αὐτὸ παντὸς λόγου, καὶ ἀρχὴν πάσης φωνῆς, καὶ παντὸς ἀῤῥήτου ῥῆσιν, καὶ τῆς σιωπωμένης Σιγῆς στόμα. Καὶ τοῦτο μὲν τὸ σῶμα αὐτῆς. Σὺ δὲ [10] μετάρσιον ἐγείρας διανοίας νόημα τὸν [11] αὐτογεννήτορα καὶ [12] πατροδότορα λόγον ἀπὸ [13] στομάτων Ἀληθείας ἄκουε.*

Κεφ. ϛ'. *Ταῦτα δὲ ταύτης εἰπούσης προςβλέψασαν αὐτῷ τὴν Ἀλήθειαν καὶ ἀνοίξασαν τὸ στόμα λαλῆσαι λόγον· τὸν δὲ λόγον ὄνομα γενέσθαι, καὶ τὸ ὄνομα [1] τοῦτο εἶναι ὃ γινώσκομεν καὶ λαλοῦμεν, Χριστὸν Ἰησοῦν· ὃ καὶ ὀνομάσασαν αὐτὴν [2] παραυτίκα σιωπῆσαι. [3] Προςδοκῶντος δὲ τοῦ Μάρκου πλεῖόν τι μέλλειν αὐτὴν λέγειν, πάλιν ἡ Τετρακτὺς παρελθοῦσα εἰς τὸ μέσον [4] φησὶν, Ὡς εὐκαταφρόνητον ἡγήσω τὸν λόγον ὃν ἀπὸ στομάτων τῆς Ἀληθείας ἤκουσας. Οὐ τοῦθ' ὅπερ οἶδας καὶ [5] δοκεῖς παλαιόν ἐστιν ὄνομα. Φωνὴν γὰρ μόνον ἔχεις αὐτοῦ, τὴν δὲ δύναμιν ἀγνοεῖς. Ἰησοῦς μὲν γάρ ἐστιν ἐπίσημον ὄνομα, ἓξ [6] ὧν γράμματα ὑπὸ πάντων τῶν τῆς κλήσεως [7] γινωσκόμενον. Τὸ δὲ παρὰ τοῖς Αἰῶσι τοῦ Πληρώματος, πολυμερὲς τυγχάνον, ἄλλης ἐστὶ μορφῆς καὶ ἑτέρου τύπου, γινωσκόμενον ὑπ' ἐκείνων τῶν συγγενῶν, ὧν τὰ μεγέθη παρ' [8] αὐτῷ ἐστι διαπαντός. Ταῦτ' οὖν τὰ παρ' ὑμῖν εἰκοσιτέσσαρα*

4. *Pseudo-Origenes:* ἡ Μάρκου φιλοπονία, μᾶλλον δὲ ματαιοπονία βούλεται συνιστᾶν. διὸ καὶ *cett.*

5. ϑέλω *rescriptum est, sententia postulante, ex Pseudo-Origene et Vet. Interprete. Libri Epiphanii habent* ϑέαν.

6. *Ita cod. Ven. et Pseudo-Origenes. Vulgo* καταμάϑοις.

7. *Pseudo-Origenes:* τὸ πρῶτον ἄλφα ω̄. *Vet. Interpr.:* Vide igitur quid in capite eius sursum, primum ᾱ et ω̄.

8. *Vet. Interpres in his quae sequuntur discrepat. Habet enim:* cinctum ε̄ et ῡ, ventrem ζ̄ et τ̄, verenda η̄ et σ̄, femora ϑ̄ et ρ̄, genua ῑ et π̄ *cett. Et Pseudo-Origenes aliter haec:* φράγμα (*sic*) ε̄, κοιλίαν β̄τ̄, αἰδοῖα χ̄σ̄, μηροὺς ϑ̄ρ̄, γόνατα ῑπ̄ *cett.*

9. Μάρκον *habet Pseudo-Origenes.*

10. μετάρσιος *videor mihi legere in cod. Rhedig.*

11. *Omnes libri tuentur quidem* αὐτὸν γεννήτορα. *Sed cum Vet. Interpr. habeat* autogenitora, *ea in Graecis quoque scri-*

mensa sit profundaque congeries, ex quibus primum illum constare Parentem Marci Sige perdocuit. Propterea cum Parens ipse comprehendi se non posse sciret, elementis hoc tribuisse, quos et Aeonas vocat, ut quilibet pronuntiationem suam magno clamore proferret, quod totum unus efferre minime posset. Haec cum Tetras ei omnia declarasset, adiecit: Volo et ipsam tibi Veritatem ostendere, quam e coelestibus domiciliis adduxi, nudam ut eam inspiceres eiusque pulchritudinem agnosceres, imo et loquentem audires et prudentiam obstupesceres. Sursum itaque caput intuere *A* et *Ω*, cervicem vero *B* et *Ψ*, humeros manusque *Γ* et *X*, pectora *Δ* et *Φ*, septum transversum *E* et *Υ*, dorsum *Z* et *T*, ventrem *H* et *Σ*, femora *Θ* et *P*, genua *I* et *Π*, tibias *K* et *O*, talos *Λ* et *Ξ*, pedes *M* et *N*. Eiusmodi, ut magus ille fingit, veritatis est corpus; haec elementi figura, hic literae character. Sed elementum ipsum Hominem vocat, fontemque sermonis omnis esse dicit ac vocis omnis principium, et eius omnis quod explicari verbis nequeat, dictionem tacitaeque Siges os quoddam. Ac tale quidem illius corpus extitit. Tu vero, inquit illa, mentis tuae cogitationem sursum attollens sui ipsius genitorem Patrisque datorem, Verbum scilicet, ex ore Veritatis audias.

Quae cum dixisset, tum illum Veritas intuens et os aperiens verbum eloquitur; hoc deinde nomen factum, nomen id ipsum quod cognoscimus loquimurque, Christum Iesum: quem cum nominasset illa repente conticuit. Marco vero plura ut diceret expectante rursum Tetractys in medium procedens, Quam parvi, inquit, sermonem eum facis quem ab ore Veritatis audisti. Non est illud quod nosti aut habere te putas nomen antiquum. Vocem enim illius duntaxat percipis, vim autem ignoras. Ἰησοῦς quippe eximium nomen est, sex literis comprehensum, quod vocati a deo omnes intelligunt. Illud vero quod apud Pleromatis Aeonas, multiplex est, alterius est formae diversaeque figurae, quod cognati illius intelligunt, quorum magnitudines apud ipsum perpetuo sunt. Quamobrem viginti qua- Cap. VI.

*plura reponi visa est debere. Pseudo-Origenes praebet* τὸν γεννήτορα καὶ προπάτορα λόγον.

12. *Ita codd. Vatic. Venet., Vet. Interpr., et edit. Petavii. Edit. princ. et codd. Rhedig. Paris. habent* πατροδέρα.

13. *Coniecerunt* στόματος, *hic et infra sequ. cap., cum Vet. Interpres habeat* ab ore.

Cap. VI. — 1. τοῦτο εἶναι (εἶναι τοῦτο *Pseudo-Origenes*) *cod. Venet., consentiente Pseudo-Origene, et Vet. Interprete, qui esse convertit. Reliqui libri habent* γενέσθαι τοῦτο.

2. *Ita corrigendum erat ex Pseudo-Origene secundum Vet. Interpr., qui praebet* quod cum nominasset, statim tacuit. *Epiphanii libri habent* παρ' αὐτῇ καὶ σιωπήν.

3. προςδοκοῦντος *edit. princ. et Pseudo-Origenes.*

4. *Pseudo-Origenes:* φησὶν οὕτως· Ἡ πηλὸν ἡγήσω τὸν λόγον τοῦτον *cett.*

5. δοκεῖς *codd. Venet. Rhedig. Paris. Editi libri habent* δοκοῖς, *mendose.*

6. ἔχον *Pseudo-Origenes, et Vet. Interpr.*

7. ἐγκαλούμενα *habet Pseudo-Origenes.*

8. *Ita rescripsi ex Vet. Interprete et Pseudo-Origene pro vulgata* αὐτῶν.

*γράμματα ἀπορροίας ὑπάρχειν γίνωσκε τῶν τριῶν δυνάμεων εἰκονικὰς, τῶν περιεχουσῶν* [9] *τὸν ὅλον τῶν ἄνω στοιχείων τὸν ἀριθμόν. Τὰ μὲν* [10] *γὰρ ἄφωνα γράμματα ἐννέα νόμισον εἶναι, τοῦ Πατρὸς καὶ τῆς Ἀληθείας, διὰ τὸ ἀφώνους αὐτοὺς εἶναι, τουτέστιν ἀρρήτους καὶ ἀνεκλαλήτους. Τὰ δὲ ἡμίφωνα ὀκτὼ, ὄντα τοῦ Λόγου καὶ τῆς Ζωῆς, διὰ τὸ μέσα ὥςπερ ὑπάρχειν τῶν τε ἀφώνων καὶ τῶν φωνηέντων, καὶ* [11] *ἀναδέχεσθαι τῶν μὲν ὕπερθεν τὴν ἀπόρροιαν, τῶν δ'* [12] *ὑπὸ αὐτὰ τὴν ἀναφοράν. Τὰ δὲ φωνήεντα καὶ αὐτὰ ἑπτὰ ὄντα, τοῦ Ἀνθρώπου καὶ τῆς Ἐκκλησίας, ἐπεὶ* [13] *διὰ τοῦ Ἀνθρώπου φωνὴ προελθοῦσα ἐμόρφωσε τὰ ὅλα. Ὁ γὰρ ἦχος τῆς φωνῆς μορφὴν αὐτοῖς περιεποίησεν. Ἔστιν* [14] *οὖν ὁ μὲν Λόγος ἔχων καὶ ἡ Ζωὴ τὰ ὀκτὼ, ὁ δὲ Ἄνθρωπος καὶ ἡ Ἐκκλησία τὰ ἑπτὰ, ὁ δὲ Πατὴρ καὶ ἡ Ἀλήθεια τὰ ἐννέα.* [15] *Ἐπὶ δὲ τοῦ ὑστερήσαντος λόγου ὁ ἀφεδρασθεὶς ἐν τῷ Πατρὶ κατῆλθε, πεμφθεὶς ἐπὶ τὸν ἀφ' οὗ ἐχωρίσθη ἐπὶ διορθώσει τῶν πρα-*
pag. 240. *χθέντων, ἵνα ἡ τῶν πληρωμάτων ἑνότης* [16] *ἰσότητα ἔχουσα καρποφορῇ μίαν ἐν πᾶσι τὴν ἐκ πάντων δύναμιν· καὶ οὕτως ὁ τῶν ἑπτὰ τὴν τῶν ὀκτὼ ἐκομίσατο δύναμιν, καὶ ἐγένοντο οἱ* [17] *τόποι ὅμοιοι τοῖς ἀριθμοῖς Ὀγδοάδες ὄντες, οἵτινες* [18] *τρεῖς ἐφ' ἑαυτοὺς ἐλθόντες τὸν τῶν εἰκοσιτεσσάρων ἀνέδειξαν ἀριθμόν. Τὰ μέν τοι τρία στοιχεῖα (*[19] *ἅ φησιν αὐτὸς τῶν τριῶν ἐν συζυγίᾳ δυνάμεων ὑπάρχειν, ἅ ἐστιν ἓξ, ἀφ' ὧν ἀπερρύη τὰ εἰκοσιτέσσαρα στοιχεῖα) τετραπλασιασθέντα τῷ τῆς ἀρρήτου Τετράδος λόγῳ τὸν αὐτὸν αὐτοῖς ἀριθμὸν ποιεῖ, ἅπερ φησὶ τοῦ ἀνονομάστου ὑπάρχειν· φορεῖσθαι δὲ αὐτὰ ὑπὸ τῶν τριῶν δυνάμεων, εἰς ὁμοιότητα τοῦ ἀοράτου, ὧν στοιχείων εἰκόνες* [20] *εἰκόνων τὰ παρ' ἡμῖν* [21] *διπλᾶ γράμματα ὑπάρχειν, ἃ συναριθμούμενα τοῖς εἰκοσιτέσσαρσι στοιχείοις δυνάμει* [22] *τῇ κατὰ ἀναλογίαν τῶν τριάκοντα ποιεῖ ἀριθμόν.*

Κεφ. ζ. *Τούτου τοῦ λόγου καὶ τῆς* [1] *οἰκονομίας ταύτης καρπόν φησιν ἐν ὁμοιώματι εἰκόνος* [2] *πεφηνέναι ἐκεῖνον τὸν μετὰ τὰς* [3] *ἓξ ἡμέρας τέταρτον ἀναβάντα εἰς τὸ ὄρος καὶ γενόμενον ἕκτον, τὸν* [4] *κρατηθέντα καὶ καταβάντα ἐν τῇ Ἑβδομάδι, ἐπίσημον Ὀγδοάδα ὑπάρχοντα, καὶ ἔχοντα ἐν ἑαυτῷ τὸν ἅπαντα τῶν στοιχείων ἀριθμὸν,* [5] *ὃν ἐφανέρωσεν ἐλθόντος αὐτοῦ ἐπὶ τὸ βάπτισμα ἡ τῆς περιστερᾶς κάθοδος, ἥτις ἐστὶν ω̄ καὶ ᾱ.* [6] *Ὁ γὰρ ἀριθμὸς αὐτῆς μία καὶ ὀκτακόσιαι. Καὶ διὰ τοῦτο Μωϋσέα ἐν τῇ ἕκτῃ τῶν ἡμερῶν εἰρηκέναι τὸν ἄνθρωπον γεγονέναι,*

9. *Pseudo-Origenes:* τὸν ὅρον καὶ τῶν ἄνω *cett.*

10. γὰρ *om. cod. Venet.*

11. ἀναδεδέχθαι *habet Pseudo-Origenes.*

12. ὑπὸ αὐτὰ *coniectura Petavii est, Pseudo-Origenis testimonio iam firmata. Libri habent* ὑπὲρ αὐτήν. *Vet. Interpres:* quae subsint.

13. καὶ τοῦ *habet Pseudo-Origenes.*

14. οὖν *restituo ex Pseudo-Origene et Vet. Interprete.*

15. Ἐπὶ δὲ *Pseudo-Origenes. Libri Epiphanii habent* ἐπειδή. *Billio placuit* ἐκ δὲ.

16. ἐν τῷ ἀγαθῷ οὖσα *habet Pseudo-Origenes.*

17. tria loca *habet Vet. Interpres. Consentit Pseudo-Origenes.*

18. τρὶς *videtur legisse Vet. Interpres,*

tuor vestras literas scito derivationes esse quasdam ac trium imagines Virtutum, quae totum superiorum elementorum numerum continent. Mutas enim literas novem ad Patrem ac Veritatem pertinere ex eo putare debes quod mutae sunt, hoc est efferri pronuntiarique nequeant. Semivocales octo Verbo Vitaeque tribuendae sunt, eo quod medii cuiusdam generis sunt mutas inter ac vocales, atque et superiorum profluentiam et inferiorum habitudinem ad sese recipiunt. Vocales deinde septem Homo atque Ecclesia sibi vindicant, quoniam vox ab Homine prodiens universa finxit. Vocis enim sonus certam eis formam attribuit. Igitur octo Verbo ac Vitae conveniunt, Homini atque Ecclesiae septem, Patri ac Veritati novem. Quod autem ratio non satis constaret, is qui in Patre stabilitus erat delapsus est, ad eumque a quo seiunctus fuerat eorum quae facta essent constituendorum gratia dimissus, ut Pleromatum unitas aequalitatem habens unam in omnibus virtutem atque ex omnibus velut fructum emitteret, tum demum qui septenas habebat octonarum vim obtinuit, ac loca ipsa tria numerorum sunt facta similia, hoc est Ogdoades, quae quidem loca cum in sese tria concurrissent, numerum viginti quatuor effecerunt. Sed elementa tria (quae totidem virtutibus coniugata esse dicit, quae sunt numero sex, a quibus viginti quatuor elementa profluxerunt) quadrifariam inexplicabilis Tetradis ratione multiplicata, eundemque cum ipsis numerum efficiunt, quae eius quod nominari nequit propria esse dixit. Ea porro a tribus portari virtutibus, ad inaspectabilis exemplar; quorum elementorum imagines duplices esse literas nostras, quae quatuor et viginti literis annumeratae eum numerum conflant, qui triginta proportione respondet.

· Cuius rationis administrationisque fructum similitudine quadam Cap. VII.
extitisse censet illum qui post dies sex in montem quartus ascendit, Matth. 17, 1.
et sextus est factus, qui descendit, et in hebdomade detentus est, qui idem illustris octonarius est, et omnem in sese numerum elementorum complectitur, quem, cum baptismi caussa venisset, columbae allapsus ostendit, quae est *Ω* et *Α*. Numerus enim illius Matth. 3, 16.
est DCCCI. Quae caussa sit, cur Moyses sexto die creatum ho-

*si quidem* ter *vertit.*

19. *Ita corrigendum erat ex Pseudo-Origene et Vet. Interprete, qui vertit* quae dicit. *Libri habent* ἀφίησιν.

20. εἰκόνων, *quod cum Pseudo-Origene et Vet. Interprete omnes libri tuentur, Petavius uncinis notavit. Vindicavit Massuetus.*

21. ἐξ διπλᾶ *habet Pseudo-Origenes.*

22. τῇ *reposui ex Pseudo-Origene et Vet. Interprete. Epiphanii libri habent* τῶν.

Cap. VII. — 1. ἀναλογίας *Pseudo-Origenes.*

2. πεφηνέναι *codd. Ven. et Paris., Pseudo-Origenes et Vet. Irenaei Interpres. Vulgo* πεφυκέναι.

3. ἡμέρας ἓξ *cod. Ven.*

4. καταβάντα καὶ κρατηθέντα *Pseudo-Origenes et Vet. Interpres.*

5. ὃν *adieci ex Vet. Interprete et Pseudo-Origene.*

6. δι' ἀριθμοῦ δηλουμένου ὀκτακοσίων ἑνὸς *Pseudo-Origenes.*

καὶ τὴν οἰκονομίαν δὲ [7] ἐν τῇ ἕκτῃ τῶν ἡμερῶν, ἥτις ἐστὶ παρασκευὴ, τὸν ἔσχατον ἄνθρωπον εἰς ἀναγέννησιν τοῦ πρώτου ἀνθρώπου πεφηνέναι· ἧς οἰκονομίας ἀρχὴν καὶ τέλος καὶ τὴν ἕκτην ὥραν, ἐν ᾗ προςηλώθη τῷ ξύλῳ. Τὸν γὰρ τέλειον Νοῦν ἐπιστάμενον τὸν τῶν ἓξ ἀριθμὸν δύναμιν, ποιήσεως καὶ ἀναγεννήσεως ἔχοντα, φανερῶσαι τοῖς υἱοῖς τοῦ φωτὸς τὴν [8] διὰ τοῦ φανέντος ἐπισήμου εἰς αὐτὸν [9] δι' αὐτοῦ γενομένην ἀναγέννησιν. Ἔνθεν καὶ τὰ διπλᾶ γράμματα τὸν ἀριθμὸν ἐπίσημον ἔχειν φησίν. Ὁ γὰρ ἐπίσημος ἀριθμὸς [10] συγκραθεὶς τοῖς εἰκοσιτέσσαρσι στοιχείοις τὸ τριακονταγράμματον ὄνομα ἀπετέλεσε. Κέχρηται δὲ διακόνῳ τῷ τῶν ἑπτὰ ἀριθμῶν μεγέθει, ὥς φησιν ἡ Μάρκου Σιγὴ, ἵνα τῆς αὐτοβουλήτου βουλῆς φανερωθῇ ὁ καρπός. Τὸν μέν τοι ἐπίσημον τοῦτον ἀριθμὸν ἐπὶ τοῦ παρόντος, φησὶ, τὸν
pag. 241. [11] ἐπὶ τοῦ ἐπισήμου μορφωθέντα, νόησον, τὸν ὥςπερ μερισθέντα [12] ἢ διχοτομηθέντα, καὶ ἔξω μείναντα, ὃς τῇ ἑαυτοῦ δυνάμει τε καὶ φρονήσει διὰ τῆς ἀπ' αὐτοῦ προβολῆς τοῦτον [13] τὸν τῶν ἑπτὰ δυνάμεων [14] κατὰ μίμησιν τῆς Ἑβδομάδος δυνάμεως ἐψύχωσε κόσμον, καὶ ψυχὴν ἔθετο εἶναι τοῦ ὁρωμένου παντός. Κέχρηται μὲν οὖν καὶ αὐτὸς οὗτος τῷδε τῷ ἔργῳ, ὡς αὐθαιρέτως ὑπ' αὐτοῦ [15] γενομένῳ, τὰ δὲ διακονεῖ, μιμήματα ὄντα τῶν ἀμιμήτων, τὴν Ἐνθύμησιν τῆς Μητρός. Καὶ ὁ μὲν πρῶτος οὐρανὸς φθέγγεται τὸ ᾱ, ὁ δὲ μετὰ τοῦτον τὸ ε̄, ὁ δὲ τρίτος η̄, τέταρτος δὲ καὶ μέσος τῶν ἑπτὰ τὴν τοῦ ῑ δύναμιν ἐκφωνεῖ, ὁ δὲ πέμπτος τὸ ο̄, ἕκτος δὲ τὸ ῡ, ἕβδομος [16] δὲ καὶ τέταρτος ἀπὸ [17] μέσου τὸ ω̄ στοιχεῖον ἐκβοᾷ, καθὼς ἡ Μάρκου Σιγὴ, ἡ πολλὰ μὲν φλυαροῦσα, μηδὲν δὲ ἀληθὲς λέγουσα, διαβεβαιοῦται· αἵ τινες δυνάμεις ὁμοῦ, φησὶ, πᾶσαι εἰς ἀλλήλας συμπλακεῖσαι ἠχοῦσι καὶ δοξάζουσιν ἐκεῖνον ὑφ' οὗ προεβλήθησαν, ἡ δὲ δόξα τῆς ἠχῆς ἀναπέμπεται εἰς τὸν Προπάτορα. Ταύτης μέν τοι τῆς δοξολογίας τὸν ἦχον εἰς τὴν γῆν φερόμενόν φησι πλάστην γενέσθαι καὶ γεννήτορα τῶν ἐπὶ τῆς γῆς· τὴν δὲ ἀπόδειξιν φέρει ἀπὸ τῶν ἄρτι γεννωμένων βρεφῶν, ὧν [18] ἡ ψυχὴ ἅμα τῷ ἐκ μήτρας προελθεῖν ἐπιβοᾷ ἑνὸς ἑκάστου τῶν στοιχείων τούτων τὸν ἦχον. Καθὼς οὖν αἱ ἑπτὰ, φησὶ, δυνάμεις δοξάζουσι τὸν Λόγον, οὕτως καὶ ἡ ψυχὴ ἐν τοῖς βρέφεσι κλαίουσα καὶ θρηνοῦσα Μάρκον δοξάζει αὐτόν. Διὰ τοῦτο δὲ καὶ τὸν Δαβὶδ εἰρηκέναι, Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον· καὶ πάλιν, Οἱ οὐρανοὶ [19] τῶν οὐρανῶν διηγοῦνται δόξαν θεοῦ. Καὶ διὰ τοῦτο ἔν τε πόνοις καὶ ταλαιπωρίαις ψυχὴ γενομένη εἰς διυλισμὸν αὐτῆς ἐπιφωνεῖ [20] τὸ ω̄,

7. τοῦ πάθους *addit Pseudo-Origenes.*
8. διὰ τοῦ *scripsi de auctoritate Pseudo-Origenis. Vulgo* δι' αὐτοῦ.
9. ἀριθμὸν *pro* δι' αὐτοῦ *Massuetus reposuit ex cod. Paris.* εἰς τὴν δι' αὐτοῦ ἐπιγ. ἀναγέννησιν *habet Pseudo-Origenes. Vet. Interpres:* manifestasse filiis luminis eam generationem quae facta est per eum qui manifestatus est insignis in eum numerum.
10. συγκερασθεὶς *Pseudo-Origenes.*
11. ἀπὸ *correxerunt Pelavius, Grabius aliique, Vet. Interpretem seculi.*

minem scripserit, imo etiam cur sexto, hoc est parasceues, die postremus homo ad instaurandam prioris hominis generationem suam illam functionem obierit, cuius initium ac finis hora sexta fuerit, qua ligno sit affixus. Perfectam quippe mentem cum in senario numero efficiendi instaurandique vim inesse non ignoraret, filiis lucis iteratam illam declarasse generationem, quae per insignem ipsum apparentem in eum numerum extiterit. Unde et duplices literas insignem continere numerum docuit. Insignis enim numerus cum quatuor et viginti permistus elementis triginta literarum nomen conficit. Sed numerorum septem magnitudine tanquam administra utitur, ut Marci Sige narrabat, ut a sua voluntate profecti consilii fructus appareat. Ceterum insignem hunc numerum eum, inquit, intellige qui ab insigni formatus est, quique velut divisus et bipartitus est, forisque remanet, qui sua virtute ac prudentia efficientiaque propria mundum hunc ad septenarii virtutis imitationem septem virtutibus comprehensam animavit, eiusque omnis, quod aspectabile est, animam constituit. Hoc igitur opere velut sponte a se facto ipsemet utitur. Alia vero, cum sint imitationes quaedam non imitabilium, Cogitationi Matris serviunt. Itaque primum coelum *A* pronuntiat, secundum *E*, tertium *H*, quartum et medium vocalis *I* vim effert, quintum *O*, sextum *Y*, septimum et quartum elementum *Ω* e medio proclamat, ait Marciana Sige, quae magnas nugas effutiens veri nihil eloquitur. Virtutes illae porro simul omnes invicem consertae resonant, inquit, ac praedicant eum a quo productae sunt. Cuius sonitus collaudatio primum in Parentem confertur, idemque sonus delatus in terram omnium quae sunt in ea fictor ac procreator est factus. Quod ex recens editis infantibus demonstrare nititur, qui simulatque matris ex utero prodierunt, vagitu suo uniuscuiusque elementorum istorum sonum exprimunt. Ut igitur septenae virtutes, ait, Verbum laudibus efferunt: ita et Marcum ipsum plorans in infantibus ac moerens anima praedicat. Ideo quoque David cecinit: *Ex ore infantium et* Psalm. 8, 3.
*lactentium perfecisti laudem.* Ac rursum: *Coeli coelorum enarrant* Psalm. 18, 2.
*gloriam dei.* Hinc est quod inter labores et aerumnas, ut sit quodammodo defaecatior anima, literam *Ω* pronuntiat, quod est lauda-

12. ἢ διχοτομηθέντα *desideratur in cod. Veneto et apud Pseudo-Originem.*

13. τὴν ζωὴν τῶν *habet vitiose Pseudo-Origenes.*

14. κατὰ μίμησιν *codd. Ven. Rhedig. Paris.* μιμήσει *Pseudo-Origenes. Vulgo* καὶ μίμησιν.

15. γενόμενα τὰ δι' εἰκόνων, μιμήματα *cett. habet Pseudo-Origenes.*

16. δὲ *adieci ex cod. Veneto et Pseudo-Origene. Agnoscit etiam Vet. Interpres.*

17. ἀπὸ μέσου *reposui ex Pseudo-Origene et Vet. Interprete. Omittit cod. Venetus.* ἀπὸ μέρους *vulgata est scriptura.*

18. ἡ ψυχὴ *reposui ex Pseudo-Origene et Vet. Interprete, sententia postulante. Epiphanii libri habent* ἠχή.

19. *Verba* τῶν οὐρανῶν *non agnoscunt Pseudo-Origenes et Vet. Interpres.*

20. τῷ ῶ *cod. Venet.*

*εἰς σημεῖον αἰνέσεως, ἵνα γνωρίσασα ἡ ἄνω ψυχὴ τὸ συγγενὲς αὐτῆς βοηθὸν αὐτῇ καταπέμψῃ.*

Κεφ. η'. *Καὶ περὶ μὲν τοῦ παντὸς ὀνόματος τριάκοντα ὄντος γραμμάτων τούτου, καὶ τοῦ Βυθοῦ τοῦ αὔξοντος ἐκ τῶν τούτου γραμμάτων, ἔτι τε τῆς Ἀληθείας σώματος δωδεκαμελοῦς ἐκ δύο γραμμάτων* [1] *ἑκάστου μέλους συνεστῶτος, καὶ τῆς φωνῆς αὐτῆς, ἣν* [2] *προςωμίλησε μὴ προςομιλήσασα, καὶ περὶ τῆς* [3] *ἐπιλύσεως τοῦ μὴ λαληθέντος ὀνόματος, καὶ περὶ τῆς τοῦ κόσμου ψυχῆς καὶ ἀνθρώπου, καθὰ ἔχουσι τὴν κατ' εἰκόνα*
pag. 242. *οἰκονομίαν, οὕτως ἐλήρησεν. Ἑξῆς δὲ ὡς ἀπὸ τῶν ὀνομάτων ἰσάριθμον δύναμιν ἐπέδειξεν ἡ Τετρακτὺς αὐτῷ ἀπαγγελοῦμεν· ἵνα μηδὲν λάθῃ σε τῶν εἰς ἡμᾶς ὑπ' αὐτοῦ λεγομένων ἐληλυθότων, ἀγαπητὲ, καθὼς πολλάκις ἀπήτησας παρ' ἡμῶν. Οὕτως οὖν ἀπαγγέλλει ἡ πάνσοφος αὐτῷ Σιγὴ τὴν γένεσιν τῶν εἰκοσιτεσσάρων στοιχείων. Τῇ μονότητι συνυπάρχειν* [4] *ἑνότητα, ἐξ ὧν δύο προβολαὶ, καθὰ προείρηται, μονάς τε καὶ τὸ ἓν ἐπὶ δύο οὖσαι τέσσαρα ἐγένοντο· δὶς γὰρ δύο τέσσαρες. Καὶ πάλιν αἱ δύο καὶ τέσσαρες εἰς τὸ αὐτὸ συντεθεῖσαι τὸν τῶν ἓξ ἐφανέρωσαν ἀριθμόν. Οὗτοι δὲ οἱ ἓξ τετραπλασιασθέντες τὰς εἴκοσι τέσσαρας ἀπεκύησαν μορφάς. Καὶ τὰ μὲν τῆς πρώτης Τετράδος ὀνόματα ἅγια ἁγίων νοούμενα, καὶ μὴ δυνάμενα λεχθῆναι, γινώσκεσθαι ὑπὸ μόνου τοῦ Υἱοῦ, ἃ ὁ Πατὴρ οἶδε τίνα ἐστί. Τὰ δὲ σεμνὰ καὶ μετὰ πίστεως ὀνομαζόμενα παρ' αὐτῷ ἐστι* [5] *ταῦτα, Ἄρρητος καὶ Σιγὴ, Πατήρ τε καὶ Ἀλήθεια. Ταύτης δὲ τῆς Τετράδος ὁ σύμπας ἀριθμός ἐστι στοιχείων εἰκοσιτεσσάρων. Ὁ γὰρ Ἄρρητος ὄνομα γράμματα ἔχει ἐν ἑαυτῷ ἑπτὰ, ἡ δὲ Σιγὴ πέντε, καὶ ὁ Πατὴρ* [6] *πέντε, καὶ ἡ Ἀλήθεια ἑπτὰ, ἃ συντεθέντα ἐπιτοαυτὸ τὰ δὶς πέντε καὶ δὶς ἑπτὰ τὸν τῶν εἰκοσιτεσσάρων ἀριθμὸν ἀνεπλήρωσεν. Ὡςαύτως δὲ καὶ ἡ δευτέρα Τετρὰς, Λόγος καὶ Ζωὴ, Ἄνθρωπος καὶ Ἐκκλησία, τὸν αὐτὸν ἀριθμὸν τῶν στοιχείων ἀνέδειξαν. Καὶ τὸ τοῦ σωτῆρος δὲ ῥητὸν ὄνομα* [7] *Ἰησοῦς γραμμάτων ὑπάρχειν ἓξ,* [8] *τὸ δ' ἄρρητον αὐτοῦ γραμμάτων εἰκοσιτεσσάρων, Υἱὸς Χριστὸς γραμμάτων δώδεκα, τὸ δὲ ἐν Χριστῷ ἄρρητον γραμμάτων* [9] *τριάκοντα. Καὶ διὰ τοῦτό φησιν αὐτὸν ᾱ καὶ ω̄, ἵνα τὴν περιστερὰν μηνύσῃ, τοῦτον ἔχοντος τὸν ἀριθμὸν τούτου τοῦ ὀρνέου.*

CAP. VIII. — 1. ἑκάστου μέλους *cum Irenaei editoribus supplevi ex Vet. Interprete. Graeci quidem libri non habent.*

2. προςωμίλησε μὴ, *quod desideratur in Epiphanii libris, supplevi ex Vet. Irenaei Interprete.*

3. ἀναλύσεως *maluerunt Petavius et Billius.*

4. ἑνότητα *codd. Venet. Vatic., Pseudo-Origenes et Vet. Irenaei Interpres. Vulgo* ἑνότητι.

5. τοιαῦτα *cod. Venet.*

6. πέντε *adieci ex Pseudo-Origene et Vet. Interprete. Abest enim ab Epiphanii libris.*

7. *Vocem* Ἰησοῦς *reposui ex Vet. Interpretis auctoritate et Petavii coniecturam, quam vide, secutus. Vulgo extat* ὀκτὼ καὶ δέκα, *quod in cod. Veneto* ἢ καὶ δέκα *scriptum est. Apud Pseudo-Origenem ea vocabula plane desiderantur.*

tionis indicium, ut coelestis anima quod sibi cognatum est agnoscens opitulatorem submittat.

De toto igitur illo nomine, quod XXX ex literis componitur, Cap. VIII. Bytho qui iisce ex literis incrementum capit, nec non et Veritatis corpore membris constante duodecim, quorum singula duabus e literis conflata sunt, ipsiusque voce quam minime eloquens est elocuta, tum de minime prolati resolutione nominis, ac de Mundi et Hominis anima, quatenus ad similitudinem expressa providentiae administrationique respondent, hoc ille modo nugatus est. Quemadmodum vero ex nominibus aequalem numero Virtutem ei Tetractys ostenderit, deinceps explicabimus, ne quid eorum te, carissime, lateat, quae ab illo dicta ad nostram memoriam pervenerunt, id quod a nobis saepe postulasti. Hoc itaque modo sapientissima Sige XXIV elementorum illi generationem exposuit. Nimirum cum Singularitate Unitatem existere: ab iis propagata duo Monadem atque Unum quatuor implesse. Bis enim duo quatuor efficiunt. Rursumque duo coniuncta cum quatuor senarium ostenderunt. Hic quater in sese ductus XXIV formas effecit. Ac primae quidem Tetradis nomina sanctissima, quae intelligentia sola percipi possunt, verbis explicari non possunt, soli putat filio cognita, quae cuiusmodi sint Pater intelligit. Quae vero sic augusta sunt, ut cum fide pronuntiari possint, hunc in modum recenset. Arrhetus et Seige, Pater et Veritas. Huius Tetradis numerus omnis XXIV elementa colligit. Nam Arrhetus septem in se literas complectitur, Seige V, Pater V, et Veritas VII; quae in unum composita bis quinque bisque septem XXIV efficiunt. Ita et secunda Tetras, Logus, Zoë, Anthropus et Ecclesia eundem exhibent elementorum numerum. Iam Salvatoris nomen, quod efferri fas est, hoc est Ἰησοῦς, literarum esse sex. Quod vero pronuntiari nequit, literas habere XXIV. Ita Christum Filium literarum esse XII: quod vero in Christo nec effabile est, literarum XXX. Ideoque *A* et *Ω* seipsum nominat, ut columbam significet. Huic enim avi numerus iste convenit.

8. *Ita restitui ex Pseudo-Origene. Vulgo* τόν.

9. *Plenior hic ipso Irenaeo eius excerptor est Pseudo-Origenes:* Τὸ δὲ ἐν τῷ Χριστῷ ἄρρητον γραμμάτων τριάκοντα, καὶ αὐτὸ τοῖς ἐν αὐτῷ γράμμασι κατὰ ἓν στοιχεῖον ἀριθμούμενον. Τὸ γὰρ Χριστός ἐστι στοιχείων ὀκτώ. Τὸ μὲν γὰρ χ̄ε̄ῑ τριῶν, τὸ δὲ ρ̄ δύο, καὶ τὸ ε̄ῑ δύο, καὶ ῑ τεσσάρων, τὸ σ̄ πέντε, καὶ τὸ τ̄ τριῶν, τὸ δὲ ο̄ῡ δύο, καὶ τὸ σὰν τριῶν. Οὕτως τὸ ἐν τῷ Χριστῷ ἄρρητον φάσκουσι στοιχείων τριάκοντα. Καὶ διὰ τοῦτο δέ φασιν αὐτὸν λέγειν, Ἐγὼ τὸ ἄλφα καὶ τὸ ω̄, ἐπιδεικνύντα τὴν περιστερὰν τοῦτον ἔχουσαν τὸν ἀριθμὸν, ὅ ἐστιν ὀκτακόσια ἕν. *Quod testimonium etiam refellit Salmasium de scripturae nominis Christi modo Petavium vituperantem in (Fr. Franci) Consulat. Animadv. Ant. Cercoetii pag. 73 sqq.*

Κεφ. Θ'. Ὁ δὲ Ἰησοῦς ταύτην ἔχει, φησὶ, τὴν ἄρρητον γένεσιν. Ἀπὸ γὰρ τῆς Μητρὸς τῶν ὅλων τῆς πρώτης Τετράδος ἐν θυγατρὸς τρόπῳ προῆλθεν ἡ δευτέρα Τετρὰς, καὶ ἐγένετο Ὀγδοὰς, ἐξ ἧς προῆλθε Δεκάς. Οὕτως ἐγένετο [1] Δεκὰς καὶ Ὀγδοάς. Ἡ οὖν Δεκὰς ἐπισυνελθοῦσα τῇ Ὀγδοάδι καὶ δεκαπλασίονα αὐτὴν ποιήσασα [2] τὸν τῶν ὀγδοήκοντα προεβίβασεν ἀριθμὸν, καὶ τὰ ὀγδοήκοντα πάλιν δεκαπλασιάσασα [3] τὸν τῶν
pag. 243. ὀκτακοσίων ἀριθμὸν ἐγέννησεν, ὥςτε εἶναι τὸν ἅπαντα τῶν γραμμάτων ἀριθμὸν ἀπὸ Ὀγδοάδος εἰς Δεκάδα προελθόντα η̄ καὶ π̄ καὶ ω̄, ὅ ἐστι [4] Ἰησοῦς. Τὸ γὰρ Ἰησοῦ ὄνομα κατὰ τὸν ἐν τοῖς γράμμασιν ἀριθμὸν ω̄ ἔστιν ὀγδοηκονταοκτώ. [5] Ἔχει σαφῶς καὶ τὴν [6] ὑπερουράνιον [7] τοῦ Ἰησοῦ κατ' αὐτοὺς γένεσιν. Διὸ καὶ τὸν ἀλφάβητον τῶν Ἑλλήνων ἔχειν Μονάδας ὀκτὼ, καὶ Δεκάδας ὀκτὼ, καὶ Ἑκατοντάδας ὀκτὼ, τὴν τῶν ὀκτακοσίων ὀγδοηκονταοκτὼ ψῆφον [8] ἐπιδεικνύοντα, τουτέστι [9] τὸν Ἰησοῦν, [10] τὸν ἐκ πάντων [11] συνεστῶτα τῶν ἀριθμῶν, καὶ διὰ [12] τοῦτο ἄλφα καὶ ω̄ ὀνομάζεσθαι αὐτὸν, τὴν ἐκ πάντων γένεσιν σημαίνοντα. Καὶ πάλιν οὕτως. Τῆς πρώτης Τετράδος κατὰ πρόςβασιν ἀριθμοῦ εἰς αὐτὴν συντιθεμένης ὁ τῶν δέκα ἀνεφάνη ἀριθμός. Μία γὰρ καὶ δύο καὶ τρεῖς [13] καὶ τέσσαρες ἐπιτοαυτὸ συντεθεῖσαι δέκα γίνονται, καὶ τοῦτ' εἶναι θέλουσι τὸν Ἰησοῦν. Ἀλλὰ καὶ ὁ Χριστὸς, φησὶ, γραμμάτων ὀκτὼ ὢν, τὴν πρώτην Ὀγδοάδα σημαίνει, ἥτις τῷ δέκα συμπλακεῖσα τὸν Ἰησοῦν ἀπεκύησε. Λέγεται δὲ, φησὶ, καὶ Υἱὸς Χριστὸς, τουτέστιν ἡ Δωδεκάς. Τὸ γὰρ Υἱὸς ὄνομα γραμμάτων ἐστὶ τεσσάρων, τὸ δὲ Χριστὸς ὀκτὼ, ἅτινα συντεθέντα τὸ τῆς Δωδεκάδος ἐπέδειξαν μέγεθος. Πρὶν μὲν οὖν, φησὶ, τούτου τοῦ ὀνόματος τὸ ἐπίσημον φανῆναι, τουτέστι τὸν Ἰησοῦν, τοῖς υἱοῖς, ἐν ἀγνοίᾳ πολλῇ ὑπῆρχον οἱ ἄνθρωποι καὶ πλάνῃ· ὅτε δὲ ἐφανερώθη τὸ ἑξαγράμματον ὄνομα, ὃς σάρκα [14] περιεβάλετο, ἵνα εἰς τὴν αἴσθησιν τοῦ ἀνθρώπου κατέλθῃ, ἔχων ἐν ἑαυτῷ αὐτὰ τὰ ἓξ καὶ τὰ εἰκοσιτέσσαρα, τότε γνόντες αὐτὸν ἐπαύσαντο τῆς ἀγνοίας. Ἐκ θανάτου δὲ εἰς ζωὴν ἀνῆλθον, τοῦ ὀνόματος αὐτοῖς [15] ὁδοῦ γεννηθέντος πρὸς τὸν Πατέρα τῆς ἀληθείας. Τεθεληκέναι γὰρ τὸν Πατέρα τῶν ὅλων λῦσαι τὴν ἄγνοιαν καὶ καθελεῖν τὸν θάνατον. Ἀγνοίας δὲ λύσις ἡ ἐπίγνωσις αὐτοῦ ἐγίνετο. Καὶ διὰ τοῦτο ἐκλεχθῆναι τὸν κατὰ τὸ θέλημα αὐτοῦ κατ' εἰκόνα τῆς ἄνω δυνάμεως οἰκονομηθέντα ἄνθρωπον.

Cap. IX. — 1. δέκα, εἶτα δεκαοκτώ *Pseudo-Origenes*. Sic factum est XVIII. *habet Vet. Interpres.*

2. τὸ *cod. Ven.*

3. τὸ *cod. Ven.*

4. Ἰησοῦς *restitui ex Vet. Interprete et Pseudo-Origene, contra codicum mss. Epiphanii auctoritatem, qui praebent, una cum editis,* δεκαοκτώ. *In cod. Vatic. scriptum est* ιη̄.

5. ἔχεις *secundum Vet. Interpr. coniecerunt Billius, Massuetus aliique.*

6. ὑπουράνιον *cod. Rhedig.* supercaelestis Iesu secundum eos genesin *Vet. Interpres.*

7. τοῦ Ἰησοῦ κατ' αὐτοὺς *cod. Venet. Quomodo ex Vet. Interpr. iam dudum censuerunt reponendum esse Billius, Grabius aliique Irenaei editores. Vulgo extat* τοῦ η̄ καὶ τοῦ σ̄ κατ' αὐτούς. *Apud Pseudo-Ori-*

Quod ad Iesum pertinet, hanc, ait, generationem, quae explicari verbis nequit, sortitus est. Etenim ab universorum Matre prima illa Tetrade filiae instar secunda Tetras exorta et Ogdoas est facta, a qua Decas processit. Itaque Decas et Ogdoas progressae sunt. Tum Decas cum Ogdoade copulata ac decies illam multiplicans Octogenarium numerum effecit. Quem decies insuper multiplicans ad octingenta perduxit. Ut omnis ille literarum numerus ab Ogdoade progressus ad Decadem sit *H* et *Π* et *Ω*, quae sunt DCCCLXXXVIII. Siquidem Iesu nomen ob eum numerum, quem literae reddunt, DCCCLXXXVIII conficit; ac perspicue coelo, ut putant, ipso sublimioris Iesu generationem continet. Unde et in Graecorum Alphabeto Monades octo, totidem Decades atque Hecatontades reperiri dicunt, ut DCCCLXXXVIII numerum praebeat, hoc est Iesum, ex omnibus numeris contextum; ob idque sese *A* et *Ω* nominasse, quo illam ex omnibus sui productionem exprimeret. Quod hoc rursum modo perfectum est. Primus Quaternarius per numeri progressionem in sese redactus Denarium produxit. Nam unum et duo tria et quatuor simul composita decem faciunt; quod ipsum esse Iesum existimant. Sed et Christus, inquiunt, octo ex literis contextus primam Ogdoadem demonstrat, quae cum decem coniuncta Iesum peperit. Dicitur quoque *Υἱὸς Χριστὸς*, aiunt, hoc est Dodecas. Nam *Υἱὸς* literas habet quatuor, Christus octo, quae collecta Dodecadis effecere magnitudinem. Sed antequam nominis huius episemum, hoc est Iesus, filiis appareret, in summa homines ignorantia et errore versati sunt. Posteaquam vero sex literarum nomen est patefactum, quod ideo carnem induit, ut sex ipsas et XXIV literas comprehendens ad sensus hominum sese demitteret, tum demum eo cognito ab errore destiterunt, et ad vitam emerserunt a morte, cum ad veritatis patrem ductoris instar ipsis nomen illud extitisset. Placuisse siquidem omnium Parenti ut ignorantiam discuteret mortemque tolleret. Ignorantiae porro discussio ipsius cognitio fuit. Proindeque delectus is est homo, qui de illius voluntate ad coelestis Virtutis exemplar singulari est providentia constitutus. Cap. IX.

*genem verba* Ἔχει — — — γένεσιν. Διὸ *non reperiuntur.*

8. ἐπιδεικνύοντα *Pseudo-Origenes.* ἔπειτα δεικνύοντα *Epiphanii libri praebent.*

9. τὸν Ἰησοῦν *Pseudo-Origenes et Vet. Interpres. Epiphanii libri habent* τουτέστι τὸ ε̄ ῑ η̄.

10. τῶν *cod. Ven. Omitt. Pseudo-Origenes.*

11. συνεστώτων *Pseudo-Origenes.*

12. τοῦτο *Pseudo-Origenes et Vet. Interpres. Vulgo* τοῦ.

13. καὶ τέσσαρες *Petavius primum addidit ex cod. Vatic.*

14. περιεβάλετο *codd. Venet. Rhedig. Vulgo* περιεβάλλετο.

15. ὁδηγοῦ *legebat Vet. Interpres, qui vertit* ducatore ad Patrem veritatis.

Κεφ. ι'. Ἀπὸ Τετράδος γὰρ προῆλθον οἱ Αἰῶνες. Ἦν δὲ ἐν τῇ Τετράδι Ἄνθρωπος καὶ Ἐκκλησία, Λόγος καὶ Ζωή. Ἀπὸ τούτων οὖν δυνάμεις, φησὶν, ἀποῤῥυεῖσαι ἐγενεσιούργησαν τὸν ἐπὶ γῆς φανέντα Ἰησοῦν. Καὶ τοῦ μὲν Λόγου ἀναπληρωκέναι τὸν τόπον τὸν ἄγγελον Γαβριὴλ,
pag. 214. τῆς δὲ Ζωῆς τὸ ἅγιον Πνεῦμα· τοῦ δὲ Ἀνθρώπου τὴν δύναμιν τοῦ [1] Ὑψίστου, τὸν δὲ τῆς Ἐκκλησίας τόπον ἡ Παρθένος [2] ἐπέδειξεν. Οὕτως τε ὁ κατ' οἰκονομίαν διὰ τῆς Μαρίας γενεσιουργεῖται παρ' αὐτῷ Ἄνθρωπος, ὃν ὁ Πατὴρ τῶν ὅλων διελθόντα διὰ μήτρας ἐξελέξατο [3] διὰ Λόγου εἰς ἐπίγνωσιν αὐτοῦ. Ἐλθόντος δὲ αὐτοῦ εἰς τὸ ὕδωρ κατελθεῖν εἰς αὐτὸν ὡς περιστερὰν τὸν ἀναδραμόντα ἄνω καὶ πληρώσαντα τὸν δωδέκατον ἀριθμὸν, ἐν ᾧ ὑπάρχει τὸ σπέρμα τούτων τῶν συσπαρέντων αὐτῷ, καὶ συγκαταβάντων, καὶ συναναβάντων· αὐτὴν δὲ τὴν δύναμιν [4] τὴν κατελθοῦσαν σπέρμα φησὶν εἶναι τοῦ Πατρὸς, ἔχον ἐν ἑαυτῷ καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν, τήν τε διὰ τούτων γινωσκομένην ἀνονόμαστον δύναμιν τῆς Σιγῆς καὶ τοὺς ἅπαντας Αἰῶνας. Καὶ τοῦτ' εἶναι τὸ πνεῦμα τὸ λαλῆσαν διὰ τοῦ [5] στόματος τοῦ Ἰησοῦ τὸ ὁμολογῆσαν ἑαυτὸν Υἱὸν ἀνθρώπου, καὶ [6] φανερῶσαν τὸν Πατέρα, κατελθὸν μὲν εἰς τὸν Ἰησοῦν, ἡνῶσθαι δ' αὐτῷ. Καὶ καθεῖλε μὲν τὸν θάνατον, φησὶν, ὁ ἐκ τῆς οἰκονομίας Σωτὴρ, ἐγνώρισε δὲ τὸν Πατέρα Χριστόν. Εἶναι οὖν τὸν Ἰησοῦν ὄνομα μὲν τοῦ ἐκ τῆς οἰκονομίας ἀνθρώπου λέγει, τεθεῖσθαι δὲ εἰς ἐξομοίωσιν καὶ μόρφωσιν τοῦ μέλλοντος εἰς αὐτὸν κατέρχεσθαι Ἀνθρώπου, [7] τὸν χωρήσαντα αὐτόν· ἐσχηκέναι δὲ αὐτόν τε τὸν Ἄνθρωπον, αὐτόν τε τὸν Λόγον, καὶ τὸν Πατέρα, καὶ τὸν Ἄῤῥητον, καὶ τὴν Σιγὴν, καὶ τὴν Ἀλήθειαν, καὶ Ἐκκλησίαν, καὶ Ζωήν.

Κεφ. ια'. Ταῦτα δὴ ὑπὲρ τὸ [1] Ἰοῦ καὶ τὸ Φεῦ καὶ ὑπὲρ [2] τὴν πᾶσαν τραγικὴν [3] φώνησιν καὶ [4] σχετλιασμόν ἐστι. Τίς γὰρ οὐκ ἂν μισήσειε τῶν τηλικούτων ψευσμάτων [5] κακοσύνθετον ποιητὴν, τὴν μὲν Ἀλήθειαν ὁρῶν εἴδωλον ὑπὸ Μάρκου γεγονυῖαν, καὶ τοῦτο τοῖς τοῦ ἀλφαβήτου γράμμασι κατεστιγμένην [6] νεωστὶ, πρὸς τὸ ἀπ' ἀρχῆς, τὸ δὴ λεγόμενον χθὲς καὶ πρώην. Ἕλληνες ὁμολογοῦσιν ἀπὸ Κάδμου πρῶτον ἓξ καὶ δέκα παρειληφέναι, εἶτα μετέπειτα προβαινόντων τῶν χρόνων αὐτοὶ ἐξευρηκέναι ποτὲ μὲν τὰ δασέα, ποτὲ δὲ τὰ διπλᾶ, ἔσχατον δὲ πάντων Παλαμήδην φασὶ τὰ [7] μακρὰ τούτοις προστεθεικέναι. Πρὸ τοῦ οὖν

Cap. X. — 1. Ὑψίστου *correxi de auctoritate Pseudo-Origenis et Vet. Interpretis. Epiphanii libri habent* υἱοῦ.

2. ἔδειξεν *codd. Rhedig. et Paris.*

3. διὰ Λόγου *desideratur in cod. Veneto.*

4. τὴν *addidi de auctoritate cod. Veneti et Pseudo-Origenis, qui habet* τὴν καταβᾶσαν εἰς αὐτόν.

5. *Verba* στόματος τοῦ, *quae desiderantur in codd. Rhedig. Paris. et editis libris, secundum Vet. Interpretem et Pseudo-Origenem reposui ex codd. Veneto et Vaticano.*

6. φανερῶσαν *emendatio est Grabii, pro* φανερώσαντα, *quod libri Epiphanii vulgo praebent. Firmat illam Pseudo-Origenes.*

7. *Pseudo-Origenes:* ὃν χωρήσαντα ἐσχηκέναι αὐτόν. Αὐτόν τε εἶναι τὸν Ἄνθρωπον *cett. Vet. Interpres: quem ca-*

Nam Aeones a Tetrade profecti sunt. In qua isti censebantur, Cap. X. Homo et Ecclesia, Verbum et Vita. Ab iis profluentes quaedam Virtutes Iesum illum procrearunt qui in terris apparuit. Ceterum in Verbi locum angelum Gabrielem, Vitae vero Spiritum Sanctum esse substitutum asserunt: sicut Hominis partes Altissimi virtus, Ecclesiae vero Virgo sustinuit. Sic ille peculiari providentia editus de Maria natus est Homo, quem per uterum egressum sui ad cognitionem per Verbum omnium Parens elegit. Cumque ad aquam abluendus venisset, in eum columbae descendisse specie illum ipsum narrant, qui sursum recurrens duodenarium numerum implevit; in quo semen inest eorum quae cum illo sata pariter et descenderunt et ascenderunt. Ipsam vero delapsam e coelo virtutem semen Patris definit esse, quod in se patrem ac Filium, eamque Siges virtutem, quae per illos cognita nomine caret omni, ac reliquos Aeones complectitur. Huncque Spiritum esse Sanctum, qui per Iesum locutus cum eoque coniunctus est. Iam vero mortem, inquit, Salvator ex illa providentia natus sustulit, Christumque patrem hominibus patefecit. Iesum itaque nomen eius esse proprium hominis statuit, quem singularis illa providentia submisit, sed ad alterius similitudinem ac configurationem impositum esse, qui in ipsum erat aliquando lapsurus. Quem cum excepisset, una et Hominem ipsum, et Verbum ac Patrem, et Arrhetum ac Sigen, Veritatem item et Ecclesiam, Vitamque comprehendisse.

Quae omnes illorum fabulae eiusmodi sunt, ut iis deplorandis Cap. XI. nullum Heu! Heu! vel Proh! neque ulla prorsus tragica vox ac lamentatio possit sufficere. Quis enim non talium mendaciorum infelicem artificem oderit, cum Veritatem ipsam in inane simulacrum a Marco deformatam videat et, quod gravius est, alphabeti literis tanquam stigmatibus inustam; ut quod nuper admodum atque heri, ut aiunt, et nudiustertius accidit, quasi iam tum olim extitisset, venditare studuerit. Graeci quidem XVI a Cadmo literas primum accepisse se memorant, tum a se progredientibus temporibus alias aspiratas, alias duplices inventas, postremo a Palamede maiores adiunpientem habere et ipsum Hominem *cett.*

CAP. XI. — 1. ἰησοῦ *ed. princ.*

2. τὴν *restitui cum Massueto pro* τὸ *quod libri habent. Vet. Interpres:* et super universam tragicam exclamationem.

3. ἐκφώνησιν *placuit Petavio.*

4. σχετλιατισμὸν *cod. Venet.*

5. *Vet. Interpres vertit* tantorum mendaciorum malus compositor. *At puto Irenaeum scripsisse* κακοσυνθέτων.

6. *Varium in modum haec verba distinxerunt. V. Irenaei interpretes et editores.*

7. *Ita codd. Venet. Vatic., et ed. Petavii.* μικρὰ *codd. Rhedig. Paris., et ed. princ.*

Ἕλλησι ταῦτα γενέσθαι οὐκ ἦν Ἀλήθεια. Τὸ γὰρ σῶμα αὐτῆς κατὰ σέ, Μάρκε, μεταγενέστερον μὲν Κάδμου καὶ τῶν πρὸ αὐτοῦ, [8] μεταγενέστερον δὲ τῶν τὰ λοιπὰ προςεθεικότων στοιχεῖα, μεταγενέστερον δὲ καὶ
pag. 245. σαυτοῦ. Σὺ γὰρ μόνον εἴδωλον κατήγαγες τὴν ὑπό σου λεγομένην Ἀλήθειαν. Τίς δ' ἀνέξεταί σου τὴν τοσαῦτα φλυαροῦσαν Σιγὴν, [9] ἣ τὸν ἀνονόμαστον ὀνομάζει, καὶ τὸν ἄρρητον ἐξηγεῖται καὶ τὸν ἀνεξιχνίαστον ἐξιστορεῖ, καὶ ἠνοιχέναι τὸ στόμα φησὶν [10] αὐτὸν ὃν ἀσώματον καὶ ἀνείδεον λέγεις; καὶ προενέγκασθαι Λόγον, ὡς ἕν τι τῶν συνθέτων ζώων, τόν τε Λόγον αὐτοῦ ὅμοιον ὄντα τῷ προβαλόντι καὶ μορφὴν τοῦ ἀοράτου γεγονότα [11] στοιχείων μὲν εἶναι τριάκοντα, συλλαβῶν δὲ τεσσάρων; Ἔσται οὖν κατὰ τὴν ὁμοιότητα τοῦ λόγου ὁ Πατὴρ τῶν πάντων, ὡς σὺ φῄς, στοιχείων μὲν τριάκοντα, συλλαβῶν δὲ τεσσάρων. Ἢ πάλιν τίς ἀνέξεταί σου εἰς σχήματα καὶ ἀριθμοὺς, ποτὲ μὲν τριάκοντα, ποτὲ δὲ εἰκοσιτέσσαρα, ποτὲ δὲ ἓξ μόνον συγκλείοντος τὸν τῶν πάντων κτιστὴν καὶ δημιουργὸν καὶ ποιητὴν Λόγον τοῦ Θεοῦ, κατακερματίζοντος αὐτὸν εἰς συλλαβὰς μὲν τέσσαρας, στοιχεῖα δὲ τριάκοντα, καὶ τὸν πάντων κύριον τὸν ἐστερεωκότα τοὺς οὐρανοὺς, εἰς ͵ωπη κατάγοντος ἀριθμὸν, ὁμοίως τῷ ἀλφαβήτῳ [12] αὐτόν τε τὸν πάντα χωροῦντα Πατέρα, ἀχώρητον δὲ ὑπάρχοντα, εἰς Τετράδα καὶ Ὀγδοάδα καὶ Δεκάδα καὶ Δωδεκάδα ὑπομερίζοντος, καὶ διὰ τῶν τοιούτων πολυπλασιασμῶν τὸ ἄρρητον καὶ ἀνεννόητον, ὡς σὺ φῄς, τοῦ Πατρὸς ἐκδιηγουμένου; Καὶ ὃν ἀσώματον καὶ ἀνούσιον ὀνομάζεις, τὴν τούτου οὐσίαν καὶ τὴν ὑπόστασιν ἐκ πολλῶν γραμμάτων ἑτέρων ἐξ ἑτέρων γεννωμένων κατασκευάζεις, αὐτὸς Δαίδαλος ψευδὴς, καὶ τέκτων κακὸς γενόμενος τῆς προπανυπερτάτου δυνάμεως; καὶ ἣν ἀμέριστον φῄς εἶναι, εἰς ἀφώνους καὶ φωνήεντας καὶ ἡμιφώνους φθόγγους ὑπομερίζων τὸ ἄφωνον αὐτῶν τῷ τῶν πάντων Πατρὶ, καὶ τῇ [13] τούτου ἐννοίᾳ ἐπιψευδόμενος, εἰς τὴν ἀνωτάτω βλασφημίαν καὶ μεγίστην ἀσέβειαν ἐμβέβληκας ἅπαντας τούς σοι πειθομένους. Διὸ [14] καὶ δικαίως καὶ ἁρμοζόντως τῇ τοιαύτῃ σου τόλμῃ ὁ θεῖος πρεσβύτης καὶ κῆρυξ τῆς ἀληθείας ἐμμέτρως ἐπιβεβόηκέ σοι, εἰπὼν οὕτως·

Εἰδωλοποιὲ Μάρκε, καὶ τερατοσκόπε,
Ἀστρολογικῆς ἔμπειρε καὶ μαγικῆς τέχνης,
Δι' ὧν κρατύνεις τῆς πλάνης τὰ διδάγματα,
pag. 246. Σημεῖα δεικνὺς τοῖς ὑπὸ σοῦ πλανωμένοις

8. μεταγενέστερον — σαυτοῦ *om. cod. Venet.*

9. ἣ τὸ *cod. Venet.*

10. αὐτὸν ὃν *rescripsi ex Vet. Interprete. Libri habent* αὐτὸ ὄν.

11. *Verba* στοιχείων μὲν εἶναι — — — αὐτὸν γεγονότα *om. cod. Venet.*

12. *Vet. Interpres:* similiter atque alphabetum, et ipsum qui omnia capit Patrem, a nullo autem capitur, in quaternationem — — suppartientem *cett. Unde correxi* αὐτόν τε τὸν πάντα *cett., cum libri haberent* αὐτὸν γεγονότα πάντα. *Petavius rescribendum putavit* ἀλφαβήτῳ γεγονότα, καὶ αὐτὸν τὸν πάντα *cett., Billius:* ἀλφαβήτῳ, καὶ αὐτὸν τὸν γεγο-

ctas. Quare priusquam Graecis illa traderentar nusquam Veritas esse potuit. Corpus enim ipsius, ut ais, Marce, Cadmo est, iisque qui illum antecesserunt, recentius, ceterisque adeo qui elementa reliqua repererunt, ac te etiam ipso. Tu enim solus eam, quam veritatem appellas, nescio quod in simulacrum detraxisti. Ecquem vero putas tuam illam usque eo loquacem Sigen posse sustinere, quae eum nominet qui nominari nequeat, et inexplicabilem explicet, et qui nullis vestigiis deprehendi potest investiget? Quid quod aperuisse dicit os illum, quem tu omnis et corporis expertem et figurae praedicas, sermonemque sic tanquam compositum quodpiam animal edidisse? Quem etiam sermonem eius a quo productus est similem, effigiemque nec aspectabilis Parentis elementorum triginta, syllabarum quatuor esse docuit. Quamobrem universorum Parens ille, perinde ac sermo, ut asseris, tricenis elementis ac syllabis quatuor constabit. Quis illud vero patienter ferat, in figuras ac numeros, alias XXX, alias XXIV, nonnunquam VI, conditorem omnium et artificem fabricatoremque dei sermonem a te redactum atque constrictum, dum hunc in syllabas IV, triginta vero elementa concidis? Qui dominum omnium, a quo coelestes illi orbes fundati sunt, in DCCCLXXXVIII numerum includis, quasi similem alphabeti naturam obtineat. Qui summum Parentem, a quo comprehenduntur omnia, cum a nemine ipse comprehendatur, in Tetradem, Ogdoadem, Decadem Dodecademque distinguis. Quique hac multiplicandi licentia hoc ipsum quod in Patre nec explicari verbis nec animo concipi posse praedicas oratione declaras, et quem corporis naturaeque facis expertem, eius et naturam et substantiam pluribus ex lineis, quarum aliae ex aliis gignantur, coagmentari disputas, in quo supremae virtutis illius falsissimum te Daedalum ac pessimum fabricatorem esse commonstras. Qui eandem virtutem, quam individuam statuis, in mutos, vocales ac semivocales sonos dividis, quodque mutum in illis est, Parenti omnium eiusque cogitationi falso tribuens extremam in blasphemiam atque insignem impietatem sectatores tuos impulisti. Quamobrem iure ac merito in hanc tuam adeo proiectam audaciam divinus ille senex, ac praeco veritatis his versibus invectus est:

*Idola fingens Marce, monstrorum artifex,*
*Fraudisque gnare magicae, et astrorum sciens,*
*Erroris unde dogma pestiferum struis,*
*Portenta caecae ficta dum turbae exhibes,*

νότα πάντα *cett.*, *Massuetus:* ἀλφαβήτῳ αὐτὸν γεγονότα, καὶ τὸν πάντα *cett. Stierenius:* ἀλφαβήτῳ, αὐτὸν τὰ πάντα *cett.*

13. *Ita corrigendum suasit Vet. Interpres. Nam Epiphanii libri habent* τοῦ υἱοῦ ἐννοίᾳ.

14. καὶ *om. cod. Venet.*

[15] Ἀποστατικῆς δυνάμεως ἐγχειρήματα,
[16] Ἃ σοι χορηγεῖ σὸς πατὴρ Σατὰν ἀεὶ
Δι' ἀγγελικῆς δυνάμεως Ἀζαζὴλ ποιεῖν,
Ἔχων σε πρόδρομον ἀντιθέου πανουργίας.

Καὶ ταῦτα μὲν ὁ θεοφιλὴς πρεσβύτης. Ἡμεῖς δὲ τὰ λοιπὰ τῆς μυσταγωγίας αὐτῶν μακρὰ ὄντα πειρασόμεθα βραχέως διεξελθεῖν, καὶ τὰ πολλῷ χρόνῳ κεκρυμμένα εἰς φανερὸν ἀγαγεῖν. Οὕτω γὰρ ἂν γένοιτο [17] εὐέλεγκτα πᾶσι.

Κεφ. ιβ'. Τὴν οὖν γένεσιν τῶν Αἰώνων αὐτῶν καὶ τὴν πλάνην τοῦ προβάτου καὶ ἀνεύρεσιν ἑνώσαντες ἐπιτοαυτὸ μυστικώτερον ἐπιχειροῦσιν ἀπαγγέλλειν οὗτοι [1] οἱ εἰς ἀριθμοὺς τὰ πάντα κατάγοντες, ἐκ Μονάδος καὶ Δυάδος [2] φάσκοντες τὰ ὅλα συνεστηκέναι, καὶ ἀπὸ Μονάδος ἕως τῶν τεσσάρων ἀριθμοῦντες οὕτω γεννῶσι τὴν Δεκάδα. Μία γὰρ καὶ δύο [3] καὶ τρεῖς καὶ τέσσαρες συντεθεῖσαι ἐπιτοαυτὸ τὸν τῶν δέκα Αἰώνων ἀπεκύησαν ἀριθμόν. Πάλιν δ' αὖ ἡ Δυὰς ἀπ' αὐτῆς προελθοῦσα ἕως τοῦ ἐπισήμου, οἷον δύο καὶ τέσσαρες καὶ ἕξ, τὴν Δωδεκάδα [4] ἀπέδειξε. Καὶ πάλιν ἀπὸ τῆς Δυάδος ὁμοίως ἀριθμούντων ἡμῶν ἕως τῶν δέκα, [5] ἡ λ̄ ἀνεδείχθη, ἐν ᾗ ὀκτὼ καὶ δέκα καὶ δώδεκα. Τὴν οὖν Δωδεκάδα [6] διὰ τὸ ἐπίσημον συνεσχηκέναι διὰ τὸ συνεπακολουθῆσαν αὐτῇ τὸ ἐπίσημον πάθος λέγουσι. Καὶ διὰ τοῦτο περὶ τὸν δωδέκατον ἀριθμὸν [7] του σφάλματος γενομένου τὸ πρόβατον ἀποσκιρτῆσαν πεπλανῆσθαι, ἐπειδὴ τὴν ἀπόστασιν ἀπὸ Δωδεκάδος γεγενῆσθαι φάσκουσι. Τῷ αὐτῷ τρόπῳ καὶ ἀπὸ τῆς Δωδεκάδος [8] ἀποστᾶσαν μίαν δύναμιν ἀπολωλέναι μαντεύονται, καὶ ταύτην εἶναι τὴν γυναῖκα τὴν ἀπολέσασαν τὴν δραχμὴν, καὶ ἅψασαν λύχνον, καὶ εὑροῦσαν αὐτήν. Οὕτως οὖν καὶ [9] ἔτι τοὺς ἀριθμοὺς τοὺς καταλειφθέντας, ἐπὶ μὲν τῆς δραχμῆς τοὺς ἐννέα, ἐπὶ δὲ τοῦ προβάτου τοὺς ἕνδεκα ἐπιπλεκομένους ἀλλήλοις τὸν τῶν ἐνενηκονταεννέα τίκτειν ἀριθμὸν, ἐπεὶ ἐννάκις τὰ ἕνδεκα ἐνενηκονταεννέα γίνεται. Διὸ καὶ τὸ Ἀμὴν τοῦτον λέγουσιν ἔχειν τὸν ἀριθμόν. Οὐκ ὀκνήσω δέ σοι καὶ ἄλλως ἐξηγουμένων αὐτῶν ἀπαγγεῖλαι, ἵνα πανταχόθεν κατανοήσῃς τὸν καρπὸν αὐτῶν. Τὸ γὰρ στοιχεῖον τὸ η̄ σὺν μὲν τῷ ἐπισήμῳ Ὀγδοάδα εἶναι θέλουσιν, ἀπὸ [10] τοῦ ᾱ ὀγδόῳ κεί-

15. ἀποστολικῆς *ed. princ.*

16. *Versus hos dedi restitutos a Billio, Petavio, Ios. Scaligero, ad verba Vet. Interpretis. Epiphanii enim libri habent* Ἃ συ χορηγεῖς ὡς πατὴρ Σατανᾶ, εἰ Δι' ἀγγελικῆς δυνάμεως ἐγχειρήματα Ἀζαζὴλ ποιεῖν.

17. εὐέλεκτα *cod. Rhedig.*

Cap. XII. — 1. οἱ *non comparet in cod. Ven. Suspectum mihi quidem est.*

2. φάσκοντες *non habet cod. Ven.*

3. καὶ *om. cod. Venet.*

4. ἐπέδειξεν *cod. Venet. et Pseudo-Origenes.*

5. *Ita cod. Rhedig. Paris. et editi libri, et Pseudo-Origenes. Consentit Vet. Interpres. At codd. Vatic. et Venet. habet* η̄ λ̄ δ̄ ἀνεδείχθη.

6. *Dedi haec verba quomodo leguntur in Epiphanii libris; nisi quod ex Pseudo-Origenis auctoritate pro* διὰ τὸν ἐπίσημον *scripsi* διὰ τὸ ἐπίσημον, *et pro* συνεπακολουθήσασαν *reposui* συνεπακολουθῆσαν. *Vet. Interpres habet:* Duodecadem

*Per te rebellis qualia aggreditur manus.*
*Haec tu illa Satanae fretus auxilio patris*
*Azazelisque mira designas ope,*
*Praecursor olli fraudis in superos datus.*

Haec pius ille senex cecinit. Nunc reliqua istorum mysteria, quamvis longissima sint, quam potero brevissime pertexam, eaque quae iamdudum occultata fuerunt in apertum proferam. Sic enim omnibus ad convincendum erunt facillima.

Igitur Aeonum generationem, aberrantemque primum, deinde recuperatam ovem in unum confundentes mystice interpretantur ii qui ad numeros universa referunt, et ex Unitate ac Binario componi arbitrantur omnia, atque ab uno ad quatuor numerando progressi Decadem efficiunt. Unum quippe ac duo, tria, quatuor, simul collecta decem Aeonum numerum pepererunt. Deinde binarius per se ad senarium procedens, hoc est duo, quatuor et sex, Dodecadem composuit. Rursus a binario eodem modo numerantibus ad decem usque triginta conflantur, in quibus insunt octo, decem ac duodecim. Ob id Dodecadem, quod senarium numerum comitem habuerit, ob senarium illum Passionem appellant. Eademque de caussa cum ad duodenarium numerum error adhaesisset, aberrantem a grege ovem longius evagari coepisse; quoniam ab Duodenario discessionem illam putant accidisse. Sic etiam ab Duodenario desciscentem virtutem periisse fingunt; eamque mulierem illam esse, quae amissa drachma lucernam accendit, atque eam reperit. Hoc itaque pacto reliquis innumeris, in drachma quidem novem, in ove undecim, si in sese ducantur, XCIX efficere. Nam novies XI numerum hunc producunt. Quare et in voce *Ἀμήν* eundem reperiri dicunt. Sed et aliter ista declarant, quod non pigebit exponere, ut cuiusmodi sit illorum fructus ex omni parte cognoscas. Etenim η̄ elementum cum episemo, Octonarium esse volunt, quod octavum a prima litera locum habet.

Cap. XII.

Luc. 15, 8.

igitur, eo quod episemon habuerit consequentem sibi, propter episemon passionem vocant. *Hunc seculi Petavius et Billius scripserunt:* διὰ τὸ τὸν ἐπίσημον ἐσχηκέναι συναχολουθήσαντα αὐτῇ, διὰ τὸν ἐπίσημον *cett., quam emendationem improbavit Grabius, cui placuit:* διὰ τὸν ἐπίσημον συνεσχηκέναι, διά τε συνεπακολουθῆσαι δὶς αὐτῇ τὸν ἐπίσημον *cett.* Τὴν οὖν Δωδεκάδα διὰ τὸ ἐπίσημον ἐσχηκέναι συνεπακολουθῆσαν (*cod. ms.* συνεπακολούθησεν) αὐτῇ τὸ ἐπίσημον πάθος, καὶ διὰ τοῦτο *cett. extat apud Pseudo-Origenem. Mihi videtur corrigendum:* Τὴν οὖν Δωδεκάδα τὸν ἐπίσημον συνεσχηκυῖαν διὰ τὸ συνεπακολουθῆσαι (*vel* συνεπακολουθήσαντα) αὐτῇ τὸν ἐπίσημον πάθος λέγουσι.

7. του *rescripsi ex Vet. Interpr. pro* τοῦ *quod vulgo extat.*

8. *Libri habent* ἀπόστασιν.

9. ἔτι *scripsi pro* ἐπὶ *quod libri praebent.*

10. τοῦ ᾱ ὀγδόῳ κείμενον ἐν τόπῳ *rescripsi ex Vet. Interprete, et Pseudo-Origene, qui habet:* ἀπὸ τοῦ ἄλφα ὀγδόῳ κείμενον τόπῳ. *Epiphanii libri praebent:* ἀπὸ τοῦ πρώτου ὀγδόου κείμενον τόπου. *Vet. Interpretis verba:* cum ab Alpha beta octavo sit posita loco *corrige sic:* cum ab alpha e t a o. s. p. l.

μενον ἐν τόπῳ· εἶτα πάλιν ἄνευ τοῦ ἐπισήμου ψηφίζοντες τὸν ἀριθμὸν pag. 247. αὐτῶν τῶν στοιχείων, καὶ ἐπισυνθέντες μέχρι τοῦ η̅, τὴν Τριακοντάδα ἐπιδεικνύουσιν. Ἀρξάμενος [11] γὰρ ἀπὸ τοῦ ἄλφα καὶ τελευτῶν εἰς τὸ η̅ [12] τῷ ἀριθμῷ τῶν στοιχείων, ὑπεξαιρούμενος δὲ [13] τὸ ἐπίσημον καὶ ἐπισυντιθεὶς τὴν ἐπαύξησιν τῶν γραμμάτων, εὑρήσει τὸν τῶν τριάκοντα ἀριθμόν. Μέχρι γὰρ τοῦ [14] ε̅ στοιχείου πεντεκαίδεκα γίνονται. Ἔπειτα προςτεθεὶς αὐτοῖς ὁ τῶν ἑπτὰ ἀριθμὸς β̅ καὶ κ̅ ἀπετέλεσε. [15] Προςελθὸν [16] δὲ τούτοις τὸ η̅, ὅ ἐστιν ὀκτὼ, τὴν θαυμασιωτάτην Τριακοντάδα ἀνεπλήρωσε. Καὶ ἐντεῦθεν ἀποδεικνύουσι τὴν Ὀγδοάδα μητέρα τῶν τριάκοντα Αἰώνων. Ἐπεὶ οὖν [17] ἐκ τριῶν δυνάμεων ἥνωται ὁ τῶν λ̅ ἀριθμὸς, [18] τρὶς αὐτὸς γενόμενος τὰ ἐνενήκοντα ἐποίησε. [19] Τρὶς γὰρ τριάκοντα ἐνενήκοντα. Καὶ αὐτὴ δὲ ἡ Τριὰς ἐφ' ἑαυτῆς συντεθεῖσα ἐννέα ἐγένησεν. Οὕτως δὲ ἡ Ὀγδοὰς τὸν τῶν [20] ἐνενήκοντα ἐννέα παρ' αὐτοῖς ἀπεκύησεν ἀριθμόν. Καὶ ἐπεὶ ὁ δωδέκατος Αἰὼν ἀποστὰς κατέλειψε [21] τοὺς ἄνω ἕνδεκα, [22] κατάλληλον λέγουσι τὸν τύπον τῶν γραμμάτων [23] τῷ σχήματι τοῦ Λόγου κεῖσθαι. Ἑνδέκατον γὰρ τῶν γραμμάτων [24] κεῖσθαι τὸ λ̅, ὅ ἐστιν ἀριθμὸς [25] τῶν τριάκοντα, καὶ κατ' εἰκόνα κεῖσθαι τῆς ἄνω οἰκονομίας, ἐπειδὴ ἀπὸ τοῦ ἄλφα χωρὶς τοῦ ἐπισήμου αὐτῶν τῶν γραμμάτων ὁ ἀριθμὸς ἕως τοῦ λ̅ [26] συντιθέμενος κατὰ τὴν παραύξησιν τῶν γραμμάτων σὺν αὐτῷ τῷ λ̅ τὸν τῶν ἐνενηκονταεννέα ποιεῖται ἀριθμόν. Ὅτι δὲ τὸ λ̅ ἑνδέκατον ὂν τῇ τάξει ἐπὶ τὴν τοῦ ὁμοίου αὐτοῦ κατῆλθε ζήτησιν, ἵνα ἀναπληρώσῃ τὸν δωδέκατον ἀριθμὸν, καὶ [27] εὑρὸν αὐτὸν ἐπληρώθη, φανερὸν εἶναι ἐξ αὐτοῦ τοῦ σχήματος τοῦ στοιχείου. [28] Τὸ γὰρ λ̅ ὥςπερ ἐπὶ τὴν τοῦ ὁμοίου αὐτῷ ζήτησιν παραγενόμενον, καὶ εὑρὸν, καὶ εἰς ἑαυτὸν ἁρπάσαν αὐτὸν, τὴν τοῦ δωδεκάτου ἀνεπλήρωσε χώραν, τοῦ μ̅ στοιχείου ἐκ δύο λ̅ συγκειμένου. [29] Διὸ καὶ φεύγειν [30] αὐτοὺς διὰ τῆς γνώσεως τὴν [31] τῶν ϛ̅θ̅ χώραν, τουτέστι τὸ ὑστέρημα, τύπον ἀριστερᾶς χειρὸς, μεταδιώκειν δὲ τὸ ἓν, ὃ προςτεθὲν τοῖς ἐνενηκονταεννέα εἰς τὴν δεξιὰν [32] αὐτοὺς χεῖρα μετέστησε.

Κεφ. ιγ΄. Σὺ μὲν ταῦτα διερχόμενος, ἀγαπητὲ, εὖ οἶδα ὅτι γελάσεις πολλὰ τὴν τοιαύτην αὐτῶν οἰησίσοφον μωρίαν. Ἄξιοι δὲ πένθους οἱ τηλι-

11. τις *pronomen post* γὰρ *addunt Pseudo-Origenes et Vet. Interpres.*
12. τὸν ἀριθμὸν *habet Pseudo-Origenes.*
13. τὸν *habet Pseudo-Origenes.*
14. ε̅ *reponendum erat ex Vet. Interprete. Libri Epiphanii habent* ϛ̅.
15. προςελθὼν *habent libri.*
16. δὲ *addidi ex cod. Veneto.*
17. ἐκ τριῶν *pro vulgato* ἐκ τριάκοντα *rescribi iussit Vet. Interpres.*
18. τρὶς *reposui pro vulgato* τρεῖς *de auctoritate cod. Ven. et Vet. Interpretis.*
19. *Ita cod. Ven. Vulgo* τρεῖς.
20. ἐνενήκοντα ἐννέα *scripsi ex cod. Ven., Pseudo-Origene et Vet. Interprete.* ἐνενήκοντα *vulgo abest. — Pro* Οὕτως δὲ *in cod. Rhedig. extat* Οὕτως τε.
21. ἄνω τοὺς *coniecit Petavius ex Vet. Interprete.* τὸν ἕνδεκα, *omisso vocabulo* ἄνω, *habet Pseudo-Origenes.*
22. *consequenter vertit Vet. Interpres. Unde Billius rescribendum putavit* καταλλήλως.

**Inde omisso rursus episemo et ipsorum elementorum subducto numero atque composito usque ad octo tricenarium perficiunt. Nam qui ab ᾱ coeperit, et in η̄ desierit, elementa numerando, dempta tamen senarii nota ac literarum in unum progressione conflata, triginta reperiet. Quoniam ad ε̄ usque XV consurgunt. His adiuncta septem XXII faciunt. Quibus η̄, hoc est octo, si accesserint, admirabilem illum Tricenarium implebunt. Hinc Aeonum triginta matrem Ogdoadem constituunt. Et quoniam tribus virtutibus Tricenarius componitur, ter in sese ductus nonaginta producit. Ter enim triginta ad nonaginta perveniunt. Sed et ternarius quoque ductus in se novem efficit. Sic Ogdoas XCIX numerum apud illos peperit. Cumque duodecimus Aeon deficiens sursum XI reliquerit, in *Λόγου*, hoc est Verbi, figura consentaneam literarum formam adhibitam putant. Etenim undecima ordine literarum est λ̄, qui tricenarius est numerus, et ad exemplar coelestis providentiae posita. Quandoquidem si ab ᾱ, ad λ̄ usque, dempto tamen episemo, continua literarum additione numerum earum colligas, comprehenso simul λ̄ nonaginta novem prodeunt. Ceterum λ̄ ipsum, quod ordine est undecimum, ad quaerendum sui simile descendisse, ut duodecimum impleret, idque eo reperto consecutum esse, satis ipsam elementi figuram arguere. Quippe λ̄ ad sui similis inquisitionem adveniens, cum illud invenisset et ad sese rapuisset, duodecimi locum implevit. Unde et μ̄ asserunt ex duplici λλ̄ esse contextum. Proptereaque nonaginta novem regionem ipsos cognitione fugere, defectum scilicet ac sinistrae manus figuram, unum vero consectari, quod ad XCIX additum dextram ipsos ad manum transtulerit.**

**Cum tu ista, carissime, percurres, non dubito quin hasce vanissimas ineptias magnopere derideas. Sed deplorandi nihilominus** Cap. XIII.

23. ἐν τῷ σχήματι *secundum Vet. Interpretem coniecit Billius.*

24. κεῖσθαι *reposui ex Vet. Interprete et Pseudo-Origene. Libri habent* κεῖται.

25. τῶν τριάκοντα *scripsi cum Pseudo-Origene et Vet. Interprete. Vulgo enim legitur* τῶν λ̄.

26. συντεθειμένος *Pseudo-Origenes.*

27. εὑρὼν *cod. Rhedig. et edit. princ.*

28. *Verba* Τὸ γὰρ λ̄ — — — τοῦ μ̄ στοιχείου *desiderantur in edit. princ. Primum ex cod. Vatic. ea addidit Petavius.*

29. διὸ δὴ καὶ *Pseudo-Origenes.*

30. *Ita Vet. Interpres et Pseudo-Origenes (in quo et* φυγεῖν *pro* φεύγειν*). Vulgo* αὐτοῦ.

31. *Ita codd. Ven. Vatic. Rhedig. et ed. Petav. Antea scriptum erat* ε̄θ̄.

32. αὐτοὺς *reposui ex Vet. Interprete. Epiphanii libri et Pseudo-Origenes habent* αὐτοῦ.

καύτην θεοσέβειαν καὶ τὸ μέγεθος τῆς [1] ἀληθείᾳ ἀρρήτου δυνάμεως καὶ τὰς τοσαύτας οἰκονομίας τοῦ θεοῦ, διὰ τοῦ ἄλφα καὶ [2] τοῦ βῆτα καὶ δι' ἀριθμῶν οὕτως ψυχρῶς καὶ βεβιασμένως διασύροντες. Ὅσοι pag. 218. δὲ ἀφίστανται τῆς ἐκκλησίας καὶ τούτοις τοῖς γραώδεσι μύθοις πείθονται, ἀληθῶς αὐτοκατάκριτοι, οὓς ὁ Παῦλος ἐγκελεύεται ἡμῖν μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτεῖσθαι. Ἰωάννης δὲ ὁ τοῦ κυρίου μαθητὴς ἐπέτεινε τὴν καταδίκην αὐτῶν, μηδὲ χαίρειν αὐτοῖς ὑφ' [3] ὑμῶν λέγεσθαι βουληθείς. Ὁ γὰρ λέγων αὐτοῖς, φησὶ, χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτῶν τοῖς πονηροῖς. Καὶ εἰκότως. Οὐκ ἔστι γὰρ χαίρειν τοῖς ἀσεβέσι, λέγει κύριος. Ἀσεβεῖς δὲ ὑπὲρ πᾶσαν ἀσέβειαν οὗτοι οἱ τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς μόνον θεὸν παντοκράτορα, ὑπὲρ ὃν ἄλλος θεὸς οὐκ ἔστιν, ἐξ ὑστερήματος, καὶ αὐτοῦ ἐξ ἄλλου ὑστερήματος γεγονότος, προβεβλῆσθαι λέγοντες· ὥςτε κατ' αὐτοὺς εἶναι αὐτὸν προβολὴν τρίτου ὑστερήματος. Ἣν γνώμην ὄντως καταφυσήσαντας καὶ καταθεματίσαντας δέον πόρρω που μακρὰν φυγεῖν ἀπ' αὐτῶν, καὶ ᾗ πλέον διϊσχυρίζονται καὶ χαίρουσιν ἐπὶ τοῖς παρευρέμασιν αὐτῶν, ταύτῃ μᾶλλον εἰδέναι πλέον αὐτοὺς ἐνεργεῖσθαι ὑπὸ τῆς Ὀγδοάδος τῶν πονηρῶν πνευμάτων. Καθάπερ οἱ εἰς φρενῖτιδα διάθεσιν ἐμπεσόντες ᾗ πλέον γελῶσι καὶ ἰσχύειν δοκοῦσιν καὶ ὡς ὑγιαίνοντες πάντα πράττουσι, ἔνια δὲ καὶ ὑπὲρ τὸ ὑγιαίνειν, ταύτῃ μᾶλλον κακῶς ἔχουσιν. Ὁμοίως δὲ καὶ οὗτοι ᾗ μᾶλλον ὑπερφρονεῖν δοκοῦσι καὶ ἐκνευρίζουσιν ἑαυτοὺς, ὑπέρτονα τοξεύοντες, ταύτῃ μᾶλλον οὐ σωφρονοῦσιν. Ἐξελθὸν γὰρ τὸ ἀκάθαρτον πνεῦμα τῆς ἀγνοίας ἔπειτα σχολάζοντας αὐτοὺς οὐ θεῷ, ἀλλὰ κοσμικαῖς ζητήσεσιν, εὑρὸν προςπαραλαβὸν ἕτερα [4] πνεύματα ἑπτὰ πονηρότερα ἑαυτοῦ, καὶ χαυνῶσαν αὐτῶν τὴν γνώμην, ὡς δυναμένων τὰ ὑπὲρ τὸν θεὸν ἐννοεῖν, καὶ [5] ἐπιτήδευον εἰς [6] ὑπερέκκρουσιν κατασκευάσαν, τὴν Ὀγδοάδα τῆς [7] ἀνοίας τῶν πονηρῶν πνευμάτων εἰς αὐτοὺς ἐνεθήκωσε.

Κεφ. ιδ'. Βούλομαι δέ σοι καὶ ὡς αὐτὴν τὴν κτίσιν κατ' εἰκόνα τῶν ἀοράτων ὑπὸ τοῦ Δημιουργοῦ, ὡς ἀγνοοῦντος αὐτοῦ, κατεσκευάσθαι διὰ τῆς Μητρὸς λέγουσι, διηγήσασθαι. Πρῶτον μὲν τὰ τέσσαρα στοιχεῖά φασι, πῦρ, ὕδωρ, γῆν, ἀέρα, εἰκόνα προβεβλῆσθαι τῆς ἄνω πρώτης Τετράδος, τάς τε ἐνεργείας αὐτῶν συναριθμουμένας, οἷον θερμόν τε καὶ ψυχρὸν, ξηρόν τε καὶ ὑγρὸν, ἀκριβῶς ἐξεικονίζειν τὴν Ὀγδοάδα. pag. 219. [1] Ἑξῆς δέκα δυνάμεις οὕτως καταριθμοῦσιν, ἑπτὰ μὲν [2] σώματα κυ-

Cap. XIII. — 1. ἀληθείᾳ *scripsi pro* ἀληθείας, *quod libri habent. Vet. enim Interpres vere vertit.*
2. τοῦ *om. cod. Ven.*
3. ὑμῶν *libri mei tam scripti quam editi, praeter edit. princ., ubi* ἡμῶν *extat. Etiam Vet. Interpres habet* a nobis.
4. πνεύματα *desideratur in edit. princ. Petavius primum de cod. Vatic. addidit.*
5. aptabiliter *habet Vet. Interpres.*
6. ὑπέκκρουσιν *coniecit Petavius. Vet. Interpres habet* exclusionem.

sunt qui tam sacrosanctam religionem vereque inexplicabilis potentiae magnitudinem, tantam denique divini numinis providentiam per illud suum alpha, beta ceterosque numeros tam frigide violenterque traducant. Ac quicumque se ab ecclesia segregant, ut ad aniles hasce fabulas adhaerescant, sane *suometipsi iudicio damnati sunt;* Tit. 3, 10.
*quos secundum unam alteramque correptionem devitare* Paulus hortatus est. Ioannes vero Christi discipulus maiore illos poena condemnavit, cum ne salutari quidem a nobis patiatur. *Qui enim,* inquit, *ave* 2. Ioann. 11.
*illis dixerit, communicat operibus illorum malignis.* Merito sane. *Neque enim pax est impiis,* dicit dominus. At istorum impietas im- Esai. 48, 22.
pietatem omnem superat; qui coeli terraeque fabricatorem, ac solum omnipotentem deum, supra quem nullus alius est deus, ex defectu, qui et ipse ex alio sit ortus defectu, derivatum existimant, ut ex illorum opinione tertio quodam ex defectu prodierit. Qua quidem explosa damnataque sententia procul ab illis fugiendum est ac, quanto sunt in errore pertinaciores inventisque pessimis impensius delectantur, tanto eos magis putandum est ab scelestissimorum daemonum Ogdoade concitari. Uti phreneticis accidit, qui, quo amplius rident ac vegeto esse corpore videntur, omniaque ceu valentes ac sani, ac nonnulla etiam aliquanto quam si sani essent robustius, gerunt, eo sese deterius habent. Similiter isti quo vehementius sapere videntur, seque ipsos enervant, dum intento velut acrius arcu sagittas emittunt, eo maiore vesania tenentur. Impurus quippe ignorantiae spiritus egrediens, eosque non deo, sed profanis quaestionibus implicatos reperiens, *adhibitis septem aliis seipso nequioribus,* inflatis- Matth. 12, 43.
que vana persuasione illorum animis, quasi vel supra deum ipsum attollere se cognitione possint, ubi idoneos opportunosque fraudibus suis reddiderit, quandam stoliditatis improborum spirituum Ogdoadem in illos immittit.

Age vero illud insuper exponamus, quemadmodum creatas res Cap. XIV.
omnes ad eorum quae videri nequeunt similitudinem a conditore sic productas asserant, ut eo quid ageret nesciente beneficio Matris extiterint. Principio elementa illa quatuor, ignem, aquam, terram, aërem, ad summae primaeque Tetradis effigiem esse constituta narrant. Quorum ad agendum efficacitates, puta calorem, frigus, siccitatem et humorem, exactam Ogdoadis imaginem referre. Tum decem hoc modo Virtutes enumerant. Primum septem corporeos

7. ignorantiae *habet Vet. Interpres, ut* ἀγνοίας *videatur legisse.*

Cap XIV. — 1. ἐξ ἧς *pro* ἑξῆς *habet Pseudo-Origenes et Vet. Interpres, qui ex qua vertit.*

2. *Ita rescripsi, sensu postulante, de auctoritate Vet. Interpretis et Pseudo-Origenis. Epiphanii libri praebent* σωματικὰ κυκλοειδῆ.

*κλοειδῆ, ἃ καὶ οὐρανοὺς καλοῦσιν· ἔπειτα τὸν περιεκτικὸν αὐτῶν κύκλον, ὃν καὶ ὄγδοον οὐρανὸν ὀνομάζουσι, πρὸς δὲ τούτοις ἥλιόν τε καὶ σελήνην. Ταῦτα δέκα ὄντα τὸν ἀριθμὸν εἰκόνας λέγουσιν εἶναι τῆς ἀοράτου Δεκάδος τῆς ἀπὸ Λόγου καὶ Ζωῆς προελθούσης, τὴν δὲ Δωδεκάδα μηνύεσθαι διὰ τοῦ [3] ζωδιακοῦ [4] τοῦ καλουμένου κύκλου. Τὰ γὰρ δώδεκα ζώδια φανερώτατα τὴν τοῦ Ἀνθρώπου καὶ τῆς Ἐκκλησίας θυγατέρα Δωδεκάδα σκιαγραφεῖν λέγουσι. Καὶ ἐπεὶ [5] ἀντεπεζεύχθη, φασὶ, [6] τῇ τῶν ὅλων φορᾷ ὠκυτάτῃ ὑπαρχούσῃ [7] ὁ ὕπερθεν οὐρανὸς, ὁ πρὸς αὐτῷ τῷ κύτει βαρύνων καὶ ἀντιταλαντεύων τὴν ἐκείνων ὠκύτητα τῇ ἑαυτοῦ βραδυτῆτι, ὥστε αὐτὸν ἐν τριάκοντα ἔτεσι τὴν περίοδον ἀπὸ σημείου ἐπὶ σημεῖον ποιεῖσθαι, εἰκόνα λέγουσι αὐτὸν τοῦ Ὅρου, τοῦ τὴν τριακοντώνυμον Μητέρα αὐτῶν περιέχοντος· τὴν σελήνην τε πάλιν [8] τὸν ἑαυτῆς οὐρανὸν [9] ἐκπεριερχομένην τριάκοντα ἡμέραις διὰ τῶν ἡμερῶν τὸν ἀριθμὸν τῶν τριάκοντα Αἰώνων [10] ἐκτυποῦν· καὶ τὸν ἥλιον δὲ ἐν δεκαδύο μησὶ [11] περιερχόμενον καὶ τερματίζοντα τὴν κυκλικὴν αὐτοῦ ἀποκατάστασιν διὰ τῶν δώδεκα μηνῶν τὴν [12] Δωδεκάδα φανερὰν ποιεῖν, τὰς δὲ ἡμέρας δεκαδύο ὡρῶν τὸ μέτρον ἐχούσας τύπον τῆς [13] φαεινῆς Δωδεκάδος εἶναι. Ἀλλὰ μὴν καὶ τὴν ὥραν φασὶ τὸ δωδέκατον τῆς ἡμέρας ἐκ τριάκοντα μοιρῶν κεκοσμῆσθαι, διὰ τὴν εἰκόνα τῆς Τριακοντάδος. Καὶ αὐτοῦ δὲ τοῦ ζωδιακοῦ κύκλου τὴν περίμετρον εἶναι μοιρῶν τριακοσίων ἑξήκοντα· ἕκαστον γὰρ ζώδιον μοίρας ἔχει τριάκοντα. Οὕτως δὲ καὶ διὰ τοῦ κύκλου τὴν εἰκόνα τῆς συναφείας τῶν δώδεκα πρὸς τὰ τριάκοντα [14] τετηρῆσθαι λέγουσιν. Ἔτι μὴν καὶ τὴν γῆν εἰς δώδεκα κλίματα διῃρῆσθαι φάσκοντες, καὶ κατ' ἕκαστον κλίμα [15] δύναμιν ἐκ τῶν οὐρανῶν κατὰ κάθετον ὑποδεχομένην, [16] καὶ ἐοικότα τίκτουσαν τέκνα τῇ καταπεμπούσῃ [17] τὴν ἀπόρροιαν δύναμιν τύπον εἶναι τῆς Δωδεκάδος καὶ τῶν τέκνων αὐτῆς σαφέστατον διαβεβαιοῦνται. Πρὸς δὲ τούτοις θελήσαντά φασι τὸν Δημιουργὸν τῆς ἄνω Ὀγδοάδος τὸ ἀπέραντον καὶ αἰώνιον καὶ ἀόριστον καὶ ἄχρονον μιμήσασθαι, καὶ μὴ δυνηθέντα τὸ [18] μόνιμον αὐτῆς καὶ ἀΐδιον ἐκτυπῶσαι, διὰ τὸ καρπὸν εἶναι ὑστερήματος, [19] εἰς χρόνους καὶ καιροὺς ἀριθμούς*

3. ζωδιακοῦ *codd. Vatic. Venet., et ed. Petavii. Cod. Rhedig. et edit. princ. habent* ζώου.

4. τοῦ *non habet cod. Venet., neque Pseudo-Origenes.*

5. ἀνεζεύχθη *Pseudo-Origenes.* superiunctum *habet Vet. Interpres.*

6. τῇ τῶν ὅλων ἀναφορᾷ ὠκυτάτῃ ὑπαρχούσῃ *Pseudo-Origenes.* τὴν τῶν ὅλων φορὰν ὠκυτάτην ὑπάρχουσαν *Epiphanii libri, tam scripti quam editi.* πρὸς τὴν τῶν ὅλων φ. ὠκυτ. ὑπάρχουσαν *emendatio Petavii est.*

7. ὁ ὕπερθεν οὐρανὸς *Pseudo-Origenes, conspirans cum Vet. Interpr.* οὗπερ ὁ χρόνος *habent Epiphanii libri.* ὁ ὑπερῷν Κρόνος *coniecerunt Billius et Petavius.*

8. τὸν ἑαυτῆς *codd. Vatic. et Venet. Ab reliquis libris articulus abest.*

9. ἐκπεριερχομένην *est emendatio Petavii. Nam Vet. quoque Interpres habet* circumeuntem. *Pseudo-Origenes:* ἐκπεριεχομένην ἐν cett. *Epiphanii libri omnes habent* ἐμπεριεχομένην.

10. ἐκτυποῦν *codd. Vatic Venet., et edit. Petavii. Nec differt scriptura Vet. Interpretis.* ἐκτυποῦσι *codd. Rhedig. Paris., et*

orbes, quos coelos appellant: deinde maiorem illum reliquos ambientem, quod octavum coelum nominant. Praeterea solem et lunam. Quae omnia denario comprehensa numero Decadis illius, quae a Verbo Vitaque nec aspectabilis profluxit, figuram esse dictitant. Nam Dodecadem orbe illo signifero demonstrari; quod duodecim in eo signa manifestissime illam Hominis Ecclesiaeque filiam Dodecadem exprimant. Quoniam autem ad vehementissimum illum universitatis impetum moderandum ex adverso Saturnus adiunctus est, qui immensae moli proximus rapiditatem illam inhibet ac sua tarditate compensat, sic ut annorum triginta spatio a puncto ad punctum rediens circuitus suos absolvat, id quidem Horo mirifice congruere, qui ipsorum Matrem triginta vocabulis insignitam complectitur. Ad haec lunam, quae triginta diebus orbem suum conficit, hoc ipso numero Aeones adumbrare totidem. Solem vero duodenis circumvolutum mensibus conversionesque suas eo intervallo terminantem horum numero mensium Dodecadem referre. Dies porro duodecim horarum spatio definitos simulacrum quoddam lucidae illius esse Dodecadis. Velut hora, quae duodecima diei pars est, tricenis est instructa partibus, quae Tricenarii similitudinem gerunt. Quin etiam signiferi illius orbis ambitum partibus constare CCCLX. Nam unumquodque signum XXX complectitur. Ita in hoc etiam circulo servatam esse dicunt eius necessitudinis imitationem, quae Duodenarium inter ac Tricenarium intercedit. Deinde terra duodecim in climata regionesque divisa, et in singulis demissam e coelo virtutem aut perpendiculum excipiens, eique virtuti, unde derivata illa est, simillimos fetus pariens Dodecadem, ut aiunt, ipsam eiusque liberos manifeste repraesentat. Praeter haec conditorem narrant, cum supremae Ogdoadis infinitatem, aeternitatem ac temporis locique circumscriptione carentem conditionem imitari cuperet, neque quod in illa stabile est ac sempiternum posset exprimere, eo quod fructus esset penuriae ac defectus aliquis, in tempestates ac tempora et mul-

*edit. princ.* ἐκτυποῦσαν *Pseudo-Origenes.* ἐκτυπῶσαι *Billius.*

11. περιερχόμενον *rescripsi ex Vet. Interprete, postulante sententia. Epiphanii libri omnes praebent* περιεχόμενον, *Pseudo-Origenes* ἐμπεριεχόμενον.

12. δωδεκάδα *Pseudo-Origenes et Vet. Interpres.* δωδεκάτην *Epiphanii libri.*

13. κενῆς *Pseudo-Origenes.* non apparentis *convertit Vet. Interpres; unde correxerunt* οὐ φαεινῆς.

14. μετρῆσθαι *cod. Pseudo-Origenis.*

15. ἀνὰ μίαν δύναμιν *Pseudo-Origenes.* unamquamque virtutem *vertit etiam Vet. Interpres.*

16. καὶ *addidi ex codd. Veneto et Vatic., et Vet. Interprete. Pseudo-Origenes:* καὶ ὁμοίωμα τίκτουσαν *cett.*

17. τὴν ἀπόρροιαν *codd. Venet. Rhedig.* κατὰ (*repone* κάτω) τὴν ἀπόρροιαν *Pseudo-Origenes. Vulgata scriptura est* ὑπόρροιαν. *Pro* δύναμιν *Vet. Interpres legit* δυνάμει.

18. ἄμωμον *Pseudo-Origenes.*

19. *Pseudo-Origenes:* εἰς τοῦτο χρόνους καὶ καιρούς, ἀρ. τ. π. πρὸς τὸ αἰώνιον αὐτῆς τεθεῖσθαι. Γενόμενον μὲν οὖν ἐν τῷ πλήθει *cett.*

τε πολυετεῖς τὸ αἰώνιον αὐτῆς κατατεθεῖσθαι, οἰόμενον ἐν τῷ πλήθει pag. 258. τῶν χρόνων μιμήσασθαι αὐτῆς τὸ [20] ἀπέραντον. Ἐνταῦθά τε λέγουσιν ἐκφυγούσης αὐτὸν τῆς Ἀληθείας ἐπηκολουθηκέναι τὸ ψεῦδος, καὶ διὰ τοῦτο κατάλυσιν πληρωθέντων τῶν χρόνων λαβεῖν αὐτοῦ τὸ ἔργον.

Κεφ. ιε'. Καὶ περὶ μὲν τῆς κτίσεως τοιαῦτα λέγοντες καθ' ἑκάστην ἡμέραν ἐπιγεννᾷ ἕκαστος αὐτῶν καθὼς δύναται καινότερόν [1] τι. Τέλειος γὰρ οὐδεὶς ὁ μὴ μεγάλα ψεύσματα παρ' αὐτοῖς καρποφορήσας. Ἐκ δὲ τῶν προφητικῶν ὅσα [2] μεταμορφάζουσιν ἀναγκαῖον μηνύσαντα τὸν ἔλεγχον αὐτοῖς ἐπάγειν. Ὁ γὰρ Μωϋσῆς, φασὶν, ἀρχόμενος τῆς κατὰ τὴν κτίσιν πραγματείας, εὐθὺς ἐν ἀρχῇ τὴν Μητέρα τῶν ὅλων ἐπέδειξεν, εἰπὼν, [3] Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Τέσσαρα οὖν ταῦτα ὀνομάσας, θεὸν καὶ ἀρχὴν, οὐρανὸν καὶ γῆν, τὴν τετρακτὴν αὐτῶν, ὡς αὐτοὶ λέγουσι, διετύπωσε. Καὶ [4] τὸ ἀόρατον δὲ καὶ [5] τὸ ἀπόκρυφον αὐτῆς μηνύοντα εἰπεῖν, Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. Τὴν [6] δὲ δευτέραν Τετράδα γέννημα πρώτης Τετράδος οὕτως αὐτὸν εἰρηκέναι θέλουσιν, ἄβυσσον ὀνομάζοντα, καὶ σκότος [7] ἐν σφίσιν αὐτοῖς, καὶ ὕδωρ, καὶ τὸ ἐπιφερόμενον τῷ ὕδατι πνεῦμα. Μεθ' ἣν τῆς Δεκάδος μνημονεύοντα [8] φῶς λέγειν, καὶ ἡμέραν, καὶ νύκτα, στερέωμά τε καὶ ἑσπέραν, καὶ ὃ καλεῖται πρωΐ, ξηράν τε καὶ θάλασσαν, ἔτι τε βοτάνην, καὶ δεκάτῳ τόπῳ [9] τὸ ξύλον· οὕτω δὲ διὰ τῶν δέκα ὀνομάτων τοὺς δέκα Αἰῶνας μεμηνυκέναι. Τῆς δὲ Δυοδεκάδος οὕτως ἐξεικονίσθαι παρ' αὐτῷ τὴν δύναμιν. Ἥλιον γὰρ λέγειν, καὶ σελήνην, ἀστέρας τε καὶ καιροὺς, ἐνιαυτούς τε καὶ κήτη, ἰχθύας καὶ ἑρπετὰ, πετεινὰ καὶ τετράποδα, θηρία τε καὶ [10] ἐπὶ πᾶσι τούτοις δυοδέκατον τὸν ἄνθρωπον. Οὕτως ὑπὸ τοῦ πνεύματος [11] τὴν Τριακοντάδα διὰ Μωϋσέως εἰρῆσθαι διδάσκουσιν. Ἀλλὰ μὴν καὶ τὸν πλαστὸν ἄνθρωπον κατ' εἰκόνα τῆς ἄνω δυνάμεως ἔχειν ἐν αὐτῷ τὴν ἀπὸ τῆς μιᾶς [12] πηγῆς δύναμιν, ἱδρῦσθαι δὲ [13] ταύτην ἐν τῷ κατὰ τὸν ἐγκέφαλον τόπῳ· ἀφ' ἧς ἀπορρεῖν δυνάμεις τέσσαρας κατ' εἰκόνα τῆς ἄνω Τετράδος καλουμένας τὴν μὲν ὅρασιν; τὴν δὲ ἀκοὴν, τὴν δὲ τρίτην ὄσφρησιν, καὶ τὴν τετάρτην γεῦσιν. Τὴν δὲ Ὀγδοάδα φασὶ μηνύεσθαι διὰ τοῦ Ἀνθρώπου οὕτως, ἀκοὰς μὲν δύο [14] ἔχοντος, καὶ τοσαύτας ὁράσεις, ἔτι τε ὀσφρήσεις δύο, καὶ διπλῆν γεῦσιν, πικροῦ τε καὶ γλυ-

20. ἀόρατον *Pseudo-Origenes.*

Cap. XV. — 1. τι *adieci ex Vet. Interprete.*

2. μεταμορφάζουσιν *codd. Ven. Rhedig. Paris., et ed. Petav.* μεταμορφόζουσιν *ed. princ. Vet. Interpres:* transformantes coaptant. *Billius et Fronto Ducaeus bene correxerunt* μεθαρμόζουσι, *Massuetus* μεταμορφάζοντες μεθαρμόζουσι.

3. *Verba* ἐν ἀρχῇ — — — καὶ γῆν *desiderantur in ed. princ. Petavius primum ea addidit ex cod. Vatic.*

4. τὸ *correxi ex Vet. Interprete. Vulgo extat* τὸν.

5. *Vulgo* τὸν. *Omitt. cod. Venet.*

6. δὲ *particulam, quam legit Vet. Interpres, postulante sententia repetivi ex voc.* δευτέραν. *Desideratur enim in omnibus*

tiplices annorum numeros aeternitatem illam distribuisse, existimasseque posse se temporum coacervata multitudine illius infinitatem adipisci. Ex quo factum illud arbitrantur, ut cum ei se Veritas subtraxisset, repente sit falsitas consecuta. Ideoque completis temporibus illius opus esse solvendum.

Cum haec igitur sit illorum de creatione sententia, quotidie Cap. XV. tamen singuli, prout quisque potest, novi aliquid excogitant, ut nemo sit inter eos denique perfectus qui non insigne aliquod mendacium velut fructum proferat. Nunc quae ex prophetarum oraculis ad suos sensus accommodare testimonia solent, commemoranda primum, deinde refellenda sunt. Moyses enim, inquiunt in ipso statim operis aditu, quo de rerum creatione disputat, omnium Matrem commemorat, his verbis: *In principio creavit deus coelum et terram.* Gen. 1, 1. Ubi cum quatuor ista nominarit, deum, principium, coelum ac terram, suam asserunt comprehensam esse Tetradem. Quod autem occulta eadem illa nec aspectabilis sit id sequentibus verbis attigisse: *Terra autem erat invisibilis et informis.* Secundam vero Tetradem, qui prioris est fetus, sic Moysen expressisse declarant, cum abyssum et tenebras, aquam atque incubantem aquis spiritum nominavit. Postea Decadis quoque mentionem ibidem fieri, cum lux, dies et nox, firmamentum, vespera, mane, arida, mare, herba, ac decimo tandem loco lignum proponitur. His enim vocabulis decem totidem Aeones intelligi. Nam Dodecadis vim hoc illum adumbrasse modo sentiunt. Quippe solem et lunam, sidera, tempestates, annos, cete, pisces, reptilia, volucres, quadrupedes, feras, ac postremo loco duodecimum hominem proposuisse; eoque modo Tricenarium a Moyse commemoratum existimant. Hominem porro ad supremae virtutis exemplar effictum manantem ab uno fonte vim in sese continere, eamque in cerebro collocatam esse, a quo facultates quatuor profectae coelestem illam Tetradem adumbrant. Sunt autem hae: visus, auditus, olfactus et gustus. Ogdoadem vero sic Hominem referre statuunt: quod et aures duas habeat, oculosque totidem, nares item ad olfaciendum duas, ac duplicem gustum, amari

*Epiphanii libris.*

7. in quibus *versio est antiqua.*

8. φεῶς *codd. Vatic. Venet., et ed. Petav. cum Vet. Interprete.* σαφῶς *cod. Rhedig. et ed. princ.*

9. τὸ ξύλον *cod. Ven. Vatic. In reliquis libris articulus non comparet.*

10. *Ita corrigenda erant ex Vet. Interprete verba quae vulgo leguntur* πετεινά που τοῖς.

11. *Epiphanii libri habent* τὴν τριάκοντα. *Sed in cod. Rhedig.* τριακοντάδα *primitus fuisse rasura indicat.*

12. πηγὴν δύναμιν *codd. Ven. Vatic. In reliquis libris solum* πηγὴν *extat.*

13. ταύτην *codd. Venet. Vatic. Et ita primitus etiam in cod. Rhedig. scriptum fuisse videtur pro* ταῦτα, *quae vulgata est librorum scriptura.*

14. ἔχοντος *emendationem, quam structura postulat, firmat Vet. Interpres. Vulgo* ἔχοντας.

pag. 251. κέως. Ὅλον δὲ τὸν ἄνθρωπον πᾶσαν τὴν εἰκόνα τῆς Τριακοντάδος οὕτως ἔχειν διδάσκουσιν. Ἐν μὲν ταῖς χερσὶ διὰ τῶν δακτύλων τὴν Δεκάδα βαστάζειν, ἐν ὅλῳ δὲ τῷ σώματι εἰς δεκαδύο μέλη διαιρουμένῳ τὴν Δωδεκάδα. Διαιροῦσι δὲ αὐτὸ καθάπερ τὸ τῆς Ἀληθείας διῄρηται παρ' [15] αὐτοῖς σῶμα, περὶ οὗ προειρήκαμεν. Τήν τε οὖν Ὀγδοάδα, ἄρρητόν τε καὶ ἀόρατον οὖσαν, ἐν τοῖς σπλάγχνοις κρυβομένην νοεῖσθαι.

Κεφ. ιϛ'. Ἥλιον δὲ πάλιν τὸν μέγαν φωστῆρα ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν γεγονέναι διὰ τὸν τῆς Τετράδος ἀριθμὸν φάσκουσι· τῆς τε σκηνῆς τῆς ὑπὸ Μωϋσέως κατασκευασθείσης αἱ [1] αὐλαὶ ἐκ βύσσου, καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου γεγονυῖαι τὴν αὐτὴν παρ' αὐτοῖς ἐπέδειξαν εἰκόνα· τόν τε τοῦ ἱερέως ποδήρη, τέσσαρσι [2] στοιχείοις λίθων πολυτελῶν κεκοσμημένον τὴν Τετράδα σημαίνειν διορίζονται, καὶ εἴ τινα τοιαῦτα κεῖται ἐν ταῖς γραφαῖς εἰς τὸν τῶν τεσσάρων δυνάμενα ἄγεσθαι ἀριθμὸν, διὰ τὴν Τετρακτὺν αὐτῶν φασι γεγονέναι. Τὴν δὲ Ὀγδοάδα πάλιν δείκνυσθαι οὕτως. Ἐν τῇ ὀγδόῃ τῶν ἡμερῶν πεπλάσθαι λέγουσιν τὸν ἄνθρωπον. Ποτὲ μὲν γὰρ αὐτὸν τῇ ἕκτῃ βούλονται γεγονέναι, ποτὲ δὲ τῇ ὀγδόῃ, εἰ [3] μή τι τὸν μὲν χοϊκὸν ἐν τῇ ἕκτῃ τῶν ἡμερῶν ἐροῦσι πεπλάσθαι, τὸν δὲ σαρκικὸν ἐν τῇ ὀγδόῃ· διέσταλται γὰρ ταῦτα παρ' αὐτοῖς. Ἔνιοι δὲ ἄλλον θέλουσι τὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ γεγονότα ἀρσενόθηλυν ἄνθρωπον, καὶ τοῦτον εἶναι τὸν πνευματικὸν, ἄλλον δὲ τὸν ἐκ τῆς γῆς πλασθέντα. Καὶ τὴν τῆς κιβωτοῦ δὲ [4] οἰκονομίαν ἐν τῷ κατακλυσμῷ, ἐν ᾗ ὀκτὼ ἄνθρωποι διεσώθησαν, φανερώτατά φασι τὴν σωτήριον Ὀγδοάδα μηνύειν, τὸ αὐτὸ δὲ καὶ τὸν Δαβὶδ, ὄγδοον ὄντα τῇ γενέσει τῶν ἀδελφῶν αὐτοῦ, σημαίνειν. Ἔτι μὴν καὶ τὴν περιτομὴν ὀκταήμερον γινομένην τὸ περίτμημα τῆς ἄνω Ὀγδοάδος δηλοῦν. Καὶ ἁπλῶς ὅσα εὑρίσκεται ἐν ταῖς γραφαῖς ὑπάγεσθαι δυνάμενα εἰς τὸν ἀριθμὸν τῶν ὀκτὼ, τὸ μυστήριον τῆς Ὀγδοάδος ἐκπληροῦν λέγουσιν. Ἀλλὰ καὶ τὴν Δεκάδα σημαίνεσθαι διὰ τῶν δέκα ἐθνῶν ὧν ἐπηγγείλατο ὁ Θεὸς τῷ Ἀβραὰμ εἰς κατάσχεσιν δοῦναι λέγουσι. Καὶ τὴν [5] περὶ Σάρραν δὲ οἰκονομίαν, ὡς μετὰ ἔτη δέκα δίδωσιν αὐτῷ τὴν ἑαυτῆς δούλην Ἄγαρ ἵνα ἐξ αὐτῆς τεκνοποιήσηται, τὸ αὐτὸ δηλοῦν. Καὶ ὁ δοῦλος δὲ Ἀβραὰμ πεμφθεὶς ἐπὶ Ῥεβέκκαν καὶ
pag. 252. ἐπὶ τῷ φρέατι διδοὺς αὐτῇ ψέλια χρυσῶν δέκα, καὶ οἱ ἀδελφοὶ αὐτῆς κατέχοντες αὐτὴν ἐπὶ δέκα ἡμέρας· ἔτι τε Ῥοβοὰμ ὁ τὰ δέκα σκῆπτρα λαμβάνων, [6] καὶ τῆς σκηνῆς αἱ δέκα [7] αὐλαὶ, καὶ οἱ στύλοι οἱ δεκαπήχεις, καὶ οἱ δέκα υἱοὶ Ἰακὼβ, ἐπὶ τὴν ὠνὴν τοῦ σίτου τὸ πρῶτον εἰς

15. *Ita erat corrigendum ex Vet. Interprete. Nam vulgo extat* αὐτοῖς τοῖς σώμασιν.

Cap. XVI. — 1. *Scripturam* αὐλαῖαι *in Scholti exemplo ex cod. ms. aliquo, uti videtur, annotatam recipere non sum ausus, cum omnes Epiphanii, et meliores, libros una cum Vet. Interprete vulgatam scripturam* αὐλαὶ *viderem tueri. Cf. infra.*

videlicet ac dulcis. Nam totum ipsum hominem universam Triccnarii similitudinem hunc in modum exprimere. Primum in digitis Decadem circumferre. Tum in corpore toto Dodecadem, quod XII in membra dividitur. Ita enim hoc distribuunt, ut et Veritatis corpus, de quo antea diximus. Ogdoadem denique, quae nec explicari sermone nec oculis potest percipi, in visceribus latentem intelligi.

Praeter haec solem, luminare illud magnum, ad indicandum Cap. XVI.
Tetradis numerum quarto die procreatum putant. Quod ipsum Mo- Exod. 26, 1 et 8.
saici tabernaculi aulaea repraesentasse, ex bysso, hyacintho, pur-
pura coccoque contexta. Itidemque sacerdotis talarem tunicam qua- Exod. 28, 17.
tuor lapillorum ordinibus distinctam. Ac si qua sunt eiusdemmodi,
quae in sacris literis ad quaternarium numerum accommodari pos-
sunt, suam ad Tetradem pertinere confirmant. Ogdoadem rursus
hoc fere modo demonstrari. Etenim octavo die formatum hominem
asserunt, quem alias sexto potius productum volunt: nisi forte terre-
strem hominem sexto, carnalem octavo die fabricatum intelligunt.
Haec enim apud illos distincta sunt. Sed nonnulli diversum illum
faciunt qui ad imaginem similitudinemque creatus est dei, quem an-
drogynum constituunt, ab alio qui ex humo formatus est. Quin et Gen. 6.
arcae illius diluvii tempore dispositionem, in qua homines octo libe-
rati sunt, manifeste salutarem ad Ogdoadem spectare pronuntiant, 1. Reg. 16, 10, 11.
ut et Davidem ipsum, qui octavo post fratres loco in lucem est edi-
tus. Addunt et circumcisionem octavo die susceptam coelestis Ogdo- Gen. 17, 12.
adis circumcisionem ostendere. Atque, ut uno verbo dicam, quae-
cumque sacris in libris reperiuntur, quae ad octonarium numerum
trahi utcumque possunt, ad conficiendum Ogdoadis mysterium usur-
pant. Enimvero Decadem per decem illas nationes indicari non du- Gen. 15, 19.
bitant, quarum possessionem deus Abrahamo promiserat. Eodem-
que Sarrae consilium applicant, cum post annos decem ancillam illi Gen. 16, 3.
suam Agarem concessit, liberos ut ex ea susciperet. Quin et Abra- Gen. 24, 22. 55.
ami servus ad Rebeccam missus, qui armillas ei decem aureas ad
puteum obtulit, nec non fratres illius, qui decem dies eam retinue-
runt. Itemque Ieroboamus, cui decem tribus assignatae. Taber- 3. Reg. 11, 31.
naculi quoque cortinae decem, columnaeque cubitorum decem, ac Exod. 16, 1. 26, 8.
Iacobi totidem filii coëmendi frumenti caussa in Aegyptum profecti. Exod. 16. 15. 20. Gen. 42, 3.

2. στοίχοις *Billius et Petavius.* στίχοις *Massuetus.*

3. μήτι τὸν *codd. Ven. Vatic. Rhedig. Vulgo* μὴ τὸν.

4. *Vitium ed. princ.* οἶκὸν μίαν *Petavius sustulit ope cod. Vatic.*

5. περὶ *desideratur in codd. Ven. et Vatic., et in edit. princ.*

6. καὶ τὴν τῆς *cod. Venet.*

7. αὐλαὶ, *uti supra, codd. Ven. Vatic. Rhedig. Paris., et ed. princ., et* atria *hic quoque vertit Vet. Interpres.* αὐλαῖαι *ed. Petavii.*

*Αἴγυπτον πεμφθέντες, καὶ οἱ δέκα ἀπόστολοι, οἷς φανεροῦται μετὰ τὴν ἔγερσιν ὁ κύριος τοῦ Θωμᾶ μὴ παρόντος, τὴν ἀόρατον διετύπουν κατ' αὐτοὺς Δεκάδα.*

Κεφ. ιζ'. *Τὴν Δυοδεκάδα δὲ, περὶ ἣν καὶ τὸ μυστήριον τοῦ πάθους τοῦ ὑστερήματος γεγονέναι, ἐξ οὗ πάθους τὰ βλεπόμενα κατεσκευάσθαι θέλουσιν, ἐπισήμως καὶ φανερῶς πανταχῆ κεῖσθαι λέγουσιν, ὡς τοὺς δώδεκα υἱοὺς [1] τοῦ Ἰακὼβ, ἐξ ὧν καὶ δεκαδύο φυλαὶ, καὶ τὸ λόγιον τὸ ποικιλτὸν δώδεκα λίθους ἔχον, καὶ τοὺς δώδεκα κώδωνας, καὶ τοὺς ὑπὸ Μωϋσέως τεθέντας ὑπὸ τὸ ὄρος δώδεκα λίθους, ὡσαύτως δὲ καὶ τοὺς ὑπὸ Ἰησοῦ ἐν τῷ ποταμῷ, καὶ ἄλλους εἰς τὸ πέραν, καὶ τοὺς βαστάζοντας τὴν κιβωτὸν τῆς διαθήκης, καὶ τοὺς ὑπὸ Ἠλίᾳ τεθειμένους ἐν τῇ ὁλοκαυτώσει τοῦ μόσχου, καὶ τὸν ἀριθμὸν δὲ τῶν ἀποστόλων, καὶ πάντα ἁπλῶς ὅσα τὸν δωδέκατον ἀριθμὸν διασώζει τὴν Δωδεκάδα αὐτῶν χαρακτηρίζειν λέγουσι. Τὴν δὲ τούτων πάντων ἕνωσιν ὀνομαζομένην Τριακοντάδα διὰ τῆς τριάκοντα πηχῶν τὸ ὕψος ἐπὶ Νῶε κιβωτοῦ, καὶ διὰ Σαμουὴλ κατακλίναντος τὸν Σαοὺλ ἐν τοῖς τριάκοντα κλητοῖς πρῶτον· καὶ διὰ Δαβὶδ, ὅτε ἐπὶ τριάκοντα ἡμέραις ἐκρύβετο ἐν τῷ ἀγρῷ, καὶ διὰ τῶν συνεισελθόντων αὐτῷ εἰς τὸ σπήλαιον [2] τριάκοντα, καὶ διὰ τοῦτο τὸ μῆκος γίνεσθαι τῆς ἁγίας σκηνῆς τριάκοντα πηχῶν· καὶ εἴ τινα ἄλλα ἰσάριθμα τούτοις εὑρίσκουσι, τὴν Τριακοντάδα αὐτῶν διὰ τῶν τοιούτων ἐπιδεικνύναι φιλεριστοῦσιν.*

Κεφ. ιη'. [1] *Ἀναγκαῖον ἡγησάμην προσθεῖναι τούτοις καὶ ὅσα περὶ τοῦ Προπάτορος αὐτῶν, ὃς ἄγνωστος ἦν τοῖς πᾶσι πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας, ἐκλέγοντες ἐκ τῶν γραφῶν πείθειν ἐπιχειροῦσιν, ἵν' ἐπιδείξωσι τὸν κύριον ἡμῶν ἄλλον καταγγέλλοντα πατέρα παρὰ τὸν ποιητὴν τοῦδε τοῦ παντὸς, ὃν, καθὼς προέφαμεν, ἀσεβοῦντες ὑστερήματος καρπὸν εἶναι λέγουσι. Τὸν γοῦν προφήτην Ἡσαΐαν εἰπόντα, Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκε, τὴν τοῦ ἀοράτου Βυθοῦ ἀγνωσίαν εἰρηκέναι μεθαρμόζουσι. Καὶ διὰ Ὡσηὲ τὸ εἰρημένον, Οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια οὐδὲ ἐπίγνωσις θεοῦ, εἰς τὸ αὐτὸ συντείνειν βιάζονται· καὶ, Οὐκ ἔστιν ὁ συνιὼν ἢ ἐκζητῶν τὸν θεόν· πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, ἐπὶ τῆς τοῦ Βυθοῦ ἀγνωσίας τάττουσι. Καὶ τὸ διὰ Μωϋσέως [2] δὲ εἰρημένον, Οὐδεὶς ὄψεται τὸν θεὸν, καὶ ζήσεται, εἰς ἐκεῖνον ἔχειν πείθουσι τὴν ἀναφοράν. Τὸν μὲν γὰρ ποιητὴν ἐπιψευδόμενοι ὑπὸ τῶν προφητῶν ἑωρᾶσθαι λέγουσι, τὸ δὲ, Οὐδεὶς ὄψεται τὸν θεὸν, καὶ ζήσεται, περὶ τοῦ ἀοράτου μεγέθους καὶ ἀγνώ-*

pag. 253. (margin)

Cap. XVII. — 1. τοῦ, *quod desideratur in edit. princ., primum ex Valic. codice adiecit Petavius.*

2. *Reposui genuinam scripturam, quam servavit cod. Venetus, in quo eius quod vulgo legitur commenti* Ἰσραὴλ *loco reperitur numerus* λ̄. *Ceterum cf. ad h. l. interpretes Irenaei.*

Decem insuper apostoli, quibus absente Thoma dominus post resur- Ioann.
rectionem apparuit, hi inquam omnes Decadem illam, quae videri 20, 24.
nequit, ex illorum opinione declararunt.

At vero Dodecadis, in qua defectus illa calamitas ac mysterium Cap. XVII.
contigit, qua ex calamitate omnium quae videntur originem manasse definiunt, ubique clara ac manifesta vestigia reperiri praedicant. Cuiusmodi sunt duodecim Iacobi filii, a quibus duodecim propagatae Exod. 28, 4 et 29, 8.
sunt tribus, et rationale opere vario contextum, cui duodecim lapi- Exod. 24, 4.
des assuti, ac tintinnabula totidem. Adde lapides duodecim a Moyse sub monte collocatos, parique numero partim medio in flumine, par- Ios. 4, 3 et 8.
tim in ulteriore ripa ab Iosue positos; quique testamenti arcam sustinuerunt, atque illos insuper, quos in vituli holocausto Elias suppo- 3 Reg. 18, 31.
suisse legitur. Quibus et apostolorum numerus accedit. Denique ubicumque duodenarii numeri aspersa mentio est, id tanquam Dodecadis suae figuram arripiunt. Iam Tricenarium, qui ex illorum omnium coniunctione nascitur, eius arcae, quam Noëmus extruxit, Gen. 6, 15.
tricenum cubitorum altitudo demonstrat. Deinde Samuel qui Saulem 1 Reg. 9, 22.
supra triginta, quos ad epulum invitarat, iussit accumbere. Tum 1. Reg. 20, 15.
insuper David, quatenus triginta totos dies in agro delituit; ut et illi qui ad ipsum se in speluncam aggregarunt. Quam etiam ob caussam triginta cubitos tabernaculi longitudo patuit; ac si qua sunt alia pari comprehensa numero, suum ad tricenarium accommodanda esse acerrime contendunt.

Quibus omnibus adiungenda scripturae testimonia putavi, qui- Cap.
bus sua illa de supremo Parente somnia stabilire conantur, qui ante- XVIII.
quam Christus adveniret, omnibus erat ignotus. Hoc enim demonstrare student, Patrem alium quam universi conditorem a Christo domino fuisse praedicatum: quem etiam, ut ante diximus, ex defectu tanquam fructum effloruisse contendunt. Quod enim Isaias propheta dixit: *Israel vero me non cognovit, et populus me non intellexit*, id Esai 1, 3.
ad illius Bythi, qui discerni oculis nequit, ignorationem accommo- Ose. 4, 1.
dant. Tum illud, quod est apud Oseam, *Non est in ipsis veritas*, Psalm. 13, 3.
*neque cognitio dei*, eodem referendum existimant. Item, *Non est* Rom. 3, 11.
*qui intelligat, aut requirat deum: omnes declinaverunt, simul inutiles* 12.
*facti sunt*, ad eandem Bythi ignorationem transferunt. Illud insuper eo pertinere censent, quod apud Moysen legitur, *Nemo videbit deum, et vivet.* Etenim conditorem illi duntaxat a prophetis conspectum fuisse perperam volunt. Istud vero: *Nemo videbit deum, et vivet*, de maiestate illa quae nec aspici possit et ignota sit omnibus pronun-

Cap. XVIII. — 1. *Vet. Interpres videtur legisse* Ἀναγκαῖον δ' ἡγησάμην. *Et hoc reponendum suasit Petavius.*
2. δὲ *non habet cod. Venet.*

*στου τοῖς πᾶσιν εἰρῆσθαι [3] θέλουσι. Καὶ ὅτι μὲν περὶ τοῦ ἀοράτου πατρὸς καὶ ποιητοῦ τῶν ὅλων εἴρηται τὸ, Οὐδεὶς ὄψεται τὸν θεὸν, πᾶσιν ἡμῖν φανερόν ἐστιν, ὅτι δὲ οὐδὲ περὶ τοῦ [4] ὑπὸ τούτων παρεπινοουμένου Βυθοῦ, ἀλλὰ περὶ τοῦ Δημιουργοῦ, καὶ αὐτός ἐστιν ὁ ἀόρατος θεὸς, δειχθήσεται τοῦ λόγου προϊόντος. Καὶ τὸν Δανιὴλ δὲ τὸ αὐτὸ τοῦτο σημαίνειν ἐν [5] τῷ ἐπερωτᾶν τὸν ἄγγελον τὰς ἐπιλύσεις τῶν παραβολῶν, ὡς μὴ εἰδότα. Ἀλλὰ [6] καὶ τὸν ἄγγελον ἀποκρυπτόμενον ἀπ' αὐτοῦ τὸ μέγα μυστήριον τοῦ Βυθοῦ εἰπεῖν αὐτῷ, Ἀπότρεχε Δανιήλ· οὗτοι γὰρ οἱ λόγοι ἐμπεφραγμένοι εἰσὶν, ἕως οἱ συνιέντες συνιῶσι, καὶ οἱ λευκοὶ λευκανθῶσι. Καὶ αὐτοὺς εἶναι τοὺς λευκοὺς καὶ εὐσυνιέντας αὐχοῦσι.*

Κεφ. ιθ'. *Πρὸς δὲ τούτοις ἀμύθητον πλῆθος ἀποκρύφων καὶ νόθων γραφῶν, ἃς αὐτοὶ ἔπλασαν, [1] παρειςφέρουσιν εἰς κατάπληξιν τῶν ἀνοήτων καὶ τὰ τῆς ἀληθείας μὴ ἐπισταμένων γράμματα. Προςπαραλαμβάνουσι δὲ εἰς τοῦτο κἀκεῖνο τὸ ῥᾳδιούργημα, ὡς τοῦ κυρίου [2] ἐν παιδείᾳ τοῦ διδασκάλου αὐτῷ φήσαντος, καθὼς ἔθος ἐστὶν, Εἰπὲ ἄλφα, ἀποκρίνασθαι τὸ ἄλφα, πάλιν τε τὸ βῆτα τοῦ διδασκάλου [3] κελεύσαντος εἰπεῖν ἀποκρίνασθαι τὸν κύριον, Σύ μοι πρότερον εἰπὲ, Τί ἐστι τὸ ἄλφα, καὶ τότε σοι ἐρῶ τί ἐστι τὸ βῆτα. Καὶ τοῦτο ἐξηγοῦνται, ὡς αὐτοῦ μόνου τὸ ἄγνωστον ἐπισταμένου, ὃ ἐφανέρωσεν ἐν τῷ τύπῳ τοῦ ἄλφα. Ἔνια δὲ καὶ τῶν ἐν τῷ εὐαγγελίῳ κειμένων εἰς τοῦτον τὸν χαρακτῆρα μεθαρμόζουσιν. Ὡς τὴν πρὸς τὴν μητέρα αὐτοῦ δωδεκαετοῦς ὄντος*
pag. 254. *ἀπόκρισιν, Οὐκ οἴδατε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι; Ὃν οὐκ ᾔδεισαν, φασὶ, πατέρα κατήγγελλεν αὐτοῖς· καὶ διὰ τοῦτο ἐκπέμψαι τοὺς μαθητὰς εἰς τὰς δώδεκα φυλὰς, κηρύσσοντας τὸν ἄγνωστον αὐτοῖς θεὸν, καὶ τῷ εἰπόντι αὐτῷ, Διδάσκαλε ἀγαθὲ, τὸν ἀληθῶς ἀγαθὸν θεὸν ὡμολογηκέναι, εἰπόντα, Τί με λέγεις ἀγαθόν; εἷς ἐστι ἀγαθὸς ὁ πατὴρ ἐν τοῖς οὐρανοῖς. Οὐρανοὺς δὲ νῦν τοὺς Αἰῶνας εἰρῆσθαι λέγουσι. Καὶ διὰ [4] τὸ μὴ ἀποκριθῆναι τοῖς εἰποῦσιν αὐτῷ, Ἐν ποίᾳ δυνάμει τοῦτο ποιεῖς; ἀλλὰ τῇ ἀντεπερωτήσει ἀπορῆσαι- [5] αὐτοὺς, τὸ ἄρρητον τοῦ πατρὸς, ἐν τῷ [6] μὴ εἰπεῖν δεδειχέναι αὐτὸν ἐξηγοῦνται. Ἀλλὰ καὶ ἐν τῷ εἰρηκέναι, Πολλάκις ἐπεθύμησα ἀκοῦσαι ἕνα τῶν λόγων τούτων, καὶ οὐκ ἔσχον τὸν ἐροῦντα, ἐμφαίνοντός [7] φασιν εἶναι τὸ Ἑνὸς τὸν ἀληθῶς ἕνα θεὸν, ὃν οὐκ ἐγνώκεισαν. Ἔτι ἐν τῷ προσχόντα*

3. λέγουσιν *cod. Venet.*
4. ὑπὸ *secundum Vet. Interpretem reponendum erat pro* ἐπὶ *quod libri Epiphanii praebent.*
5. τῷ ἑτέρῳ ἐπερωτᾶν *ed. princ., mendose.*
6. καὶ *non habet cod. Venet.*
Cap. XIX. — 1. παραφέρουσιν *codd. Rhedig. Paris.*
2. *Sic emendo verba corruptissima* τὰ διὰ *quae vulgo in libris reperiuntur. Vet. Interpres habet:* quasi dominus cum puer esset et disceret literas, cum dixisset magister eius *cett. Nec quicquam desiderandum existimo in Graecis Epiphanii. Nam verborum* cum puer esset et disceret literas *sententiam verba* ἐν παιδείᾳ *plene referunt.*
3. κελεύοντος *cod. Venet. — De re narrata v. I. C. Thilonis Cod. Apocr. N. T.*

tiatum affirmant. Verum de summo illo qui videri non potest Patre ac conditore omnium illud ipsum usurpari, *Nemo videbit deum*, facile **Exod. 33, 20.** omnes intelligunt. Idem vero non ad confictum illum ab istis Bythum, sed ad rerum omnium opificem convenire, eumque nec aspectabilem esse deum, a nobis postea demonstrabitur. Addunt id etiam significasse Danielem, cum ab angelo parabolarum interpretationem velut ignarus postulat. Angelum vero magnum Bythi mysterium celare cupientem ita respondisse: *Vade Daniel: quia clausi sunt signa-* **Dan. 12, 9. et 10.** *tique sermones, quousque intelligentes intelligant, et albi dealbentur.* Se enim albos illos et intelligentes esse gloriantur.

Apocryphårum praeterea et adulterinarum scripturarum, quas **Cap. XIX.** ipsimet commenti sunt, infinitam multitudinem obtrudunt, quibus imperitis ac germanarum scripturarum ignaris stuporem obiiciant. Quin illud scelerate confictum proferunt in medium, Christum, puer cum esset literasque disceret, iubenti, ut assolet, praeceptori, Dic alpha, alpha respondisse. Rursum ut Beta diceret praecipienti respondisse dominum, Tu mihi primum quid sit alpha dicito, tum ego quid sit beta respondebo. Quod illi sic interpretantur, quasi solus quod erat ignotum intelligeret, idque sub literae alpha specie declarare vellet. Nonnulla quoque quae in evangelio leguntur ad eandem formam applicant. Velut quod matri suae duodecim natus annos respondit: *Nesciebatis quod in iis quae patris mei sunt oportet me esse?* **Luc. 2, 49.** Quem enim nesciebant, inquiunt, Patrem illis nuntiabat. Quam- **Matth. 19, 17.** obrem ut ignotum hactenus Patrem praedicarent, duodecim ad tribus misisse illum discipulos asserunt. Deinde cum alius, *Praeceptor bone!* dixisset, eum qui vere bonus est deum diserte confessum fuisse. *Quid me*, inquit, *dicis bonum? Unus est bonus, Pater qui in coelis est.* Coelorum porro nomine Aeonas modo accipiendos esse. Quod autem percontantibus, *In qua potestate hoc facis?* re- **Luc. 20, 2.** spondit nihil, sed aliam eius quaestionem proposuit, declaratum illud eo silentio putant summum Patrem nullis posse verbis explicari. Velut etiam ita cum locutus est: *Saepe ego desideravi unum ex illis sermonibus audire, nec qui diceret habui*, aperte, inquiunt, unum ostendit esse deum, quem minime illi cognoscent. Ad haec cum Hieru-

*tom. I. p.* 12. *cap.* 48.

4. τοῦ *cod. Venet.*

5. πρὸς αὐτοὺς *coniecit Petavius.*

6. μὴ *particula abest ab omnibus libris. Vet. Interpres:* inenarrabile patris in eo quod non dixerit non ostendisse eum interpretantur, *ubi alterum illud* non *ante voc.* ostendisse *cum Grabio et Feuardentio delendum esse arbitror.*

7. φασιν εἶναι τὸ *correxi ego atque reposui pro eo quod libri tenent* φασι δεῖν διὰ τοῦ. *Quod vitium (antiquissimum, uti videtur) partim traxit etiam Latinus Interpres, qui vertit:* Sed et in eo quod dixerit — — — manifestantis dicunt esse per hoc Unum *cett.*

αὐτὸν τῇ Ἱερουσαλὴμ δακρῦσαι ἐπ' αὐτὴν, καὶ εἰπεῖν, Εἰ ἔγνως [8] καὶ σὺ σήμερον τὰ πρὸς εἰρήνην, ἐκρύβη δὲ [9] ἀπὸ σοῦ, διὰ τοῦ Ἐκρύβη ῥήματος τὸ ἀπόκρυφον τοῦ Βυθοῦ δεδηλωκέναι. Καὶ πάλιν εἰπόντα, Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ. Τὸν τῆς ἀληθείας πατέρα κατηγγελκέναι. Ὃ γὰρ οὐκ ᾔδεισαν, [10] φασὶ, τοῦτο αὐτοῖς ὑπέσχετο διδάξειν. [11] Ἀπόδειξιν δὲ τὴν ἀνωτάτω καὶ οἱονεὶ κορωνίδα τῆς ὑποθέσεως αὐτῶν φέρουσι ταῦτα· [12] Ἐξομολογήσομαί σοι, πάτερ κύριε τῶν οὐρανῶν καὶ [13] τῆς γῆς, ὅτι ἀπέκρυψας αὐτὰ ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Οὐὰ ὁ πατήρ μου, ὅτι ἔμπροσθέν σου εὐδοκία μοι ἐγένετο Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου, καὶ οὐδεὶς ἔγνω τὸν πατέρα, εἰ μὴ ὁ υἱὸς, καὶ τὸν υἱὸν, εἰ μὴ ὁ πατὴρ, καὶ ᾧ ἂν ὁ υἱὸς [14] ἀποκαλύψῃ. Ἐν τούτοις διαρρήδην φασὶ δεδειχέναι αὐτὸν, ὡς τὸν ὑπ' [15] αὐτῶν παρεξευρημένον πατέρα ἀληθείας πρὸ τῆς παρουσίας αὐτοῦ μηδενὸς πώποτε ἐγνωκότος, καὶ κατασκευάζειν θέλουσιν, ὡς τοῦ ποιητοῦ καὶ κτιστοῦ ἀεὶ ὑπὸ πάντων ἐγνωσμένου, καὶ ταῦτα τὸν κύριον εἰρηκέναι περὶ τοῦ ἀγνώστου τοῖς πᾶσι Πατρὸς, ὃν αὐτοὶ καταγγέλλουσι.

Κεφ. κ'. Τὴν δὲ τῆς ἀπολυτρώσεως αὐτοῖς παράδοσιν συμβέβηκεν ἀόρατον εἶναι καὶ ἀκατάληπτον, ἅτε τῶν ἀκρατήτων καὶ ἀοράτων μητέρα ὑπάρχουσαν, καὶ διὰ τοῦτο ἄστατον οὖσαν οὐχ ἁπλῶς, [1] οὐδὲ ἑνὶ λόγῳ, ἀπαγγεῖλαι ἔστι· διὰ τὸ [2] ἕνα ἕκαστον αὐτῶν, καθὼς αὐτοὶ βούλονται,
pag. 256. παραδιδόναι αὐτήν. Ὅσοι γάρ εἰσι ταύτης τῆς γνώμης μυσταγωγοὶ, τοσαῦται καὶ ἀπολυτρώσεις. Καὶ ὅτι μὲν εἰς ἐξάρνησιν τοῦ βαπτίσματος τῆς εἰς θεὸν ἀναγεννήσεως, καὶ πάσης τῆς πίστεως ἀπόθεσιν, ὑποβέβληται τὸ εἶδος [3] τοῦτο ὑπὸ τοῦ Σατανᾶ, ἐλέγχοντες αὐτοὺς ἀπαγγελοῦμεν ἐν τῷ προσήκοντι τόπῳ. Λέγουσι δὲ αὐτὴν ἀναγκαίαν εἶναι τοῖς τὴν τελείαν γνῶσιν εἰληφόσιν, ἵνα εἰς τὴν ὑπὲρ πάντα δύναμιν ὦσιν ἀναγεγεννημένοι. Ἄλλως γὰρ ἀδύνατον ἐντὸς Πληρώματος εἰσελθεῖν, ἐπειδὴ αὕτη ἐστὶν ἡ εἰς [4] τὸ βάθος κατάγουσα αὐτούς. Τὸ μὲν γὰρ βάπτισμα τοῦ φαινομένου Ἰησοῦ ἀφέσεως ἁμαρτιῶν, τὴν δὲ ἀπολύτρωσιν τοῦ ἐν αὐτῷ [5] Χριστοῦ κατελθόντος εἰς τελείωσιν, καὶ τὸ μὲν ψυχικὸν, τὴν δὲ πνευματικὴν εἶναι ὑφίστανται, καὶ τὸ μὲν βάπτισμα ὑπὸ Ἰωάννου κατηγγέλθαι εἰς μετάνοιαν, τὴν δὲ ἀπολύτρωσιν ὑπὸ

8. καὶ *om. cod. Rhedig.*

9. ἀπὸ *cum Billio restituendum duxi. Abest enim ab omnibus libris.*

10. *Epiphanii libri habent* φησὶ.

11. *Vox* Ἀπόδειξιν (*vel, si mavis,* Δίδαξιν), *quae incuria librariorum prorsus interierat, repetenda erat ex vocabulo* διδάξειν, *quod antecedit. Vet. Interpres habet* Ostensionem autem superiorum, et velut finem cett., *videturque legisse* τῶν ἀνωτάτω.

12. Confiteor *habet Vet. Interpres.*

13. τῆς *om. cod. Ven.*

14. ἀποκαλύψει *cod. Venet.*

15. αὐτῶν *codd. Venet. Rhedig. Reliqui libri* αὐτὸν.

salem accedens *flevit super eam, et dixit, Si cognovisses et tu, et quidem in hac die, quae ad pacem sunt tibi: nunc autem abscondita sunt tibi,* vocabulo isto, *abscondita sunt,* occultam Bythi naturam abstrusamque demonstravit. Quemadmodum et hisce verbis: *Venite ad me omnes qui laboratis, et onerati estis, et ego reficiam vos;* et, *Discite a me* etc. Veritatis parentem indicasse confirmant. Quod enim ignorabant, inquiunt, hoc se illos edocturum recepit. Postremo hanc velut arcem probationis suae ac fastigium proferunt, quod idem dominus dixit: *Confiteor tibi Pater domine coeli ac terrae, quia abscondisti a sapientibus et prudentibus, et revelasti ea parvulis: ita pater, quoniam coram te beneplacitum est mihi. Omnia mihi tradita sunt a Patre meo: et nemo novit Patrem nisi Filius, et Filium nemo novit nisi Pater et cui voluerit filius revelare.* Quibus verbis evidenter hoc ab illo declaratum existimant, quem ipsi Veritatis Parentem temere commenti sunt, hunc antequam Christus venisset nemini fuisse cognitum, contra vero istud colligi, conditorem ac creatorem perpetuo manifestum omnibus fuisse. Haec enim omnia de ignoto illo Parente, quem ipsi praedicant, a Christo pronuntiata non dubitant.

Luc. 19, 42. Matth. 11, 28. Luc. 10, 21.

Quod autem ad redemptionem pertinet, eam neque aspici neque comprehendi animo posse definiunt; utpote, quae eorum mater sit quae peraeque contineri ac videri nequeant. Quare cum inconstans atque instabilis sit, non una illam ac simplex oratio complecti potest, quoniam ab unoquoque illorum pro suo nutu ac voluntate traditur. Quot enim sunt illius dogmatis ac mysteriorum antistites, totidem et redemptiones esse dicunt. Enimvero totam illam speciem atque pompam eiurandi baptismatis iteratacque illius a deo generationis gratia et abiiciendae fidei a Satana confictam esse, suo loco, cum illos refutabimus, ostendetur. Sed illam necessariam omnino redemptionem iis esse statuunt qui perfectam scientiam adepti sunt, ut ad supremam omnium virtutem denuo gignantur. Aliter enim omnem ad Pleroma aditum intercludi, cum haec illa sit quae eos ad Bythi profunda perducat. Nam baptismum apparentis illius Iesu condemnationem duntaxat prae se ferre criminum, redemptionem vero Christi, qui se in Iesum insinuaverat, perfectum ad statum absolutumque spectare. Illum animalem esse, hanc vero spiritalem. Praeterea baptismum a Ioanne capessendae poenitentiae caussa denuntiatum,

Cap. XX. Matth. 3, 15.

Cap. XX. — 1. οὐδενὶ λόγῳ *cod. Rhedig.*
2. *Libri Epiphanii habent* ἓν *pro* ἕνα.
3. τοῦτο ὑπὸ *codd. Vatic. Venet. Vulgo* τοῦ ὑπό.
4. *Vet. Interpres cum praebeat* quae in profundum Bythi deducit, secundum eos, *videtur legisse* τὸ Βυθοῦ βάθος κατάγουσα, κατ' αὐτούς.
5. spiritus *habet Vet. Interpres, ut* πνεύματος *pro* Χριστοῦ *legisse videri possit.*

Ἰησοῦ κεκομίσθαι εἰς τελείωσιν, καὶ [6] τοῦτ' εἶναι περὶ οὗ λέγει, Καὶ ἄλλο βάπτισμα ἔχω βαπτισθῆναι, καὶ πάνυ ἐπείγομαι εἰς αὐτό. Ἀλλὰ καὶ τοῖς υἱοῖς Ζεβεδαίου τῆς μητρὸς αὐτῶν αἰτουμένης τὸ καθίσαι αὐτοὺς ἐκ δεξιῶν [7] καὶ ἀριστερῶν μετ' αὐτοῦ εἰς τὴν βασιλείαν, ταύτην προςθεῖναι τὴν ἀπολύτρωσιν τὸν κύριον λέγουσιν, εἰπόντα, Δύνασθε τὸ βάπτισμα βαπτισθῆναι, ὃ ἐγὼ μέλλω βαπτίζεσθαι; Καὶ τὸν Παῦλον ῥητῶς φάσκουσι τὴν ἐν Χριστῷ Ἰησοῦ ἀπολύτρωσιν πολλάκις μεμηνυκέναι, καὶ εἶναι ταύτην τὴν ὑπ' αὐτῶν ποικίλως καὶ ἀσυμφώνως παραδιδομένην.

Κεφ. κα'. Οἱ μὲν γὰρ αὐτῶν νυμφῶνα κατασκευάζουσι, καὶ μυσταγωγίαν ἐπιτελοῦσι μετ' ἐπιῤῥήσεών τινων τοῖς τελειουμένοις, καὶ πνευματικὸν γάμον φάσκουσιν εἶναι τὸ ὑπ' αὐτῶν γινόμενον, κατὰ τὴν ὁμοιότητα τῶν ἄνω Συζυγιῶν· οἱ δὲ ἄγουσιν ἐφ' ὕδωρ, καὶ βαπτίζοντες οὕτως ἐπιλέγουσιν· Εἰς ὄνομα ἀγνώστου Πατρὸς τῶν ὅλων, εἰς Ἀλήθειαν Μητέρα πάντων, εἰς τὸν κατελθόντα εἰς Ἰησοῦν, εἰς ἕνωσιν καὶ ἀπολύτρωσιν καὶ κοινωνίαν τῶν δυνάμεων. Ἄλλοι δὲ Ἑβραϊκά τινα ὀνόματα ἐπιλέγουσι, πρὸς τὸ μᾶλλον καταπλήξασθαι τοὺς τελειουμένους, οὕτως· Βασεμὰ, [1] Χαμοσσὴ, [2] Βααιανορὰ, Μισταδία, Ῥουαδὰ, [3] Κουστὰ, Βαβοφὸρ, Καλαχθεῖ. Τούτων δ' ἡ ἑρμηνεία ἐστὶ τοιαύτη· ὑπὲρ πᾶσαν δύναμιν τοῦ πατρὸς ἐπικαλοῦμαι φῶς ὀνομαζόμενον, καὶ πνεῦ-
pag. 256. μα ἀγαθὸν, καὶ ζωὴ, ὅτι ἐν σώματι ἐβασίλευσας. Ἄλλοι δὲ πάλιν τὴν λύτρωσιν ἐπιλέγουσιν οὕτως· τὸ ὄνομα τὸ ἀποκεκρυμμένον ἀπὸ πάσης θεότητος καὶ κυριότητος καὶ ἀληθείας, ὃ ἐνεδύσατο Ἰησοῦς ὁ Ναζαρηνὸς ἐν ταῖς ζωαῖς τοῦ φωτὸς τοῦ Χριστοῦ, Χριστοῦ ζῶντος διὰ Πνεύματος ἁγίου εἰς λύτρωσιν ἀγγελικὴν ὄνομα τὸ τῆς ἀποκαταστάσεως [4] Μεσσία, Οὐφαρὲγ, [5] Ναμεμψαιμὰν, Χαλδαίαν, Μοσομηδαέα, [6] Ἀκφραναὶ, Ψαούα, Ἰησοῦ Ναζαρία. Καὶ τούτων δὲ ἡ ἑρμηνεία ἐστὶ τοιαύτη· [7] Οὐ διαιρῶ τὸ πνεῦμα τὴν καρδίαν καὶ τὴν ὑπερουράνιον δύναμιν, τὴν οἰκτίρμονα· ὀναίμην τοῦ ὀνόματός σου Σωτὴρ Ἀληθείας. Καὶ ταῦτα μὲν ἐπιλέγουσιν οἱ αὐτοὶ [8] οἱ τελοῦντες· ὁ δὲ τετελεσμένος ἀποκρίνεται, Ἐστήριγμαι, καὶ λελύτρωμαι, καὶ λυτροῦμαι τὴν ψυχήν μου ἀπὸ τοῦ αἰῶνος τούτου, καὶ πάντων τῶν παρ' αὐτοῦ ἐν τῷ ὀνόματι τοῦ Ἰαὼ, ὃς ἐλυτρώσατο τὴν ψυχὴν αὐτοῦ εἰς ἀπολύτρωσιν ἐν τῷ Χριστῷ τῷ ζῶντι. Εἶτ' ἐπιλέγουσιν οἱ παρόντες, Εἰρήνη πᾶσιν ἐφ' οὓς τὸ ὄνομα τοῦτο [9] ἐπαναπαύεται. Ἔπειτα μυρίζουσι τὸν τετελεσμένον τῷ ὀπῷ τῷ [10] ἀπὸ βαλσάμου. Τὸ γὰρ μῦρον τοῦτο τύπον τῆς

6. ταῦτ' cod. *Venet.*
7. καὶ ἐξ ἀριστερῶν cod. *Venet.*
Cap. XXI. — 1. χασιμὴ codd. *Rhedig. et Paris.*
2. βααιανοορὰ codd. *Rhedig. et Paris.*
3. κουχὰ cod. *Rhedig. et Paris.* — *Cf. de hac Gnosticorum formula interpretes ad Irenaeum I, 21, 3.*
4. μοσσία cod. *Paris.*
5. νεμεμψαιμάν cod. *Paris.*

redemptionem a Iesu obtinendae gratia perfectionis invectam. Atque hoc esse, quod his verbis testatum reliquerit: *Baptismo alio habeo baptizari, et ad illum omnino festino.* Luc. 12, 50. Imo etiam Zebaedaei filiis, cum eorum mater a se postulasset, ut eos secum ad dextram sinistramque suam in regno considere iuberet, eandem illam redemptionem proposuisse dominum putant, his verbis: *Potestis baptismate baptizari, quo ego baptizandus sum?* Matth. 20, 21. Marc. 10, 38. Paulum insuper redemptionem in Christo Iesu persaepe commemorasse praedicant; quam eandem ipsam esse volunt de qua varia secumque minime cohaerentia disputant.

Nam alii Thalamum nescio quem construunt, eosque quos suas ad ceremonias admittunt certis ritibus ac carminibus initiant, ac quod ipsi gerunt, spiritales nuptias appellant, ad coelestium coniugiorum imitationem expressas. Cap. XXI. Alii ad aquam perductos tingunt hac verborum formula: *In nomine ignoti Patris omnium, in Veritate omnium Matre, in eo qui in Iesum delapsus est, in unione et redemptione communioneque Virtutum.* Sunt et qui Hebraicas voces proferant, quo maiorem initiatis horrorem iniiciant, hoc modo: *Basema, Chamosse, Baaenora, Mistadia, Rhuada, Custa, Babophor, Kalachthei.* Quorum haec est sententia: *Supra omnem Virtutem Patris Lumen quod vocatur imploro; nec non et Spiritum bonum, et Vitam, quoniam in corpore regnasti.* Quidam ita redemptionem concipiunt. Arcanum et occultum ab omni divinitate dominatuque ac veritate nomen, quod Iesus Nazarenus induit, in vitis luminis Christi, Christi, inquam, viventis per Spiritum sanctum, in redemptionem angelicam; nomen restitutionis: *Messias, Uphareg, Namempsaeman, Chaldaean, Mosomedaea, Acphranae, Psaua, Iesu Nazaria.* Quae hoc modo interpretari possumus: *Non divido Spiritum, Cor Virtutemque coelo sublimiorem, misericordem: macte sim nomine tuo Salvator Veritatis.* Haec dum ab antistitibus prolata sunt, tum qui sacris initiatur ita respondet: *Confirmatus sum ac redemptus: et anima mea ab hoc seculo omnibusque quae ab eo sunt redimitur in nomine Iao, qui ipsius redemit animam in redemptionem in Christo vivente.* Ad haec praesentes omnes subiiciunt: *Pax omnibus in quibus nomen istud requiescit.* Deinde opobalsamo initiatum perungunt. Quod unguenti genus fragran-

6. ἐχφραναὶ ψαούα *cod. Paris.* ἀχφραναὶ ψευούα *cod. Rhedig.* ἀχψαρναιψεύουσα *cod. Venet. — De interpretatione huius formulae, si placet, adeas doctorum hominum ad Irenaeum l. l. adnotata. Cf. etiam infra haer.* 36, 2. *ubi eadem repetuntur.*

7. Christi non divido spiritum, cor *celt. legitur apud Vet. Interpretem.*

8. οἱ *adieci de auctoritate codd. Vatic. et. Venet.*

9. ἐπαναπέπαυται *cod. Venet.*

10. ἀπὸ τοῦ βαλσάμου *codd. Rhedig. Paris.*

ὑπὲρ τὰ ὅλα εὐωδίας εἶναι λέγουσιν. Ἔνιοι δ' αὐτῶν τὸ μὲν ἄγειν ἐπὶ τὸ ὕδωρ περισσὸν εἶναι φάσκουσι, μίξαντες δὲ ἔλαιον καὶ ὕδωρ ἐπιτοαυτὸ μετ' ἐπιρρήσεων ὁμοιοτρόπων αἷς προειρήκαμεν ἐπιβάλλουσι τῇ κεφαλῇ τῶν τελειουμένων, καὶ τοῦτ' εἶναι τὴν ἀπολύτρωσιν θέλουσι. Μυρίζουσι δὲ καὶ αὐτοὶ τῷ βαλσάμῳ. Ἄλλοι δὲ ταῦτα πάντα παραιτησάμενοι φάσκουσι μὴ δεῖν τὸ τῆς ἀρρήτου καὶ ἀοράτου δυνάμεως μυστήριον δι' ὁρατῶν καὶ φθαρτῶν ἐπιτελεῖσθαι κτισμάτων, καὶ τῶν ἀνεννοήτων καὶ ἀσωμάτων δι' αἰσθητῶν καὶ σωματικῶν, εἶναι δὲ τὴν τελείαν ἀπολύτρωσιν αὐτὴν τὴν ἐπίγνωσιν τοῦ ἀρρήτου μεγέθους· ὑπ' ἀγνοίας γὰρ ὑστερήματος καὶ πάθους γεγονότων διὰ γνώσεως καταλύεσθαι πᾶσαν τὴν ἐκ τῆς ἀγνοίας σύστασιν, ὥςτε εἶναι τὴν γνῶσιν ἀπολύτρωσιν τοῦ ἔνδον ἀνθρώπου. Καὶ μήτε σωματικὴν ὑπάρχειν αὐτὴν, φθαρτὸν γὰρ τὸ σῶμα, μήτε ψυχικὴν, ἐπεὶ καὶ ἡ ψυχὴ ἐξ ὑστερήματος, καὶ [11] ἔστι τοῦ Πατρὸς ὥςπερ οἰκητήριον. Πνευματικὴν οὖν δεῖ καὶ τὴν λύτρωσιν ὑπάρχειν. Λυτροῦσθαι γὰρ διὰ [12] γνώσεως τὸν ἔσω ἄνθρωπον, τὸν πνευματικὸν, καὶ ἀρκεῖσθαι αὐτοὺς τῇ τῶν ὅλων ἐπιγνώσει, καὶ ταύτην εἶναι λύτρωσιν ἀληθῆ.

ΕΩΣ ΩΔΕ ΤΑ ΥΠΟ ΕΙΡΗΝΑΙΟΥ.

Κεφ. κβ'. pag. 257. Ταύτην τὴν πᾶσαν ἀκριβῆ ἔρευναν ὁ μακάριος πρεσβύτης Εἰρηναῖος ἐποιήσατο, [1] καθ' εἱρμὸν πάντα ἐνθέμενος τῆς αὐτῶν πάσης παραπεποιημένης διδασκαλίας. Διόπερ δὴ, ὡς καὶ ἤδη μοι προδεδήλωται, [2] ὅτι τοῖς ὑπ' αὐτοῦ ἐσπουδασμένοις ἀρκεσθέντες, πάντα πρὸς ἔπος, ὡς παρ' αὐτῷ ἐμφέρεται, παρεθήκαμεν. Ἀνατραπήσονται γὰρ ἐξ αὐτῶν τῶν παρὰ τοῦ ἁγίου ἀνδρὸς εἰς ἀντίθεσιν τῆς αὐτῶν μοχθηρίας εἰρημένων. Ἡμεῖς γὰρ πιστεύομεν, ὡς πάντη ἡ ἀλήθεια ὑποφαίνει, καὶ ὁ εὔλογος λογισμὸς ὑποτίθεται, καὶ τῷ τῆς εὐσεβείας κανόνι συμπεφώνηται, τῷ τε νόμῳ καὶ τοῖς προφήταις, καὶ τοῖς ἀπὸ τῶν ἀνέκαθεν πατριάρχαις κατὰ ἀκολουθίαν, τῇ τε αὐτοῦ τοῦ σωτῆρος διδαχῇ, καὶ τῶν αὐτοῦ ἀποστόλων σαφῶς ἡμᾶς διδασκόντων ἕνα ὁμολογεῖν θεὸν πατέρα, παντοκράτορα τῶν ὅλων, καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τὸ ἅγιον αὐτοῦ πνεῦμα, μίαν ἁγίαν τριάδα ἄκτιστον, τῶν ἄλλων ἁπάντων ἐξ οὐκ ὄντων γενομένων μετὰ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα. Οὕτως τε παρὰ πάντων τῶν προειρημένων ἁγίων προφητῶν τε καὶ εὐαγγελιστῶν καὶ ἀποστόλων σαφῶς ὡμολογημένων καὶ πεπιστευμένων οὐκ ἂν δυνηθείη κυβευτική τις ἐπίνοια ἀντισχεῖν πρὸς τὴν

11. ἔτι correxerunt quidam.
12. γνώσεως correxi ex Vet. Interprete. μωσέως ed. princ. Μωϋσέως edit. Petav.

Cap. XXII. — 1. καθ' εἱρμὸν πάντα cod. Rhedig. καθ' εἱρμὸν μὲν πάντα edd. princ. et Petav. καθ' εἱρμὸν ταῦτα cod. Vatic.

tissimi illius odoris qui supra omnia est imaginem esse censent. Non desunt inter illos qui ad aquam perducere supervacaneum arbitrantur, sed oleum aqua temperatum cum solennibus eiusmodi carminibus, qualia nos paulo ante retulimus, initiatorum capitibus inspergant, idque demum redemptionem nominent, quamquam balsamo ipsi etiam inungunt. Alii contra repudiatis iis omnibus negant eius virtutis, quae nec oculis cerni nec sermone declarari possit, mysterium per aspectabiles corruptibilesque creaturas posse perfici; eorum, inquam, quae cogitationem omnem fugiunt, corporisque sunt expertia, ad ea quae sensibus percipiuntur corporeaque sunt oportere demitti. Perfectam itaque redemptionem ipsam esse magnitudinis inexplicabilis notitiam. Cum enim defectus omnis et perturbatio ab ignorantia proficiscatur, quicquid ex ea conflatum est, illa ratione destrui; adeo ut cognitio interioris sit hominis redemptio: ac neque corporea sit, corpus enim corruptionis capax est, nec animalis, quod anima ex defectu prodierit, sitque velut Parentis domicilium. Quare et spiritalis redemptio sit oportet. Etenim per Moysen interior homo ac spiritalis redimitur. Proinde universorum se esse dicunt cognitione contentos, eamque germanam redemptionem appellant.

HACTENUS IRENAEUS.

Hanc beatissimus ille senex Irenaeus erroris istius accuratam inquisitionem instituit, omnemque commentitii dogmatis seriem ordinemque proposuit. Quamobrem, ut initio praefati sumus, iis contenti quae ab illo magno studio sunt elaborata, cuncta prout in eius opere continentur ad verbum exscripsimus. Facile enim ex iis quae a sanctissimo viro ad illius refellendam improbitatem prodita sunt everti profligarique poterunt. Nos enim id quod veritas ipsa prae se omnino fert, quodque et prudens ratio persuadet et veritatis regulae consentaneum est, legi ac prophetis et patriarchis, qui sibi invicem successerunt, nec non tam salvatoris ipsius quam apostolorum doctrinae credimus, a quibus manifeste didicimus unum confiteri deum universorum patrem omnipotentem, ac dominum nostrum Iesum Christum, et Spiritum sanctum, unam sanctam increatamque trinitatem; cum cetera post Patrem et Filium et Spiritum sanctum ex nihilo producta sint. Quae quidem omnia cum iis quos commemoravi sanctissimis viris, prophetis, evangelistis et apostolis sine ulla ambiguitate credita confessaque fuerint, nullae eiusmodi erunt artes ac praestigiae, quae veritatis luci ac splendori possint obsi- Cap. XXII.

2. *Rescribo* ἄτε.

*ἀκτῖνα τῆς ἀληθείας, ὥς γε ἡμῖν πολλάκις κατὰ πλάτος εἴρηται ἐν τῇ πρὸς ἑκάστην αἵρεσιν ὑποθέσει· ὡς ἐξάπαντος φωρᾶσθαι καὶ τοῦτον ἀγύρτην καὶ θανατοποιὸν ἰσοτύπως ταῖς προειρημέναις ἐπιδείξεως χάριν καὶ περιεργίας τὰ μεγάλα ταῦτα καττύσαντά τε καὶ μηχανησάμενον.*

Κεφ. κγ'. *Παρελθόντες δὲ καὶ τὴν τούτου μοχθηρίαν, καὶ τῶν ἀπ' αὐτοῦ Μαρκωσίων λεγομένων, ἐπὶ τὰς ἑξῆς σπεύσωμεν, ὦ ἐπιπόθητοι, τὰς αὐτῶν ῥίζας πάλιν ἀνερευνῶντες, καὶ τῶν καρπῶν αὐτῶν τὴν πικρίαν ἀφανίζοντες, τήν τε ἀνατροπὴν καὶ τὰ κατ' αὐτοὺς πάντα ἐπιδεικνύντες, οὐκ εἰς βλάβην τῶν ἐντυγχανόντων, ἀλλὰ εἰς ἀποτροπὴν, πρὸς τὸ μὴ πλησιάσαι μιᾷ τῶν προειρημένων αἱρέσεων, ἢ τῶν μετέπειτα, ἀλλὰ ἀναγνόντας τὰ γεγραμμένα παρ' αὐτοῖς, καὶ γνόντας τὰ ᾀδόμενα, καὶ καταγνόντας τῆς ἑκάστης αὐτῶν πλάνης τε καὶ ἑρπετώδους μοχθηρίας,* pag. 258. *ἀποφεύγειν τε καὶ, ὡς εἶπον, μὴ πλησιάζειν. Διψάδα γάρ τινα ἔχιδνάν φασιν οἱ ἱστορήσαντες ἰοῦ λύμην τοιάνδε ἐμποιεῖν. Ἐν τόποις γάρ τισιν, ὅπου πύελοι ἐν ταῖς πέτραις ἢ λιβάδες εἰσὶ μικραὶ ἀπὸ πετρῶν χεόμεναι εἰς ὑποδοχήν τινα, ἡ αὐτὴ διψὰς ὕδωρ εὑρίσκουσα καὶ πιοῦσα τὸν ἰὸν ἐμβάλλει μετὰ τὸ πιεῖν εἰς τὰς προειρημένας στάσεις τῶν ὑδάτων, ὥςτε πᾶν ζῶον πλησιάσαν καὶ ποτοῦ κορεσθὲν δοκεῖν μὲν ὠφελεῖσθαι ἐκ τοῦ μεταλαβεῖν, εὐθὺς δὲ παρὰ τὸ ὑποδόχον τῶν ὑδάτων ἐκ τοῦ ἰοῦ τῆς διψάδος ὑποδεξάμενον καταπίπτειν καὶ θνήσκειν. Ἀλλὰ καὶ εἴ τινα πλήξειεν ἡ αὐτὴ διψὰς, ἀπὸ τοῦ περισσοτέρως ἐν αὐτῇ καυστικοῦ ἰοῦ ἐπὶ ὄρεξιν δίψης καὶ πόματος προτρέποιτο πάθος τῆς ἀλγηδόνος, προςφέρεσθαί τε ἀεὶ καὶ πίνειν* [1] *ἐρεθίζειν.* [2] *Νομίζει δέ τι ὠφελεῖσθαι πρὸς τὴν λύμην ὁ πληγεὶς ὁσάκις τῆς τοιαύτης θανατηφόρου ἀλγηδόνος λαμβάνει, ἀλλὰ ἐν αὐτῷ τῷ τόπῳ πληρωθείσης τῆς γαστρὸς, καὶ μηκέτι ὑποδεχομένης, ὕστερον σὺν τῷ πόματι τὸ πνεῦμα ἀφίησιν. Οὕτω καὶ οὗτος ὑπὸ πόματος τὸν θάνατον τοῖς παρ' αὐτοῦ ἠπατημένοις ἐξεργάζεται. Οὗπερ ἰοῦ ἐν δυνάμει θεοῦ ῥυσθέντες ἐπὶ τὰς ἑξῆς ἴωμεν.*

## ΚΑΤΑ ΚΟΛΟΡΒΑΣΙΩΝ,

### πεντεκαιδεκάτη, ἡ καὶ τριακοστὴ πέμπτη

Κεφ. α'. *Κολόρβασος τούτοις ἕπεται ἀπὸ τῆς τοῦ προειρημένου Μάρκου γοητείας τὸν ἔρανον ποιησάμενος, ἀλλὰ καὶ ἀπὸ τῆς τοῦ Πτολεμαίου ῥίζης σκολόπων δίκην ἀναφύσας,* [1] *ἕτερα πάλιν παρὰ* [2] *τούτους ἐνοχλεῖν τῷ κόσμῳ κέντρων δίκην ἐπενόησε, δῆθεν μείζονα φαντασίαν, ὡς ἄνωθεν ἥκων, μηχανώμενος. Καὶ τὰ μὲν πρῶτα σὺν τῷ Μάρκῳ ὑπάρ-*

Cap. XXIII. — 1. *Rescribo* ἐρεθίζον.
2. νομίζει *cod. Vatic. et inde edit. Petav. Vulgo* νομίζειν.

stere; quemadmodum in singulis refutandis haeresibus saepe ac copiose monstravimus. Adeo ut eadem qua in ceteris ratione detectum sit, nebulonem illum ac pestiferum hominem sola ostentatione sui ac curiositate ductum ad tam immania portenta fingenda fabricandaque venisse.

Nunc illius ac Marcosiorum impietate praeterita ad alias transeamus, earumque et evellamus radices et amarissimos fructus tollamus e medio, ac quemadmodum refelli possint, quaeque ad ipsos pertinent universa referamus; non ut legentibus fraudi ista sint, sed ut ab illis abhorreant, neque ad unam aliquam earum quas exposuimus aut insequentium accedant, sed ubi quae ab illis scripta sunt legerint, saepiusque decantata cognoverint, illorum erroribus ac venenata improbitate damnata fugiant procul, ac propius se conferre vereantur. Dipsadem quandam e viperarum genere esse memoriae proditum est, quae istiusmodi virus immittat. Cum enim excavatis in rupibus, quae stillantem e saxis liquorem excipiunt, aquam nacta biberit, eam postea veneno suo sic inficit, ut si quod animal deinceps ex ea potaverit, cum iuvari ac sitim relevare visum fuerit, ad venenatum ipsum aquae receptaculum subito moriatur ac concidat. Quod si quem illa momorderit, ignea veneni vis vehementius grassans ingentem sitim affert, et ad assidue potandum intolerabili cum dolore compellit. Cui quidem letifero dolori dum ita se remedii afferre aliquid existimat, in eodem loco ventre distento nec humoris quicquam amplius capiente, cum potu mox animam profundit. Sic ille cum inexhausta potus aviditate suis exitium consciscit. Sed nos ab eo veneno divina ope liberati reliquas ad haereses transeamus. Cap. XXIII.

## CONTRA COLORBASIOS,
### quae est haeresis XV. sive XXXV.

Sequitur Colorbasus, qui ab iisdem Marci praestigiis suas ineptias corrogavit. Quin et ex Ptolemaei radicibus sentium ac spinarum instar erumpens novas quasdam opiniones commentus est, quibus velut aculeis homines infestaret, dum maiores nugas ac somnia velut e coelo delapsus effutiit. Fuit ei primum cum Marco societas Cap. I.

Cap. I. — 1. *Fortasse* ἑτέρᾳ. 2. *Ita rescripsi. Libri habent* τούτοις.

*χων ὁμοιογνώμονι αὐτῷ, δίκην δικεφάλου ὑπαρχούσης τῆς αὐτῶν αἱρέσεως, ὕστερον δὲ ὡς κεφαλὴ ἀπὸ σώματος ἑρπετοῦ τμηθεῖσα, καὶ ἔτι ἐμπνέουσα, πολλοὺς ἀφανίσας ἠδίκησεν, ὡς δῆθεν μεῖζόν τι καὶ ἐμπειρότερον παρὰ* [3] *τοὺς σὺν αὐτῷ καὶ τοὺς πρώτους δεικνύς. Λέγει γὰρ τὴν πρώτην Ὀγδοάδα οὐ καθ' ὑπόβασιν ἄλλων ὑπὸ ἄλλου* [4] *Αἰώνων*
pag. 259. *προβεβλῆσθαι, ἀλλ' ὁμοῦ καὶ εἰς ἅπαξ τὴν τῶν* [5] *ἓξ Αἰώνων προβολὴν ὑπὸ τοῦ Προπάτορος καὶ τῆς Ἐννοίας αὐτοῦ τετέχθαι, ὡς αὐτὸς μαιωσάμενος διαβεβαιοῦται. Καὶ οὐκέτι ἐκ Λόγου καὶ Ζωῆς Ἄνθρωπον καὶ Ἐκκλησίαν, καὶ ἐξ Ἀνθρώπου, ὡς οἱ ἄλλοι, καὶ Ἐκκλησίας, Λόγον καὶ Ζωήν φασι τετέχθαι αὐτὸς καὶ οἱ αὐτοῦ, ἀλλὰ ἑτέρῳ τρόπῳ τοῦτο λέγουσιν, ὅτι ὅπερ ἐνενοήθη προβαλεῖν ὁ Προπάτωρ, τοῦτο Πατὴρ ἐκλήθη, ἐπεὶ δὲ ὃ προεβάλετο Ἀλήθεια ἦν, τοῦτο Ἀλήθεια ὠνομάσθη. Ὅτε οὖν ἠθέλησεν ἐπιδεῖξαι* [6] *αὐτὸν, τοῦτο Ἄνθρωπος ἐλέχθη. Οὓς δὲ προελογίσατο ὅτε προέβαλε, τοῦτο Ἐκκλησία ὠνομάσθη. Καὶ ὁ Ἄνθρωπος τὸν Λόγον· οὗτός ἐστιν ὁ πρωτότοκος Υἱός. Ἐπακολουθεῖ δὲ τῷ Λόγῳ καὶ ἡ Ζωή. Καὶ οὕτως πρώτη Ὀγδοὰς συνετελέσθη. Πολλὴ δὲ μάχη παρ' αὐτοῖς καὶ περὶ τοῦ Σωτῆρος. Οἱ μὲν γὰρ αὐτὸν ἐκ πάντων γεγονέναι λέγουσι, διὸ καὶ Εὐδοκητὸν καλεῖσθαι, ὅτι πᾶν τὸ Πλήρωμα ηὐδόκησεν· οἱ δὲ ἐκ μόνων τῶν δέκα Αἰώνων τῶν ἀπὸ Λόγου καὶ Ζωῆς προβεβλῆσθαι αὐτὸν λέγουσι, τὰ προγονικὰ ὀνόματα* [7] *διασώζοντα· οἱ δὲ ἐκ τῶν δεκαδύο Αἰώνων τῶν* [8] *ἐκ τοῦ Ἀνθρώπου καὶ Ζωῆς γενομένων, καὶ διὰ τοῦτο Υἱὸν Ἀνθρώπου ὁμολογεῖ, ὡςανεὶ ἀπόγονον Ἀνθρώπου· οἱ δὲ ὑπὸ τοῦ Χριστοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος εἰς στήριγμα τοῦ Πληρώματος γεγονέναι λέγουσιν αὐτὸν, καὶ διὰ τοῦτο Χριστὸν λέγεσθαι αὐτὸν τὴν τοῦ πατρὸς, ἀφ' οὗ προεβλήθη, διασώζοντα προσηγορίαν· ἄλλοι δὲ, ὡς εἰπεῖν, τινες ἐξ αὐτῶν ῥαψῳδοὶ τὸν Προπάτορα τῶν ὅλων καὶ προάρχην καὶ προανεννόητον Ἄνθρωπον λέγουσι καλεῖσθαι, καὶ τοῦτ' εἶναι τὸ μέγα καὶ ἀπόκρυφον μυστήριον, ὅτι ἡ ὑπὲρ τὰ ὅλα δύναμις καὶ ἐμπεριεκτικὴ τῶν πάντων Ἄνθρωπος καλεῖται, καὶ διὰ τοῦτο Υἱὸν Ἀνθρώπου ἑαυτὸν λέγειν τὸν Σωτῆρα.*

Κεφ. β'. *Αὕτη καὶ ἡ τοῦ Κολορβάσου μάταιος τῷ βίῳ καὶ φαντασιώδης διὰ ψοφημάτων κενοφωνία· ἣν ἐὰν καταμάθοι τις, εἴσεται ἐκ τῶν πρὸ αὐτοῦ ὡς φιλοτιμία ἐστὶ τῆς ἑκάστου τούτων ὑπονοίας. Κενοδοξῶν*

3. τοὺς *emendarunt Cornarius et Petavius. Libri habent* τῶν.

4. *Scripsi* Αἰώνων *pro eo quod libri tenent* Αἰῶνα.

5. *Sic correxerunt Cornarius et Petavius. Libri habent* ἐξ.

6. „*Fort.* Ἄνθρωπον“ *annotavit Petavius. Cornarius vertit* Quando igitur

dogmatumque consensio, ut eorum secta, tanquam biceps anguis, bipartita videretur. Postea velut caput a serpentis corpore divulsum ac spirans adhuc plurimis exitio fuit, cum maius quiddam non modo aequalibus suis, sed et maioribus, ac doctius afferre crederetur. Ogdoadem enim censet non gradatim unius Aeonis ab altero procreatione propagatam fuisse, sed sex reliquas Aeonas pariter eodemque momento a supremo Parente et eius Ennoea, hoc est Cogitatione manasse, quod iste sic tanquam obstetricis partes egisset affirmat. Quare non ut alii e Verbo Vitaque Hominem et Ecclesiam; aut ex Homine, ut quibusdam placet, et Ecclesia Verbum ac Vitam prodiisse cum suis ille statuit. Sed id alia ratione definiunt: nimirum quod Supremus ille Parens producere cogitavit, hoc vocabulo Patris appellatum. Idem porro Veritas cum esset, Veritatis insignitum nomine. Quamobrem cum ostentare se vellet, idipsum Hominem nominatum. Quos autem cum produceret prius animo reputarat, his Ecclesiae nomen attributum. Homo vero Verbum produxit; atque hic primogenitus est Filius. Sed Verbum Vita consequitur. Atque ita Ogdoas prima conficitur. Porro magna est inter illos de Salvatore dissensio. Quidam enim ex omnibus conflatum existimant, atque ideo Eudocetum, hoc est Beneplacentem, vocatum, quod eum Pleroma omne communi sit affectu ac benevolentia prosecutum. Alii solis ex Aeonibus decem, qui a Verbo Vitaque derivati sunt, profectum illum asserunt, et eorum a quibus ortum accepit retinuisse nomina. Sunt qui duodecim ex Aeonibus, quos Homo ac Vita genuerint, profluxisse sentiant, ob idque Filium Hominis vocari, quasi Hominis nepotem. Nonnullis placet eundem a Christo et Spiritu Sancto ad sustentandum Pleroma genitum, ideoque Christum appellatum, ut eius a quo ortum acceperat nomen obtineret. Alii ex illorum numero, ut ita dicam, rhapsodi summum universorum Parentem ac primum principium primumque cogitatione maius Hominem vocari definiunt, idque magnum illud et arcanum esse mysterium, quod illa ceteris omnibus antecellens omniaque continens Virtus Hominis appellatione censeatur, et idcirco Salvatorem semetipsum Hominis nominare filium.

Eiusmodi est inepta illa ac commentita Colorbasi doctrina, quam magno verborum strepitu atque pompa in homines invexit. Quam si quis diligenter animadvertat, facile ex superioribus haereticis intelliget omnem illam opinionum varietatem ab ambitione arro- Cap. II.

ostendere voluit hoc ipsum Homo dictum est. *Putavit igitur* αὐτὸ *pro* αὐτὸν.
7. τὰ διασώζοντα *habent libri. Sed illud* τὰ *ex* ὀνόματα *accrevisse patet.*
8. ἐκ τῶν τοῦ *ed. Petav., mendose.*

γὰρ ἕκαστος καὶ βουλόμενος ἑαυτῷ συνάγειν ἄθροισμα, ὥςτε αὐτῷ ἔπε-
pag. 260. σθαι, ἃ ὑπειςῆλθε τῇ ἑαυτοῦ ἐννοίᾳ ἐψευδολόγησεν, οὔτε κατὰ προ-
φητείαν φθεγγόμενος, οὐ γὰρ πνεῦμα ἅγιον ἐλάλησεν ἐν αὐτοῖς, οὔτε
ἀπὸ τῆς τῶν προφητῶν καὶ εὐαγγελίων ἀληθείας κἂν μίαν πρόφασιν
ἐσχηκώς. Ἀνατροπὴ δὲ τούτων [1] πάντων τῶν τῆς ψευδωνύμου γνώ-
σεως ὁ αὐτὸς ἀληθείας κατὰ τῶν πρώτων ῥηθεὶς λόγος. Τῆς γὰρ
Οὐαλεντίνου σχολῆς καὶ τῶν πρὸ αὐτοῦ οὗτοι πάντες ὑπάρχοντες, καὶ
τὸν νοῦν [2] ἐκεῖνον ἄλλος ἄλλως ἐξηγησάμενοι, τὴν ἴσην αὐτοῖς ὀφλή-
σουσιν αἰσχύνην. Μεγάλην γὰρ ἡμῖν ἀπάτην κενοφωνίας καὶ οὗτος ὁ
Κολόρβασος ἧκε φέρων. Ἐξέθετο γὰρ ἡμῖν ποιητευσάμενος τῷ ἀκατα-
λήπτῳ καὶ ἀοράτῳ καὶ ἁγίῳ θεῷ τῷ πατρὶ τῶν ὅλων ὄνομα Ἄνθρω-
πος· ἵνα συζεύξῃ τῇ ἑαυτοῦ πλάνῃ τὸν τοῦ Σωτῆρος λόγον, φάσκοντος
ἑαυτὸν Υἱὸν ἀνθρώπου, καὶ μεταγάγῃ τὴν διάνοιαν τῶν αὐτῷ χρησα-
μένων ἀπὸ τῆς ἀληθινῆς καὶ ἐναργεστάτης τοῦ Χριστοῦ περὶ αὐτοῦ
ὁμολογίας εἰς ἀμηχανίαν καὶ κενοφωνίαν τοῦ ζητεῖν, ὑπολαμβάνοντας
ἐν τοῖς ἐπουρανίοις εἶναι ὃ μὴ ἔστι. Δῶμεν γὰρ αὐτὸν διὰ τὸ τὸν
αὐτοῦ Πατέρα ἄνθρωπον καλεῖσθαι Υἱὸν ἀνθρώπου ἑαυτὸν ὀνομάζειν,
καὶ οὐκ ἀπὸ τῆς σαρκὸς, ἧς ἔλαβεν ἀπὸ παρθενικῆς μήτρας, τουτέστιν
ἀπὸ Μαρίας τῆς ἁγίας, γεννηθεὶς διὰ Πνεύματος ἁγίου, κατὰ τὸν τοῦ
ἐλεεινοῦ Κολορβάσου τούτου λόγον· τί ἂν εἴποι περὶ οὗ ὁ αὐτὸς κύριος
ἡμῶν Ἰησοῦς Χριστός φησιν, ὡς τοῖς Ἰουδαίοις ἔλεγε, Νῦν δέ με ζη-
τεῖτε ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκου-
σα παρὰ τοῦ πατρός μου, καὶ οὐκέτι ἐνταῦθα εἶπε, τοῦ Ἀνθρώπου
πατρός μου, ἀλλὰ περὶ μὲν πατρὸς ὁμολογῶν θεὸν τὸν τῶν ὅλων ἐσή-
μανε; Περὶ δὲ ἑαυτοῦ, ὅτι ἐνηνθρώπησεν, ἐν ἀληθείᾳ ἄνθρωπον ἑαυ-
τὸν ἔφασκεν, ὡς καὶ οἱ ἀπόστολοί φασιν, ἵνα ἡ ἀλήθεια πανταχόθεν
συσταθῇ, καὶ γνωσθῇ πόθεν ἐστὶ τὰ τῷ κυρίῳ ὀνόματα συναφθέντα·
Ἰησοῦν ἄνδρα ἀποδεδειγμένον εἰς ἡμᾶς σημείοις καὶ τέρασι, καὶ τὰ
ἑξῆς. Τί τοίνυν πρὸς ταῦτα φαίης ἄν, ὦ πάντων ἀνθρώπων ἐλεεινό-
τατε, ἐπειδὴ ἄνωθεν ἥκεις φέρων ἡμῖν καινὰς ὀνομασίας, καὶ σεμνύ-
νῃ, ἐφ' οἷς τὸ τοῦ Ἀνθρώπου ὄνομα αὐτῷ τῶν πάντων δεσπότῃ καὶ
πατρὶ τῶν ὅλων προσάψαι [3] ἐτόλμησα; ὡς ἐκ τούτου καλεῖσθαι τὸν
κύριον Υἱὸν ἀνθρώπου, διὰ τὸ τὸν πατέρα Ἄνθρωπον καλεῖσθαι.
pag. 261. Εὑρὲ ἡμῖν καί τινα ἄλλην προςηγορίαν τῷ πατρὶ ἁρμόζουσαν, τὸ
Ἄνδρα ἀποδεδειγμένον. Ἀλλ' οὐκ ἂν εὕροις ποτέ. Εἰ γὰρ καὶ ἀνὴρ
ἄνθρωπός ἐστι, καὶ πρὸς ἀντιδιαστολὴν τῆς γυναικὸς τὸν ἄνθρωπον
ἄνδρα καλοῦμεν, ὅμως οὐκ ἂν καὶ ἐν τούτῳ μηχανήσασθαί τι δυνη-
θείης. Ἄνευ γὰρ σχημάτων καὶ μελῶν, κρυφίων τε καὶ ὁρατῶν, ἀνὴρ
οὐ δυνήσεται καλεῖσθαι. Λέγομεν γὰρ καὶ τὴν γυναῖκα ἄνθρωπον,

Cap. II. — 1. πάντων *Petavius addidit* 2. ἐκείνου *coniec. Petavius.*
*de cod. Vatic.*

gantiaque profectam. Etenim unusquisque gloriae studio succensus ac sectatores sibi velut peculiarem quendam gregem conciliare cupiens, quicquid mendaciorum in animum incidit, temere quasi vaticinium quoddam et oraculum profudit. Neque enim Spiritus sanctus per eos locutus est, neque ex prophetis aut veritatis evangeliis vel levissimam ansam et occasionem nacti sunt. Ad istorum vero falsam scientiam refellendam pertinet illa a me contra priores instituta verissima disputatio. Nam e Valentini Valentinoque superiorum haereticorum schola omnes illi profecti, sic ut illius mentem alii aliter interpretarentur, pari omnes ignominia notandi sunt. Sed haud mediocres sane ad cavillandum nugas Colorbasus iste nobis attulit. Siquidem poëtico more ludens Parenti omnium ac deo sanctissimo, quem nemo comprehendere aut usurpare oculis potest, Hominis nomen affinxit, ut ad errorem suum Salvatoris sermonem adiungeret, qui se Filium hominis esse dixit, ac familiarium suorum animos a sincera et perspicua Christi de seipso confessione ad perplexas et implicatas ineptias conferret, dum in coelestibus illis locis ea quae nusquam sunt sibi esse persuadent. Ut enim demus illud, ex eo quod huius pater Homo sit dictus Hominis semet appellasse filium, non ob eam carnem, quam ex utero virginis accepit, hoc est Beata Maria, ex qua per Spiritum sanctum natus est, ut infelici Colorbaso placuit: quid de altero illo dicet sermone domini, cum sic Iudaeos affatus est: *Nunc me quaeritis interficere, hominem qui veritatem vobis locutus sum, quam audivi a Patre meo?* Non enim *ab Homine Patre meo* dixit, sed Patrem suum praedicans universorum deum indicat. Se vero, qui naturam hominis suscepisset, vere hominem appellat; ut et apostoli testantur: quo undique veritas corroboretur, intelligaturque unde illa domino sunt attributa cognomina: *Iesum*, inquit, *virum, approbatum in vos signis ac prodigiis* etc. Quid ad haec hiscere audebis, infelicissime mortalium! qui nova quaedam inaudita nomina velut e coelo nobis allata venditas, teque insolenter ostentas? Quorum vocabulorum gratia Hominis nomen domino omnium ac Parenti tribuere non dubitas: quasi dominus idcirco Filius hominis sit dictus, quod eius Pater Homo nuncupetur. Doce et alteram appellationem, *Virum probatum*, Patri congruere. Atqui nunquam illud ostendes. Tametsi enim vir omnis homo sit hominemque, ut a muliere discernatur, appellemus virum, nullam inde tamen calumniandi ansam potest arripere. Etenim sine certa specie habituque corporis ac partim occultis, partim patentibus membris nunquam virum nominamus. Mulieri porro non viri, sed homi-

(Margin: Ioann. 8, 40. — Act. 2, 22.)

3. ἐτόλμησας *codd. Vatic. Rhedig. Vulgo* ἐτόλμησαν.

*ἀλλ' οὐκ ἄνδρα· διὸ καὶ ὁ ἄνθρωπος λέγομεν, καὶ ἡ ἄνθρωπος. Διαιροῦντες δὲ τὸ γένος ἰδιαζόντως τὴν μὲν θήλειαν γυναῖκα καλοῦμεν, τὸν δὲ ἄρρενα ἄνδρα. Αὕτη γὰρ διάκρισίς ἐστι τοῦ γένους ἄρρενος καὶ θηλείας, τὸ ἀνὴρ καὶ γυνὴ, διαιρουμένης τῆς τῶν γενῶν σχέσεως· ὁμωνυμικῶς δὲ ἄνθρωπος καὶ ὁ ἀνὴρ καὶ ἡ γυνὴ καλεῖται.*

Κεφ. γ΄. *Τούτων τοίνυν οὕτως ἐχόντων ἥκετέ μοι πάντες θεοῦ δοῦλοι, οἱ τῆς ἀληθείας ἐρασταὶ, καὶ γελάσατε τὸν ἀπατεῶνα καὶ ἀγύρτην Κολόρβασον, μᾶλλον δὲ πενθήσατε τοὺς ἀπατηθέντας, καὶ ἑαυτοὺς καὶ πολλοὺς ἀπολέσαντας. Αὐτοὶ δὲ θεῷ εὐχαριστήσωμεν, ὡς διὰ μικρῶν καὶ ἁπλῶν λόγων ἡ ἀλήθεια τοὺς ἑαυτῆς εἰς ὁδὸν εὐθείαν ὁδηγεῖν εἴωθε καὶ τὰ σχέτλια καὶ πολύκομπα διὰ πολλῆς μηχανῆς καλλωπισθέντα διασκεδάννυσιν, ἀνατρέπει καὶ ἀφανίζει ἡσυχῇ βαίνουσα, ὡς σαφῶς ἔστιν ἰδεῖν ἀπὸ τοῦ προφητικοῦ λόγου. Ἐγκαλῶν γὰρ ὁ προφήτης τοῖς τὰ δεινὰ περιεργαζομένοις καὶ [1] πολύφημμα ἐπινοοῦσιν εἰς ἑαυτῶν ἀπάτην ἔλεγε, Διὰ τὸ μὴ θέλειν ὑμᾶς τὸ ὕδωρ τοῦ Σιλωὰμ, τὸ πορευόμενον ἡσυχῇ, ἀνάγει ἐφ' ἡμᾶς κύριος τὸ ὕδωρ τοῦ ποταμοῦ, τὸν βασιλέα τῶν Ἀσσυρίων. Ὕδωρ γὰρ Σιλωάμ ἐστι διδασκαλία τοῦ ἀπεσταλμένου. Τίς δ' ἂν εἴη οὗτος, ἀλλ' ἢ ὁ κύριος ἡμῶν Ἰησοῦς, ὁ ἀπὸ τοῦ θεοῦ πατρὸς αὐτοῦ ἀπεσταλμένος; ἡσυχῇ δὲ, διὰ τὸ μηδὲν καινόφωνον, μήτε ἐπίπλαστον, ἀλλὰ ἐν ἀληθείᾳ τὴν ἁγίαν αὐτοῦ νύμφην τὴν παρ' αὐτοῦ περιστερὰν καλουμένην, διὰ τὸ ἄκακον καὶ ἥμερον καὶ καθαρώτατον τοῦ ζώου, ἐν τοῖς Ἄσμασι τοῦ Σολομῶνος. Καὶ ἔστι θαυμάσαι, [2] τὰς μὲν ἄλλας μὴ οὔσας αὐτοῦ, ἐπὶ δὲ τῷ ὀνόματι αὐτοῦ ἑαυτὰς κεκλυκυίας, παλλακίδας ὠνόμασε καὶ βασιλίσσας, διὰ τὸ βασιλεῦον ὄνομα, ὃ ἑκάστη Χριστὸν ἐπιγραφομένη ἑαυτῇ σεμνύνεται. Ἀλλ' εἰ καὶ ὀγδοήκοντά εἰσι*
pag. 262. *παλλακαὶ, αἵτινές εἰσιν αἱ αἱρέσεις, ἔπειτα δὲ νεάνιδες, ὧν οὐκ ἔστιν ἀριθμὸς, φησὶ μία ἐστὶ περιστερά μου, τελεία μου, τουτέστιν αὐτὴ ἁγία νύμφη καὶ καθολικὴ ἐκκλησία. Περιστερὰ μὲν, ὡς ἔφην, διὰ τὸ ἥμερον καὶ ἄκακον καὶ καθαρὸν τοῦ ζώου· τελεία δὲ, διὰ τὸ τὴν τελείαν ἐκ θεοῦ λαβεῖν χάριν καὶ γνῶσιν παρ' αὐτοῦ τοῦ σωτῆρος, διὰ πνεύματος ἁγίου. Αὐτὸς οὖν ὁ νυμφίος, ὁ ἀπεσταλμένος, ἑρμηνευόμενος, τουτέστι Σιλωὰμ, ὕδωρ ἔχει πορευόμενον ἡσυχῇ, τουτέστιν διδασκαλίαν ἄδουπον καὶ ἀψοφοποιὸν καὶ ἀφαντασίαστον καὶ ἀκόμπαστον. Ἡ δὲ αὐτοῦ νύμφη καὶ αὐτὴ ἥσυχος περιστερὰ, μήτε ἰὸν ἔχουσα, μήτε μυλοστομίδας, μήτε κέντρα, ὡς οὗτοι πάντες οἱ ἑρπετόμορφοι, καὶ ἰὸν ἀναβλυστάνοντες, ἕκαστος φιλοτιμησάμενος δηλητήριόν τι τῷ [3] κόσμῳ κατασκευάσαι, καὶ λυμήνασθαι τοὺς αὐτῷ πεισθέντας. Ὧν*

Cap. III. — 1. παλίμφημα *coniectavit Petavius; nugas convertit Cornarius.*
2. *„Deest* ὡς“ *annotavit Petavius.*
3. *Ita correxit Petavius ex cod. Vatic., cum edit. princ. haberet* κάμῳ *pro* κόσμῳ.

nis vocem tribuimus. Quare utroque genere hic et haec homo proferre solemus. Sed ubi generum est distinguenda proprietas, feminam mulieris, marem viri nomine declaramus. His enim duobus vocabulis, generum habitudine separata, sexus utriusque diversitas exprimitur. At hominis vox nonnisi ὁμωνύμως et ambigue virum ac mulierem complectitur.

Quae cum ita se habeant, adeste quaeso servi dei omnes et veritatis amatores, planum illum et nebulonem Colorbasum vehementius deridete, vel lugete potius eos qui decepti sunt, cum seipsos, tum alios quam plurimos perdiderunt. Nos autem deo gratias agamus, quod mediocribus simplicibusque verbis filios suos veritas rectam in viam soleat deducere, contra vero misera illa arrogantiaeque plena dogmata, et exquisito fucata lenocinio dissipet, ac pacate leniterque progrediens evertat funditus et extinguat; ut ex prophetae testimonio manifeste colligitur, qui nonnullos impia quaedam curiosius adsciscentes, ac scelerata nescio quae suam ad fraudem excogitantes sic alloquitur: *Pro eo quod abiecistis aquam Siloë, quae vadit cum silentio, adducet super vos dominus aquam fluvii, regem Assyriorum.* Nam aquam Siloë missi doctrinam interpretari licet. Quis ille vero alius est praeter Iesum dominum nostrum a deo Patre missum, et quidem quiete, quod nihil insolens aut fucatum perstrepat, sed vere ac sincere sanctissimam sponsam edoceat, quam in Salomonis Canticis columbam ob animalis simplicitatem et mansuetudinem puritatemque cognominat? Et, quod est admiratione dignius, reliquas omnes, quae cum alienae sint, nomen ipsius usurpant, concubinas ac reginas appellat, ob regium Christi nomen, quod unaquaeque sibi insolenter arrogare contendit. Sed etsi *concubinae sint octoginta*, hoc est haereses, tum *puellae quarum*, inquit, *non est numerus, una tamen est columba mea, perfecta mea*, nimirum sancta et catholica ecclesia. Quae columba quidem est, ut diximus, ob huius avis mansuetudinem et innocentiam ac sinceritatem, perfecta vero quod perfectam a deo scientiam absolutamque ab ipso Salvatore per Spiritum sanctum cognitionem adepta sit. Igitur sponsus ipse, quem *missum* interpretari licet, hoc est *Siloam*, aquam habet leniter scaturientem, doctrinam scilicet non ingenti cum strepitu ac fragore praecipitem, nec inani se pompa et ambitione iactantem. Cuius sponsa mitis instar columbae veneno caret, neque molares dentes aut aculeos gerit, cuiusmodi serpentes habent isti qui veneno scatent, quorum singuli praecipuum aliquod mortalium generi virus conantur immittere ac sectatores suos corrumpere. Quorum e numero

Cap. III.

Isai. 8, 6.

Cant. 2, 10. 14. 5, 2. Item 6, 8.

καὶ οὗτος εἷς ὢν τυγχάνει ὁ ἐνταῦθά μοι σπουδασθεὶς φωραθῆναι διὰ θείου λόγου καὶ βοηθείας τῆς ἄνωθεν, καὶ συντριβῆναι δίκην φαλαγγίου τετραγνάθου ἑρπετοῦ καλουμένου, ἢ ὡς ἀπὸ ἀμφισβαίνης τῆς δικεφάλου ἐχίδνης τμηθεῖσα κεφαλὴ ἐν συντομίᾳ κατακλασθῆναι. Παρελθὼν δὲ τοῦτον πάλιν τὰς ἑξῆς διασκοπήσω, καὶ ταύτας διεξιὼν δι' εὐχῆς αἰτήσω τὰ μὲν κατ' αὐτὰς κατὰ ἀλήθειαν ἐξειπεῖν μηδένα δὲ βλάψαι ἢ αὐτὸς βλαβῆναι.

## ΚΑΤΑ ΗΡΑΚΛΕΩΝΙΤΩΝ,
### ἑξκαιδεκάτη, ἡ καὶ τριακοστὴ ἕκτη.

Κεφ. α'. Ἡρακλέων τις τοῦτον τὸν Κολόρβασον διαδέχεται, ἀφ' οὗπερ οἱ Ἡρακλεωνῖται καλούμενοι, οὐδὲν ἧττον τῆς παρὰ τοῦτον κενοφωνίας ἠσκημένος. Καὶ ὅσα μὲν ἐκεῖνοι λέγουσι, καὶ οὗτος ὁρίζεται κατὰ πάντα τρόπον, οἷα δὴ ἐξ αὐτῶν ὁρμώμενος καὶ παρ' αὐτῶν τὸν ἰὸν ἀπομαξάμενος, περισσότερον δὲ δῆθεν ὑπὲρ ἐκείνους ἐν ἑαυτῷ ἀνατυπωσάμενός τινα, βούλεται ἐκείνους ὑπεραίρειν, ἵνα καὶ ἑαυτῷ συναγωγὴν ποιήσηται τῶν ἠπατημένων. Οὗτοι γὰρ πάντες εἰς ἑκατοντακέφαλον ἑαυτοὺς ἀνατυπώσαντες σῶμα ἢ ἑκατοντάχειρον τόν ποτε μυθευόμενον παρὰ τοῖς τῶν Ἑλλήνων ποιηταῖς ἐμιμήσαντο Κόττον ἢ Βριάρεον, ὃν καὶ Αἰγαίωνα καλοῦσιν, ἢ [1] Γύγην, ἢ τὸν καλούμενον Ἄργον
pag. 263. τὸν πολυόφθαλμον, οἵους ἐκεῖνοι ἐν ταῖς [2] ἑαυτῶν ῥαψῳδίαις τερατεύονται, ποιητευόμενοι καὶ λέγοντες ἔχειν τὸν μὲν ἑκατὸν [3] χεῖρας καὶ ποτὲ μὲν πεντήκοντα κεφαλάς, ποτὲ δὲ ἑκατὸν, τὸν δὲ ἑκατὸν ὀφθαλμούς, καὶ τούτου ἕνεκά φασι τὸν Ἑρμῆν καλεῖσθαι Ἀργειφόντην, ὡς τὸν Ἄργον τὸν πολυόφθαλμον πεφονευκότα· οὕτω καὶ τούτων ἕκαστος βουλόμενος ἑαυτῷ ἀρχὴν προστήσασθαι κεφαλὴν ὠνόμασεν ἑαυτόν, ἕτερα ὑπεισφέρων παρὰ τὴν τῶν διδασκάλων αὐτοῦ ματαιοπονίαν καὶ μανιώδη διδασκαλίαν. Ἵνα δὲ μὴ εἰς πολὺ μῆκος ἐλάσω τοῦ προοιμίου τὴν σύνταξιν, ἐλεύσομαι εἰς τὸ προκείμενον.

Κεφ. β'. Ἡρακλέων τοίνυν οὗτος, καὶ οἱ ἀπ' αὐτοῦ Ἡρακλεωνῖται, ὡς προεῖπον, ὁμοίως Μάρκῳ καί τισι τῶν πρὸ αὐτοῦ περὶ τῶν Ὀγδοάδων φάσκει, τῆς ἄνω φημὶ, καὶ τῆς κάτω. Ἔπειτα δὲ καὶ τὰς συζυγίας τῶν τριάκοντα Αἰώνων ἴσως δοξάζει. Ἄνθρωπον δὲ καὶ αὐτὸς φάσκει εἶναι τὸν ἄνω τῶν ὅλων Πατέρα, ὃν καὶ Βυθὸν προσηγόρευσε. Βούλεται δὲ αὐτὸν καὶ αὐτὸς λέγειν μήτε ἄρρεν μήτε θῆλυ· ἐξ αὐτοῦ δὲ εἶναι τὴν τῶν ὅλων Μητέρα, ἣν καὶ Σιγὴν ὀνομάζει καὶ Ἀλήθειαν. Ἀπ' αὐτῆς δὲ εἶναι τὴν δευτέραν Μητέρα τὴν ἐν λήθῃ γενομένην, ἣν καὶ Ἀχαμὼθ καὶ αὐτὸς καλεῖ, ἐξ ἧς λοιπὸν τὰ πάντα ἐν ὑστερήματι

Cap. I. — 1. γύπην cod. *Vatic.* Gypen *legitur etiam in versione Cornarii.*
2. ἑαυτῶν *non comparet in cod. Rhedig.*

ille est ipse quem divino verbo coelestique praesidio fretus detegere studui, ac phalangii instar obterere, quod Tetragnathum, hoc est quatuor malis praeditum vocant, aut velut Amphisbaenae bicipitis viperae defectum caput confringere. Sed hoc omisso reliquas persequamur. Quod dum aggredior, supplex a deo postulo, ut quae ad illas pertinent ita ex rei veritate proferam, nulla ut in quemqnam atque adeo meipsum ex eo fraus ac pernicies redundet.

## CONTRA HERACLEONITAS,
### quae est haeresis XVI. vel XXXVI.

Colorbaso succedit Heracleon, a quo Heracleonitarum secta nominatur, nihilo minus quam ceteri nugis ac mendaciis instructus. Quicquid enim ab illis asseritur, hic tuetur ac defendit omnia, utpote qui ab illis ortum pariter ac venenatam luem traxerit. Sed nonnulla tamen a se excogitata et conficta ad eorum opiniones adiiciens superare illos ac propriam sibi scholam vindicare studuit. Etenim omnes isti centiceps se in corpus ac centimanum transformantes gigantem illum nescio quem e Graecorum fabulis exprimere voluerunt, Cottum opinor, aut Briareum, quem et Aegeona dixerunt, aut Gygen, aut Argum infinitis oculis praeditum; cuiusmodi portenta suis illi carminibus solent describere, ut centum alteri manus, cum quinquaginta, vel etiam centenis, capitibus, centum oculos alteri tribuant. Quam ob caussam Mercurium ferunt Argiphontem esse dictum, quod multis luminibus praeditum Argum occiderit. Sic illorum quilibet principatum affectans seipsum caput appellat, et a praeceptorum insanis ac furiosis dogmatibus diversa quaedam excogitat. Verum ne in praefando sim longior, ad rem ipsam aggrediar. Cap. I.

Heracleon igitur cum suis, ut diximus, eadem cum Marco aliisque, qui Marcum antecesserunt, de Ogdoadibus, superiore nimirum et inferiore, sentit. Deinde triginta Aeonum paria haud absimili ratione constituit. Hominem quoque supremum omnium Parentem pronuntiat, quem et Bythum nominat. Eundem nec marem esse nec feminam putat; a quo universorum Mater existat, quam et Sigen et Veritatem appellat. Ab hac secundam Matrem, quae in oblivione posita est, originem traxisse, quam Achamoth perinde ut alii nuncupat; a qua deinceps in defectu constituta sunt omnia. Sed amplius Cap. II.

3. „*Transposita ista sunt. Lege* χεῖρας, τὸν δὲ ἕκατον ὀφθαλμοὺς, καί ποτε μὲν πεντήκοντα κεφ. *cett.*, *annotavit Petavius.*

*κατέστη. Βούλεται δὲ πλείονα τῶν πρὸ αὐτοῦ καὶ οὗτος λέγειν, ἅτινά ἐστι τάδε· Τοὺς τελευτῶντας ἀπ᾽ αὐτῶν καὶ ἐπὶ αὐτὴν τὴν ἔξοδον φθάνοντας, ἀπὸ τοῦ προειρημένου Μάρκου τὰς προφάσεις εἰληφὼς, οὐκέτι κατ᾽ ἐκεῖνον λυτροῦται, ἀλλὰ ἄλλως οὗτος μεταχειρίζεται. Λυτρούμενος δῆθεν πρὸς τῇ τελευτῇ τοὺς ὑπ᾽ αὐτοῦ ἀπατηθέντας, ποτὲ γάρ τινες ἐξ αὐτῶν ἔλαιον ὕδατι μίξαντες ἐπιβάλλουσι τῇ κεφαλῇ τοῦ ἐξελθόντος, οἱ δὲ μύρον, τὸ λεγόμενον ὀποβάλσαμον, καὶ ὕδωρ, τὴν μέντοι ἐπίκλησιν κοινὴν ἔχοντες, ὡς δὴ καὶ ὁ πρὸ αὐτοῦ Μάρκος ἐποιεῖτο μετὰ προςθήκης τινῶν ὀνομάτων. Ἡ δὲ ἐπίκλησίς ἐστιν αὕτη· Μεσία, Οὐφὰρ, [1]Ἐγναμεμψαὶ, Μενχαλδία, Νοσσομὴ, [2]Δαέα, Ἀκφαρὰν, Ἐψενούα, Ἰησοῦ Ναζαρία. Τοῦτο δὲ ποιοῦσιν, ἵνα δῆθεν οἱ λαμβάνοντες ἐπὶ τῇ ἐξόδῳ ταύτας τὰς ἐπικλήσεις, τὰς μετὰ τοῦ ὕδατος καὶ ἐλαίου, ἤτοι μύρου, ἀναμεμιγμένων, ἀκράτητοι γένωνται, καὶ ἀόρατοι ταῖς ἄνω Ἀρχαῖς καὶ Ἐξουσίαις, εἰς τὸ ὑπερβῆναι ἀοράτως*
pag. 264. *τὸν ἔσω αὐτῶν ἄνθρωπον, φασὶν, ὡς τῶν σωμάτων τούτων ἐν τῇ κτίσει καταλιμπανομένων, τῆς δὲ ψυχῆς αὐτῶν παριστανένης τῷ Δημιουργῷ ἄνω τῷ ἐν ὑστερήματι γεγονότι, ὥςτε καὶ ἐκεῖσε καταμένειν παρ᾽ αὐτῷ, ὑπεραναβαίνειν δὲ, ὡς ἔφην, τὸν ἔσω ἄνθρωπον [3]ἐσώτερον ψυχῆς καὶ σώματος, ὃν δὴ θέλουσι λέγειν ἐκ τοῦ ἄνωθεν Πληρώματος κατεληλυθέναι.*

Κεφ. γ'. *Ἐγκελεύονται δὲ τοῖς οὕτω παρ᾽ αὐτοῖς ἐμπεπαιγμένοις, ὅτι, [1]φασὶν, Ἐὰν ἔλθῃ ἐπὶ τὰς Ἀρχὰς καὶ Ἐξουσίας, ἔχε ἐν μνήμῃ τάδε εἰπεῖν μετὰ τὴν ἐντεῦθεν τελευτήν· Ἐγὼ υἱὸς ἀπὸ πατρὸς, πατρὸς προόντος, υἱὸς δὲ ἐν τῷ παρόντι ἦλθον πάντα ἰδεῖν τὰ ἀλλότρια καὶ τὰ ἴδια, καὶ οὐκ ἀλλότρια δὲ παντελῶς, ἀλλὰ τῆς Ἀχαμὼθ, ἥτις ἐστὶ θήλεια, καὶ ταῦτα ἑαυτῇ ἐποίησε· κατάγω δὲ τὸ γένος ἐκ τοῦ προόντος, καὶ πορεύομαι πάλιν εἰς τὰ ἴδια, ὅθεν ἐλήλυθα. Καὶ ταῦτα εἰπόντα διαφεύγειν τὰς Ἐξουσίας, ἔρχεσθαι δὲ ἐπὶ τοὺς περὶ τὸν Δημιουργὸν ἄνω περὶ τὴν πρώτην Ὀγδοάδα. Βούλονται γὰρ καὶ αὐτοὶ μετὰ τὸν Δημιουργὸν κάτω εἶναι Ἑβδομάδα, αὐτὸν δὲ εἶναι ἐν τῷ ἑβδόμῳ ὄγδοον, ἐν ὑστερήματι δὲ καὶ ἀγνωσίᾳ· καὶ λέγειν ἐκ τῶν τοῦ βίου ἐξελθόντα τοῖς περὶ τὸν Δημιουργὸν, Σκεῦός εἰμι ἔντιμον, μᾶλλον παρὰ τὴν θήλειαν τὴν ποιήσασαν ὑμᾶς· εἰ ἡ Μητὴρ ὑμῶν ἀγνοεῖ τὴν ἑαυτῆς ῥίζαν, ἐγὼ οἶδα ἐμαυτὸν, καὶ γινώσκω ὅθεν εἰμὶ, καὶ ἐπικαλοῦμαι τὴν ἄφθαρτον Σοφίαν, ἥτις ἐστὶν ἐν τῷ Πατρὶ, μήτηρ δὲ τῆς Μητρὸς ὑμῶν τῆς μὴ ἐχούσης μητέρα, ἀλλ᾽ οὔτε σύζυγον ἄρρενα, θήλεια δὲ ὑπὸ θηλείας γενομένη ἐποίησεν ὑμᾶς, ἀγνοοῦσα καὶ τὴν μητέρα αὐτῆς, καὶ δοκοῦσα ἑαυτὴν εἶναι μόνην· ἐγὼ δὲ ἐπικαλοῦμαι αὐτῆς τὴν μητέρα. [2]Τούτους*

Cap. II. — 1. Ἐγναμεμψὰ *edit. Petav.* 2. Δαὲκ *edit. Petav. In Cornarii versione haec leguntur:* Messia, Uphareg, Namempseman, Chaldean, Mosomedaea, Acplirane, Psenua, Iesu Nazaria. *Supra, haer.* 34, 23., *in eadem formula apud Cornarium legitur:* Messia, Uphareg, Namempsaeman, Chaldaean, Mosomedaea,

quiddam quam superiores omnes in opinione sua posuit. Etenim qui ex eorum grege morituri sunt, occasionem nactus a Marco, non eodem tamen quo iste modo redimit, sed aliam quandam eiusmodi in salutem vindicandi rationem observat. Sunt enim ex ipsis aliqui qui oleum aqua temperatum capiti morientis aspergunt, unguentum alii, quod Opobalsamum vocant, et aquam. Invocatione quidem eadem utuntur quam et Marcum adhibuisse docuimus, paucissimis vocabulis adiunctis. Ea porro est huiusmodi: *Mesia, Uphar, Egnamempsae, Menehaldia, Nossome, Daec, Acpharam, Epseuua, Iesu Nazaria.* Quae quidem eo consilio faciunt, ut qui sub exitum vitae talibus comprecationibus instructi fuerint cum aqua et oleo, sive unguento, commistis a superioribus Principatibus ac Potestatibus coërceri viderique nequeant, atque ut interior ipsorum homo sursum possit a nemine conspectus evadere. Quippe corporibus istis censent cum reliqua omni creatura relictis evolantes hinc ipsorum animas conditori, qui in defectu versatur, assistere, ibidemque apud illum commorari. Sed interiorem hominem, qui anima ipsa corporeque magis intimus est, altius efferri; quem ex superiori Pleromate derivatum existimant.

Ceterum quos ad eum modum illuserint, ita cohortati solent. Cap. III. Ubi, inquiunt, ad Principatus et Potestates post obitum evolaris, memento haec uti verba proferas: *Ego filius a Patre, et eo Patre qui ante omnes existit, ac praesenti tempore filius veni ut omnia tam aliena quam privata cernerem, nec omnino tamen aliena, sed ad Achamoth pertinentia, quae cum femina sit, sibi ista fabricavit. Origo porro mea est ab eo ducta qui ante omnes existit, eoque rursum unde ortus sum regredior.* Quae cum dixerit, subinde e Potestatibus ereptum ad conditorem eiusque stipatores adusque primam Ogdoadem efferri. Siquidem post creatorem etiam isti inferiorem esse volunt Hebdomadem, ipsumque in Septenario octavum esse, sed in defectu et ignorantia constitutum. Iubent igitur eum, qui ex hac vita discesserit, creatorem eiusque comites hunc in modum alloqui: *Vas ego sum pretiosum magis quam femina illa quae vos condidit. Si radicem suam vestra mater ignorat, ego novi me ipsum, et unde sim scio, atque incorruptam Sapientiam invoco, quae inest in Patre Matrisque vestrae mater est, eius quae matrem non habet, ac ne coniugem quidem matrem, sed e femina nata femina vos produxit, matris ignara suae, seque esse solam existimans. At ego matrem eius appello.* Quibus audi-

Acphranae, Pseuua, Iesu Nazaria. 3. *Rescribo* τὸν ἐσώτερον.

Cap. III. — 1. *In libris extat* φησὶν. 2. Τούτου *coniec. Petavius.*

*δὲ τοὺς περὶ τὸν Δημιουργὸν ἀκούσαντας σφόδρα ταραχθῆναι, καὶ καταγνῶναι αὐτῶν τῆς ῥίζης καὶ τοῦ γένους τῆς μητρὸς, αὐτὸν δὲ πορευθῆναι εἰς τὰ ἴδια, ῥίψαντα τὸν δεσμὸν αὐτοῦ καὶ τὸν ἄγγελον, τουτέστι τὴν ψυχήν. Οἴονται μὲν γὰρ μετὰ σῶμα καὶ ψυχὴν εἶναί τι καὶ ἕτερον ἐν ἀνθρώπῳ. Καὶ περὶ μὲν τῆς ἀπολυτρώσεως ταῦτά ἐστιν ὅσα εἰς ἡμᾶς [3] συνελήλυθεν.*

Κεφ. δ'. *Οἱ δὲ συνετοὶ κατακούσαντες τῆς περισσοτέρας αὐτῶν χλεύης καταγελάσαιεν [1] τῆς μιμολογίας, ὡς ἕκαστος αὐτῶν ἕτερα παρὰ τὸν ἕτερον* pag. 265. *νομοθετεῖ, ὡς βούλεται, καὶ τῆς τόλμης ἑαυτοῦ οὐκ ἀνακόπτεται, ἀλλὰ ὅσαπερ δύναται ἕκαστος ἐπινοεῖ. Καὶ τῶν ἔτι εἰς δεῦρο γεννωμένων παρ' αὐτοῖς καὶ ἐπιφυομένων, [2] οἳ καθ' ἡμέραν εὑρίσκουσί τι καινὸν εἰπεῖν καὶ φαντάσαι τοὺς ἐπαγομένους, χαλεπόν ἐστι πάντα τὰ τούτων ζητῆσαι ἢ ἐξειπεῖν. Ὅθεν ἀρκεσθήσομαι πάλιν τοῖς καὶ περὶ ταύτης τῆς αἱρέσεως εἰρημένοις, ἅτινα καὶ εἰς ἡμᾶς ἦλθεν, ὑποδεῖξαι. Ἡ δὲ τοιαύτη διδασκαλία τίνι οὐκ ἂν σαφὴς εἴη, ὡς μῦθός ἐστι καὶ χλεύη τὸ πᾶν; Πόθεν γὰρ, ὦ οὗτος σὺ, ἢ οἱ πρὸ σοῦ, τὸ σῶμα εἰλήφατε; τὴν δὲ ψυχὴν πόθεν; τὸν δὲ ἐσώτατόν σου ἄνθρωπον πόθεν; Καὶ εἰ μὲν ἄνωθεν ἀπὸ τοῦ ἄνω πνευματικοῦ, ὡς λέγεις δραματουργῶν, καὶ ἐπαγγελίᾳ ἐλπίδος κεπφώσας τοὺς ὑπό σου ἠπατημένους, ἵνα σκοπῷ τινι ἐπάρθεντες [3] ὑποσυρῶσι τῇ σῇ γεγοητευμένῃ δραματουργίᾳ, λέγε, τίς ἡ κοινωνία τοῦ ἄνω πνευματικοῦ πρὸς τὸ ὑλικόν; τίς δὲ ἡ τοῦ ὑλικοῦ πρὸς τὸ ψυχικόν; πῶς δὲ ὁ Δημιουργὸς τὰ μὴ ἑαυτοῦ ἐδημιούργει; πῶς δὲ ὁ ἄνω τὴν παρ' αὐτοῦ δύναμιν πνευματικὴν παρέσχε τῷ μὴ καλῶς ἐργασαμένῳ Δημιουργῷ; πόθεν δὲ ὁ Δημιουργὸς ἀναμίξας [4] τὸ ἑαυτοῦ ψυχικὸν μετὰ τοῦ ὑλικοῦ τῇ ὕλῃ μᾶλλον ἠθέλησεν ἐγκαταδῆσαι τὴν ἑαυτοῦ δύναμιν; Εἰ δὲ τὴν ἑαυτοῦ δύναμιν βούλεται ἐγκαταμίξαι, οὐκ ἄρα ἀλλοτρία ἡ ὕλη· εἰ δὲ καὶ ἔστιν ἀλλοτρία, τίς αὐτῷ τῆς ὕλης παρέσχε τὴν ἐξουσίαν; Καὶ πρῶτον λέγε μοι, ὦ ἀπατεὼν, πότερον μισῶν τὴν ψυχὴν κατέδησεν αὐτὴν τῇ ὕλῃ, ἢ ἀγνοῶν τὸ ἐσόμενον; Ἀλλ' οἶδα ὅτι οὐδέτερον τούτων ἐρεῖς. Ὕλην γὰρ οὐ λέγομεν τὸ σῶμα, μὴ γένοιτο, οὐδὲ τὰς τοῦ Θεοῦ κτίσεις· ἀλλὰ ὕλην τινὰ οἶδεν ἡ γραφὴ μετὰ ταύτην τὴν φαύλην, εἰς δὲ κατασκευὰς [5] ἑκάστῃ τέχνῃ καὶ ἐργασίας [6] προκειμένην, ἄλλην τινὰ, λέγω δὴ τὴν ἐκ διανοίας φυομένην ῥυπαρὰν ἐνθύμησιν καὶ βορβορώδεις λογισμοὺς τῆς ἁμαρτίας. Φύονται γὰρ ὡς ἀπὸ πηλοῦ [7] δυσοδμία τε καὶ ἀκάθαρτος ἀποφορὰ, λοιμώδης τε καὶ βορβορώδης. Ὡς ὁ μακάριος Δαβὶδ διωκόμενος καὶ [8] δια-*

3. *Ita correxit Petavius. Libri enim habent* συνεληλύθαμεν.

Cap. IV. — 1. τῆς *reposuit Petavius ex cod. Vatic. Nam in edit. princ. extat* τὰς. — *Pro* καταγελάσαιεν *mendose scriptum est in edit. Petavii* καταγελάσειεν.

2. *Edit. Petavii mendose* οἱ.

3. ὑποσυρῶσι *emendatio Petavii est. Libri habent* ὑποσύρωσι.

4. *Ita edidit Petavius ex cod. Vatic. Ed. princ. habet* τῷ ἑαυτῷ.

5. ἑκάστῃ τέχνῃ *rescripsi pro* ἑκάστη

tis creatoris factionem magnopere perturbari, atque originem suam matrisque damnare genus; ipsum vero qui ista dixerit abiectis vinculis suis et angelo, sive anima, propriam in sedem transferri. Existimant enim secundum corpus et animam tertium quiddam in homine reperiri. Atque haec sunt quae de illorum redemptione comperire potuimus.

Porro quisquis iudicio valet, ubi inanissimas hasce nugas audie- Cap. IV.
rit, sic tanquam mimos fabulasque ridebit. Hoc enim illorum quisque suscipit, ut ab aliorum dogmate diversum quiddam pro voluntatis suae libidine sentiat; nec ulla res ipsum a tanta temeritate deterreat, sed quaecumque potest impune comminiscitur. Ac cum in hodiernum usque diem ab illis multa proferantur, nascanturque portenta, qui quotidie novi aliquid ad illudendos homines confingunt, difficile est extricare omnia, vel oratione complecti. Quare quae de hac haeresi disputata sunt, iis contenti esse debemus, quae ad nostram memoriam pervenerunt. Atque hanc omnem illorum doctrinam quis non meras esse fabulas ac ludibria perspiciat? Cedo enim, heus tu, maioresque tui, unde corpus accepistis? unde animam? unde interiorem illum hominem? Si a superiore illo nescio quo ac spiritali habere te dixeris, pro eo ac mentiri soles, et spei cuiusdam ostensione illusos a te homines inflare, quo eiusmodi proposito sibi scopo tuas ad praestigias prolectentur, dic obsecro quae sit coelestis illius ac spiritalis cum materiae concreto societas, aut huius cum animali: aut quo tandem pacto creator quae ad se pertinebant nihil condiderit? Cur supremus ille spiritalem suam vim conditori, qui minus recte molitus erat, attribuerit. Cur idem ille conditor animale suum cum materiali commiscens materiae quam habebat vim illigare maluerit? Quod si vim ille suam immiscere cupit, non erit aliena materia. Sin est aliena, quis ei ius in materiam potestatemque concessit? Ac primum illud volo mihi dicas, impostor, utrum animae inductus odio, an quod futurum erat ignorans, materia illam adstrinxerit. Non dubito quin horum asserere neutrum audeas. Procul enim absit materiam ut corpus appellemus, aut res a deo conditas. Sed alterius cuiusdam materiae scriptura meminit post vilem hanc et abiectam, quae cuilibet arti operique proponitur. Cuiusmodi est ille qui ex animo pullulat, inquinatus animi motus ac lutulentae peccati cogitationes, quae ex foetidissimo coeno, velut deterrimus vapor ac pestilens spiritus, exhalat. Quam ob caussam bea- Psalm. 68, 3.

*τέχνη, quod in libris editis legitur.*

6. προκειμένην *correxit Petavius. Vulgo* προκειμένη.

7. δυςοδμία *bene viderunt corrigendum esse Cornarius et Petavius. Libri habent* δυςοδμίας.

8. *Libri a me inspecti omnes habent* διαβαλλόμενος ὡς ὑπὸ *cett.*

βαλλόμενος ὑπὸ πονηρῶν ἀνθρώπων ἔλεγεν, Ἐνεπάγην εἰς [9] ὕλην βυθοῦ, καὶ τὰ ἑξῆς.

Κεφ. ε΄. Ἐπειδὴ δέ σοι δοκεῖ, Ἡρακλέων, τοῦτο λέγεσθαι ὕλην, τῶν ἀνθρώπων τὰ σώματα καὶ τὸν ἐνθάδε κόσμον ἅπαντα, ἐπὶ ποίῳ σκοπῷ pag. 266. τὴν ἑαυτοῦ ψυχὴν ὁ Δημιουργὸς τῇ ὕλῃ ἐγκατέμιξεν; Εἰ μὲν τὸ πονηρὸν ἀγνοῶν, οὐ δύναται δημιουργεῖν, ὁ μὴ γινώσκων ὃ βούλεται δημιουργῆσαι. Οὔτε γὰρ ἡμεῖς τι πράττομεν καθ' ἑκάστην τέχνην ἐργαζόμενοι, [1] ὅπερ οὐ νοοῦμεν. Καὶ προενθυμούμεθα γὰρ ὃ ἐπιτελεῖν βουλόμεθα, καὶ οἴδαμεν πρὶν ποιῆσαι ὃ ἐπιτελέσαι προῃρήμεθα, καί τοί γε ἡμεῖς ἀσθενεῖς ὄντες, καὶ πολλὰ ἀποδέοντες τῆς τοῦ θεοῦ δυνάμεως· διὰ δὲ τῆς ὑπ' αὐτοῦ κεχαρισμένης συνέσεως τοῖς ἀνθρώποις οἴδαμεν καὶ νοοῦμεν. Συμβέβηκε δέ σοι, ὦ Ἡρακλέων, ἡ ἐκ θεοῦ σύνεσις εἰς βλάβην, ὅτι μὴ κατὰ θεὸν αὐτὴν πραγματεύῃ, ἀλλὰ κατὰ πονηρὰν ἐπιτήδευσιν. Ἔτι δὲ πάλιν ἐρῶ, πόθεν ἡ τοῦ πνευματικοῦ μίξις τῷ ψυχικῷ τε καὶ ὑλικῷ, ὃ [2] δὴ λέγεται παρὰ σοὶ [3] ἔσω ἄνθρωπος, τῷ δευτέρῳ καὶ τρίτῳ ἔξω ἀνθρώπῳ [4] συνημμένου, φημὶ δὴ ψυχῇ καὶ σώματι; Καὶ εἰ μὲν ἐκ βουλήματος τῆς ἄνω δυνάμεως τοῦ τῶν ὅλων Πατρός, φημὶ δὲ τοῦ κατὰ σὲ Βυθοῦ, ἄρα γε οὐκ ἀκοινώνητος τοῖς ἄνω, ὡς ἔφην, ἡ ἐνταῦθα περὶ ἡμᾶς κτίσις συγκαταμιγνυμένη, διὰ τῆς τοῦ Πατρὸς ἄνω εὐδοκίας καὶ τοῦ ἄνωθεν παρ' αὐτοῦ καταπεμφθέντος σπινθῆρος, ὅ ἐστιν ὁ πνευματικὸς κατὰ σὲ καὶ ἐσώτατος ἄνθρωπος. Εἰ δὲ λέγεις τὸν Δημιουργὸν τὸν ἐν ἐλαττώματι καὶ ὑστερήματι, ἢ τὴν Μητέρα, ἣν λέγεις Ἀχαμὼθ, εἰληφέναι ἄνωθεν δύναμιν, τουτέστι τὸ πνευματικόν, οὐκέτι ἐν ὑστερήματι καὶ ἀγνοίᾳ ἐστὶν ὁ Δημιουργός, οὔτε ἡ κατὰ σὲ [5] Μήτηρ καλουμένη. Πῶς γὰρ ἄν τις ἐν ἀγνοίᾳ εἴη τούτου οὗ ἐπιθυμεῖ. Εἰ γὰρ ὅλως τοῦ κρείττονος ὀρέγεται, οἶδε τὸ καλὸν καὶ ἀγαθόν, καὶ ὁ τὸ ἀγαθὸν ἐπιστάμενος, καὶ μὴ στυγῶν τοῦτο, ἀλλὰ ὀρεγόμενος, οὐκ ἔστιν ἀλλότριος τοῦ ἀγαθοῦ.

Κεφ. ς΄. Καὶ ἵνα μὴ κατατρίβωμαι περὶ τὰς μηχανὰς τοῦ ἀγύρτου ἀσχολούμενος, τούτοις ἀρκεσθήσομαι. Πᾶσα γὰρ αὐτοῦ ἔπεσεν ἡ ληρῳδία ἀπὸ τοῦ τῶν πάντων δεσπότην πᾶσι σαφῶς ὁμολογηθῆναι ἀγαθὸν ὄντα καὶ προγινώσκοντα καὶ δυνάμενον τὰ πάντα ποιεῖν, καὶ ὡς ὑπ' αὐτοῦ πᾶσα φύσις ὑπάρχουσα κτιστὴ καλῶς γεγένηται. Οὔτε γὰρ δυνατὸν ἄνευ τοῦ θεοῦ τι εἶναι, ἀλλ' ἢ μόνον ἡ ἁμαρτία οὐκ ἔχουσα ἀρχὴν ῥίpag. 267. ζης, οὐδὲ εἰς τέλος μένουσα, ἐν ἡμῖν δὲ ἐπεισάκτως γινομένη, καὶ

9. ὕλλιν cod. *Rhedig.*, *quod est* ἰλύν, *quemadmodum scriptum est apud LXX Interpretes.*

Cap. V. — 1. *Pro* ὅπερ, *quod Petavius restituit ex cod. Vatic.*, *in edit. pr. legitur* τό.

tus ille David, cum eum conscelerati homines persequerentur ac calumniis incesserent, *Infixus sum*, inquit, *in materia profundi* etc.

Verum quandoquidem, o Heracleo, placet tibi materiam hominum esse corpora, totumque istud universum, quaero abs te quibus de caussis animam suam materiae creator inseruerit. Si malum ignoravit, qui quod moliri vult ignorat efficere omnino nihil potest. Neque enim nos in singulis artibus molimur quippiam quod non intelligimus. Quicquid autem perficere volumus, id diu ante meditamur, et quod faciendum suscepimus, animo ante et cognitione complectimur. Atqui imbecilles ipsi sumus, et longe a divina potestate vincimur, et tamen pro insita ab illo generi humano solertia novimus istud et mente percipimus. Tibi autem nimirum, Heracleo, concessa illa divinitus intelligentia fraudi fuit, quod non ex dei praescripto, sed ex pessimo animi tui studio exercere illam institueris. Hoc unum insuper velim mihi respondeas, undenam spiritalis illius, quem tu interiorem hominem vocas, cum animali ac materiali, sive secundo ac tertio, exteriorique adeo homine, coniuncti sit facta concretio. Si de supremae virtutis, hoc est Parentis omnium, quem Bythum etiam vocas, voluntate gestum dixeris, non erunt igitur, ut dictum est, creatae istae infimaeque res omnis cum superioribus communionis expertes, id ipsumque de supremi Parentis consilio ac coelitus delapsa illa scintilla consequentur, qui est intimus ille opinione tua ac spiritalis homo. Sin conditorem mavis in defectu atque egestate constitutum, aut eius matrem, quam Achamoth nominas, vim illam hausisse de coelo, hoc ipsum videlicet quod spiritale est, sequitur neque conditorem, neque quam tu matrem illius nuncupas, in defectu amplius ignorantiaque versari. Qui enim ignorare aliquis potest cuius cupiditate ducitur? Nam si omnino, quod praestantius est desiderat, quod honestum est bonumque cognoscit. Qui autem et bonum cognitione capit, neque odit illud, sed appetit, a bono nequaquam alienus est. Cap. V.

Sed ne in persequendis importuni illius nebulonis fraudibus diutius haeream, iis quae proposita sunt ero contentus. Cum praesertim vel ex hoc uno illius evanescant somnia, quod nemo est quin universorum dominum bonum esse omniaque et praevidere et moliri posse sentiat, totamque rerum naturam ab illo conditam praeclare omnino fabricatam existimet. Nihil enim absque deo potest existere, praeterquam peccatum, cuius radix et origo principio caret, neque perpetuo manet, sed in nobis ipsis adventitium inest et ex- Cap. VI.

2. δή *om. ed. Petav.*
3. *Reposuerim* ὁ ἔσω ἄνθρωπος.
4. *Libri habent* συνημμένῳ.
5. *Editi libri habent* μητὴρ.

*ἀφ' ἡμῶν πάλιν παυομένη, ὡς καὶ πανταχοῦ κατὰ πασῶν τῶν αἱρέσεων ποιούμενος τὸν λόγον ἀπέδειξα, ὅτι εἷς ἐστιν ὁ θεὸς ὁ τὰ πάντα ποιήσας καὶ δημιουργήσας, ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἷς ὁ μονογενὴς αὐτοῦ παῖς ὁ κύριος ἡμῶν καὶ σωτὴρ καὶ θεός, καὶ ἓν τὸ ἅγιον αὐτοῦ πνεῦμα, μία τριὰς ἁγία καὶ ὁμοούσιος, ἐξ ἧς τὰ πάντα καλῶς ἐκτισμένα, οὐ πονηρά τινα, ἀλλὰ ἀγαθά, κατὰ τὴν οὕτως εὐδοκήσασαν ἀγαθότητα ἐξ οὐκ ὄντων κεκλημένα εἰς τὸ εἶναι, ᾧ θεῷ δόξα καὶ τιμὴ καὶ κράτος πατρὶ ἐν υἱῷ, υἱῷ ἐν πατρί, σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.*

*Ταύτης δὲ πάλιν ποιησάμενος τὴν ἀνατροπὴν διὰ βραχέων ἐπὶ τὰς ἑξῆς βαδιοῦμαι τὸν πρὸς ἑκάστην κατὰ δύναμιν ποιούμενος ἔλεγχον, καὶ οὕτως ἐπιτελῶν τὴν ἀνατροπὴν τῆς αὐτῶν λυμαντικῆς μοχθηρίας. Σὴψ γὰρ [1] οὗτος ἂν λέγοιτο δικαίως, ὃ οὐκ [2] ὄφις, ἀλλ', ὥς φασι, [3] χαλκίδος εἶδός ἐστι, [4] τετράπουν ἑρπετόν, [5] ἀσκαλαβώτῃ [6] ἐοικός, οὗ ἡ μὲν τοῦ δήγματος βλάβη εἰς οὐδὲν λογίζεται, τὸ δὲ πτύσμα ἢ ἐν βρώματι ἢ ἐν ποτῷ ἀκοντισθὲν θάνατον εὐθὺς τοῖς μεταλαβοῦσιν ἐργάζεται. Οἵα καὶ ἡ τούτου διδασκαλία. Ἀλλὰ καὶ τούτου τὸν ἰὸν φωράσαντες καὶ τῇ τοῦ κυρίου δυνάμει ἀπὸ φαρύγγων ἢ χειλέων τῶν μελλόντων βλάπτεσθαι ἀπομάξαντες τὰς ἑξῆς διέλθωμεν, ὡς προεῖπον, τῆς αὐτῶν βλάβης ποιοῦντες τὸν ἔλεγχον.*

## ΚΑΤΑ ΟΦΙΤΩΝ,

### ἑπτακαιδεκάτη, ἡ καὶ τριακοστὴ ἑβδόμη.

Κεφ. α'. *Ὡς οὖν τῇ τοῦ θεοῦ δυνάμει ἐπαγγειλάμενοι θεοῦ βοηθοῦντος καὶ [1] τὴν ἑξῆς [2] ταύτῃ ὑφηγησόμεθα ταῖς πρότερον ἀκολουθήσασαν ματαιοφροσύναις Ὀφιτῶν, τὰ μὲν κατὰ τὰ αὐτὰ φερομένην, τὰ δὲ διηλλαγμένην, [3] λέγω δὲ τοῖς ἤθεσι καὶ σχήμασι τῶν χρωμένων αὐτῇ· ἵνα ἀπὸ τῆς μετεώρου πλάνης τῆς τούτων διαφωνίας παντί τῳ δῆλον ἔσηται ὅτι πλάνῃ ἄγονται, καὶ οὐκ ἀληθείᾳ. Φωραθήσεται δὲ νῦν τῷ λόγῳ καὶ ἐλεγχθήσεται ἡ κατ' [4] αὐτοὺς ἄνοια.*

pag. 268. *Οἱ Ὀφῖται μὲν γάρ, ὡς προεῖπον, τὰς προφάσεις εἰλήφασιν ἀπὸ τῆς τοῦ Νικολάου καὶ Γνωστικῶν καὶ τῶν πρὸ τούτων αἱρέσεων, Ὀφῖται δὲ καλοῦνται δι' ὃν δοξάζουσιν ὄφιν. Ἄτοπα γὰρ καὶ οὗτοι ἐρεύ-*

Cap. VI. — 1. ἂν οὗτος *cod. Rhedig.* 2. ὁ οὐχ ὀφθεὶς *vulgo libri habent. — Cf. schol. Nicandr. Ther.* 817. *cum Schneideri annotatis.*

3. χαλκίδος εἶδος *rescripsi pro* χαλκέα ὅς, *quod libri habent. Quae verba Petavius uncinis inclusit tanquam spuria, item Cornarius in versione sua omnino neglexit.*

4. *Ita corrigendum viderunt Cornarius et Petavius. Libri habent* τετραπλοῦν.

5. *Ita Petav. ex cod. Vatic. Cornarius ediderat* ἀσχαλαβάτῃ.

6. *Libri:* ἐοικώς.

trinsecus ascitum, et a nobis rursum habet ut esse desinat; quemadmodum cum singillatim adversus haereses disputarem ubique monstravi: Unum videlicet esse deum a quo facta conditaque sint omnia, patrem domini nostri Iesu Christi, unum itidem esse filium eius unigenitum dominum nostrum, salvatorem ac deum, unum quoque Spiritum sanctum, unam sanctam consubstantialemque Trinitatem, a qua recte sunt universa procreata, non aliqua mala, sed omnino bona, prout bonitatis illius voluntas tulit. Eadem porro e nihilo ut essent aliquid evocata sunt. Cui quidem deo gloria, honor et imperium sit, Patri in Filio, Filio in Patre, cum Spiritu sancto, in secula seculorum, Amen.

Hac igitur haeresi paucis in hunc modum eversa ad reliquas pergendum; quas singillatim, prout in nobis situm erit, refellemus, ac perniciosissimae illarum nequitiae modum adhibebimus. Seps enim merito ille nominari potest. Quod bestiae genus non tam serpens, quam reptile quadrupes est, stellionis specie; qui cum morsu nihil admodum noceat, sputum ipsum si in cibum aut potum eliserit, praesens iis qui adhibuerint exitium afferre dicitur. Eiusmodi est illius doctrina. Nos autem huius quoque veneno patefacto, ac divina ope ex illorum quibus iamiam nociturum erat faucibus aut labris absterso, ad ceteras transeamus, et eas, ut dictum est, oratione nostra confutemus.

## ADVERSUS OPHITAS,
## quae est haeresis XVII. vel XXXVII.

Quod igitur divino freti praesidio suscepimus, Ophitarum haeresin, quae superioribus illis insanis stolidisque sectis proxima est, aggredimur. Quae quidem partim cum illis convenit, partim discrepat, pro eorum qui illam secuti sunt moribus habituque dissimili: ut vel inanis illa et erroribus implicata discordia magno omnibus argumento sit, falsitate illos esse, non veritate subnixos. Nunc itaque eorum oratione nostra detegenda ac convincenda vesania est. Cap. I.

Nam Ophitae, quemadmodum diximus, a Nicolao et Gnosticis ac prioribus aliis sectis effloruerunt. Quos Ophitas, hoc est Anguineos, ab angue illo quem celebrant appellare solent. Sed horrenda

Cap. I. — 1. τὴν *ego reposui. Libri habent* τῇ.

2. ταύτῃ *cod. Vatic.* ταύτης *vulgo est scriptum. Cornarius vertit:* Quemadmodum igitur per dei virtutem promisimus, ita deo opitulante haeresim Ophitarum ad relatas vanitatum opiniones consequentem deinceps exponemus.

3. λέγω *cod. Vatic. Quomodo iam emendaverat Cornarius*, inquam *vertens. Edit. princ. et cod. Rhedig. habent* λεγέτω.

4. *Sic correxerunt Cornarius (qui vertit* ipsorum) *et Petavius. Libri habent* αὐτοῦ.

*γονται, ὡς ἀπὸ τῆς προειρημένης βρώσεως τῆς δυςοδμίας ἐμπεπλησμένοι, καὶ ὡς κενὰ δαιμόνια ἀπατηθέντες οὗτοι τὸν ὄφιν, ὡς προεῖπον, δοξάζουσι. Καὶ ὅρα εἰς ὅσην προέβη κακομηχανίαν ὁ τούτους ἀπατήσας ὄφις. Καθάπερ γὰρ ἐξ ὑπαρχῆς τοὺς περὶ Εὔαν καὶ τὸν Ἀδὰμ ἠπάτησεν, οὕτω καὶ νῦν κρύπτων ἑαυτὸν ἔν τε τῷ παρόντι καὶ ἐν τῷ χρόνῳ τῶν Ἰουδαίων ἄχρι τῆς τοῦ Χριστοῦ παρουσίας. Εἶτα καὶ προβαινόντων τῶν χρόνων λίχνους ὄντας τοὺς ἀνθρώπους τῇ δι' αὐτοῦ ἐκ τῆς παρακοῆς ληφθείσῃ βρώσει ἔτι ὑπονοθεύων καὶ ἐρεθίζων εἰς περισσοτέραν ἀπάτην ἀπὸ τοῦ ὄντος θεοῦ ἀφίστησι, πολλὰ μὲν ὑπισχνούμενος ἀεὶ, ὡς καὶ ἐξ ἀρχῆς. Καὶ γὰρ καὶ τότε ἠπάτησε, λέγων, Ἔσεσθε ὡς θεοί· εἶτα προϊόντων τῶν χρόνων τὴν πολύμορφον καὶ τερατώδη φαντασίαν αὐτοῖς ἐξειργάσατο. Ἀπὸ γὰρ τοῦ ἑνὸς καὶ τοῦ ἀληθινοῦ θεοῦ ἀποστήσας αὐτοὺς ἐνεκίσσησε πάλαι τὴν τῆς εἰδωλολατρείας καὶ πολυθεΐας βλάσφημον κενοφωνίαν. Οὐδέποτε γὰρ ἦσαν θεοὶ, ὥςπερ οὐδέ εἰσιν, ἀλλὰ ὁ θεός. Προεκίσσα δὲ τὴν εἰδωλομανίαν καὶ πολυθεΐαν καὶ ἀπατηλὴν διάνοιαν· οὐκ ἦν δὲ αἴτιος μόνος ὁ φαινόμενος τότε ὄφις, ἀλλὰ ὁ ἐν τῷ ὄφει ὄφις λαλήσας, φημὶ δὲ διάβολος, καὶ τὴν ἀκοὴν τοῦ ἀνθρώπου ταράξας διὰ τῆς γυναικός. Καὶ οὐδὲ τὸ ξύλον ἦν ἁμαρτία (θεὸς γὰρ οὐδὲν πονηρὸν φυτεύει)· γνῶσιν δὲ ἐνεποίησε τὸ ξύλον τοῦ εἰδέναι ἀγαθόν τε καὶ φαῦλον. Καὶ οὐχὶ διὰ τὸ εἰδέναι ὁ θάνατος, ἀλλὰ διὰ τὴν παρακοήν. Καὶ γὰρ ἡ πᾶσα τοῦ ἐχθροῦ τότε συσκευὴ οὐχ ἕνεκεν τοῦ βρώματος γέγονεν, ἀλλ' ἕνεκεν τοῦ ἐργάσασθαι αὐτοῖς τὴν παρακοήν. Ὅθεν παρακούσαντες τότε τοῦ μὲν Παραδείσου ἔξωθεν γίνονται, ἐπιτιμηθέντες δικαιότατα, οὐ κατὰ μῖσος, ἀλλὰ κατὰ ἐπιμέλειαν τοῦ θεοῦ. Φησὶ γὰρ πρὸς αὐτοὺς ὁ κύριος, Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Ἔδει γὰρ τὸν ὄντως ὄντα τεχνίτην κεραμέως δίκην ἐπιμελόμενον τοῦ ἰδίου διὰ χειρῶν πεπλασμένου αὐτοῦ πλάσματός τε καὶ ἄγγους τοῦτο ὕστερον ἐν ἐλαττώματι γεγονὸς διὰ τῆς*
pag. 269. *παρακοῆς — καὶ, ὡς εἰπεῖν, ἔτι πηλοῦ ὄντος, καὶ ὡς [5] ὑπὸ ῥαγάδι ἀπορρύματος γεγονότος τοῦ ἄγγους — μὴ ἐάσαι οὕτως, ἀλλὰ μεταβαλεῖν εἰς τὸ ἀρχαῖον φύραμα· ἵνα αὖθις ἐν τῇ παλιγγενεσίᾳ ἀνασκευάσῃ τὸ ἄγγος ἐν τῇ ἀναστάσει εἰς τὴν ἀρχαίαν φαιδρότητα, καὶ ἔτι περιττότερον, τουτέστι τὰ σώματα τῶν τὰ ἀδικώτατα πραξάντων καὶ μετανοησάντων καὶ ἀποστάντων τῶν ἰδίων σφαλμάτων καὶ ἐν τῇ γνώσει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τελειωθέντων, ἵνα γένηται τοῦ φυράματος ἡ ἀνάστασις ἐκ τῆς γῆς, ὡς φύραμα μαλαχθὲν παρὰ τοῦ τεχνίτου, καὶ αὖθις εἰς τὴν ἀρχαίαν καὶ ἔτι βελτίω ἀνατύπωσιν κατασκευασθῇ.*

5. *Ita correxi. Vulgo enim extat* ὑπὸ ῥαγάδα ἀπόρρυμα γεγονότος *cett., quae vereor ut ne* καὶ *quidem particula ante* ἀπόρρυμα *addita (quo quidem modo Petavius corruptelae esse medendum opinatus est), sana et apta sint evasura. Cornarius in versione Latina haec verba* καὶ ὡς εἰπεῖν — — — τοῦ ἄγγους *omisit. Pro* ἔτι πηλοῦ ὄντος *facile reposuerim* ἔτι πηλοῦ ὄν.

sane sunt quae homines isti, ut ita dicam, eructant, ex illo esu velut tetro quodam odore referti. Serpentem quippe novi cuiusdam instar numinis venerantur. Ac vide quantis eos fraudibus ille, a quo circumventi sunt, serpens irretitos teneat. Nam ut Evam olim et Adamum fefellit, ita modo seipsum tegens ac dissimulans, adeoque ante a Iudaeorum temporibus ad adventum usque Christi, mortalibus imposuit. Tum progredientibus aetatibus esca illa, quam contra dei interdictum usurpare ausi fuerant, prolectatos homines et aviditate correptos ab obsequio dei callidioribus machinis abstraxit, vehementius identidem adulterans et instigans, ac multarum rerum spem, ut initio fecerat, ostendens. Nam et tunc ita illos decepit cum diceret, *Eritis sicut dii.* Tum paulatim varias ac portenti si- Gen. 3, 5.
millimas eis species obiecit. Cum enim ab uno veroque deo illos avertisset, idololatria multipliciumque deorum ineptissimis religionibus velut fetu quodam implevit. Siquidem dii nunquam extiterunt, uti nec existunt modo, sed deus duntaxat. Verum insanum simulacrorum cultum, ac deorum multitudinem et fraudulenta consilia dudum apud se conceperat. Neque vero solus ille, qui extrinsecus apparebat, serpens tanti mali caussam attulit, sed qui per eum loquebatur alius serpens, hoc est diabolus, qui auditum viri mulieris usus opera perturbavit. Neque lignum ipsum peccatum fuit. Nihil enim a deo mali seritur. Sed boni malique cognitionem lignum illud attulit. At non ex ea scientia mors est, sed ex contumacia profecta. Nam tota hostis illa calliditas non ad escam pertinebat; sed eo potissimum spectabat, ut illos ad violandum dei mandatum impelleret. Ex quo tum accidit ut lege contempta e paradiso pellerentur, meritoque castigarentur, non odio ullo, sed dei erga illos cura providentiaque singulari. Sic enim dominus ipsos alloquitur: *Terra es, et in terram* Gen. 3, 19.
*reverteris.* Si quidem rationi consentaneum fuit, ut ille verus artifex, figuli instar, operis eius ac vasis quod manibus finxerat curam gerens, idipsum ex praecepti violatione imminutum, quamdiu molle adhuc, ut ita dixerim, lutum erat, atque ex fissura quadam ac rima perfluere coeperat, non ita destitueret, sed in pristinam massam redigeret, ut in instaurata illa generatione, hoc est mortuorum excitatione, vas illud priorem ad pulchritudinem nitoremque revocaret, imo aliquid ei insuper adiiceret. Quod de eorum corporibus accipiendum est qui post horrenda scelera poenitentia ducti et a delictis revocati, in Iesu Christi domini nostri cognitione perfecti sunt; ut illa de terra massa denuo resurgat, argillae instar quae artificis manu mollitur ac subigitur, eoque modo in antiquam vel etiam praestantiorem speciem reformetur.

Κεφ. β'. Τοιαύτη μὲν ἦν ἡ ἐπιβουλὴ τοῦ ὄφεως πρὸς τὴν Εὔαν. Ἐξ ἀρχῆς γὰρ λίχνος ἡ ἀνθρωπεία φύσις, καὶ ὑπαγομένη ἀεὶ τοῖς τῆς κενοφωνίας δόγμασι καὶ κεναῖς ὑποσχέσεσι. Καὶ πάλαι μὲν κρυπταζόμενος ὁ αὐτὸς οὐκ ἐδήλου τῆς αὐτοῦ ἰοβολίας τὸ πέρας, ὕστερον δὲ, μετὰ τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν, ἐξήμεσέ τε καὶ ἀπέπτυσε τὴν πᾶσαν αὐτοῦ [1] ἰώδη καὶ μοχθηρὰν ἐπίνοιαν τῆς κακονοίας. Οὗτος γὰρ προεβάλετο ἑαυτὸν ἐν τῇ τῶν ἠπατημένων διανοίᾳ δοξάζεσθαι ὡς θεὸς καὶ [2] προκεῖσθαι. Γινώσκεται δὲ ὁ αὐτὸς ὄφις διά τε τῆς αὐτοῦ σχολῆς ταύτης καὶ δι' ὄφεως τοῦ αἰσθητοῦ τὴν ἀπάτην ἐμποιῶν. Ὄφιν δὲ δῆθεν ἡ θεία γραφὴ καλεῖ τὸν διάβολον, οὐ πάντως ὄντα τοιοῦτον τῇ μορφῇ, ἀλλὰ διὰ [3] τὸ φαινόμενον τοῖς ἀνθρώποις σκολιώτατον, καὶ τὸ ἐν πρώτοις ἐν ὄφει ἐνεργηθὲν τῆς ἀπάτης σκευώρημα. Παρὰ τοῖς τοίνυν τὴν ἀλήθειαν ἐπιγινώσκουσι καταγέλαστον τούτου τὸ δόγμα, καὶ οἱ αὐτῷ προσανέχοντες, τὸν ὄφιν ὡς θεὸν δοξάζοντες. Μηκέτι γὰρ δυνάμενος ὁ διάβολος τὴν ἀνδρείαν διάνοιαν τὴν ἀπὸ τοῦ κυρίου λαβοῦσαν τὴν δύναμιν τῆς ἀληθείας ἀπατᾶν τρέπεται ἐπὶ τὸ θῆλυ, τουτέστι τὴν τῶν ἀνθρώπων ἄγνοιαν, καὶ πείθει τοὺς ἐν τῇ ἀγνοίᾳ, ἐπειδὴ οὐ δύναται τὸν στερεὸν λογισμὸν ἀπατῆσαι. Θηλυκοῖς γὰρ ἀεὶ διανοήμασι προςπελάζει, ἡδονῇ τε καὶ ἐπιθυμίᾳ, τουτέστι τῇ [4] ἀγνοίᾳ τῇ ἐν ἀνθρώποις θηλυνομένῃ, καὶ οὐχὶ τῷ στερεῷ λογισμῷ, τῷ εὐλόγως τὰ πάντα νοοῦντι καὶ θεὸν ἀπὸ τοῦ [5] κατὰ φύσιν νόμου ἐπιγινώσκοντι.
pag. 270. Λέγει γὰρ ἑαυτὸν εἶναι Χριστὸν ὁ παρ' αὐτοῖς ὄφις. Μᾶλλον δὲ οὐκ αὐτὸς, οὐ γὰρ δύναται φθέγξασθαι, ἀλλὰ ὁ τὴν αὐτῶν ἔννοιαν οὕτω φρονεῖν παρασκευάσας διάβολος. Τίς τοίνυν ἰδὼν τὸν ὄφιν οὐκ ἐπιγνώσεται τὸν ἐχθρὸν καὶ φεύξεται; Τούτου γὰρ ἕνεκεν καὶ ὁ κύριος αὐτὸν τοῦτον τὸν ὄφιν εἰς ἐχθρίαν κατέστησε τοῦ τῶν ἀνθρώπων γένους, ἐπειδὴ ὅλως σκεῦος διαβόλου γέγονε κτῆνος ὢν, καὶ δι' αὐτοῦ ἠπάτησεν διάβολος τὸν ἄνθρωπον ἐν τῷ παραδείσῳ· ἵνα ἰδόντες τὴν τούτου ἐχθρίαν τοῦ αἰσθητοῦ ὄφεως ἀποδιδράσκωσι τῆς ἀπάτης τὴν ἐπιβουλὴν, καὶ μισήσωσιν, ὡς εἰπεῖν, θεάσασθαι καὶ τὸ εἶδος.

Κεφ. γ'. Ἀποδιδόασι δὲ καὶ οὗτοι οἱ Ὀφῖται καλούμενοι τούτῳ τῷ [1] ὄφει τὴν πᾶσαν γνῶσιν, λέγοντες ὅτι οὗτος ἀρχὴ γέγονε γνώσεως τοῖς ἀνθρώποις, μυθωδῶς παρειςφέροντες τὰ παρ' αὐτοῖς νομιζόμενα μυστήρια, μιμολογήματα δὲ ὄντα καὶ χλεύης ἔμπλεα καὶ ματαιοφροσύνης. Μῦθοι γὰρ ὡς ἀληθῶς οὗτοι. Φάσκουσι γὰρ ἀπὸ τοῦ ἄνω Αἰῶνος προ-

Cap. II. — 1. ἰώδη *restituit Petavius ex cod. Vatic.* ἰοβολίαν *pristina erat scriptura.*

2. *Emendavi* προκεῖσθαι *pro* προνοεῖσθαι, *quod vulgo extat, duce libro Rhedigerano in quo scriptum* προνεῖσθαι *inveni.* Προκεῖσθαι est pro recepto aestimari, vel censeri. *Petavius corrigendum putavit* προςκυνεῖσθαι.

Tales adversus Evam fuere serpentis insidiae. Etenim iam tum ab initio natura hominum novitatis cupida, vanis dogmatum somniis et inanibus promissis solet abripi. Et quidem principio latens ille ac sensim obrepens ictus venenati exitum dissimulabat. Postea cum salvator assumpto corpore venisset, virus omne suum ac nefarii sceleris improbitatem evomere ac despuere coepit. Nam semetipsum infelicium illorum mentibus dei instar habendum celebrandumque proposuit. Sed idem serpens, qui per alumnos disciplinae suae postea, olim per aspectabilem illum serpentem, homines circumvenit. Diabolum enim scriptura serpentem nominat; non quod ea sit eius figura, sed quod ex omnibus bestiis sit ille tortuosissimus, quodque primam omnium fraudem sub serpentis involucro molitus fuerit. Quamobrem apud eos, qui veritatis haud ignari sunt, ridiculum est illius dogma, non minus quam qui eidem acquiescentes numinis instar serpentem colunt. Diabolus quippe, cum virilem animum veritatis a deo cognitione roboratum decipere non posset, ad mulierem sese convertit, hominum videlicet ignorantiam; et quoniam fortibus ingeniis nequit illudere, eos quibus ignorantiae caecitas obducta est ad sese conatur allicere. Nam muliebribus perpetuo cogitationibus adhaerescit, voluptati nimirum et cupiditati, hoc est effeminatae in hominibus ignorantiae; firma vero ac constantia ingenia reformidat, quae rerum omnium consentaneam ac congruam notitiam informant, ac deum ipsum ex naturae lege discernunt. Christum enim se illorum esse serpens praedicat; vel minime ipse quidem, neque enim loqui potest, sed qui talem istorum mentibus cogitationem iniecit diabolus. Ecquis vero statim ac serpentem viderit non hostem animadvertat ac fugiat? Hanc enim ob caussam dominus serpentem inter hominumque genus hostiles inimicitias immisit, quod omnino diabolus bestiae genus istud velut instrumentum adhibuisset, hominemque intra paradisi septa decepisset; ut qui externi serpentis hostilem speciem conspicati fuerint, ab eius insidiis caveant, ac vel ipsum, ut ita dicam, conspectum illius exhorrescant. Cap. II.

Ophitae vero huic scientiam omnem tribuunt, itaque profitentur: serpentem hominibus scientiae omnis auctorem extitisse, indeque fabulas meras quas pro mysteriis habent commenti sunt; cum nihil aliud praeter mimorum ludicra ridicula prorsus et inania sint. Etenim ab Aeone summo propagatos Aeonas existimant, e quibus Cap. III.

3. τὸ *rescripsi ex Vatic. libro pro* τὸν, *quod vulgo extat.*

4. *Verba* ἀγνοίᾳ τῇ *in edit. Petav. operarum error omisit.*

5. κατὰ, *quod desideratur in edit. princ., Petavius ex cod. Vatic. restituit.*

Cap. III. — 1. ὄφει *reposui cum Cornario et Petavio, pro corrupta voce* ἔχει, *quae vulgo legitur.*

*βεβλῆσθαι Αἰῶνας, καὶ κατώτερον γεγενῆσθαι* [2] *τὸν Ἰαλδαβαώθ· τοῦτον δὲ προβεβλῆσθαι κατὰ ἀδράνειαν καὶ ἄγνοιαν τῆς ἰδίας μητρὸς, τουτέστι τῆς ἄνω* [3] *Προυνείκου. Ταύτην γάρ φασι τὴν Προύνεικον κατεληλυθέναι εἰς τὰ ὕδατα, καὶ μιχθῆναι αὐτοῖς, καὶ μὴ δεδυνῆσθαι εἰς τὰ ἄνω χωρεῖν διὰ τὸ μεμίχθαι τῷ βάρει τῆς ὕλης, ἐπιμεμίχθαι δὲ αὐτὴν τοῖς ὕδασι καὶ τῇ ὕλῃ καὶ μηκέτι δυνηθῆναι ἀναχωρεῖν. Ἐπῆρε δὲ ἑαυτὴν κατὰ βίαν εἰς τὰ ἀνώτερα, καὶ ἐξέτεινεν ἑαυτὴν, καὶ οὕτως γέγονεν ἀνώτερος οὐρανός· καὶ ὡς παγεῖσα ηὕρηται, μηκέτι δυναμένη μήτε ἄνω ἀναβῆναι, μήτε κάτω κατελθεῖν, ἀλλὰ εἰς τὸ μεσαίτατον παγεῖσά τε καὶ ἐκτεταμένη ἔμεινε. Κάτω μὲν γὰρ κατενεχθῆναι οὐκ ἠδύνατο, ὅτι οὐκ ἦν συγγενής· ἄνω δὲ οὐκ ἠδύνατο χωρεῖν, διὰ τὸ βαρεῖσθαι ἐκ τῆς ὕλης ἧς προσέλαβε. Κατὰ δὲ τὴν αὐτῆς ἄγνοιαν προβληθεὶς ὁ Ἰαλθαβαὼθ ἦλθεν εἰς τὰ κατώτατα, καὶ ἐποίησεν ἑαυτῷ ἑπτὰ υἱοὺς, οἵτινες ἑαυτοὺς οὐρανοὺς ἑπτὰ ἐποίησαν, αὐτὸς δὲ ἀποκλείσας τὰ ὑπὲρ αὐτὸν ἀπέκρυπτεν, ἵνα οἱ ὑπ' αὐτοῦ υἱοὶ προβληθέντες ἑπτὰ μὴ γινώσκωσι τὰ ὑπὲρ αὐτὸν, κατώτεροι ὄντες, αὐτοῦ, ἀλλ' αὐτὸν μονωτάτως. Καὶ οὗτός ἐστι, φασὶν, ὁ θεὸς τῶν Ἰουδαίων ὁ Ἰαλδαβαώθ. Ἀλλ' οὐκ ἔστιν οὕτως, μὴ γένοιτο. Ἀλλὰ μέλλει κρίνειν*
pag. 271. *αὐτοὺς ὁ θεὸς ὁ παντοκράτωρ, θεὸς ὢν καὶ Ἰουδαίων καὶ Χριστιανῶν καὶ πάντων,* [4] *καὶ οὐ Ἰαλδαβαώθ τις ὢν κατὰ τὴν αὐτῶν ληρώδη μυθολογίαν.*

Κεφ. γ'. *Εἶτά φασιν· Ἀποκεκλεισμένων τῶν ἄνω διὰ τῆς τοῦ Ἰαλδαβαὼθ ἐπινοίας οὗτοι οἱ ἀπ' αὐτοῦ γεγεννημένοι ἑπτὰ υἱοὶ, ἤτοι Αἰῶνες, ἤτοι θεοὶ, ἤτοι ἄγγελοι (καλοῦνται γὰρ παρ' αὐτοῖς ὀνόμασι διαφόροις) κατὰ τὴν ἰδέαν τοῦ αὐτῶν πατρὸς Ἰαλδαβαὼθ ἔπλασαν τὸν ἄνθρωπον· οὐ ῥᾳδίως, οὐδὲ ταχέως, ἀλλὰ τῷ αὐτῷ τρόπῳ ᾧ καὶ αἱ πρότεραι αἱρέσεις ἐμηχανήσαντο ἐν τῇ αὐτῶν κενοφωνίᾳ. Φασὶ γὰρ καὶ οὗτοι· Ἦν ἑρπετὸν ὁ ἄνθρωπος ὡς σκώληξ, μὴ δυνάμενος μήτε ἀνακύφειν, μήτε ὀρθοῦσθαι. Πρὸς ἐπιβουλὴν δὲ τοῦ Ἰαλδαβαὼθ ἡ ἄνω Μήτηρ, ἡ καλουμένη Προύνεικος, βουλομένη κενῶσαι τὸν Ἰαλδαβαὼθ ἀπὸ τῆς αὐτῆς δυνάμεως ἧς ἐξ αὐτῆς μετέσχεν ἐνήργησεν ἐν αὐτῷ, εἰς τὸν ἄνθρωπον τὸν ἀπὸ τῶν τέκνων αὐτοῦ πεπλασμένον κενῶσαι τὴν αὐτοῦ δύναμιν, καὶ ἀποστεῖλαι ἀπ' αὐτοῦ σπινθῆρα ἐπὶ τὸν ἄνθρωπον, τὴν ψυχὴν δῆθεν,* [1] *διανοουμένη. Καὶ τότε, φησὶν, ἔστη ὁ ἄνθρωπος ἐπὶ τοὺς πόδας, καὶ ὑπερβέβηκε τῇ διανοίᾳ τοὺς ὀκτὼ οὐρανοὺς, καὶ ἐπέγνω καὶ ᾔνεσε τὸν ἄνω πατέρα τὸν ἐπάνω τοῦ Ἰαλδαβαώθ.* [2] *Καὶ τότε ὁ Ἰαλδαβαὼθ πόνῳ φερόμενος διὰ τὸ ἐπιγνωσθῆναι τὰ ἀνώτατα αὐτοῦ ἐπέβλεψε κάτω ἐν πικρίᾳ πρὸς τὴν ὑποστάθμην τῆς ὕλης, καὶ γεγέννηκε δύναμιν ὀφιόμορφον εἰδέαν ἔχουσαν, ὃν καὶ υἱὸν αὐτοῦ καλοῦσι.*

2. Pro τὸν *libri habent* ὁ.
3. Προυνίκου *volebat Petavius.*
4. καὶ οὐ *emendatio est Cornarii et Petavii. Libri habent* καὶ ὁ.

infimus est Ialdabaoth, quem ex imbecillitate ignorantiaque suae matris exortum referunt; hoc est illius supremae quam Prunicum appellant. Hanc enim narrant in aquas delapsam iisque commistam evolare minime potuisse, quod materiae gravitate esset implicita; cui quidem perinde ut aquis inserta recedere ultra nequiverit. Ac cum se violenter efferret atque extendendo niteretur, coelum illud superius effectum est. Ipsa vero ubi defixa semel est, haesit in eodem statu, neque aut attolli sursum aut deorsum descendere potuit, sed in medio immobilis extentaque permansit. Non enim inferiorem in locum vergeret, quo cum ei affine nihil esset; sursum autem emergere non poterat, cum eam materia illa cui se adiunxerat suopte pondere gravaret. Igitur ex huius ignorantia editus Ialdabaoth ad infima subsidit, septemque sibi liberos genuit, qui totidem coelestes orbes condiderunt. At ille quae supra se erant interclusit suorumque subtraxit oculis, ne septem illi quos susceperat quicquam quod se ipso superius esset praeter se unum agnoscerent. Hunc Ialdabaoth Iudaeorum esse deum asserunt. Quod absit ut esse verum putemus. Imo ille ipse est a quo iudicandi sunt, omnipotens deus, Iudaeorum, inquam, ut et Christianorum, adeoque communis omnium deus, non ille nescio quis ex commentitiis istorum nugis depromptus Ialdabaoth. De quo ita narrare pergunt.

Cum, ut dictum est, Ialdabaothis calliditate aditus esset ad superiora praeclusus, septem illi ab eo geniti liberi, sive Aeones, sive dii, sive demum angeli, diversa enim ab illis nomina tribuuntur, ad parentis sui Ialdabaothis imaginem hominem producunt; ne id quidem facile vel celeriter, sed ad eundem modum quo haereses reliquae stolidissime finxerunt. Sic enim pronuntiant: Hominem principio vermis instar humi reptantem sursum erigi aut attolli nequisse, coelestem deinde Matrem, quae et Prunicus appellatur, adversus Ialdabaoth tale quid esse machinatam, ut ei vim illam quam eidem impertierat, auferret, ideoque in hominem, quem illius liberi finxerant, vim ipsius transfundere, ac scintillam quandam, hoc est animam, infundere voluisse. Tunc, inquiunt, pedibus suis homo constitit, atque octo coelestes orbes cogitatione transcendens Patrem illum Iadalbaothe superiorem agnovit ac laudibus extulit. At Iadalbaoth aegre ferens ea quae supra se erant cuiusquam ad notitiam pervenisse, stomachi plenus ad materiae faecem demisit oculos, et Virtutem quandam serpentis specie genuit, quem eius Filium vocant, idem- Cap. IV.

Cap. IV. — 1. διανοουμένη *restituit Petavius pro eo quod vulgo legitur* διανοούμενοι.

2. *Verba* Καὶ τότε ὁ Ἰαλδαβαώθ *Petavius primum adiecit ex cod. Vaticano.*

*Καὶ οὕτως, οὗτός φησιν, ἀπεστάλη καὶ ἠπάτησε τὴν Εὔαν. Ἡ δὲ ἤκουσεν αὐτοῦ, καὶ ἐπείσθη ὡς υἱῷ θεοῦ, καὶ πεισθεῖσα ἔφαγεν ἀπὸ τοῦ ξύλου τῆς γνώσεως.*

Κεφ. ε'. *Εἶτα ὅταν ταύτην τὴν μωρίαν διηγήσωνται καὶ τὸ γέλοιον τῆς ἐπιτηδεύσεως, ταύτην τὴν τραγικὴν, ὡς εἰπεῖν, ποιησάμενοι [1] ὑπόθεσιν καὶ τὸ κωμικὸν τοῦτο δρᾶμα ἄρχονταί τινα ἡμῖν ὑποφαίνειν εἰς παράστασιν τῶν παρ' αὐτοῖς λεγομένων ψευδῶν θεῶν· ὅτι, Οὐχὶ καὶ τὰ ἔγκατα ἡμῶν, δι' ὧν ζῶμεν καὶ τρεφόμεθα, ὀφιοειδεῖ ὑπάρχει; Ἄλλα δὲ ὅσα τοῖς ἠπατημένοις παρεισφέρουσιν εἰς τὴν ἑαυτῶν πλάνην καὶ ληρώδη ὑπόνοιαν. Διὰ τοιαύτην δὲ αἰτίαν, φασὶ, τὸν ὄφιν δοξάζομεν, ὅτι ὁ θεὸς αἴτιος τῆς γνώσεως γεγένηται τῷ πλήθει. Ὁ δὲ Ἰαλ-* pag. 272. *δαβαὼθ, φασὶν, οὐκ ἤθελε μνησθῆναι τὴν ἄνω Μητέρα, οὔτε τὸν Πατέρα τοῖς ἀνθρώποις. Ἔπεισε δὲ ὁ ὄφις καὶ γνῶσιν ἤνεγκεν, ἐδίδαξέ τε τὸν ἄνθρωπον καὶ τὴν γυναῖκα τῶν ἄνω μυστηρίων τὸ πᾶν τῆς γνώσεως. Διὸ ὁ Πατὴρ ὀργισθεὶς, τουτέστιν ὁ Ἰαλδαβαὼθ, δι' ἣν ὑπέδειξε τοῖς ἀνθρώποις γνῶσιν κατέβαλεν αὐτὸν ἀπ' οὐρανοῦ. Καὶ ἔνθεν βασιλέα τὸν ὄφιν ἀπ' οὐρανοῦ λέγουσιν οἱ τὴν μερίδα τοῦ ὄφεως, καὶ οὐδὲν ἕτερον κεκτημένοι. Δοξάζουσιν οὖν αὐτὸν διὰ τὴν τοιαύτην, [2] φασὶ, γνῶσιν, καὶ ἄρτον αὐτῷ προσφέρουσιν. Ἔχουσι γὰρ φύσει ὄφιν τρέφοντες ἐν κίστῃ τινὶ, [3] οὗ πρὸς τὴν ὥραν τῶν αὐτῶν μυστηρίων τῷ φωλεῷ προσφέροντες καὶ στιβάζοντες ἐπὶ τραπέζης ἄρτους [4] προσκαλοῦνται τὸν ὄφιν. Ἀνοιχθέντος δὲ τοῦ φωλεοῦ πρόεισι. Καὶ οὕτως ἀνελθὼν κατὰ τὴν [5] αὐτοῦ φρόνησιν ὁ ὄφις καὶ πανουργίαν ἤδη γινώσκων τὴν αὐτῶν μωρίαν ἄνεισιν ἐπὶ τὴν τράπεζαν καὶ ἐνειλεῖται τοῖς ἄρτοις. Καὶ ταύτην φασὶν εἶναι τελείαν θυσίαν. Ὅθεν καὶ, ὡς ἀπό τινος ἀκήκοα, οὐ μόνον κλῶσι τοὺς ἄρτους, ἐν οἷς ὁ αὐτὸς ὄφις εἰλήθη, καὶ ἐπιδιδόασι τοῖς λαμβάνουσιν, ἀλλὰ καὶ ἕκαστος ἀσπάζεται τὸν ὄφιν ἐκ στόματος, ἤτοι γοητείᾳ τινὶ ἐπασθέντος τοῦ ὄφεως εἰς ἡμερότητα, ἢ ἐξ ἑτέρας ἐνεργείας διαβόλου πρὸς ἀπάτην τούτων ὑποκοριζομένου τοῦ ζώου. Προσκυνοῦσι δὲ τὸν τοιοῦτον, καὶ εὐχαριστίαν ταύτην ἐπιφημίζουσι, τὴν δι' αὐτοῦ ἐνειληθέντος γεγενημένην, καὶ αὖθις δι' αὐτοῦ, ὥς φασι, τῷ ἄνω Πατρὶ ὕμνον ἀναπέμποντες οὕτως τὰ μυστήρια αὐτῶν ἐπιτελοῦσι.*

Κεφ. ϛ'. *Μωρίαν δὲ εἴποι τις ἂν καὶ χλεύης ἔμπλεων, καὶ οὔτε ἀνατροπῆς ἀπὸ θείας γραφῆς ἐπιζητουμένης [1] δεῖ τοῦτο, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ τῷ τὸν νοῦν ἔχοντι ἐρρωμένον κατὰ θεὸν γελοιῶδες δειχθήσεται. Εὐθὺς γὰρ πᾶσα ἡ αὐτῶν κενοφωνία ληρώδης τις εὑρεθήσε-*

Cap. V. — 1. ὑπόθεσιν cod. *Vatic.* *Vulgo* συμφωνίαν.
2. *Correxi* φασὶ. *Libri habent* φησὶ.
3. οὗ — — τῷ φωλεῷ *mea est emendatio. Libri enim habent scripturam mendosam* ὃν — — τοῦ φωλεοῦ.
4. *Suspicor* προκαλοῦνται.
5. *Verba* αὐτοῦ φρόνησιν ὁ ὄφις καὶ

que sic immissus Evam fefellit. Huic enim auscultans illa tanquam dei filio facile ut de arbore scientiae vesceretur in animum induxit.

Deinde postquam aniles istas nugas ac ridicule affectatas fabulas hoc modo proposuerunt, tragicum quendam istiusmodi actum, sive comicum potius, instituentes nonnulla ad fictos illos deos comprobandos in medium afferunt. Nonne, inquiunt, et intestina nostra, quibus vivimus et alimur, serpentis effigiem referunt? Addunt et alia pleraque, quae ad errorum ac deliriorum suorum faciendam fidem sectatoribus suis obiiciunt. Propterea enim, inquiunt, serpentem colimus, quod deus iste multitudini hominum scientiae ac cognitioni caussam attulit. Ialdabaoth supremae Matris ac Parentis memoriam extinctam inter homines esse cupiebat. Sed iis persuasit serpens, ac scientiam importavit, totamque adeo divinorum mysteriorum cognitionem cum viro ac muliere communicavit. Ob id iratus Pater Ialdabaoth, ac derivatam in illos eiusmodi scientiam iniquo animo ferens, e coelo illum deturbat. Inde regem e coelo delapsum serpentem esse dictitant ii qui non alterius se quam serpentis partibus addixerunt. Igitur propter hanc ab illo concessam scientiam venerari se serpentem fatentur, eique panem insuper obiiciunt. Verum quippe serpentem in cista nutriunt, quem mysteriorum tempore stipatis ad eius cavernam in mensa panibus invitant: isque aperto foramine e latebris erumpit, atque ubi pro sua calliditate stoliditatem illorum agnovit, mensam conscendens circum panes implicatur. Hanc absolutissimum esse sacrificium censent. Unde, ut a quodam accepi, non modo panes istos quibus circumvolutus est serpens frangunt ac distribuunt, sed etiam quilibet admoto ore serpentem exosculatur, sive cantionibus quibusdam ad mansuetudinem bestia mollitur, sive alio daemonis artificio innocua redditur. Hanc quidem adorant miseri et eucharistiam vocant, cum appositos panes tortuosis flexibus ac circumvolutionibus ambierit. Ac demum supremum parentem per illum, ut aiunt, celebrantes mysteria sua perficiunt. Cap. V.

Quas quidem ineptias vanissimas esse ludibrioque dignissimas nemo non dixerit, neque vero divinis ex scriptura depromptis testimoniis acrius refellendas, cum per sese cuilibet, qui sit nonnullo ingenio praeditus quam ridiculum sit totum illud negotium demonstrari possit. Nihil enim praeter contemptissimas fabulas ac deliria Cap. VI.

πανουργίαν ἤδη γινώσκων τὴν *desiderantur in edit. princ. Reposuit ea Petavius ex cod. Vaticano.*

Cap. VI. — 1. *Rescripsi* δεῖ *pro* εἰς, *quod omnes tenent libri, sed praeter structuram atque sententiam.*

ται. Εἰ γὰρ Προύνεικόν φασιν εἶναι, πῶς ἀπ' αὐτοῦ τοῦ ὀνόματος οὐ τὸ σαθρὸν τῆς διανοίας αὐτῶν φωραθήσεται, ὡς ἤδη προεῖπον; Πᾶν γὰρ τὸ [2] προυνεικευόμενον ἄχρηστον· εἰ δὲ ἄχρηστον, οὐκ ἐν τοῖς προκριτέοις τακτέον. Καὶ πῶς ἐπαινετὸν εἴη τὸ ἄχρηστον; Πῶς δὲ οὐχὶ μυθῶδες τὸ λέγειν ὅτι ἡ Προύνεικος τὸν Ἰαλδαβαὼθ ἐκένωσε, καὶ ὁ σπινθὴρ εἰς τὰ κάτω κατῆλθεν ἀπὸ τοῦ κενωθέντος; ἐν δὲ τῷ
pag. 273. ἄνω γεγονὼς ἐπέγνω τὸν ἀνώτερον τοῦ κεκενωμένου; καὶ θαῦμα μέγιστον, ὡς ὁ ἄνθρωπος, ἐν ᾧ ὁ ἐλάχιστος σπινθὴρ, ἐπιγινώσκει ὑπὲρ τοὺς πεπλακότας ἀγγέλους. Οἱ γὰρ πεποιηκότες τὸν ἄνθρωπον ἄγγελοι, εἴτουν υἱοὶ τοῦ Ἰαλδαβαὼθ, οὐκ ἐπέγνωσαν τὰ ἐπάνω τοῦ Ἰαλδαβαὼθ· ὁ δὲ ὑπ' αὐτοῦ γεγενημένος διὰ τοῦ σπινθῆρος ἐπέγνω. Αὐτοὶ τοίνυν ἑαυτοὺς ἀνατρέπουσι διὰ τῶν ἰδίων δογμάτων, πὴ μὲν τὸν ὄφιν δοξάζοντες, πὴ δὲ ἀπατηλὸν αὐτὸν πρὸς τὴν Εὔαν γεγενημένον φάσκοντες, ἐν τῷ εἰπεῖν, Ἠπάτησε τὴν Εὔαν. Καὶ πὴ μὲν Χριστὸν αὐτὸν καταγγέλλουσι, πὴ δὲ τὸν υἱὸν τοῦ ἀνωτέρου Ἰαλδαβαὼθ, τοῦ τοὺς υἱοὺς ἀδικήσαντος, ἐν τῷ ἀποκλεῖσαι ἀπ' αὐτῶν τὴν ἄνω γνῶσιν, καὶ τὴν μητέρα ἀθετήσαντος, καὶ τὸν ἄνω πατέρα, εἰς τὸ μὴ ἐᾶν δοξάζειν τοὺς ὑπ' αὐτοῦ γεγεννημένους υἱοὺς τὸν ἀνώτερον αὐτοῦ πατέρα. Πῶς οὖν βασιλεὺς ἐπουράνιος ὁ ὄφις, εἴπερ κατὰ τοῦ πατρὸς ἐγήγερται; πῶς δὲ εἰ τὴν γνῶσιν δίδωσιν, ἐν ἀπάτῃ καταγγέλλεται ἠπατηκέναι τὴν Εὔαν; Ὁ δὲ δι' ἀπάτης γνῶσιν [3] ἐντιθεὶς οὐκέτι γνῶσιν δίδωσιν, ἀλλὰ ἀντὶ γνώσεως ἀγνωσίαν· ὡς καὶ ἀληθές ἐστιν ἰδεῖν ὅτι τοῦτο ἐν αὐτοῖς τελειοῦται. Ἀγνωσίαν γὰρ ἔχοντες γνῶσιν ταύτην νομίζουσιν, ἐν τούτῳ [4] ἀλιτεύοντες, ἐν τῷ τὴν ἑαυτῶν ἀπάτην καὶ ἀγνωσίαν γνῶσιν λέγειν.

Κεφ. ζ. Φέρουσι δὲ καὶ ἄλλας μαρτυρίας λέγοντες, ὅτι καὶ Μωϋσῆς ἐν τῇ ἐρήμῳ τὸν ὄφιν τὸν χαλκοῦν ὕψωσε προστησάμενος, ἵνα ἴαμα τοῖς ὑπὸ ὄφεως δακνομένοις γένηται. Εἶναι γὰρ τοῦτο τὸ εἶδος ἰατικὸν τοῦ δήγματος λέγουσι. Πάλιν δὲ καθ' ἑαυτῶν ταῦτα ὁρίζονται. Εἰ γὰρ ὄφεων ἦν τὰ δήγματα, βλαβερὰ δὲ ταῦτα, ἄρα ὁ ὄφις οὐκ ἀγαθόν. Τὸ δὲ ὑψωθὲν ὑπὸ Μωϋσέως τότε διὰ τῆς θεωρίας τὴν ἴασιν ἐποιεῖτο, οὐ διὰ τὴν τοῦ ὄφεως φύσιν, ἀλλὰ τὴν τοῦ θεοῦ εὐδοκίαν δι' ὄφεως ὥςπερ ἀντίδοτον τοῖς τότε δεδηγμένοις ἐργαζομένου. Οὐδὲν δὲ θαυμαστὸν, εἰ δι' ὧν τις ἐβλάβη διὰ τούτων θεραπείας ἔτυχε. Καὶ μή τις

2. *De hoc vocabulo et eius significatu v. Epiphanium ipsum sui interpretem haer. XXV, 4.*

3. ἐντιθεὶς *cod. Vatic.* ἐνθεὶς *reliqui libri.*

4. ἀλιτεύοντες *scripsi pro* ἀληθεύοντες.

continere facile deprehenditur. Nam si Prunicum esse aliquam existimant, quis ex ipso statim vocabulo non animadvertat quam imbecillum ac leve sit quod isti profitentur, ut iam ostendimus. Quicquid enim Prunicum fieri dicitur, id inutile est, adeoque minime inter eximia numerandum. Qui enim laudari potest quod inutile sit! Quam est praeterea stolidum a Prunico exhaustum esse Ialdabaothem, ab eoque scintillam ad infima illa excussam arbitrari! Itemque, qui in sublimi collocatus esset eum agnovisse qui exhausto esset illo superior. Enim vero 'quale illud miraculum est, ut homo, cui tenuissima quaedam sit aspersa scintilla, maiorem illis ipsis a quibus productus est angelis cognitionem adeptus fuerit? Si quidem auctores isti hominis ac fabricatores angeli, sive Ialdabaothis filii, quae Ialdabaothe superiora erant ignorarunt. Qui autem ab illis formatus est, scintillae beneficio cognovit. Quamobrem suis illi se dogmatibus induunt et evertunt, cum partim serpentem venerari instituant, partim Evam illius fraudulentia deceptam existiment, partim Christum eundem esse velint, partim superioris illius Ialdabaothis filium, qui interclusa coelestium contemplatione summam liberis suis iniuriam imposuit, matrem repudiavit ac contempsit, non minus quam supremum Parentem, quem ab iis quos genuerat coli ac praedicari minime sit passus. Qui vero serpentem convenit coelestem esse regem, cum adversus Parentem insurrexerit? Aut quomodo, si cognitionem impertiat, Evae imposuisse dicitur? Nam qui fraude aliqua scientiam affert, non is scientiam, sed pro ea ignorationem communicat. Quod illis accidere certissima ratione conficitur. Cum enim summa in inscitia versentur, eam nihilominus scientiam esse putant. Qua in re vehementer hallucinantur, dum errorem suum et ignorantiam scientiae appellatione dissimulant.

Sed alia quaedam insuper testimonia proferunt. Veluti Moysen Cap. VII.
aeneum serpentem in deserto sustulisse, palamque proposuisse, ut Num. 21, 8.
illis remedio esset quos serpens momorderat. Hoc enim ipsum praesentem vim contra venenatos morsus habere iactitant. Sed vel illud contra se manifeste pronuntiant. Si enim morsus illi serpentium erant, iidemque perniciosi, consequitur minime bonum esse serpentem. Quod vero tum a Moyse est erectum, sola sui contemplatione medebatur; non utique quod ita serpentis natura ferret, sed quod ita deo visum esset, qui quos serpentes pupugerant, iis per serpentem mali remedium paraverat. Neque vero mirum esse cuiquam oportet, si unde quispiam laesus fuerat, inde medicinam acceperit.

*quod libri tenent omnes. Quod idem Cornarius corrigendum putasse videtur, qui errantes convertit. Verbum ἀλιτεύειν Suidas ἁμαρτάνειν interpretatur.*

*κακιζέτω τὴν τοῦ Θεοῦ κτίσιν, ὡς ἄλλοι πλανώμενοι πάλιν λέγουσι.* *Προετυποῦτο δὲ τοῦτο τοῖς ἐν τῇ ἐρήμῳ διὰ τὴν αἰτίαν ἣν ἐλθὼν ὁ* pag. 274. *κύριος λέγει ἐν τῷ εὐαγγελίῳ, ὅτι, Ὡς ὕψωσε Μωϋσῆς τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου· ὃ καὶ γέγονε. Δίκην γὰρ ὄφεως ἀτιμάσαντες τὸν σωτῆρα ἀπὸ ἐπιβουλῆς τῆς τοῦ ὄφεως ἠδικοῦντο, φημὶ δὲ τοῦ διαβόλου. Καὶ καθάπερ ἐν τῷ ὑψώματι τοῦ ὄφεως ἴασις ἐγίγνετο τοῖς δεδηγμένοις, οὕτως ἐπὶ τῇ τοῦ Χριστοῦ σταυρώσει λύτρα γέγονε ταῖς ἡμῶν ψυχαῖς ἀπὸ τῶν ἐν ἡμῖν γενομένων δηγμάτων τῆς ἁμαρτίας. Φέρουσι δὲ καὶ αὐτὸ τοῦτο τὸ ῥητὸν πρὸς μαρτυρίαν οἱ αὐτοὶ λέγοντες ὅτι, Οὐχ ὁρᾷς ὡς εἶπεν ὁ σωτὴρ, Ὃν τρόπον ὕψωσε Μωϋσῆς τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου; Καὶ διὰ τοῦτο καὶ ἐν ἄλλῳ τόπῳ, [1] φασὶ, λέγει ὅτι, Γίνεσθε φρόνιμοι ὡς [2] ὁ ὄφις, καὶ ἀκέραιοι ὡς [3] περιστεραί. Καὶ τὰ εἰς σύμβολα διδασκαλίας ἐκ Θεοῦ καλῶς τεταγμένα οὗτοι εἰς τὴν ἑαυτῶν ἐπίνοιαν τὴν ἠπατημένην φέρουσιν.*

Κεφ. η'. *Ὁ γὰρ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Θεὸς Λόγος, ὁ ἐκ Πατρὸς πρὸ πάντων τῶν αἰώνων ἀνάρχως καὶ ἀχρόνως γεννηθεὶς, οὐκ ὄφις, μὴ γένοιτο, ἀλλὰ κατὰ τοῦ ὄφεως αὐτὸς ἦλθεν. Ἐὰν δὲ εἴπῃ, Γίνεσθε φρόνιμοι ὡς ὁ ὄφις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραὶ, δεῖ ἡμᾶς ἐρωτᾶν καὶ γινώσκειν διὰ τί τὰ δύο ταῦτα πρόσωπα ἡμῖν εἰς διδασκαλίαν παρεισήγαγε, τῆς τε περιστερᾶς καὶ τοῦ ὄφεως. Οὐδὲν δὲ ἐν τῷ ὄφει φρόνιμον, πλὴν δύο τούτων, ὅτι ἐν τῷ διώκεσθαι γινώσκων ὅτι ἐν τῇ κεφαλῇ αὐτοῦ ἡ πᾶσα ζωὴ αὐτοῦ τυγχάνει, καὶ δεδιὼς τὴν ἀνωτέραν πρὸς αὐτὸν εἰρημένην ἀπὸ τοῦ Θεοῦ διὰ τὸν ἄνθρωπον προσταγὴν ὅτι, Φυλάξεις αὐτοῦ κεφαλὴν, αὐτὸς δέ σου πτέρναν, ὅλον τὸ σῶμα ἐνειλήσας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ κρύπτει μὲν τὸ κρανίον ἑαυτοῦ, παραδίδωσι δὲ τὸ ἄλλο σῶμα ἐν ὑπερβολῇ πανουργίας. Οὕτω θέλει ἡμᾶς ὁ μονογενὴς Θεὸς, ὁ ἐκ Πατρὸς προελθὼν, ἐν καιρῷ διωγμοῦ καὶ ἐν καιρῷ πειρασμοῦ τὰ πάντα ἡμῶν παραδιδόναι μαχαίρᾳ τε καὶ πυρὶ, φυλάττειν δὲ ἑαυτῶν τὴν κεφαλὴν, τουτέστι Χριστὸν μὴ ἀρνεῖσθαι· ἐπειδήπερ, Κεφαλὴ παντὸς ἀνθρώπου Χριστὸς, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνὴρ, κεφαλὴ δὲ Χριστοῦ ὁ Θεὸς, κατὰ τὸν ἀπόστολον. Ἕτερον πάλιν ἔχει φρονιμώτατον ὁ ὄφις, ὥς φασιν οἱ φυσιολόγοι περὶ τούτου τοῦ ζώου. Ὅταν γὰρ διψήσας ἀπὸ τοῦ φωλεοῦ προέλθοι ἐπί* pag. 275. *τι ὕδωρ ἵνα πίῃ, οὐ συμπαραλαμβάνει τὸν ἰὸν μεθ' ἑαυτοῦ, ἀλλὰ ἐν τῷ φωλεῷ καταλιμπάνει, καὶ οὕτως ἐλθὼν λαμβάνει τὸ πόμα τῶν ὑδάτων. Καὶ αὐτοὶ οὖν τοῦτο μιμησώμεθα, ἵνα, ὅταν ἐρχώμεθα ἐπὶ τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν, ἢ εἰς εὐχὴν, ἢ εἰς τὰ τοῦ Θεοῦ μυστήρια,*

Cap. VII. — 1. λέγει, φασί *habet cod. Vatic.*

Nec est quod idcirco conditae res a deo vituperentur quod nonnulli rursus incredibili errore faciunt. Illud enim figurae instar Iudaeis in solitudine degentibus ostensum est; ob eam ipsam rationem quam in evangelio dominus expressit. Nimirum: *Sicut exaltavit Moyses* Ioann. 3, 14. *serpentem in deserto, ita exaltari oportet filium hominis;* quod postea contigit. Nam Iudaei Christum dominum velut serpentem ignominiose tractantes ipsimet serpentis insidiis, hoc est diaboli, vehementer offensi sunt. Sed ut erecto serpente ii qui morsu erant appetiti repente liberati sunt, ita Christo in crucem sublato animae nostrae a peccati morsibus sunt exemptae. Atque hanc ipsam domini sententiam ad erroris sui patrocinium afferunt. Nonne vides, inquiunt, ita pronuntiasse Christum: *Quomodo exaltavit Moyses serpentem in deserto, ita exaltari oportet filium hominis?* Propterea et alio loco sic praecipit: *Estote prudentes ut serpentes, et simplices sicut columbae.* Matth. 10, 16. Sic igitur isti quas imagines ac signa coelestem ad doctrinam praeclare deus transtulit, ea ad dogmatum suorum falsitatem asserendam impudenter accommodant.

Cap. VIII. Siquidem Iesus Christus dominus noster, idemque deus Verbum, a Patre ante secula omnia sine principio ac tempore ullo genitus, nequaquam est serpens. Procul absit ut ita sentiamus. Sed contra serpentem advenit. Qui si quandoque dixerit: *Estote prudentes ut serpentes, et simplices sicut columbae,* illud interrogare nos ac cognoscere par est, cur illa duo, columbam scilicet ac serpentem, nobis erudiendis proposuerit. Nullum enim in serpente, praeter duplex illud prudentiae specimen apparet, primum quod appetitus ab aliquo, cum in capite vitam omnem suam residere sentiat, velut interdictum illud veritus quod propter hominem deus olim in sese pronuntiavit: *Caput ab ipso custodies, ille a te calcaneum,* toto in caput Gen. 3, 15. complicato corpore, illudque protegens et occultans, summa calliditate reliquum corpus opponit. Sic nos unigena dei Filius a Patre progressus, sive hoste persequente, sive quavis ingruente calamitate, iubet nostra omnia ferro ac flammis exponere, solumque tutari caput, hoc est minime abnegare Christum. Quoniam, *Caput* 1. Cor. 11, 3. *omnis viri est Christus, vir autem mulieris caput est, caput vero Christi deus,* ut apostolus loquitur. Inest vere et alterum in serpente prudentiae genus, ut de eo physiologi testantur. Cum enim e cavea sitiens ad aquam bibendi gratia prorepit, virus secum non effert, sed in latibulo relinquit, itaque ad potum egreditur. Quod quidem nobis imitandum proponitur: ut cum ad sanctam dei ecclesiam orandi gra-

2. ὁ *om. cod. Rhedig.*
3. περιστεραί *codd. Vatic. Rhedig., et edit. Petav.* περιστερά *edit. princ.*

μὴ φέρωμεν μεθ' ἑαυτῶν κακίαν, ἢ ἡδονὴν, ἢ ἔχθραν, ἤ τι ἕτερον ἐν ταῖς διανοίαις [1] αὐτῶν. Ἐπεὶ πῶς ἂν ἔχωμεν δυνατῶς καὶ τὴν περιστερὰν μιμήσασθαι, μὴ ἐκτὸς γενόμενοι κακίας; καί τοί γε τοῦ γένους τῆς περιστερᾶς ἐν πολλοῖς πράγμασιν οὐκ ἐπαινουμένου. Ἀκόλαστον γὰρ γένος περιστερᾶς, καὶ πολυμιξίας μὴ ἀνακοπτόμενον, λάγνον τε καὶ καθ' ὥραν ἡδονῇ προςανακείμενον, πρὸς δὲ τούτοις ἄτονον καὶ βληχρόν. Διὰ δὲ τὸ ἄκακον καὶ μακρόθυμον καὶ ἀμνησίκακον τοῦ ζώου, ἔτι μὴν καὶ διὰ τὸ ἐν εἴδει περιστερᾶς πεφάνθαι τὸ ἅγιον πνεῦμα, μιμήσασθαι ἡμᾶς βούλεται ὁ θεῖος λόγος τοῦ ἁγίου πνεύματος τὴν βούλησιν καὶ τῆς ἀκάκου περιστερᾶς τὴν ἀκακίαν, ὄντας μὲν ἡμᾶς φρονίμους εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ εἰς τὸ κακόν. Καὶ λέλυται ἡ τούτων πᾶσα δραματουργία. Εὐθὺς γὰρ ὁ ἅγιος ἀπόστολος τὸ πανοῦργον καὶ ἐπίβουλον οὐχ ὁρίζεται περισσοτέρως, ἀλλὰ κατὰ τοῦ διαβόλου καὶ τοῦ ὄφεως, λέγων, Φοβοῦμαι δὲ μή πως, ὡς ὁ ὄφις ἠπάτησεν Εὔαν, ἐν τῇ πανουργίᾳ αὐτοῦ φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος καὶ ἁγνείας Χριστοῦ καὶ δικαιοσύνης. Ὁρᾷς ὡς φθορὰν ἀπέφηνεν ὁ ἀπόστολος καὶ πανουργίαν δεινὴν καὶ ἀπάτην τὰ ὑπὸ τοῦ ὄφεως πρὸς τὴν Εὔαν πεπραγματευμένα, καὶ οὐκ ἐπαινετόν τι παρὰ τοῦ αὐτοῦ γεγενημένον ὑπέδειξε.

Κεφ. Ϛ'. Πανταχόθεν τοίνυν φωρατὴ καὶ ἔκδηλος ἡ τούτων ἄνοιά ἐστι παντὶ τῷ βουλομένῳ εἰδέναι τὴν τῆς ἀληθείας διδασκαλίαν καὶ πνεύματος ἁγίου γνῶσιν. Ἵνα δὲ μὴ ἀναλίσκω χρόνον, καὶ ταύτην διασεισάμενος τὴν χαλεπὴν καὶ δύπλουν τοῦ πελάγους ζάλην, ἐπὶ τὰς ἑτέρας θαλαττίους ποντοπορίας τὸ σκάφος ὁπλίσομαι, ἐπιμελῶς τοὺς αὐχένας κρατῶν ἐν τῇ τοῦ θεοῦ δυνάμει καὶ εὐχαῖς ἁγίων, ὅπως παραπλέοντες κατοπτεύσωμεν τῶν ἀγρίων κυμάτων τὴν κύρτωσιν, καὶ τῶν ἐν τοῖς πελάγεσι θηρίων ἰοβόλων τὰς μορφὰς, ἄπληκτοι δὲ ἀπὸ σμυραινώδους ἰοῦ καὶ τρυγόνος καὶ δρακαίνης καὶ καρχαρίου καὶ σκορπαίνης περάσαι, καὶ τοῦ εὐδίου τῆς ἀληθείας λιμένος δι' εὐχῆς καὶ ἱκεσίας ἐπιτυ-
pag. 278. χεῖν δυνηθείημεν· πληρουμένου καὶ ἐν ἡμῖν τοῦ ῥητοῦ, τοῦ, Οἱ καταβαίνοντες εἰς θάλασσαν τὰς ἀρετὰς τοῦ κυρίου διηγήσονται. Ἐφ' ἑτέραν τοίνυν ταύτην καθεξῆς τὴν πορείαν ποιήσομαι πρὸς διήγησιν.

## ΚΑΤΑ *ΚΑΙΑΝΩΝ,

### ὀκτωκαιδεκάτη, ἡ καὶ τριακοστὴ ὀγδόη.

Κεφ. α'. Καιανοί τινες ὀνομάζονται, ἀπὸ τοῦ Κάϊν εἰληφότες τὴν ἐπωνυμίαν τῆς αἱρέσεως. Οὗτοι γὰρ τὸν Κάϊν ἐπαινοῦσι, καὶ πατέρα ἑαυτῶν τοῦτον τάττουσι, καὶ αὐτοὶ, ὡς εἰπεῖν, ὡς ἀπὸ διαφορᾶς ἐπανα-

Cap. VIII. — 1. Vulgo αὐτῶν. *) καϊνῶν cod. Rhedig.

tia vel ad usurpanda dei mysteria convenimus, nullum nobiscum scelus, voluptatem nullam, nullas cum quoquam simultates, nullum denique in animis nostris improbitatis vestigium efferamus. Alioqui quomodo columbam imitabimur, nisi malitiae simus expertes? Quamquam genus illud avium non omni ex parte laudabile sit. Est enim propensius in libidinem, ac coitu frequentius utitur, utpote salacissimum et voluptuosum animal, adde imbecillum et ignavum. Sed quod idem minime malum patiensque sit, nec iniuriae meminerit, tum vero quod columbae specie spiritus sanctus apparuerit, idipsum quod spiritui sancto gratum ac iucundum est, innocentis columbae simplicitatem imitari nos dei Verbum admonuit; ut, quod ad bonum attinet, prudentes et callidi, ad malum vero simplices esse videamur. Qua ratione omnis illorum machinatio dissolvitur. Nam et apostolus veteratoriam calliditatem et malitiam abundantiorem nulli quam diabolo ac serpenti tribuit. *Timeo*, inquit, *ne sicut serpens Hevam se-* 2. Cor. 11, 3. *duxit astutia sua, ita corrumpantur sensus vestri, et excidant a simplicitate et castitate Christi ac iustitia.* Vide ut quae contra Hevam a serpente structa sunt corruptelam et nequissimam astutiam ac fraudem apostolus esse pronuntiet, neque laude dignum quicpiam ab illo perpetratum definiat.

Quocirca omni ex parte illorum constringitur ac declaratur Cap. IX. amentia, si quis veritatis doctrinam ac spiritus sancti scientiam velit percipere. Sed ne tempus ultra conteram, hac velut difficili ac periculosa pelagi tempestate perfunctus, scapham ad alios navigationum cursus expediam; adeo ut fauces ipsas studiose teneam, divina vi ac sanctorum precibus confisus, ut et vehementes irati maris fluctus et venenatarum ibidem bestiarum species praetereundo videamus, nihilque nobis interim muraenarum aut pastinacae aut dracaenae aut carcharii vel scorpaenae virus exitii afferat, ac demum ad felicem veritatis portum precibus et orationibus freti navigium appellamus, ut haec in nobis vera sit scripturae sententia: *Qui navigant mare* Psalm. 107, 24. *virtutes domini narrant.* Ad alteram igitur deinceps, ut id narrare possimus, profectionem accingimur.

## ADVERSUS CAIANOS,
### quae est haeresis XVIII., sive XXXVIII.

Qui Caiani vulgo nuncupantur haeresin suam a Caino cognomi- Cap. I. narunt. Hunc enim praedicant, et parentem suum appellant. Qui quidem variis, ut ita dicam, e fluctuum iactationibus emersi eodem

στάσεως κυμάτων ὁρμώμενοι, οὐκ ἔξω ὄντες τοῦ αὐτοῦ σάλου καὶ κλύδωνος, καὶ ὡς ἀπὸ ἀκανθώδους ὕλης προκύψαντες, οὐκ ἐκτὸς ὄντες παντὸς τοῦ σωροῦ τῶν ἀκανθῶν, εἰ καὶ διάφοροι τῷ ὀνόματί εἰσιν. Ἀκανθῶν μὲν γὰρ γένη πολλά, ὅμως ἐν ἅπασι τὸ μοχθηρὸν τῆς κεντρώδους ἀδικίας ἔνεστιν.

Οὗτοί φασι τὸν Κάϊν ἐκ τῆς ἰσχυροτέρας Δυνάμεως ὑπάρχειν, καὶ τῆς ἄνωθεν αὐθεντίας· ἀλλὰ καὶ τὸν Ἠσαῦ καὶ τοὺς περὶ Κορὲ καὶ τοὺς Σοδομίτας, τὸν δὲ Ἄβελ ἐκ τῆς ἀσθενεστέρας Δυνάμεως ὑπάρχειν. Εἶναι δὲ τούτους πάντας παρ' αὐτοῖς ἐπαινετούς, καὶ τῆς αὐτῶν συγγενείας. Σεμνύνονται γὰρ συγγενεῖς εἶναι τοῦ Κάϊν καὶ τῶν Σοδομιτῶν καὶ Ἠσαῦ καὶ Κορέ. Καὶ οὗτοι, φασὶν, εἰσὶ τῆς τελείας καὶ ἄνωθεν γνώσεως. Διὸ καὶ τὸν ποιητὴν τοῦ κόσμου τούτου φασὶ περὶ τὴν τούτων ἀνάλυσιν ἐσχολακότα μηδὲν δεδυνῆσθαι αὐτοὺς βλάψαι. Ἐκρύβησαν γὰρ ἀπ' αὐτοῦ, καὶ μετεβλήθησαν εἰς τὸν ἄνω Αἰῶνα, ὅθεν ἡ ἰσχυρὰ Δύναμίς ἐστι. Πρὸς ἑαυτὴν γὰρ ἡ Σοφία αὐτοὺς προςήκατο, ἰδίους αὐτῆς ὄντας. Καὶ τούτου ἕνεκεν τὸν Ἰούδαν ἀκριβῶς τὰ περὶ τούτων ἐπεγνωκέναι λέγουσι. Καὶ τοῦτον γὰρ θέλουσιν εἶναι συγγενῆ ἑαυτῶν, καὶ ἐν γνώσεως ὑπερβολῇ τὸν αὐτὸν καταριθμοῦσιν· ὥςτε καὶ συνταγμάτιόν τι φέρειν ἐξ ὀνόματος αὐτοῦ, ὃ Εὐαγγέλιον τοῦ Ἰούδα καλοῦσι. Καὶ ἄλλα τινὰ συγγράμματα ὡςαύτως πλάττονται κατὰ τῆς Ὑστέρας· ἣν Ὑστέραν τὸν ποιητὴν τοῦ παντὸς τούτου τοῦ κύτους, οὐρανοῦ τε καὶ γῆς, καλοῦσι. Καὶ μὴ δύνασθαί φασι σωθήσεσθαί τινα, ἐὰν μὴ διὰ πάντων χωρήσωσιν, ὡς καὶ ὁ Καρποκράτης λέγει.

Κεφ. β'. Ἕκαστος γὰρ αὐτῶν δῆθεν διὰ τὴν πρόφασιν ταύτην ἄρρητα ποιῶν
pag. 277. καὶ αἰσχρουργίας ἐπιτελῶν, ἁμαρτήματά τε ὅσα ἐστὶ πράττων, ἐπικαλεῖται ἑκάστου ἀγγέλου ὄνομα, τῶν τε ὄντων ἀγγέλων καὶ τῶν παρ' αὐτοῖς πλαστῶς λεγομένων· καὶ [1] ἑκάστῳ τούτων προςάπτει τι ἔργον ἀθέμιτον τῶν ἐπὶ γῆς ἁμαρτημάτων, τὴν πρᾶξιν τὴν ἰδίαν εἰς ὄνομα οὗ βούλεται ἀγγέλου ἀναφέρων. Καὶ ὅταν ταῦτα πράττωσιν, οὕτως λέγουσιν· Ὁ δεῖνα ἄγγελε, καταχρῶμαί σου τὸ ἔργον· ἡ δεῖνα ἐξουσία, πράττω σου τὴν πρᾶξιν. Καὶ τοῦτο γνῶσις τελεία παρ' αὐτοῖς ἐστι λεγόμενον· ἐπειδὴ ἀδεῶς ἐπὶ τὰς ἀθεμίτους αἰσχρουργίας ὁρμᾶν τὰς προφάσεις δῆθεν ἀπὸ τῶν προειρημένων μητέρων καὶ πατέρων αἱρέσεων, φημὶ Γνωστικῶν καὶ Νικολάου καὶ τῶν σὺν αὐτοῖς Οὐαλεντίνου τε καὶ Καρποκράτους, ἐσχήκασιν. Ἤδη δὲ διῆλθεν εἰς ἡμᾶς καὶ βιβλίον ἐν ᾧ ἐπλάσαντο ῥήματά τινα ἀνομίας πλήρη, οὕτως περιέχον ὅτι, φησὶν, Οὗτός ἐστιν ὁ ἄγγελος ὁ τὸν Μωϋσέα τυφλώσας, καὶ οὗτοί εἰσιν οἱ ἄγγελοι οἱ τοὺς περὶ Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρὼν κρύψαντες καὶ μεταστήσαντες.

Cap. II. — 1. *Cum Petavio scripsi* ἑκάστῳ *pro* ἑκάστου, *quod libri habent.*

in salo et procella conflictantur, ac velut e spinis et vepribus eminentes, unaque spinarum strue comprehensi, duntaxat appellationibus discrepant. Nam spinarum genera quidem varia sunt, sed ad pungendum nocendumque vis omnibus est communiter insita.

Igitur Caiani a potentiori quadam Virtute ac coelesti auctoritate derivatam esse Cainum praedicant, nec non et Esau et Core, cum suis, itemque Sodomitas: Abelum vero ab imbecilliori Virtute prodiisse. Quamobrem illos omnes opinione sua laudandos ac secum necessitudine coniunctos asserunt, deque eiusmodi cum Caino et Sodomitis, Core et Esau cognatione gloriantur ac perfectae sublimiorique scientiae illos adscribunt. Ideo mundi huius opificem putant, cum ad eos funditus profligandos incumberet, nocere nihil omnino potuisse. Ab eo quippe semetipsos occultasse, et in supremum Aeonem esse commutatos, unde et fortissima illa Virtus est. Nam illos ad sese Sapientia utpote necessarios admisit. Propterea Iudam accurate omnia haec habuisse perspecta memorant. Quem quidem affinem esse suum iactitant, eidemque excellentem quandam vim cognitionis attribuunt. Quod usque adeo defendunt, ut eius nomine inscriptum opusculum circumferant quod Iudae Evangelium appellant. Cui similia quaedam alia volumina confinxerunt adversus Hysteram, hoc est Uterum, quo nomine totius universitatis, hoc est coeli terraeque, fabricatorem vocant. Negant porro liberari ullos posse nisi per omnia transierint, quod et Carpocrates opinatus est.

Quilibet enim illorum huius occasione dogmatis nefaria quaedam perpetrans, seque execrandis in libidinibus ac flagitiorum genere omni volutans, singulorum angelorum nomina tam verorum quam ab ipsis confictorum invocans unicuique detestandum aliquod facinus ac peccatum velut praecipuum attribuit, ac qualecumque suum scelus certi cuiuspiam ad angeli nomen accommodat. Cum enim eiusmodi aliquid committunt, hunc in modum praefari solent. O angele N., tuum opus exerceo! O potestas N., actione tua fungor! Atque istud ipsum est, quod ab illis absoluta cognitio dicitur; quandoquidem ut per nefanda omnia flagitiorum genera impune ita volitarent, a superioribus sectis velut parentibus, Gnosticorum videlicet ac Nicolai, iisque affinium Valentinianorum et Carpocratis dogmatibus occasionem nacti sunt. Pervenit et ad nos certus eorundem liber, in quo sceleratissima nescio quae vocabula commenti sunt, in eoque ista continentur: Hic est, inquit, angelus, a quo Moyses excaecatus est, iique angeli sunt, a quibus Core, Dathan et Abiron, eorumque sectatores, occultati subtractique sunt. Quin alium insuper Cap. II.

*Πάλιν δὲ ἄλλο συνταγμάτιον πλάττουσιν ἐξ ὀνόματος Παύλου τοῦ ἀποστόλου, ἀρρητουργίας ἔμπλεων, ᾧ καὶ οἱ Γνωστικοὶ λεγόμενοι χρῶνται, ὃ Ἀναβατικὸν Παύλου καλοῦσι, τὴν πρόφασιν εὑρόντες ἀπὸ τοῦ λέγειν τὸν ἀπόστολον ἀναβεβηκέναι ἕως τρίτου οὐρανοῦ, καὶ ἀκηκοέναι ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. Καὶ ταῦτα, φασὶν, ἐστὶ τὰ ἄρρητα ῥήματα. Διδάσκουσι δὲ ταῦτα καὶ τὰ τοιαῦτα, τοὺς πονηροὺς τιμῶντες, καὶ τοὺς ἀγαθοὺς ἀπαγορεύοντες. Εἶναι γὰρ, ὡς προεῖπον, τὸν Κάϊν τῆς ἰσχυροτέρας Δυνάμεως, καὶ τὸν Ἄβελ τῆς ἀσθενεστέρας. Ταύτας δὲ τὰς Δυνάμεις τῇ Εὔᾳ προςπλακείσας γεγεννηκέναι τὸν Κάϊν καὶ τὸν Ἄβελ, καὶ εἶναι τῆς μὲν τὸν Κάϊν, τῆς δὲ τὸν Ἄβελ. Εἶναι δὲ τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἀπὸ τῶν τοιούτων δυνάμεων, εἴτουν ἀγγέλων, γεγεννημένους, καὶ τοὺς γεννηθέντας παῖδας, Κάϊν τέ φημι καὶ Ἄβελ, ἐρίσαι πρὸς ἀλλήλους, καὶ τὸν γεγεννημένον ἀπὸ ἰσχυρᾶς Δυνάμεως πεφονευκέναι τὸν ἀπὸ τῆς ἥττονος Δυνάμεως καὶ ἀσθενεστέρας.*

Κεφ. γ'. pag. 278. *Τὰ δὲ αὐτὰ μυθώδη καὶ οὗτοι παραπλέκουσι τῇ περὶ τῶν αὐτῶν δηλητηρίων τῆς ἀγνωσίας δόσει, τοῖς πειθομένοις ἐπιβουλεύοντες· ὅτι δεῖ πάντα ἄνθρωπον ἑαυτῷ ἑλέσθαι τὴν ἰσχυροτέραν Δύναμιν, καὶ τῆς ἥττονος καὶ ἀτόνου ἀποχωρίζεσθαι, τουτέστι τῆς τὸν οὐρανὸν ποιησάσης, καὶ τὴν σάρκα καὶ τὸν κόσμον, καὶ ὑπερβαίνειν εἰς τὰ ἀνώτατα διὰ τῆς τοῦ Χριστοῦ σταυρώσεως. Διὰ γὰρ τοῦτο, [1] φασὶν, ἦλθεν ἄνωθεν, ἵνα ἐν αὐτῷ ἐπιτελεσθῇ Δύναμις ἰσχυρὰ, κατὰ τῆς ἀσθενεστέρας Δυνάμεως τὸ τρόπαιον λαβοῦσα καὶ τὸ σῶμα παραδοῦσα. Καὶ οἱ μὲν αὐτῶν τοῦτο λέγουσιν, ἄλλοι δὲ ἄλλα. Οἱ μὲν γὰρ λέγουσι διὰ τὸ πονηρὸν εἶναι τὸν Χριστὸν παραδοθῆναι αὐτὸν ὑπὸ [2] τοῦ Ἰούδα, βουλόμενον διαστρέφειν τὰ κατὰ τὸν νόμον. Ἐπαινοῦσι γὰρ τὸν Κάϊν καὶ τὸν Ἰούδαν, ὡς ἔφην, καὶ λέγουσι, Τούτου ἕνεκεν παραδέδωκεν αὐτὸν, ἐπειδὴ ἠβούλετο καταλύειν τὰ καλῶς δεδιδαγμένα. Ἄλλοι δὲ [3] τῶν αὐτῶν οὐχί φασιν, ἀλλὰ ἀγαθὸν αὐτὸν ὄντα παρέδωκε κατὰ τὴν ἐπουράνιον γνῶσιν. Ἔγνωσαν γὰρ, [4] φασὶν, οἱ Ἄρχοντες ὅτι, ἐὰν ὁ Χριστὸς παραδοθῇ σταυρῷ, κενοῦται αὐτῶν ἡ [5] ἀσθενὴς δύναμις· καὶ τοῦτο, [6] φασὶ, γνοὺς ὁ Ἰούδας ἔσπευσε καὶ πάντα ἐκίνησεν, ὥςτε παραδοῦναι αὐτὸν, ἀγαθὸν ἔργον ποιήσας ἡμῖν εἰς σωτηρίαν. Καὶ δεῖ ἡμᾶς ἐπαινεῖν, καὶ ἀποδιδόναι αὐτῷ τὸν ἔπαινον, ὅτι δι' αὐτοῦ κατεσκευάσθη ἡμῖν ἡ τοῦ σταυροῦ σωτηρία, καὶ ἡ διὰ τῆς τοιαύτης ὑποθέσεως τῶν ἄνω ἀποκάλυψις. Κατὰ πάντα δὲ τρόπον οὗτοι ἠπάτηνται, οὐκ ἀγαθόν τινα τιμῶντες ἢ ἐπαινοῦντες· δῆλον δὲ ὅτι ἐκ τοῦ διαβόλου αὐτοῖς ταῦτα ὑπέσπαρται, τὰ τῆς ἀγνοίας λέγω καὶ ἀπάτης. Πληροῦται δὲ ἐπ' αὐτοῖς τὸ γεγραμμένον, Οὐαὶ τοῖς λέγουσι τὸ καλὸν*

Cap. III. — 1. φασὶν *rescripsi pro* φησὶν, *quod libri habent.* 2. τοῦ *Petavius ex cod. Vatic. adiecit.* 3. τῶν *uncinis notavit Petavius.*

Pauli apostoli nomine libellum excogitarunt praepostera libidine refertum, quem et ii quos Gnosticos vocant adhibere solent, quod Pauli Anabaticum vocant; cuius supposititii operis ansam ex eo ceperunt, quod apostolus ipse testetur se in tertium usque conscendisse 2.Cor. 12, 4.
coelum, et arcana ibidem audisse verba, quae non licet homini loqui. Haec autem, inquiunt, arcana illa verba sunt. Quae quidem omnia, iisque similia, ita quemadmodum monuimus docent; ut et malis honorem habeant et bonos repudient. Nam Cainum fortioris cuiusdam esse Virtutis, et Abelum infirmioris sentiunt. Quas ipsas Virtutes cum Eva congressas utrumque genuisse sic affirmant, ut alterius Abelus sit, Cainus alterius. Quin Adamum atque Evam iisdem a Virtutibus, sive angelis, originem traxisse, quosque genuere postea liberos, Cainum inquam et Abelum, secum invicem rixatos esse, et qui fortiori ab Virtute propagatus fuerat inferioris imbecilliorisque sobolem occidisse.

Haec omnia mendaciorum portenta in tradendis pestiferis igno- Cap. III.
rantiae suae mysteriis ad sectatorum perniciem aspergunt, idque admonent, debere quemlibet fortiorem sibi adoptare Virtutem, atque ab inferiori et imbecilliori secerni, ea videlicet quae et coelum et carnem et mundum fabricaverit, sicque ad superiora per Christi evolare supplicium. Hanc enim fuisse caussam volunt cur e coelo delapsus sit, nimirum ut fortis in ipso solidiorque Virtus perficeretur, ac de infirmiore triumphum referret corpusque traderet. Haec nonnulli ex ipsis, alii vero alia praedicant. Quidam enim Christum, quod malus esset ac legis instituta violare auderet, a Iuda proditum existimant. Cainum enim, ut diximus, Iudamque venerantur; eiusque rei gratia, inquiunt, illum prodidit, quod praeclare tradita antiquare vellet. Alii vero aliter sentiunt, ut tametsi bonus esset, ex coelesti quadam cognitione sit proditus. Norant enim, aiunt, Principes, si Christus in crucem tolleretur, ipsorum exhaustum iri potentiam omnem; quod cum Iudas non ignoraret, maturavit omnemque lapidem movit ut eum Iudaeis traderet. Qua in re egregie saluti nostrae consuluit. Ac propterea laudibus eum remunerari nos oportet, cuius opera crucis nobis salus est illa comparata, nec non coelestium rerum eadem ex occasione communicata cognitio. Sed cum isti minime bonum aliquem honore ac laude prosequantur, toto coelo, quod aiunt, aberrant. Neque obscurum illud est, haec ignorantiae fraudisque semina ipsis a diabolo aspersa fuisse. In quibus illud est e scriptura perfectum: *Vae qui dicunt bonum malum, et ma-* Isai. 5, 20.

4. *Libri habent* φησὶν.
5. ἀσθενὴς *uncinis notavit Petavius.*
6. *Libri habent* φησί.

πονηρὸν, καὶ τὸ πονηρὸν ἀγαθὸν, οἱ τιθέντες τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος, οἱ λέγοντες τὸ γλυκὺ πικρὸν, καὶ τὸ πικρὸν γλυκύ. Πάντη γὰρ ἐκφωνεῖ παλαιὰ καὶ καινὴ διαθήκη τοῦ Κάϊν τὴν ἀσέβειαν ἐπικηρυκευομένη. Οὗτοι δὲ τοῦ σκότους ὄντες ἐρασταὶ καὶ τῶν κακοποιῶν μιμηταὶ τὸν Ἄβελ μισοῦσι, τὸν δὲ Κάϊν ἀγαπῶσι, καὶ τῷ Ἰούδᾳ τὸν ἔπαινον διδόασι· φθοριμαίαν δὲ γνῶσιν ἔχουσι, δύο τάττοντες Δυνάμεις, ἀσθενεστέραν τε καὶ δυνατωτέραν, ἀντιμαχομένας δὲ πρὸς
pag. 279. ἀλλήλας, ποιούσας δὲ ἐν τῷ κόσμῳ οὐ γνώμης ἀλλοίωσιν, ἀλλὰ τῶν γεγενημένων τοὺς μὲν κατὰ φύσιν ἀπὸ κακίας τὴν οὐσίαν ἔχειν, τοὺς δὲ ἀπὸ ἀγαθότητος. Οὐδένα δὲ κατὰ γνώμην ἀγαθὸν ἢ φαῦλον λέγουσιν, ἀλλὰ κατὰ φύσιν.

Κεφ. δ'. Καὶ πρῶτον ἴδωμεν περὶ τοῦ Κάϊν ὡς ἡ μὲν παλαιὰ διαθήκη φησὶν, Ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἥτις ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου, ἐκ τῆς χειρός σου· καὶ πάλιν, Ἐπικατάρατος σὺ ἐν τοῖς ἔργοις σου, καὶ ἔσῃ στένων καὶ τρέμων ἐπὶ τῆς γῆς. Συνῳδὰ δὲ τῇ παλαιᾷ διαθήκῃ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ περὶ τούτου λέγει, ὅτε Ἰουδαῖοι ἔλεγον, Ἡμεῖς πατέρα ἔχομεν τὸν θεόν· ὁ δὲ κύριος πρὸς αὐτοὺς ἔφη, Ὑμεῖς υἱοί ἐστε τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου, ὅτι ψεύστης ἐστὶν, ὅτι ὁ πατὴρ αὐτοῦ ψεύστης ἦν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν, καὶ ἐν τῇ ἀληθείᾳ οὐκ ἔμεινεν· ὅταν λαλεῖ, τὸ ψεῦδος ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι καὶ ὁ πατὴρ αὐτοῦ ψεύστης ἦν. Ὅθεν καὶ αἱ ἄλλαι αἱρέσεις ἀκούουσαι τὸ ῥῆμα τοῦτο πατέρα μὲν τῶν Ἰουδαίων φάσκουσιν εἶναι τὸν διάβολον, ἔχειν τε πατέρα ἄλλον καὶ τὸν αὐτοῦ πατέρα πάλιν πατέρα. Ἀλλὰ ἀθυρογλώττως φθέγγονται, τὴν διάνοιαν τυφλώττοντες. Καὶ γὰρ ἐπὶ τὸν πάντων δεσπότην θεὸν Ἰουδαίων τε καὶ Χριστιανῶν καὶ πάντων τὴν συγγένειαν [1] ἐκείνῳ ἀνάγουσι, τοῦτον πατέρα τοῦ ἐκείνου πατρὸς εἶναι λέγοντες, τὸν νομοθετήσαντα διὰ Μωϋσέως καὶ τοσαῦτα θαυμάσια πεποιηκότα. Οὐκ ἔστι δὲ τοῦτο, ὦ [2] ἀγαπητοί. Αὐτὸς γὰρ εὐθὺς φησιν ὁ κύριος, ἐν ἅπασιν ἡμῶν τὴν ἐπιμέλειαν ποιούμενος, ἵνα μὴ ἐν παρεκβάσει γενώμεθα τοῦ προκειμένου, ἕτερα ἀνθ' ἑτέρων σοφιζόμενοι καὶ διανοούμενοι [3] ὅτι λέγει πατέρα [4] αὐτῶν εἶναι τὸν διάβολον, [5] Ἰούδαν, ὃν καὶ Σατανᾶν κέκληκε, καὶ διάβολον λέγων πρὸς τοὺς μαθητὰς, Οὐχὶ τοὺς δώδεκα ὑμᾶς ἐξελεξάμην; καὶ εἷς ἐξ ὑμῶν διάβολος· οὐχὶ διάβολος λέγων φύσει, ἀλλὰ κατὰ γνώμην. Πάλιν δὲ ἐν ἑτέρῳ τόπῳ λέγει, Πάτερ, κύριε οὐρανοῦ καὶ γῆς, τήρησον τούτους οὓς δέδωκάς μοι· ὅτε ἤμην μετ' αὐτῶν, ἐφύλαξα αὐτοὺς, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας. Πάλιν ἄλλοτε λέγει ὅτι, Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι κατὰ τὸ γεγραμμένον περὶ αὐτοῦ· οὐαὶ δὲ δι' οὗ παραδοθήσεται·
pag. 280. συνέφερε γὰρ αὐτῷ εἰ οὐκ ἐγεννήθη, καὶ τὰ ἑξῆς. Ἄρα γοῦν ἐξάπαν-

Cap. IV. — 1. ἐκείνου correxit Petavius.

*lum bonum, qui ponunt tenebras lucem, et lucem tenebras, qui dicunt dulce amarum, et amarum dulce.* Nam in veteri et novo testamento Caini impietas aperta ac clara voce praedicatur. Illi autem tenebrarum amatores ac maleficorum imitatores Abelum oderunt, et Cainum amant, et Iudam praeconio suo celebrant. Sed et perniciosissime sentiunt, dum Virtutem duplicem constituunt, imbecillam et firmiorem, quae secum invicem dissideant, ac non voluntatum in mundo varietatem inferant, sed illud perficiant, ut qui in lucem prodeunt, alii primam a malo naturae originem, alii a bono derivatam accipiant. Neminem enim illi ex animi deliberatione bonum esse vel malum, sed natura ipsa definiunt.

Sed de Caino primum quid vetere in testamento scriptum sit in- Cap. IV.
spiciamus. *Maledictus*, inquit, *eris a terra, quae aperuit os suum* Gen. 4, 11.
*et suscepit sanguinem fratris tui de manu tua, erisque gemens et tremens super terram.* Quibus ea consentiunt, quae de eodem dominus in evangelio loquitur, cum Iudaei dixissent, *Patrem habemus deum.* Sic enim dominus occurrit: *Vos filii estis patris vestri diaboli, quo-* Ioann. 8, 41, 44.
*niam mendax est, quoniam pater eius mendax est: ille homicida fuit ab initio, et in veritate non stetit. Cum loquitur, mendacium ex proprio loquitur, quoniam et pater eius mendax erat.* Ex quo et haereses aliae cum hanc vocem audiunt, Iudaeorum patrem diabolum esse dicunt, cui et alius sit pater, huicque itidem alius. Sed excaecata mente effrenataque lingua ista iactitant. Siquidem ad universorum dominum ac Iudaeorum et Christianorum, adeoque omnium deum illius cognationem referunt, eumque patrem esse parentis illius putant qui Moysi legem praescripserit, ac tam multa prodigia patraverit. Sed longe se res aliter habet, o carissime! Nam subinde dominus nostri in omnibus curam gerens, ne pro aliis alia subdole fingeremus, aut illorum patrem revera existimaremus esse diabolum, ita discipulos suos alloquitur: *Nonne duodecim vos elegi, et unus ex* Ioann. 6, 70.
*vobis diabolus est?* non eum natura, sed animo diabolum esse significans. Iterum alio in loco: *Pater domine coeli ac terrae, serva eos* Ioann. 17, 11.
*quos dedisti mihi. Cum eram cum ipsis, servabam eos, et nemo ex illis periit, nisi filius perditionis.* Alias item: *Oportet filium hominis* Matth. 26, 24.
*tradi, sicut scriptum est de eo: Vae autem et per quem tradetur; bonum enim erat ei, si natus non fuisset homo ille etc.* Hoc igitur manifeste

2. ἀγαπητοί *cod. Vatic.* ἀγαπητέ *reliqui libri.*
3. ὅτι *particulam, quae necessaria est, repetivi ex finali syllaba c.* διανοούμενοι.
4. ἑαυτῶν *edit. princ.*
5. *Verba* Ἰούδαν, ὃν καὶ Σατανᾶν κέκληκε, καὶ διάβολον *adieci ex cod. Vatic., desiderantur in reliquis.*

*τος ἔγνωμεν ὡς περὶ τοῦ Ἰούδα ἔλεγε τοῖς Ἰουδαίοις· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται, καὶ ᾧ τις πείθεται, τοῦτον πατέρα ἔσχηκε καὶ ἀρχηγὸν τῆς αὐτοῦ πειθοῦς. Φησὶν οὖν ὁ κύριος, Ὑμεῖς υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστέ, ἐπειδὴ ἀντὶ τοῦ Χριστοῦ τῷ Ἰούδᾳ ἐπείσθησαν, καθάπερ ἀπὸ θεοῦ ἐκκλίνασα ἡ Εὔα τῷ ὄφει ἐξ ἀρχῆς ἐπείσθη· ἔπειτα ὅτι καὶ ψεύστης ἦν οὐ μόνον, ἀλλὰ καὶ κλέπτης, κατὰ τὸ ἐν τῷ εὐαγγελίῳ εἰρημένον. Διὸ καὶ αὐτῷ παρέδωκε τὸ γλωσσόκομον, ἵνα ἀναπολόγητος ᾖ, διὰ φιλαργυρίαν τὸν ἴδιον δεσπότην παραδοὺς εἰς χεῖρας ἀνθρώπων. Τίς οὖν ὁ τούτου πατὴρ, ὁ πρὸ αὐτοῦ ψεύστης ὑπάρχων, ἀλλ' ἢ ὁ Κάϊν, οὗ μιμητὴς ὁ Ἰούδας; [6] Ἐκεῖ γὰρ ψευσάμενος τῷ ἀδελφῷ ὡς ἐν φιλαδελφίᾳ ἠπάτησε, καὶ παρέπεισε διὰ τοῦ ψεύδους, καὶ ἐξαγαγὼν αὐτὸν ἐν τῷ πεδίῳ ἐπάρας τὴν χεῖρα ἀπέκτεινεν. Οὕτω καὶ ὁ Ἰούδας, Τί θέλετέ μοι, φησὶ, δοῦναι, καὶ ἐγὼ αὐτὸν παραδώσω ὑμῖν; καὶ, Ὃν ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν· καὶ ἐλθὼν ὁ προδότης, Χαῖρε [7] Ῥαββὶ, ἔλεγε, τοῖς χείλεσι τιμῶν, καρδίαν δὲ πόρρω ἀπέχουσαν θεοῦ κεκτημένος.*

Κεφ. ε΄. *Ἄρα γοῦν οὗτος ὁ Ἰούδας πατὴρ αὐτῶν γενόμενος, κατὰ τὴν ἀρνησιθεΐαν καὶ προδοσίαν Σατανᾶς ὑπάρξας καὶ διάβολος, οὐ τῇ φύσει, ἀλλὰ τῇ γνώμῃ, υἱὸς γεγένηται οὗτος τοῦ Κάϊν κατὰ μίμησιν τοῦ ἀνθρωποκτόνου καὶ ψεύστου· ἐπειδὴ καὶ ὁ πατὴρ αὐτοῦ πρὸ αὐτοῦ ψεύστης ἦν, οὐχ ὁ Ἀδὰμ, ἀλλ' ὁ διάβολος, οὗ τὴν μίμησιν ἔσχεν ἐν τῇ ἀδελφοκτονίᾳ, μίσει καὶ τῷ ψεύδει καὶ πρὸς θεὸν ἀντιλογίᾳ, τῷ λέγειν, Μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου; οὐκ οἶδα ποῦ ἐστιν. Οὕτω καὶ ὁ διάβολος τῷ κυρίῳ φησὶ, Μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν θεόν; Ἐπειδὴ γὰρ αὐτὸς ὁ διάβολος τῷ ψεύδει ἀπατᾷ τὴν Εὔαν καὶ τὸν Ἀδὰμ, ἕτερα ἀνθ' ἑτέρων λέγων, καὶ φιλίαν προσποιητὴν ἐνδεικνύμενος, ὅτι, Ἔσεσθε ὡς θεοὶ, καὶ οὐκ ἀποθανεῖσθε, τοῦτον μιμούμενος ὁ Κάϊν προσχήματι φιλαδελφίας ἠπάτα τὸν ἀδελφὸν, λέγων, Διέλθωμεν εἰς τὸ πεδίον. Διὰ τοῦτο καὶ ὁ ἅγιος Ἰωάννης εἶπεν, Ὁ μισῶν*
pag. 281. *τὸν ἀδελφὸν αὐτοῦ, οὗτος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ, ἀλλ' ἐκ τοῦ Κάϊν ἐστὶν, ὅτι ἀπέκτεινε τὸν ἀδελφὸν αὐτοῦ. Καὶ διὰ τί αὐτὸν ἀπέκτεινεν; ὅτι ἦν πονηρὰ τὰ ἔργα αὐτοῦ, καὶ ἐζήλωσε τὰ ἔργα αὐτοῦ, ὅτι ἦν καλά. Οὕτω καὶ οὗτοι μᾶλλον φθονοῦντες τῷ Ἄβελ, τῷ καλὰ ἔχοντι ἔργα, τὸν δὲ Κάϊν τιμῶντες, πῶς οὐκ ἐλέγχονται διαρρήδην τοῦ σωτῆρος λέγοντος καὶ ἀπότομον ἀπόφασιν ὁρίζοντος αὐτοῖς, ὅτι, Ζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης πᾶν αἷμα δίκαιον [1] ἀπὸ Ἄβελ τοῦ δικαίου τὸ ἀπ' ἀρχῆς ἐκκεχυμένον ἕως Ζαχαρίου τοῦ προφήτου, οὗ ἀπεκτείνατε μέσον τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου καὶ τὰ ἑξῆς.*

6. *Repone* Ἐκεῖνος *pro* Ἐκεῖ. *Neque aliter convertit uterque interpres Latinus.*

7. Ῥαββὴ *vulgo legitur.*

Cap. V. — 1. *Verba* ἀπὸ Ἄβελ τοῦ

cognovimus de Iuda intellexisse cum Iudaeis loqueretur. A quo enim quisque superatus est, huius et servus est, ac cuicumque aliquis obsequitur, hunc et patris loco habet, et obsequii sui auctorem agnoscit. Quare ideo iisce verbis dominus utitur: *Vos filii patris vestri diaboli estis,* quod Iudae Christi loco paruerint, quemadmodum olim Eva a domino desciscens serpenti morem gessit. Deinde quod non solum mendax esset, sed etiam fur, pro eo atque in evangelio legimus. Ob id loculos ei commisit, ne quam haberet excusationem, cum dominum suum in hominum manus ob pecuniae cupiditatem traderet. Ecquis vero pater huius alius est, qui ante ipsum mendax fuerit praeter Cainum, quem Iudas imitatus est? ille siquidem fratri suo mentitus caritatis eum fraternae specie decepit ac mendacio persuasit, et in agrum seducens violentas illi manus attulit. Neque aliter Iudas: *Quid vultis,* inquit, *mihi dare, et ego eum vobis tradam?* Et: *Quemcumque osculatus fuero ipse est, tenete eum.* Et accedens traditor: *Ave,* inquit, *Rabbi, labiis honorans, cor autem longe a deo remotum gerens.*

Ioann. 8, 44. Matth. 26, 15. Marc. 14, 44. Matth. 15, 8.

Quamobrem hic ille Iudas est qui et ipsorum parens, et propter numinis abnegationem proditionemque Satanas fuit, et voluntate, non natura diabolus, idemque mendacis ac parricidae Caini duntaxat imitatione filius; quandoquidem et eius ante ipsum pater mendax fuit non Adamus, sed diabolus, cuius in fraterna caede odioque ac mendacio similitudinem expressit, tum eo insuper ipso quod his verbis deo contradixit: *Num custos fratris mei ego sum? Ubi sit nescio.* Quemadmodum et domino diabolus loquitur: *Num frustra Iob timet deum?* Quoniam enim diabolus ipse Evam et Adamum suis in fraudem mendaciis impulerat, falsa pro veris usurpans ac simulatam amicitiam obiiciens, *Eritis,* inquit, *sicut dii, et non moriemini,* hunc aemulatus Cain fraternae caritatis specie germanum decepit, his verbis alloquens: *Egrediamur foras.* Idcirco beatus Ioannes ita scribit: *Qui odit fratrem suum, hic in caritate perfectus non est, sed est ex Caino, quoniam fratrem suum occidit. Et propter quid occidit eum? Quoniam opera eius maligna erant, et illius invidit operibus, quoniam erant honesta.* Sic illi Abelo potius invidentes, cuius opera mala sunt, et Cainum honorantes, nonne vel ipsis salvatoris verbis manifeste redarguuntur, qui in illos severe ac sine ulla tergiversatione sententiam huc modo tulit: *Requiretur ab hac generatione sanguis omnis iustus, qui effusus est ab Abel iusto a principio usque ad Zachariam prophetam, quem occidistis inter templum et altare etc.*

Cap. V. Gen. 4, 9. Iob. 1, 9. Gen. 3, 5. 1. Ioann. 3, 12. Matth. 23, 35.

δικαίου τὸ ἀπ' ἀρχῆς, *quae desiderantur in edit. princ., Petavius adiecit ex cod. Vaticano.*

Κεφ. ς'. Οὐκ ἄρα τοίνυν, ὡς οὗτοί φασι, διὰ γνῶσιν ὁ Ἰούδας παρέδωκε τὸν σωτῆρα, οὐδὲ Ἰουδαῖοι μισθὸν ἔχουσι σταυρώσαντες τὸν κύριον, καί τοί γε διὰ σταυροῦ ἐχόντων ἡμῶν τὴν σωτηρίαν. Οὔτε γὰρ παρέδωκεν αὐτὸν ὁ Ἰούδας ἵνα γένηται ἡμῖν εἰς σωτηρίαν, ἀλλὰ κατὰ ἄγνοιαν, ζῆλον καὶ φιλαργυρίαν ἀρνησιθεΐας. Κἂν τε γὰρ εἴπῃ ἡ γραφὴ τὸν Χριστὸν μέλλοντα σταυρῷ παραδίδοσθαι, ἢ κἂν εἴποι ἡ θεία γραφὴ τὰ ἐπ' [1] ἐσχάτων ἡμερῶν δι' ἡμῶν ἐπιτελούμενα ἀτοπήματα, οὐ πάντως εὕροι ἄν τις ἡμῶν τῶν τὰ παράνομα πραττόντων ἀπολογίαν τὴν τῆς γραφῆς μαρτυρίαν προφέρων, προθεσπιζούσης ταῦτα ἔσεσθαι. Οὐ γὰρ ὅτι εἶπεν ἡ γραφὴ ποιοῦμεν, ἀλλ' ὅτι ἐμέλλομεν ποιεῖν, προεῖπεν ἡ γραφὴ, διὰ τὴν τοῦ θεοῦ πρόγνωσιν, καὶ ἵνα θεὸς ἀγαθὸς ὑπάρχων, ἐπιφέρων δὲ τὴν ὀργὴν κατὰ τῶν ἁμαρτανόντων, μὴ ὑποληφθῇ πάθει συνεχόμενος. Ἡ γὰρ καθ' ἕκαστον τῶν ἁμαρτανόντων παρὰ θεοῦ ὀργὴ οὐκ ἀπὸ πάθους ὁρμᾶται. Ἀπαθὲς γὰρ τὸ θεῖον· ἐπιφέρει δὲ τὴν ὀργὴν κατὰ [2] ἄνθρωπον οὐ πάθει ληφθὲν ἀγανακτήσεως, οὐδὲ ὀργῇ ἡττηθὲν [3] καὶ κρατούμενον. Δείκνυσι γὰρ τὸ ἀπαθὲς ὁ θεὸς προειπὼν [4] ἡμῖν τὴν ἐσομένην κρίσιν καὶ τὴν δικαίαν [5] παρ' αὐτοῦ τιμωρίαν γινομένην, ἵνα τὸ ἀπαθὲς σημάνῃ τῆς θεότητος. Προεῖπε τοίνυν ἡ γραφὴ κατὰ πρόγνωσιν προασφαλιζομένη καὶ διδάσκουσα, ἵνα μὴ ἐμπέσωμεν εἰς ὀργὴν ἀνήκεστον θεοῦ, τὴν οὐ πάθει ὁρισθεῖσαν, οὐδὲ συμβαίνουσαν ἀπὸ ἥττης, ἀλλὰ δικαιότατα τοῖς τὴν
pag. 282. ἁμαρτίαν ἐκτελοῦσιν ἀνθρώποις προετοιμασθεῖσαν, καὶ μὴ μετανοοῦσιν ἐξ ἀληθείας.

Κεφ. ζ'. Οὕτω καὶ ἐπὶ τοῦ σταυροῦ, οὐχ ὅτι εἶπεν ἡ θεία γραφὴ, Ἐσταύρωσαν οἱ Ἰουδαῖοι, καὶ, Παρέδωκεν Ἰούδας τὸν σωτῆρα, ἀλλ' ὅτι ἔμελλε παραδιδόναι Ἰούδας, καὶ Ἰουδαῖοι σταυροῦν, τούτου ἕνεκα προεῖπεν ἡ θεία γραφὴ ἐν τῇ παλαιᾷ διαθήκῃ καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ. Ὥστε οὖν οὐκ ἐν γνώσει τῆς ἐσομένης εὐεργεσίας τῷ κόσμῳ παραδέδωκε τὸν κύριον ὁ Ἰούδας, ὡς ἐκεῖνοι λέγουσιν, ἀλλ' εἰδὼς μὲν ὅτι ὁ αὐτοῦ δεσπότης ὑπῆρχεν, ἀγνοῶν δὲ ὅτι σωτηρία ἔσται τῷ κόσμῳ. Πῶς γὰρ ἂν εἴη σωτηρίας ἀνθρώπων ἐπιμελόμενος ὁ παρ' αὐτοῦ τοῦ σωτῆρος ἀκούων Ἀπωλείας υἱός; καὶ τὸ, Συμφέρει αὐτῷ εἰ οὐκ ἐγεννήθη, καὶ τὸ, Ἑταῖρε, ἐφ' ὃ πάρει; καὶ τὸ, Εἷς ἐξ ὑμῶν παραδώσει με, καὶ τὸ, Ὁ ἐσθίων μετ' ἐμοῦ τὸν ἄρτον ἐπῆρε κατ' ἐμοῦ [1] πτερνισμὸν, ὡς ἔχει τὸ εὐαγγέλιον [2] ἐκ προαγούσης μαρτυρίας τοῦ ψαλτηρίου,

Cap. VI. — 1. ἐσχάτων *cum Petavio reposui pro* ἐσχάτῳ τῶν, *quod vulgo extat.*

2. ἀνθρώπων *placuit Petavio.*

3. καὶ *ex cod. Vatic. reposuit Petavius.*

4. ἡμῖν *adieci ex cod. Vaticano.*

5. παρ' αὐτοῦ, *quod in edit. princ. desideratur, Petavius adiecit ex cod. Vatic.*

Cap. VII. — 1. πτερνισμὸν *cod. Vatic.* πτέρναν *vulgata scriptura est.*

Cap. VI.

Falsum igitur est, quod isti iactitant, Iudam ob eam quam habebat scientiam salvatorem prodidisse; adeoque nec ipsi Iudaei Christo in cruce suffixo mercedem consecuti sunt, quamvis crucis nobis beneficio salus obvenerit. Non enim ut salutem nobis afferret Iudas illum tradidit, sed partim ignorantia, partim invidia et avaritia ductus, quam cum dei abnegatione coniunxerat. Etenim licet in crucem actum iri Christum scriptura praedixerit, ac quae postremis temporibus a nobis committenda sunt scelera diu ante significarit, nullam, si male quicpiam egerimus, ex iisce scripturae testimoniis, quae id futurum praenuntiant, excusationem habebimus. Neque enim quod scriptura praedixerit, idcirco facimus, sed quod facturi eramus, scriptura praedixit; ob antecedentem dei videlicet cognitionem, atque ut deus ipse, qui bonus est, cum adversus peccatores iram exercet, non perturbatione aliqua commotus esse videatur. Dei siquidem adversus peccatores quoslibet indignatio non ab ulla animi perturbatione proficiscitur; caret enim omni perturbatione deus. Sed iram more hominum exercere dicitur, non ullo sensu doloris affectus, nec iracundia superatus. Imo vero quantopere ea vacet hoc ipso declarat, quod futurum iudicium ac iustissimam animadversionem denunciat, ut se commotionis omnis expertem esse demonstret. Hoc igitur futurorum praescia scriptura significat, uti cautiores nos reddat ac condocefaciat, ne inexpiabilem dei in offensionem incurramus quae non perturbatione definitur ulla, nec velut victo ac succumbenti accidit, sed hominibus iis, quos scelerum quae commiserunt vere atque animo non poenitet, praeparata dicitur.

Cap. VII.

Idem et de crucis supplicio cogitare debemus. Non enim propterea quod ita fore scriptura praedixit, Christus aut in crucem a Iudaeis est actus aut a Iuda proditus, sed quod et proditurus eum Iudas esset, et in crucem acturi Iudaei, ob id tam in vetere testamento scriptura quam in evangelio dominus ipse futurum aliquando pronuntiavit. Quamobrem non ex certa singularis illius beneficii scientia, quod in mundum ex eo derivaret, dominum Iudas prodidit, ut illi mentiuntur, sed ita potius ut et suum esse dominum sciverit, et quam idipsum mundo salutare esset ignorarit. Fierine potest is ut salutis hominum curam gerat qui ab ipsomet salvatore perditionis Ioann. 7, 70.
filius appellatus fuerit, et illud audierit, *Bonum ei erat, si natus non* Matth. 26, 24.
*fuisset homo ille:* item, *Amice, ad quid venisti?* et, *Unus ex vobis me* Id. 26, 50.
*traditurus est:* et, *Qui manducat mecum panem, levavit contra me cal-* Ioann. 13, 18.
*caneum*, ut e Psalmorum libro evangelium expressit: item, *Vae ei* Psalm. 41, 9.

2. ex praecedente testimonio psalterii recte vertit Cornarius. Eadem significatione verbum προάγειν occurret infra haer. LXIX, 6. positum.

*καὶ, Οὐαὶ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται. Αὐτὸς γὰρ Ἰούδας περὶ ἑαυτοῦ τὸ πᾶν ὑπέφηνε, καὶ τὴν τῶν ἐπαινούντων αὐτὸν ἄνοιαν καὶ ἑαυτοῦ ἤλεγξεν, εἰ καὶ ἄκων, ἀλλ' ὅμως μετὰ τὸ λαβεῖν τὸ τίμημα τὰ τριάκοντα ἀργύρια, ὕστερον μεταμεληθεὶς καὶ ἀποστρέψας τὰ ἀργύρια, ὡς κακόν τι πεπραχὼς, κακὸν μὲν ἑαυτῷ, κακὸν δὲ καὶ τοῖς σταυρώσασιν. Ὁ δὲ κύριος ἀγαθὸν δι' ἑαυτοῦ ἐπιτελῶν ἡμῖν τι καὶ τῷ κόσμῳ ἑαυτὸν παραδέδωκεν, ἵνα γένηται ἡμῖν σωτηρία. Ἄρα οὖν οὐχὶ τῷ Ἰούδᾳ τῷ προδότῃ ὁμολογοῦμεν τὴν χάριν, ἀλλὰ τῷ ἐλεήμονι σωτῆρι, τῷ τὴν ψυχὴν θέντι ὑπὲρ ἡμῶν τῶν ἰδίων αὐτοῦ προβάτων, καθὼς αὐτὸς εἶπε. Πῶς γὰρ ὁ νομίσας ἀγαθὸν ἐπιτελέσαι ὕστερον λέγει ὅτι, Μεταμεμέλημαι, παραδεδωκὼς αἷμα ἀθῷον, καὶ ἀπέστρεψε τὰ ἀργύρια, καθὼς ἦν περὶ αὐτοῦ γεγραμμένον ἐν τοῖς προφήταις, Καὶ ἀπέστρεψε τοὺς τριάκοντα ἀργύρους, τὴν τιμὴν τοῦ τετιμημένου παρὰ τῶν υἱῶν Ἰσραήλ· καὶ πάλιν ἐν ἄλλῳ προφήτῃ, Εἰ δίκαιόν ἐστιν ὑμῖν, δότε τὸν μισθόν μου, ἢ ἀπείπασθε· καὶ πάλιν ἐν ἄλλῳ προφήτῃ, Καὶ ἔδωκαν τὸ ἀργύριον τὴν τιμὴν τοῦ τετιμημένου, καὶ εἶπε, Κάθες αὐτὸ εἰς τὸ χωνευτήριον, ἴδε εἰ δόκιμόν ἐστιν, ὡς ἐδοκιμάσθην [3] ὑπὸ τῶν υἱῶν Ἰσραήλ.*

Κεφ. η΄. *Καὶ πόσα ἐστὶν ἀπὸ τῆς θείας γραφῆς συλλέγειν περὶ τῶν τελειω-*
pag. 283. *θέντων ἐν τῷ κυρίῳ ἡμῶν, οὐ κατὰ τὴν Ἰούδα πρὸς τὸ ἀγαθὸν ἐνέργειαν, ἀλλὰ κατὰ τὴν τοῦ σωτῆρος ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ὑπὲρ ἡμῶν, οὐ κατὰ ἀνάγκην, ἀλλὰ ἐκ προαιρέσεως ἑαυτοῦ παράδωσιν, καὶ οἰκονομίαν τοῦ σταυροῦ, ὑπὲρ τῆς ἡμῶν σωτηρίας; Οἶδα δὲ εἰς πολὺν ὄγκον ἄγων τὰς μαρτυρίας, ὡς λέγει πάλιν ἄλλος προφήτης, Γενέσθω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος· ὃς πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα τὰ [1] σπλάγχνα αὐτοῦ. Καὶ τὸ πέρας ἀγχόνῃ χρησάμενος ἔδειξε τὸ πᾶν τῆς αὐτοῦ σωτηρίας διολέσας, τῷ διαπεσεῖν τῆς ἐλπίδος κατὰ τὴν αὐτοῦ ἄτακτον καὶ προπετῆ κατὰ τοῦ δεσπότου αὐτοῦ ἐπιβουλὴν καὶ ἕνεκεν φιλαργυρίας ἐπ' ἀρνησιθείαν· ὡς καὶ οἱ ἀπόστολοι ἀντ' αὐτοῦ εἰς τὸν αὐτῶν ἀριθμὸν Ματθίαν κατέστησαν, λέγοντες, Ἀφ' οὗ παρέβη Ἰούδας ἀπελθεῖν εἰς τὸν τόπον τὸν ἴδιον. Ποῖον δὴ τοῦτον, ἀλλ' ἢ ὃν ἀπεφήνατο αὐτῷ ὁ σωτὴρ λέγων ὅτι ἐστὶν υἱὸς ἀπωλείας ἔνθα ἔσχεν ἀντὶ μερίδος μερίδα, καὶ ἀντὶ ἐπισκοπῆς ἀποστολικῆς τὸν τόπον τῆς ἀπωλείας.*

*Περὶ τούτου δὲ ἱκανῶς ἔχειν τὰ εἰρημένα νομίσαντες καθεξῆς πάλιν ἐφ' ἑτέραν ἴωμεν, ὦ ἀγαπητοὶ, [2] τὰ σκολιὰ πάλιν καὶ θηριώδη*

3. ἀπὸ cod. *Vatic.*

Cap. VIII. — 1. σπλάγχνα cod. *Vatic.* ἔγκατα *vulgo scriptum est.*

2. τὰ σκόλια πάλιν καὶ θηριώδη καὶ ἰοβόλα δήγματα cod. *Vatic.* τὰ σκόλια καὶ ἰοβόλα διδάγματα ed. *princ.* τὰ σκόλια καὶ θηριώδη διδάγματα καὶ ἰοβόλα cod. *Rhedig.* τὰ σκόλια πάλιν καὶ θη-

*per quem filius hominis tradetur!* Etenim Iudas haec in se comprobavit omnia, atque et laudatorum suorum et suammet ipse dementiam vel invitus ostendit. Nam posteaquam tamen triginta illos argenteos accepit, poenitentia ductus pecuniam illam restituit, tanquam mali aliquid perpetrasset cum sibi, tum iis qui cruci Christum affixerunt. Dominus vero, per se quod nobis atque universo bonum erat efficiens, seipsum tradidit, ut saluti omnibus esset. Non igitur proditori Iudae, sed benignissimo salvatori gratias agimus, qui animam pro nobis, ovibus videlicet suis, exposuit, ut et ipse dixit. Quomodo enim is qui boni aliquid moliri se crederet postea dixit, *Poenitet me, quod tradiderim sanguinem iustum: et retulit argenteos?* Matth. 27, 4.
pro eo ac prophetae de eo scripserant: *Et retulit XXX argenteos pre-* Zach. 11, 12.
*tium appretiati a filiis Israel.* Item apud alium prophetam: *Si iustum est vobis, date mercedem meam, aut abdicate.* Item alius propheta: *Dederunt argentum pretium appretiati. Et dixit, Mitte infundibulum, et vide an probum sit, ut probatus sum a filiis Israel.*

Quam multa possumus e scripturis sacris afferre, de iis quae in Cap. VIII.
Christo domino perfecta sunt, non ea quidem ab Iuda ex ulla commodandi voluntate profecta, sed ex eo nimirum, quod salvator noster ac dominus Iesus Christus deus pro nobis sese non necessitate compulsus, sed sponte sua, tradidit et administrandae salutis nostrae caussa crucem subiit. Ego vero non ignoro quam infinitum sit testimonia omnia persequi. Velut quod ab alio propheta scriptum est: *Fiat habitatio eius deserta, et episcopatum eius accipiat alter.* *Qui* Psalm. 108, 8.
*suspensus crepuit medius, diffusa sunt omnia viscera eius.* Ac postre- Act. 1, 20.
mo laqueo gulam frangens quid egisset ostendit, cum omni se salute spoliasset, eo ipso quod ob subitam illam ac temere susceptam contra dominum perfidiam ab aeternitatis spe in divini numinis abnegationem incidisset. Unde et apostoli eius loco Matthiam in numerum suum allegerunt, dicentes, *Ex quo Iudas praevaricatus est, ut abiret in lo-* Act. 1, 25.
*cum suum.* Quemnam obsecro, nisi quem salvator eidem ostenderat, cum eum perditionis filium appellavit? Hic enim illi perditionis attributus est locus: in quo partis loco partem alteram, hoc est illam pro apostolico episcopatu exitii sedem adeptus est.

De quo cum satis superque, quantum opinor, hactenus a nobis disputatum sit, ad aliam haeresim transeamus, ac tortuosa, vene-

ριώδη διδάγματα καὶ ἰοβόλα *edit. Petav. Cornarius vertit:* obliqua et venenata dogmata revelantes, eorum qui ex conficta diabolica versutia mundo corruptionis gratia immissi sunt.

καὶ ἰοβόλα δήγματα ἀποκαλύπτοντες τῶν παρὰ ταῖς λοιπαῖς ἐξ ἐπιπλάστου διαβολικῆς ἐπινοίας τῷ κόσμῳ λύμης ἕνεκα ἐμβεβροντημένων. Τῶν γὰρ τοιούτων τὴν γνώμην τῶν τοῦ χείρονος ὀρεγομένων, ἐοικυῖαν τῷ γένει τοῦ βουπρήστου κανθάρου, ἀποκαλύψαντες, οὖσάν τε ἐπιβλαβῆ ἐν τῇ τοῦ θεοῦ δυνάμει καταθλάσαντες, ἐπὶ τὴν τῶν ἄλλων ἔρευναν τὸν νοῦν ἐπιβαλόμενοι τὸν θεὸν ἀρωγὸν ἐπικαλεσώμεθα, ὦ Χριστοῦ παῖδες [3]).

pag. 284.

## ΚΑΤΑ ΣΗΘΙΑΝΩΝ,
### ἐννεακαιδεκάτη, ἡ καὶ τριακοστὴ ἐννάτη.

Κεφ. α'. Σηθιανοὶ πάλιν αἵρεσις ἑτέρα ἐστὶν οὕτω καλουμένη. Οὐ πανταχοῦ δὲ αὕτη εὑρίσκεται, οὔτε ἡ πρὸ ταύτης ἡ τῶν Καϊανῶν λεγομένη· τάχα δὲ ἤδη καὶ αἱ πλείους τούτων ἐξερριζώθησαν ἐκ τοῦ κόσμου. Τὸ γὰρ οὐκ ἐκ θεοῦ ὂν οὐ σταθήσεται, ἀλλὰ καιρῷ μὲν ἀκμάζει, εἰς τὸ παντελὲς δὲ διαρκῶς οὐκ ἐμπαραμένει. Τάχα δὲ οἶμαι ἐν τῇ τῶν Αἰγυπτίων χώρᾳ συντετυχηκέναι καὶ ταύτῃ τῇ αἱρέσει (οὐ γὰρ ἀκριβῶς τὴν χώραν μέμνημαι, ἐν ᾗ αὐτοῖς συνέτυχον)· καὶ τὰ μὲν κατὰ ἱστορίαν φύσει αὐτοψίᾳ περὶ ταύτης ἔγνωμεν, τὰ δὲ ἐκ συγγραμμάτων.

Οὗτοι γὰρ οἱ Σηθιανοὶ ἀπὸ Σὴθ τοῦ υἱοῦ Ἀδὰμ σεμνύνονται τὸ γένος κατάγειν, αὐτὸν δὲ δοξάζουσι, καὶ εἰς αὐτὸν πάντα ὅσαπερ ἀρετῆς [1] εἶναι ἀναφέρουσι, τά τε τῆς ἀρετῆς τεκμήρια καὶ δικαιοσύνης καὶ ὅσα τοιαῦτα ὑπάρχει. Οὐ μὴν δὲ ἀλλὰ καὶ Χριστὸν αὐτὸν ὀνομάζουσι, καὶ αὐτὸν εἶναι τὸν Ἰησοῦν διαβεβαιοῦνται. Διδάσκουσι δὲ αὐτῶν τὴν διδασκαλίαν οὕτω, ὅτι, [2] φασὶ, ἐξ ἀγγέλων γεγένηται τὰ πάντα, καὶ οὐκ ἐκ τῆς ἄνω δυνάμεως.

Κεφ. β'. Οὗτοι γὰρ συνῳδὰ λέγουσι τῇ πρώτῃ αἱρέσει τῶν Καϊανῶν κατὰ τοῦτο τὸ μέρος· γεγενῆσθαι ἐξ ὑπαρχῆς εὐθὺς δύο ἀνθρώπους, καὶ ἐκ τῶν δύο εἶναι τὸν Κάϊν καὶ τὸν Ἄβελ. Περὶ τούτων τε στασιάσαντας τοὺς ἀγγέλους εἰς ἀλλήλους ἥκειν, οὕτω τε πεποιηκέναι ἀποκτανθῆναι τὸν Ἄβελ ὑπὸ τοῦ Κάϊν. Ἦν γὰρ ἡ στάσις τοῖς ἀγγέλοις ἀγωνιζομένοις περὶ τῶν γενεῶν τῶν ἀνθρώπων τούτων τῶν δύο, τοῦ γεγεννηκότος τὸν Κάϊν καὶ τοῦ γεγεννηκότος τὸν Ἄβελ· κεκρατηκέναι δὲ τὴν ἄνω Δύναμιν, ἣν Μητέρα φάσκουσι καὶ Θήλειαν. Δοκεῖ γὰρ αὐτοῖς εἶναι [1] καὶ μητέρας ἄνω, καὶ θηλείας, καὶ ἄρσενας, ὀλίγου δὲ δεῖν καὶ συγγενείας καὶ πατριαρχίας λέγειν. Ἐπεὶ οὖν κεκράτηκε, φασὶν, ἡ Μήτηρ καὶ Θήλεια καλουμένη, γνοῦσα ὅτι ἀπέκτανται Ἄβελ, ἐνθυμηθεῖσα ἐποίησε γεννηθῆναι τὸν Σὴθ, καὶ ἐν τούτῳ ἔθηκε τὴν αὐτῆς δύ-

3. *Subscriptio haeresis ex cod. Vatic. annotata est haec:* ΚΑΤΑ ΚΑΙΑΝΩΝ.

Cap. I. — 1. *Parum scite iudicans Petavius de hoc* εἶναι *annotavit:* „Deest δο-

nataque illorum dogmata detegamus, qui ceteris in sectis callido daemonis instinctu sic tanquam fulmine quodam perciti et communem ad orbis pestem ac perniciem afflati sunt. Posteaquam enim istiusmodi hominum qui deterioribus quibusque delectantur opinionem, Buprestarum generi similem (scarabeorum ea species est), patefecimus, penitusque mortiferam divina ope comminuimus, ad inquirendas ceteras eandem, o Christi filii, numinis opem ac praesidium imploremus.

## CONTRA SETHIANOS,
## quae est haeresis XIX. sive XXXIX.

Alia est Sethianorum haeresis, quae non ubique reperitur, uti nec Caianorum, contra quam proxime disputavimus. Ac nescio an non pleraeque sectarum istiusmodi radicitus extirpatae sint. Quicquid enim a deo non est, consistere non potest, sed etsi aliquanto tempore vigeat, perenne nihilominus esse nequit. Quod nisi me fallit memoria, puto me cum in Aegypto essem in eam haeresin incidisse, neque enim penitus loci recordor ubi cum istis congressus sum. Quamobrem quae ad eos pertinent partim oculis ipsis usurpavimus, partim ex illorum monumentis percepimus. Cap. I.

Igitur Sethiani a Setho, Adami filio, genus se traxisse gloriantur. Quem quidem magnopere praedicant, eique quae ad virtutem ac iustitiam pertinent omnia, earumque signa ac cetera generis huius attribuunt. Eundemque Christum nominant, et ipsummet Iesum fuisse confirmant. Atque hunc in modum suum illud dogma declarant. Ab angelis enim non a superiore vi producta esse dicunt omnia.

Nam cum superiore Caianorum haeresi hac ex parte consentiunt, quod asserunt, duos ab initio homines extitisse, a quibus Cainus et Abelus exorti sunt. De quibus inter se dissidentes angeli contra se mutuo venerunt, idque perfecerunt, ut Abelum fratrem Cainus occideret. Siquidem de amborum illorum hominum generationibus, a quibus Cainus et Abelus producti sunt, pugnantibus angelis, acris est coorta contentio. Sed enim victoria penes Vim illam superiorem fuit, quam Matrem esse Feminamque definiunt. Quippe matres ab his in coelo, et feminae maresque collocantur, ac propemodum etiam generis necessitudines, stirpiumque capita. Posteaquam igitur, ut aiunt, vicit illa Mater ac Femina, et Abelum interfectum esse cognovit, secum animo cogitans Sethi generationem Cap. II.

κεῖ, vel ἐστὶ leg."
2. *Vulgo* φησί.

CAP. II. — 1. καὶ *adiecit Petavius ex cod. Vatic.*

pag. 285. *ναμιν, καὶ* [2] *καταλαβοῦσα ἐν αὐτῇ σπέρμα τῆς ἄνωθεν Δυνάμεως καὶ τὸν σπινθῆρα τὸν ἄνωθεν πεμφθέντα εἰς πρώτην καταβολὴν τοῦ σπέρματος καὶ συστάσεως· καὶ εἶναι ταύτην σύστασιν τῆς δικαιοσύνης καὶ ἐκλογὴν σπέρματος καὶ γένους· ὅπως διὰ τῆς ταύτης συστάσεως καὶ τούτου τοῦ σπέρματος καθαιρεθῶσιν αἱ δυνάμεις τῶν ἀγγέλων τῶν τὸν κόσμον πεποιηκότων, καὶ τοὺς δύο ἀπ' ἀρχῆς ἀνθρώπους. Διὰ ταύτην οὖν τὴν αἰτίαν καὶ τὸ γένος τοῦ Σὴθ ἀφορισθὲν ἐντεῦθεν κατάγεται, ἐκλογῆς ὂν καὶ διακεκριμένον τοῦ ἄλλου γένους. Προβαινόντων δὲ τῶν καιρῶν, φασὶ, καὶ ὁμοῦ ὄντων τῶν δύο γενῶν, τοῦ τε Κάϊν καὶ τοῦ Ἄβελ εἰς τὸ αὐτὸ συνελθόντων διὰ κακίαν πολλὴν, καὶ ὁμοῦ μιχθέντων, ἀποβλέψασα ἡ πάντων Μήτηρ καθαρὸν τὸ σπέρμα τῶν ἀνθρώπων ἠβουλήθη ἀπεργάσασθαι, ὡς προεῖπον, διὰ τὸ τὸν Ἄβελ ἀπεκτάνθαι, καὶ τοῦτον τὸν Σὴθ ἐξελέξατο, καὶ καθαρὸν ἔδειξε, καὶ ἐν τούτῳ τὸ γένος μόνῳ τῆς αὐτῆς δυνάμεως καὶ καθαρότητος κατέθετο.*

Κεφ. γ'. *Ἰδοῦσα δὲ πάλιν πολλὴν ἐπιμιξίαν καὶ ἄτακτον ὁρμὴν τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων, εἰς μίξιν τῶν δύο γενῶν ἐλθόντων, καὶ συστάσεις γενῶν τινας τὴν αὐτῶν ἀταξίαν ἐμποιήσασαν, πορευθεῖσα πάλιν ἡ αὐτὴ Μήτηρ τε καὶ Θήλεια κατακλυσμὸν ἤνεγκε, καὶ ἀπώλεσε πᾶσαν στάσιν ἀνθρώπου παντὸς γένους ἐναντίου· ἵνα δῆθεν τὸ καθαρὸν γένος τὸ ἀπὸ τοῦ Σὴθ, καὶ δίκαιον, μόνον μείνῃ ἐν κόσμῳ, εἰς σύστασιν τοῦ ἄνωθεν γένους τε καὶ σπινθῆρος τῆς δικαιοσύνης. Ἔλαθον δὲ αὐτὴν πάλιν οἱ ἄγγελοι καὶ εἰςέδυσαν τὸν Χὰμ εἰς τὴν κιβωτὸν, ὄντα τοῦ αὐτῶν σπέρματος. Ὀκτὼ γὰρ ψυχῶν σωθεισῶν ἐν τῇ τότε λάρνακι τοῦ Νῶε ἑπτὰ μὲν εἶναι τοῦ καθαροῦ γένους φασί· τὸν δὲ ἕνα εἶναι τὸν Χὰμ τῆς ἄλλης δυνάμεως ὑπάρχοντα, ὃν εἰςδῦναι λαθόντα τὴν ἄνω Μητέρα. Ὑπὸ τῶν ἀγγέλων δὲ τὸ τοιοῦτο συσκευασθὲν οὕτως ἀποτελεσθῆναι· Ἐπειδὴ γὰρ, φασὶν, ἔγνωσαν οἱ ἄγγελοι ὅτι μέλλει πᾶν τὸ σπέρμα αὐτῶν ἀπαλείφεσθαι ἐν τῷ κατακλυσμῷ, πανουργίᾳ τινὶ τὸν προειρημένον Χὰμ εἰς διατήρησιν τοῦ ὑπ' αὐτῶν κτισθέντος γένους τῆς κακίας παρειςέβαλον. Καὶ ἐκ τούτου λήθη καὶ πλάνη περὶ τοὺς ἀνθρώπους, καὶ ἄτακτοι φοραὶ ἁμαρτημάτων, καὶ πολυμιξία κακίας ἐν τῷ κόσμῳ γεγένηται· καὶ οὕτως ὁ κόσμος εἰς τὸ ἀρχαῖον τῆς ἀτα-*
pag. 286. *ξίας αὖθις ἀνέκαμψε, καὶ ἐνεπλήσθη κακῶν, ὡς ἐξ ἀρχῆς πρὸ τοῦ κατακλυσμοῦ. Ἀπὸ δὲ τοῦ Σὴθ κατὰ σπέρμα καὶ κατὰ διαδοχὴν γένους ὁ Χριστὸς ἦλθεν αὐτὸς Ἰησοῦς, οὐχὶ κατὰ* [1] *γέννησιν, ἀλλὰ θαυμαστῶς ἐν τῷ κόσμῳ πεφηνὼς, ὅς ἐστιν αὐτὸς ὁ Σὴθ ὁ τότε, καὶ Χριστὸς νῦν ἐπιφοιτήσας τῷ γένει τῶν ἀνθρώπων, ἀπὸ τῆς Μητρὸς ἄνωθεν ἀπεσταλμένος.*

Κεφ. δ'. *Ταῦτα πάντα οὕτω γεγενῆσθαί φασιν ἐκεῖνοι. Μωρὰ δὲ καὶ*

2. καταβαλοῦσα *Petavius coniecit. Cornarius vertit:* et in hoc posuit suam virtutem, quum suscepisset in seipsam semen supernae virtutis, et scintillam ex

procuravit, eique vim suam indidit. Proinde vis illius superioris semina quaedam aspersit, ac scintillam immisit, quae ad primam illam seminis propagationem constitutionemque lapsa de coelo fuerat. Quam quidem iustitiae constitutionem ac seminis electionem fuisse iactant, quo utriusque beneficio angelorum vires everterentur, qui et mundum fabricaverant, et duos homines initio produxerant. Quas ob caussas Sethi genus separatim ab illa origine deductum est, utpote electum et ab reliqua stirpe seiunctum. Progredientibus deinceps temporibus, et utraque sobole in unum conflata, hoc est Caino et Abelo convenientibus invicemque permistis, omnium Mater ea re animadversa generis humani semina integra ac sincera repraesentare constituit, cum, uti diximus, Abel esset occisus. In Sethum illud delegit, et ab omni labe purum ostendit. In eumque solum coelestis illius vis suae ac sinceritatis genus immisit.

Rursum vero cum promiscuam perturbationem et angelorum hominumque temerarios impetus cerneret, quod commista simul genera illa duo fuissent, qua ex confusione nova quaedam essent genera constituta, eadem illa Parens femina progrediens aquarum eluvione contrariam omnem factionem funditus extinxit, ut incorrupta ac iusta Sethi stirps ad coeleste genus scintillamque iustitiae conflandam in terris sola retineretur. Verum clam ipsa rursus angeli Chamum e genere suo prognatum in arcam introducunt. Nam ex octo capitibus illis, quae in Noëmi arca servata leguntur, sincerioris generis septena fuisse praedicant, octavum vero nomine Chamum ab aliena vi productum latuisse coelestem Matrem, et in arcam irrepsisse, et id ipsum angelorum fraude ac consilio esse perfectum. Cum enim, ut aiunt, didicissent illi genus omne suum diluvii aquis exterminandum, mira calliditate, quo mali generis, cuius auctores erant, reliquias foverent, Chamum in arcam inculcant. A quo in humanum genus error et oblivio atque inconsiderati flagitiorum impetus et scelerum varietas multiplex in orbem terrarum erupit. Atque ita mundus ad pristinam perturbationem denuo revolutus perinde atque ante diluvium malorum copia redundavit. Ceterum a Setho continuata generis successione Iesus Christus prodiit, non ipse quidem generis stirpe procreatus, sed in hunc mundum admirabiliter introductus. Idem enim qui illis temporibus Sethus fuit, modo Christus appellatus a coelesti Matre de coelo missus ad homines descendit. Cap. III.

Hoc modo illi universa statuunt. Verum quam stolida, quam Cap. IV.

supernis missam in primam deiectionem seminis ac constitutionis.

Cap. III. — 1. γέννησιν *cod. Vatic.* γένη *vulgata scriptura est.*

ἀδρανῆ καὶ κενοφωνίας ἔμπλεα τὰ τοιαῦτα κηρύγματα, ὡς παντὶ τῷ δῆλόν ἐστιν. Οὐ γὰρ δύο ἄνθρωποι ἐπλάσθησαν, ἀλλὰ εἷς ὁ Ἀδὰμ, καὶ ἐκ τοῦ Ἀδὰμ ὅ τε Κάϊν καὶ Ἄβελ καὶ Σήθ· καὶ οὐκέτι ἐκ δύο ἀνθρώπων, ἀλλ' ἐξ ἑνὸς, ἕως τοῦ κατακλυσμοῦ, τῶν γενῶν ὅλων τοῦ Ἀδὰμ ἐχόντων τὰς ἑαυτῶν συστάσεις ἐν τῷ κόσμῳ· ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἐκ τοῦ Νῶε πάλιν τοῦ ἑνὸς ἀνθρώπου, καὶ οὐκ ἐκ διαφόρων, ἀλλὰ ἀπὸ ἑνὸς τοῦ Νῶε, τοῦ κατὰ διαδοχὴν ἐκ σπέρματος τοῦ Σήθ, πᾶν γένος τῶν ἀνθρώπων, οὐκ εἰς δύο [1] διαιρούμενον, ἀλλὰ εἰς ἓν γένος. Ἀφ' οὗπερ καὶ Νῶε καὶ ἡ αὐτοῦ γυνὴ, καὶ Σὴμ καὶ Χὰμ καὶ Ἰάφεθ, οἱ τούτου παῖδες, καὶ τρεῖς γυναῖκες τῶν αὐτοῦ παίδων· ἀπὸ τοῦ Σήθ τὸ γένος κατάγουσι πάντες, καὶ οὐχὶ ἀπὸ δύο ἀνθρώπων τῶν μὴ γενομένων κατὰ τὴν τούτων μυθοποιΐαν.

Κεφ. ε'. Βίβλους δέ τινας συγγράφοντες ἐξ ὀνόματος μεγάλων ἀνδρῶν, ἐξ ὀνόματος μὲν Σὴθ ἑπτὰ λέγοντες εἶναι βίβλους, ἄλλας δὲ βίβλους ἑτέρας Ἀλλογενεῖς οὕτω καλοῦσιν. Ἄλλην δὲ ἐξ ὀνόματος Ἀβραὰμ, ἣν καὶ Ἀποκάλυψιν φάσκουσιν εἶναι, πάσης κακίας ἔμπλεων· ἑτέρας δὲ ἐξ ὀνόματος τοῦ Μωϋσέως, καὶ ἄλλας ἄλλων. Εἰς μωρίαν δὲ πολλὴν τὸν νοῦν ἑαυτῶν κατάγοντες γυναῖκά τινα Ὡραίαν λέγουσιν εἶναι τοῦ Σήθ. Ὅρα δέ μοι, [1] ἀγαπητὲ, τὴν τούτων ἄνοιαν, ἵνα κατὰ πάντα τρόπον καταγνῷς τῆς αὐτῶν δραματουργίας καὶ μυθώδους ματαιοφροσύνης καὶ ἐπιπλάστου ληρολογίας. Εἰσὶ μὲν γὰρ ἄλλαι τινὲς αἱρέσεις, αἵτινες Δύναμίν τινα εἶναι λέγουσιν ἣν καλοῦσιν ὀνομαστικῶς Ὡραίαν, τὴν παρ' ἄλλοις τοίνυν νομιζομένην Δύναμιν, Ὡραίαν τε καλουμένην οὕτω γυναῖκα τοῦ Σὴθ λέγουσιν. Ὅθεν δυνάμεθά τε ἀποδεῖξαι, ὡς ἴστε ἀγαπητοὶ, καὶ φύσει ἄνθρωπον τὸν Σὴθ, καὶ οὐχὶ ἄνωθέν τι
pag. 287. παρηλλαγμένον, ἀδελφὸν δὲ ὄντα φύσει τοῦ Κάϊν καὶ Ἄβελ ἐξ ἑνὸς πατρὸς καὶ μιᾶς μητρός. Ἔγνω γὰρ, φησὶν, Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Κάϊν. Καὶ ἐπέθετο αὐτῷ ὄνομα Κάϊν, ὅπερ ἑρμηνεύεται Κτίσις, λέγων, Ἐκτησάμην υἱὸν διὰ κυρίου θεοῦ. Καὶ πάλιν τὸν Ἄβελ· Ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἄβελ. Καὶ μετὰ πολλὰ μετὰ τὸ ἀποθανεῖν τὸν Ἄβελ· Καὶ ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Σήθ, ὅπερ ἑρμηνεύεται Ἀνταλλαγή· Ἀνέστησε γάρ μοι ὁ θεὸς σπέρμα ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. Τὸ δὲ, Ἐκτησάμην διὰ θεοῦ, καὶ, Ἀνέστησέ μοι ὁ θεὸς, ἕνα θεὸν δείκνυσι, τὸν πάντων ποιητὴν καὶ δότην τῶν γεγεννημένων. Ὅτι δὲ οὗτοι ἔσχον γυναῖκας, ὅ τε

Cap. IV. — 1. διαιρούμενον cod. *Vatic.* αἱρούμενον *vulgo scriptum est.*

Cap. V. — 1. *Reponendum, ni fallor,* ἀγαπητοί. *Sic paulo infra etiam* ὡς ἴστε ἀγαπητοί. *Idem vitium sustulimus supra haer. XXXVIII, 4. ope cod. Vaticani.*

porro imbecilla ac vana sint quae ab illis iactantur, nemo non videt. Neque enim duo conditi sunt homines, sed unus duntaxat Adamus, a quo Cain et Abel Sethusque geniti. Tum reliquae deinceps ad Gen. 5.
diluvium usque generationes non a duobus hominibus, sed ex uno solum capite, nimirum Adamo, profecta sunt. Sed et ab uno rursus Noëmo post diluvium, non a diversis, insequentium origo deducitur, a Noëmo inquam, qui e Sethi prosapia fuit, genus hominum omne derivatum est, non bifariam divisum, sed una stirpe comprehensum. Ex qua tam Noëmus, quam eius uxor prodiit, eorumque Gen. 11.
liberi Sem, Cham, Iaphet: nec non et singulorum coniuges; qui quidem omnes unius e Sethi genere procreati sunt, non a duobus hominibus producti, qui nunquam in terris fuerunt, quemadmodum isti fabulantur.

Atenim certos libros clarissimorum virorum nominibus inscri- Cap. V.
ptos circumferunt. Ex quibus septem omnino Setho tribuunt, alios vero *Ἀλλογενεῖς*, hoc est generis alterius, nuncupant. Est et alius liber falso Abraami nomine, quem pro Apocalypsi venditant, omni nequitia refertus. Praeter quem alterum a Moyse, reliquos ab aliis editos esse mentiuntur. Ad haec, quae est illorum stoliditas ac vecordia, uxorem Sethi Horaeam nescio quam nominatim vocant. In quo vide, quaeso, quam inepti sint, ut illorum velut scenica commenta stultissimasque fabulas ac temere conficta mendacia omni ex parte condemnes. Nam cum nonnullae sint haereses, quae Vim quandam esse statuunt quae Horaea nominetur, illi Vim eiusmodi Horaeamque Sethi coniugem extitisse praedicant. Ex quo demonstrari, ut videtis, illud potest hominem fuisse Sethum illum, nec ab aliis origine diversum, utpote Caini et Abeli germanum, ab iisdemque parentibus in lucem editum. *Cognovit enim*, ut scriptura dicit, Gen. 4, 1.
*Adam uxorem suam Evam, quae concepit, et peperit Cain.* Hoc enim ei nomen imposuit, quod possessionem significat, dicens, *Possedi filium per dominum deum.* Ac rursus Abelum peperit. *Cognovit*, inquit, *Adam Evam coniugem suam, quae concepit, et peperit filium, quem Abelum vocavit.* Tum multis interiectis post Abeli mortem, *Cognovit*, inquit, *Adam uxorem Evam, quae concepit, et peperit filium, et vocavit Sethum*, quod compensationem sonat. *Excitavit enim*, inquit, *mihi deus stirpem pro Abelo, quem interfecit Cain.* Iam cum ita loquitur: *Possedi hominem per deum*, et, *Excitavit mihi deus*, unum esse deum indicat, qui et universa condiderit, et eos ipsos qui geniti sunt benigne concesserit. Quod vero uxores ambo

*Κάϊν καὶ ὁ Σὴθ, δῆλον. Ὁ γὰρ Ἄβελ νεώτερος ἀπεκτάνθη, μηδέπω γήμας.*

Κεφ. ς'. *Ὡς δὲ ἐν τοῖς Ἰωβηλαίοις εὑρίσκεται, τῇ καὶ Λεπτογενέσει καλουμένῃ, καὶ τὰ ὀνόματα τῶν γυναικῶν τοῦ τε Κάϊν καὶ τοῦ Σὴθ ἡ βίβλος περιέχει· ἵνα κατὰ πάντα τρόπον οὗτοι καταισχυνθῶσιν, οἱ τοὺς μύθους τῷ βίῳ ῥαψῳδήσαντες. Τοῦ γὰρ Ἀδὰμ γεννήσαντος υἱοὺς καὶ θυγατέρας ἀνάγκη γέγονε κατ' ἐκεῖνο καιροῦ ἀδελφαῖς ταῖς ἰδίαις συναφθῆναι τοὺς παῖδας. Οὐ γὰρ ἦν παράνομον τὸ τοιοῦτον, ἐπεὶ μηδὲν ἕτερον γένος ἦν. Καὶ γὰρ καὶ αὐτὸς, ὡς ἔπος εἰπεῖν, ὁ Ἀδὰμ τῇ ἰδίᾳ θυγατρὶ σχεδὸν τῇ ἐκ τοῦ σώματος αὐτοῦ πλασθείσῃ συνήφθη, κατὰ συζυγίαν αὐτῷ ἐκ θεοῦ πεπλασμένῃ, καὶ οὐκ ἦν παράνομον· οἵ τε τούτου υἱοὶ συνήφθησαν ὁ μὲν Κάϊν τῇ ἀδελφῇ τῇ μείζονι Σαυὴ, οὕτω καλουμένῃ, ὁ δὲ Σὴθ τρίτος υἱὸς μετὰ τὸν Ἄβελ γεννηθεὶς τῇ λεγομένῃ αὐτοῦ ἀδελφῇ Ἀζουρᾷ. Γεγόνασι δὲ τῷ Ἀδὰμ καὶ ἄλλοι υἱοὶ, ὡς ἡ Λεπτὴ Γένεσις περιέχει, ἐννέα μετὰ τοὺς τρεῖς τούτους· ὡς εἶναι αὐτῷ δύο μὲν θυγατέρας, ἄρρενας δὲ δεκαδύο, ἕνα μὲν ἀποκτανθέντα, ἕνδεκα δὲ περιλειφθέντας τῷ βίῳ. Ἔχεις δὲ καὶ τούτων τὴν ἔμφασιν ἐν τῇ Γενέσει τοῦ Κόσμου καὶ πρώτῃ βίβλῳ παρὰ Μωϋσεῖ οὕτω φασκούσῃ· Καὶ ἔζησεν Ἀδὰμ ἔτη ἐννακόσια τριάκοντα, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἀπέθανε.*

Κεφ. ζ'. pag. 268. *Πλατυνθέντων δὲ τῶν ἀνθρώπων, καὶ τῆς γενεᾶς τοῦ Ἀδὰμ ἐκεκτεινομένης, ἡ ἀκρίβεια ἡ κατὰ τὸν γάμον τὸν σεμνὸν ἐπλατύνετο καθεξῆς προβαίνουσα, καὶ ἐπείπερ γεγόνασι παῖδες τῷ Ἀδὰμ καὶ παῖδες παίδων, θυγατέρες δὲ ἐκ τούτων κατὰ διαδοχὴν γένους ἐγεννήθησαν, λοιπὸν οὐκέτι τὰς αὐτῶν ἀδελφὰς πρὸς γάμον ἤγοντο, ἀλλὰ εἰς εὐνομίαν κατέστη καὶ πρὸ τοῦ διὰ Μωϋσέως ἐγγράφου νόμου ὁ κατὰ τὸν σεμνὸν γάμον θεσμὸς, καὶ ἐκ τῶν πατραδέλφων αὐτῶν τὰς γαμετὰς ἑαυτῶν ἤγοντο. Καὶ οὕτως πλατυνομένων ἄρτι τῶν ἀνθρώπων ἐμίγη τὰ δύο γένη, τοῦ τε Κάϊν πρὸς τὸ γένος τοῦ Σὴθ, καὶ τοῦ Σὴθ πρὸς θάτερον, καὶ τὰ ἄλλα τῶν υἱῶν τοῦ Ἀδὰμ γένη. Ἐντεῦθεν λοιπὸν τοῦ κατακλυσμοῦ ἄρδην τὸ πᾶν τῆς στάσεως τῶν ἀνθρώπων ἀπολέσαντος διαπεφύλακται μόνος Νῶε, εὑρὼν χάριν παρὰ τῷ θεῷ, δίκαιος εὑρεθεὶς ἐν τῇ κατ' ἐκεῖνο καιροῦ γενεᾷ· λάρνακα δὲ κατὰ τὰ ἤδη πρότερον ἡμῖν εἰρημένα κατεσκεύασεν ἑαυτῷ ἐκ προστάγματος θεοῦ, ὡς ἔχουσιν αἱ ἀληθιναὶ γραφαὶ, ἐν ᾗ διασεσῶσθαι ἡ αὐτὴ φάσκει τῆς ἀληθείας βίβλος αὐτόν τε καὶ τὰς προειρημένας αὐτῷ ἅμα ἑπτὰ ψυχάς· φημὶ δὲ τήν τε ἰδίαν σύζυγον καὶ τοὺς τρεῖς υἱοὺς, γυναῖκάς τε τούτων ὁμοίως τρεῖς. Ἐκ τούτου δὲ λείψανα γεγενῆσθαι τῆς κατὰ τὸν ἄνθρωπον συστάσεως ἐν κόσμῳ πάλιν ἡ ἀλήθεια συνίστησιν· ὅθεν κατὰ γε-*

illi, Cainus ac Sethus, habuerint, minime est obscurum. Nam Abelus matura nondum aetate sublatus est e medio, neque se matrimonio coniunxerat.

Extant in Iubilaeis, qui liber Genesis Parva dicitur, uxorum Caini Sethique nomina, ut qui confictas illas fabulas in hominum vitam invexerunt pudore omnino suffundantur. Etenim cum Adamus utriusque sexus liberos suscepisset, necesse per illa tempora fuit ut filii matrimonia cum sororibus inirent. Neque id erat interdictum; propterea quod genus aliud erat hominum nullum. Quin etiam Adamus ipse cum sua, ut ita dicam, filia coniugio sociatus est, quam de eius corpore deus effinxerat: nefas enim illud non erat. Et ex illius liberis Cainus sororem natu maiorem duxit, Savem nomine. Sethus porro Adami filiorum tertius post Abelum genitus cum alia sorore Azura coniunctus est. Fuerunt et alii Adamo liberi, ut in Parva illa Genesi scriptum est, novem scilicet secundum priores illos tres, ut in totum filias duas, mares duodecim susceperit, e quibus occisus unus, undecim superstites relicti sunt. Quae omnia in Mundi Originibus ac primo Mosis volumine his verbis significantur: *Et vixit Adam annis DCCCCXXX, et genuit filios et filias, et mortuus est.* Cap. VI. Gen. 5.

Ceterum amplificato hominum genere auctoque posterorum Adami numero honestissimi matrimonii pudori accuratioribus paulatim legibus est consultum. Ubi enim Adamo filii ac nepotes obtigerunt, ex iisque filiae generis successione procreatae, tum demum sorores in matrimonio habere non licuit. Itaque vel ante scriptam a Moyse legem honestarum nuptiarum status optimis decretis constitutus est. Ergo consobrinas ducere mos fuit. Qua ratione factum est ut multiplicatis hominibus duo in unum genera miscerentur, Caini videlicet ac Sethi, tum deinceps reliquae filiorum Adami stirpes promiscue iungerentur. Postea cum aquarum exundatio humani generis statum funditus delevisset, unus ex omnibus Noëmus servatus est, qui gratiosus apud deum extiterat, quod aetate sua iustus esset inventus. Hic, ut ante memoravimus, arcam sibi deo iubente fabricatus est, quemadmodum germana divinae legis monumenta testantur. Qua quidem in arca servatum Noëmum in eodem sincerae scripturae volumine proditum est, cum eoque septem, quae ante nominavimus, capita, hoc est coniugem ipsius cum tribus liberis, ac totidem eorum uxoribus. Quamobrem generis humani reliquias in hunc mundum a Noëmo productas esse veritatis ipsius testimonio constat. Ex quo Cap. VII. Gen. 7. Gen. 11.

*νεὰν προβαινόντων, καὶ κατὰ διαδοχὴν υἱοῦ πατέρα διαδεχομένου, εἰς γενεὰς πέντε ὁ αἰὼν ἐλήλακε.*

Κεφ. η'. *Καὶ γέγονε κατ' ἐκεῖνο καιροῦ ἡ τῆς Βαβυλῶνος κτίσις ἐν τῇ τῶν Ἀσσυρίων γῇ, καὶ ὁ ὑπ' αὐτῶν οἰκοδομηθεὶς τότε πύργος. Ἦσαν δὲ κατὰ τοῦτον τὸν καιρὸν, ὡς ἤδη ἐν ταῖς πρότερον αἱρέσεσι διηγησάμην, κατὰ τὸν εἱρμὸν τῶν ἄνω μοι γενεῶν πραγματευθεισῶν οἱ πάντες ἑβδομηκονταδύο ἄνδρες τὸν ἀριθμὸν, ἀρχηγοί τε καὶ κεφαλαιῶται τοῦ μὲν Χὰμ γένους τριακονταδύο, καὶ τοῦ* [1]*Ἰάφεθ δεκαπέντε, τοῦ δὲ* [2]*Σὴμ εἰκοσιπέντε. Καὶ οὕτως ὁ πῦργος καὶ ἡ Βαβυλὼν ἐγένετο. Ἐκ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν φυλαί τε καὶ γλῶσσαι. Καὶ ἐπείπερ οἱ ἑβδομηκονταδύο τότε τὸν πύργον οἰκοδομοῦντες ταῖς γλώσσαις διεσκεδάσθησαν συγχυθέντες, καὶ ἀπὸ μιᾶς ἧς ᾔδεσαν ἐμπνευσθέντες ἐκ θεοῦ βουλήσεως ἄλλος ἄλλην ἐσχήκασιν. Ἐξ ὧνπερ καὶ* pag. 288. *μέχρι δεῦρο ἡ σύστασις τῶν λαλιῶν ἐνέστηκεν. Ὥστε βουλομένῳ ἔνεστιν εὑρεῖν ἕκαστον ἀρχηγὸν ἑκάστης γλώσσης· ὡς* [3]*Ἰωυὰν μὲν τὴν Ἑλληνίδα ἔσχεν, ἐξ οὗπερ καὶ Ἴωνες κέκληνται οἱ τὴν παλαιὰν γλῶσσαν τῶν Ἑλλήνων ἔχοντες, Θήρας δὲ τῶν Θρᾳκῶν, Μοσὸχ τὴν Μοσσυνοίκων γλῶσσαν, Θωβὲλ τὴν τῶν Θετταλῶν, Ἐλοὺδ τὴν Λυδῶν, Γεφὲρ τὴν Γασφηνῶν, Μιστρὲμ τὴν τῶν Αἰγυπτίων, Ψοὺς τὴν τῶν Ἀξουμιτῶν, Ἀρμὼτ τὴν τῶν Ἀράβων, καὶ τῶν λοιπῶν ἕκαστος, ἵνα μὴ καθένα λέγω, ἰδίαν ἐνεπνεύσθη γλῶσσαν. Καὶ οὕτως ἑκάστης γλώσσης ἡ διαδοχὴ ἐν τῷ κόσμῳ πεπλάτυνται.*

Κεφ. Ѳ'. *Πόθεν τοίνυν οὗτοι ἐψευδηγόρησαν αὐτῶν τὰ ῥήματα, παρενθέντες τὴν ἑαυτῶν μυθοποιΐαν φανταζόμενοι, καὶ ὀνειροπολοῦντες τὰ μὴ ὄντα ὡς ὄντα, καὶ τὰ ὄντα τῆς ἑαυτῶν διανοίας διασκεδαννύντες; Ἀλλὰ τὸ πᾶν τοῦ διαβόλου βούλημα τοῦτο ἐνεκίσσησε ταῖς τῶν ἀνθρώπων ψυχαῖς· ἔστι δὲ ἰδεῖν καὶ θαυμάσαι ὡς ἐν πολλοῖς μὲν ἀτοπήμασι τὸν ἄνθρωπον ἠπάτησε καὶ εἰς παρανομίαν κατέσπασεν, εἴς τε πορνείας καὶ μοιχείας καὶ ἀσελγείας, εἰδωλομανίας τε καὶ γοητείας καὶ αἱματεκχυσίας, ἁρπαγάς τε καὶ ἀπληστίας, κυβείας τε καὶ ἀδηφαγίας, καὶ ὅσα τοιαῦτα. Οὐδαμοῦ δὲ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας ἐτόλμησεν εἰς τὸν ἑαυτοῦ δεσπότην φθέγξασθαι βλάσφημόν τινα λόγον, ἢ ἀνταρσιν ἐννοῆσαι. Ἀνέμενε γὰρ τὸν τοῦ Χριστοῦ παρουσίαν, ὡς λέγει, Περὶ σοῦ γέγραπται ὅτι, τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε. Ἤκουε γὰρ ἀεὶ τῶν προφητῶν καταγγελλόντων τὴν Χριστοῦ παρουσίαν, λύτρωσιν ἐσομένην τῶν ἁμαρτησάντων, καὶ διὰ Χριστοῦ μετανοούντων, ἐνόμιζέ τε τεύξασθαί τινος ἐλέους. Ὅτε δὲ εἶδεν ὁ τάλας τὸν Χριστὸν μὴ δεξάμενον αὐτοῦ τὴν περὶ σωτηρίας ἱκε-*

CAP. VIII. — 1. *Libri habent* Σὴμ. — *Petavius proposuit* τοῦ δὲ Ἰάφεθ δεκαπέντε, τοῦ δὲ Σὴμ εἰκοσιπέντε.
2. *Libri habent* Ἰάφεθ.
3. Ἰωϊὼν, *si recte lego, annotatum est ex cod. Vaticano.*

multiplicata prole perpetuaque sobolis successione quinque in terris stirpium sunt facta divortia.

Quo tempore Babylon in Assyria ab iisdem illis extructa, qui et Turrim condiderunt. Erantque tum, uti in superioribus haeresibus ex generationum a nobis instituta serie demonstratum est, homines ferme LXXII stirpium auctores et capita. Nimirum ex Chami progenie XXXII, e genere Sem XV, e Iapheti vero stirpe XXV, cum turris illa cum Babylone conderetur. Ab his in universum orbem nationes omnes ac linguae dissipatae sunt. Posteaquam septuaginta illi duo, qui turrim moliebantur, confusis linguis huc illucque dispersi sunt, et pro una quam callebant alius aliam ex afflatu dei ac voluntate sortitus est. Ex quo ad hanc usque diem linguarum omnis est conflata varietas; quarum uniuscuiusque licet auctorem nullo negotio deprehendere. Sic enim Iavan Graeci sermonis princeps extitit, a quo sunt Iones cognominati, penes quos veteris est Graecae linguae possessio. A Thera Thracum lingua profecta est, Mossynoecorum a Mosocho, a Thobelc Thessalorum. Elud porro Lydorum sermonis auctor fuit, uti Gasphenorum Gephar, Aegyptiorum Mistrem, Psus Axumitarum, Armot Arabum ac deinceps, ne singillatim percenseam, suae cuiusque linguae reliquis est impertita scientia. Atque ita singularum successio est paulatim in orbe dilatata progressaque longius. Cap. VIII. Gen. 10.

Quae cum ita sint, unde, quaeso, Sethiani falsas illas narrationes acceperunt, dum et fictas fabulas obtrudunt, et quae nunquam facta sunt pro veris velut somniantes effutiunt? Quae autem vera solidaque sunt, procul a suis ipsi mentibus reiiciunt. Sed nimirum totum istud ex mali voluntate daemonis afflatuque conceptum humanis ingeniis adhaesit. Qua in re non minus considerandum illud quam admirandum venit, quemadmodum ille cum homines in absurda indignaque quam plurima fraudulenter pellexerit, atque in scelus pertraxerit, stupra videlicet, adulteria, libidines, idolorum superstitiones ac praestigias, profusiones sanguinum, rapinas et insatiabiles cupiditates, aleam, voracitatem, aliaque id genus flagitia, nunquam tamen ante Christi servatoris adventum, contumeliosam in dominum suum iactare vocem vel rebellare sit ausus. Expectabat siquidem dum Christus adveniret, ut vel ipse profitetur his verbis: *De te scriptum est, quoniam, angelis suis mandabit de te, et in manibus portabunt te.* Illud enim perpetuo a prophetis nuntiatum audierat, Christi domini praesentiam eorum redemptionem fore qui peccassent ac poenitentiam susciperent. Quare et ipse misericordiae nonnihil se consecuturum sperabat. Verum ubi suam ad obtinendam salutem Cap. IX. Luc. 4, 10. Psalm. 90, 11.

στροφὴν, ἀνοίξας τὸ στόμα κατὰ τοῦ ἰδίου δεσπότου τὴν βλασφημίαν ἐξήμεσε, τοῖς ἀνθρώποις ὑπόνοιαν ἐμβαλὼν, ἀρνεῖσθαι μὲν τὸν ὄντα, τὸν δὲ μὴ ὄντα ζητεῖν. Οὕτως τοίνυν καὶ οὗτοι ἐλέγχονται κατὰ πάντα τρόπον ἠπατημένοι. Ὁ γὰρ Σὴθ τέθνηκε, καὶ τὰ ἔτη αὐτοῦ ἀναγέγραπται. Βιώσας γὰρ ἔτη ἐννακόσια δεκαδύο τὸ χρεὼν ἀπέδωκε, γεννήσας υἱοὺς καὶ θυγατέρας, ὥς φησιν ἡ θεία γραφή. Κατὰ διαδοχὴν pag. 290. δὲ ὁ τούτου παῖς, Ἐνὼς δὲ ἦν τούτῳ ὄνομα, καὶ αὐτὸς βιώσας ἔτη ἐννακόσια πέντε, ὑπήλλαξε τὸν καθ' ἡμᾶς βίον, γεννήσας υἱοὺς καὶ θυγατέρας, ὡς ἔχει ἡ αὐτὴ βίβλος τῆς ἀληθείας.

Κεφ. ι'. Πόθεν τοίνυν ὁ Σὴθ ὁ τότε τελευτήσας, οὗ καὶ υἱοὶ κατὰ διαδοχὴν βιώσαντες τοῦ βίου ἐπαύσαντο, εὑρεθήσεται κύριος ὁ ἀπὸ Μαρίας γεννηθεὶς τῆς ἀειπαρθένου, εὐδοκήσας ἐπὶ ζωῇ τῶν ἀνθρώπων, ὁ γεννηθεὶς ἀχρόνως, ὁ ὢν πρὸς τὸν πατέρα ἀεὶ, ἐνυπόστατος Θεὸς Λόγος, ἐλθὼν δὲ ἐπ' [1] ἐσχάτων ἡμερῶν, καὶ εἰς ἑαυτὸν δὲ ἀναπλασάμενος ἀπὸ μήτρας παρθενικῆς σάρκα καὶ ψυχὴν τὴν ἀνθρωπείαν εὐηφυῶς οὕτως ἐνηνθρώπησε τελειότατα, κηρύξας ἡμῖν ζωῆς τὰ μυστήρια, δικαιοσύνης τε ἐργάτας τοὺς αὐτοῦ μαθητὰς καταστήσας, καὶ τὴν αὐτοῦ διδασκαλίαν δι' ἑαυτοῦ τε καὶ δι' αὐτῶν παιδεύσας τὸ γένος τῶν ἀνθρώπων, οὐ τὰ τῶν Σηθιανῶν ἀποκαλύψας, οὐδὲ Σὴθ ἑαυτὸν ὀνομάσας, ὡς οὗτοι ληροῦντες καὶ μέθῃ τινὶ συνεχόμενοι ἀπὸ τῆς ἀληθείας ἐκπεπτώκασι;

Τὰ δὲ νῦν συντόμως οὔσης τῆς αἱρέσεως, οὐκ ἐνδεηθεὶς ἐπεκτεῖναι τὸν κατ' αὐτῆς ἔλεγχον, ἀρκοῦμαι τοῖς παροῦσι μόνοις. Εὔτρωτος γὰρ ἡ τούτων ἄνοια, καὶ ἑαυτὴν δυναμένη τε ἐλέγξαι καὶ φωράσαι, οὐ μόνον περὶ τῆς τοῦ Χριστοῦ ἀγωγῆς καὶ σεσυκοφαντημένης διδασκαλίας τοῦ τὸν Σὴθ αὐτὸν νομίζειν τε καὶ διαβεβαιοῦσθαι εἶναι, ἀλλὰ καὶ εἰς τὴν περὶ τῶν δύο ἀνθρώπων ὑπόθεσιν. Εἰ γὰρ αἱ Δυνάμεις ἄνωθεν ἐσχήκασι τὴν ἀρχὴν, οὐκ ἂν ἄνευ τῆς μιᾶς, ἣν δὴ καὶ Μητέρα φάσκουσι τῶν ὅλων εἶναι, ἐγένετό τε καὶ ἐπράχθη τὰ ὑπὸ τῶν δύο πραχθέντα. Εὑρίσκεται γὰρ ἡ μία αἰτία τῶν δύο Δυνάμεων, καὶ ἄνευ αὐτῆς μηδὲν τῶν γενομένων γεγονέναι. Καὶ ἀναδραμοῦνται πάλιν ἐπὶ τὸ ὁμολογεῖν ἕνα εἶναι δεσπότην τῶν πάντων, καὶ δημιουργὸν καὶ κτιστὴν τῶν ὅλων, ἅπαξ μιᾶς δεικνυμένης ἀρχῆς. Ἀλλὰ καὶ περὶ ταύτης τῆς αἱρέσεως ταῦτα φήσαντες, καὶ ἀποκαλύψαντες τὸν ἰὸν τῆς

CAP. X. — 1. *Rescripsi* ἐπ' ἐσχάτων ἡμερῶν *pro* ἐπ' ἐσχάτου τῶν ἡμερῶν. *Idem vitium sustulimus supra haer.* 38, 6.

conversionem a Christo repudiari infelix animadvertit, os illico contra dominum aperuit, ac maledicentiam omnem evomuit. Quin eam mentem hominibus iniecit, ut vero contempto deo alium qui nuspiam esset inquirerent. Hoc igitur modo Sethianos in fraudem impulsos esse undequaque constabit. Siquidem Sethus olim mortuus est, suntque eius aetatis anni perscripti. Nam cum annos vixisset XII supra DCCCC, ex hac vita discessit, ubi sexus utriusque liberos suscepit, ut divinis literis proditum est. Successit patri filius, Enos nomine, qui annos vixit DCCCCV, et prole sexus utriusque similiter auctus vivendi finem fecit; ut eadem illa verissima scripta testantur.

Quaenam ergo ratio patitur Sethum istum, qui et illo tempore mortuus est et filios reliquit, qui suum quoque vitae tempus obierunt, Christum esse dominum, qui repraesentandae hominum vitae ac salutis desiderio de virgine sit Maria natus, cum idem ante omne tempus esset a patre genitus, apud quem perpetuo manet, deus ipse, Verbumque subsistens? Qui postremis temporibus venit in mundum, et ex virginis matris utero efficta sibi carne atque circumfusa tum assumpta simul anima numeris omnibus absolutus homo factus est, postea vero quam vitae nobis mysteria praedicasset, iustitiae in agendo cultores discipulos constituit, ac tum per sese, tum per illos humanum genus disciplinae suae documentis erudiit. Neque tamen aut Sethianorum illa dogmata tradidit, aut sibi ipsi Sethi nomen imposuit; id quod strenui illi nugatores, ac velut ebrii, mendacissime praedicant. Cap. X.

Verum cum hodie summam ad paucitatem haeresis ista redacta sit, non necesse habui uberiori illam oratione refellere; proindeque quae hactenus sunt dicta sufficiant. Praesertim quod illorum amentia expugnari facile potest, seque adeo ipsam convincit ac detegit; non solum quod ad educendi Christi rationem attinet plenissimamque illam calumniae doctrinam, qua Sethum eundem esse cum Christo statuunt ac pertinacissime tuentur, verum etiam quod de duobus illis hominibus asseverant. Nam si mentes illae, quas *Δυνάμεις* vocant, superiorem aliquam originem agnoscunt, profecto quae a duabus sunt gesta, non sine unius auxilio, quam omnium Matrem esse definiunt, fieri perficique potuerunt. Ab una quippe caussa ambae illae mentes profectae sunt, sine qua nihil omnino ex iis quae sunt produci potuit. Ita tandem eo necessario recurrent, unum ut dominum rerum omnium et auctorem ac conditorem universorum admittant, ubi semel principium unicum esse comprobatum fuerit. His adversus hanc haeresin disputatis, ac pestifero illorum velut aspidum veneno

ἑρπετώδους αὐτῶν ἐκ γένους ἀσπίδων γονῆς, ἐφ' ἑτέραν πάλιν ἴωμεν, ἀγαπητοὶ, τῇ αὐτῇ ἀκολουθίᾳ τῆς πραγματείας[2].

pag. 291. 

## ΚΑΤΑ ΑΡΧΟΝΤΙΚΩΝ,

### εἰκοστὴ, ἡ καὶ τεσσαρακοστή.

Κεφ. α'. Ἀρχοντικῶν τις αἵρεσις τούτοις ἕπεται, οὐκ ἐν πολλοῖς δὲ τόποις αὕτη φαίνεται, ἢ μόνον ἐν τῇ Παλαιστίνων ἐπαρχίᾳ. Μετήνεγκαν δὲ τὸν αὐτῶν ἰὸν ἤδη που καὶ εἰς τὴν μεγάλην Ἀρμενίαν, ἀλλὰ καὶ ἐν τῇ μικρᾷ Ἀρμενίᾳ τοῦτο τὸ ζιζάνιον ἤδη ἔσπαρται ὑπὸ ἀνδρός τινος ἐπιδημήσαντος τῇ Παλαιστίνων γῇ ἀπὸ Ἀρμενίας, ἐν χρόνοις Κωνσταντίου, περὶ τὴν αὐτοῦ τελευτὴν, Εὐτάκτου ὀνόματι, μᾶλλον δὲ Ἀτάκτου τὸν τρόπον, καὶ μαθόντος τὴν κακοδιδασκαλίαν ταύτην, εἶτα ἐπανελθόντος εἰς τὰ οἰκεῖα καὶ διδάξαντος. Μετέλαβε δὲ, ὡς ἔφην, ἐν Παλαιστίνῃ ὡς ὑπὸ ἀσπίδος ἰὸν ἀπὸ Πέτρου τινὸς γέροντος, ἀναξίως Πέτρου καλουμένου, ὃς κατῴκει ἐν τῇ τῆς Ἐλευθεροπόλεως [1] καὶ Ἱερουσαλὴμ ἐνορίᾳ, ἐπέκεινα τῆς Χεβρὼν σημείοις τρισί· [2] Καφαρβαριχὰ τὴν κώμην καλοῦσιν. Οὗτος ὁ γέρων τὰ πρῶτα ἔνδυμα εἶχεν ἔκπληκτον, ὑποκρίσεως γέμον. Ἔξωθεν μὲν γὰρ ἀληθῶς κώδιον προβάτου ἠμφίεστο, ἠγνοεῖτο δὲ ἔνδοθεν λύκος ὑπάρχων ἅρπαξ. Ἀναχωρητὴς γὰρ ἐδόκει εἶναι, ἐν σπηλαίῳ τινὶ καθεζόμενος, ὃς πολλοὺς δῆθεν συνήγαγεν εἰς ἀπόταξιν· καὶ πατὴρ δῆθεν διά τε τὸ γῆρας καὶ τὸ σχῆμα ἐκαλεῖτο, τά τε αὐτοῦ ὑπάρχοντα πτωχοῖς διένειμε, καὶ καθ' ἡμέραν ἐλεημοσύνας ἐποίει. Ἐν δὲ τῇ πρώτῃ ἡλικίᾳ αὐτοῦ ἐν πολλαῖς αἱρέσεσιν ἐξητάσθη· ἐπὶ Ἀετίου δὲ τοῦ ἐπισκόπου κατηγορηθεὶς καὶ ἐλεγχθεὶς τότε τὴν τῶν Γνωστικῶν μετιὼν αἵρεσιν καθῃρέθη ἀπὸ τοῦ πρεσβυτερίου. Ἦν γὰρ κατασταθείς ποτε πρεσβύτερος [3] τοῦ τόπου. Μετὰ δὲ τὸν ἔλεγχον ὑπὸ Ἀετίου ἐδιώχθη, καὶ ἀπελθὼν κατῴκησεν ἐν τῇ Ἀραβίᾳ ἐν Κωχάβῃ, ἔνθα αἱ τῶν Ἐβιωναίων τε καὶ Ναζωραίων ῥίζαι ἐνήρξαντο, ὡς καὶ ἐν πολλαῖς αἱρέσεσι περὶ τοῦ τόπου τούτου ἐσήμανα. Ὕστερον δὲ ὡς σωφρονισθεὶς πρὸς τὸ γῆρας πάλιν ἐπανῆλθε φέρων ἑαυτῷ ταύτην τὴν ἰοβολίαν κρύβδην, καὶ παρὰ πᾶσιν ἀγνοούμενος, ἕως ὅτε εἰς ἔσχατον ἀφ' ὧν εἰς ὦτά τινων ἐψιθύριζε ῥημάτων ἐλεγχθεὶς τοιοῦτος ὑφ' ἡμῶν ἀνεθεματίσθη καὶ ἐλήλεγκται διὰ τῆς ἡμῶν βραχύτητος. Καὶ ἐκάθισεν ἐν τῷ σπηλαίῳ λοιπὸν βδελυχθεὶς ὑπὸ πάντων, καὶ μονωθεὶς ἀπὸ τῆς ἀδελφότητος καὶ ἀπὸ πλείστων τῶν τῆς ζωῆς ἑαυτῶν ἐπιμελουμένων. Πρὸς τοῦτον τὸν γέροντα καταχθεὶς ὁ προειρημένος Εὔτακτος, εἴγε Εὔτακτος, ἀπὸ τῆς Αἰγύπτου διερχό-

pag. 292. 

2. *Subscriptio haeresis ex cod. Vatic. annotata est* ΚΑΤΑ ΣΗΘΙΑΝΩΝ.

Cap. I. — 1. καὶ *addidi de coniectura, Petavium secutus.*

2. καὶ φαρβαριχὰ (*non* Βαρβαριχὰ, *ut in marg. ed. Petav.*) τὴν κώμην *cod. Ve-*

detecto, ad aliam deinceps, quo nos instituti operis series vocat, convertenda rursus oratio.

## ADVERSUS ARCHONTICOS,
### quae est haeresis XX. vel XL.

Proxima huic est Archonticorum haeresis, quae tamen haud plerisque extra Palaestinam in locis cernitur. Quamquam virus suum in Maiorem etiam Armeniam diffuderunt. Imo et in Armenia Minore lolium istud certo ab homine disseminatum est, qui paulo ante Constantii imperatoris obitum ex Armenia in Palaestinam profectus est, Eutactus nomine, sive Atactus potius, hoc est moribus perturbatus. Qui cum infelix illud dogma combibisset, in patriam reversus profiteri coepit quod didicerat. Eiusmodi porro velut ab aspide venenum a sene quodam hauserat, nomine Petro, sed minime hac appellatione digno, qui in Eleutheropolis et Hierosolymorum finibus habitabat, tertio ab Hebrone lapide, oppido quod Cabarbaricha nominant. Huic porro seni vestitus erat initio asperitate ipsa horribilis et ad simulationem affectatus, ac cum extrinsecus ovis pelle esset indutus, lupus erat intus rapacissimus et occultus. Anachoreta quippe esse videbatur in spelunca degens. Qui quidem plerosque abdicatis fortunis omnibus ad sese pertraxit, Paterque vulgo cum ob aetatem, tum ob habitum ipsum appellari solebat. Idem quicquid habebat in egenos distribuere, ac quotidie stirpem erogare. Sed ab ineunte aetate variis se haeresibus addixerat. Postea ad Aëtium episcopum delatus ac Gnosticorum haeresis convictus a sacerdotio exautoratus est. Illius quippe loci creatus olim fuerat presbyter. Deprehensus itaque et ab Aëtio pulsus in Cochaben Arabiae oppidum profectus est, ubi Ebionaeorum ac Nazoraeorum semina pullulare coeperant, ut in multis refutandis haeresibus antea monuimus. Postremo, velut aetatis maturitate sapientior factus, postliminio rediit, abditum illud virus in pectore ferens, et ignotus omnibus, donec tandem nonnullis e sermonibus, quos in aliquorum aures insusurrabat, pro haeretico compertus a nobis excommunicatus et mediocritatis nostrae opera convictus est. Unde in speluncam deinceps abscessit, omnium execratione damnatus, et tam a fratribus derelictus quam a plerisque, a quibus necessaria vitae praesidia suppetebant. Ad hunc itaque senem ille, quem dixi, Eutactus, si hoc nomine vocandus est, cum ex Aegypto venisset, ab eoque impiis Cap. I.

*lic.* χαβάρβαριχὰ τὴν πόλιν *cod. Rhedig., et editi libri.* 3. *Libri habent* τοῦ τε τόπου.

*μενος, καὶ μεταλαβὼν τῆς τοῦ γέροντος κακοδιδασκαλίας, ὡς μεγάλην ἐμπορίαν τὸ δηλητήριον τοῦτο λαβὼν, εἰς τὴν ἑαυτοῦ πατρίδα ἐπεκόμισεν. Ἦν γὰρ ἀπὸ τῆς μικρᾶς Ἀρμενίας, ὡς ἔφην, ὁρμώμενος, τῶν Σατάλης πλησίον τόπων. Ἐπανελθὼν εἰς τὴν ἑαυτοῦ πατρίδα πολλοὺς ἔχρανε τῆς αὐτῆς μικρᾶς Ἀρμενίας, προσφθαρεὶς τισι πλουσίοις, συγκλητικῇ τέ τινι, καὶ ἄλλοις περιβλέπτοις, δι' ὧν διαφανῶν ἀνδρῶν πολλοὺς ἐκεῖσε ἀπώλεσε. Τάχιον δὲ αὐτὸν ὁ κύριος τοῦ βίου ἐξήλειψε. πλὴν ὅτι ἔσπειρε τὸ ἑαυτοῦ ζιζάνιον.*

Κεφ. β'. *Καὶ οὗτοι δὲ [1] ὅμως βίβλους ἑαυτοῖς ἐπλαστογράφησάν τινας ἀποκρύφους, ὧν τὰ ὀνόματά ἐστι ταῦτα. Τὸ μὲν γὰρ Συμφωνίαν, μικρὸν δῆθεν βιβλίον καλοῦσι, τὸ δὲ μέγα Συμφωνίαν· ἀλλὰ καὶ ἄλλα τινὰ βιβλία ἑαυτοῖς ἐπισωρεύουσιν, [2] οἷς ἂν συντύχωσιν, ἵνα δόξωσι τὴν ἑαυτῶν πλάνην διὰ πολλῶν [3] βεβαιουμένην συνεισφέρεσθαι. Ἤδη δὲ καὶ τοῖς Ἀλλογενέσι καλουμένοις κέχρηνται· βίβλοι γάρ εἰσιν οὕτω καλούμεναι. Λαμβάνουσι δὲ λαβὰς ἀπὸ τοῦ Ἀναβατικοῦ Ἡσαΐου ἔτι δὲ καὶ ἄλλων τινῶν ἀποκρύφων. Τὸ δὲ πᾶν ἐκ τοῦ Συμφωνία καλουμένου βιβλίου. Ἐν ᾧ ὀγδοάδα τινὰ λέγουσιν εἶναι [4] οὐρανῶν, καὶ ἑβδομάδα, [5] εἶναι δὲ καθ' ἕκαστον οὐρανὸν Ἄρχοντας· καὶ τοὺς μὲν εἶναι τοὺς ἑπτὰ οὐρανοὺς, καθ' ἕνα οὐρανὸν ἕνα Ἄρχοντα, τάξεις δὲ εἶναι ἑκάστῳ Ἄρχοντι, καὶ τὴν Μητέρα τὴν φωτεινὴν ἀνωτάτω ἐν τῷ ὀγδόῳ εἶναι, καθάπερ αἱ ἄλλαι αἱρέσεις. Καί τινες μὲν αὐτῶν κατὰ τὰ σώματα [6] κεχραμμένοι ἀσελγείᾳ τυγχάνουσιν, ἄλλοι δὲ δῆθεν προσποιητὴν νηστείαν ὑποκρίνονται, ἀπατῶσι δὲ τοὺς ἀφελεστέρους ἀνθρώπους προσχήματι μοναζόντων, ἀποταξίαν τινὰ σεμνυνόμενοι. Φασὶ δὲ εἶναι καθ' ἕκαστον οὐρανὸν, ὡς προεῖπον, Ἀρχὴν καὶ Ἐξουσίαν καὶ ἀγγελικάς τινας ὑπηρεσίας, ἑκάστου Ἄρχοντος ἑαυτῷ γεγεννηκότος καὶ πεποιηκότος ὑπηρεσίαν· μὴ εἶναι δὲ σαρκὸς ἀνάστασιν, ἀλλὰ μόνον ψυχῆς. Ἀναθεματίζουσί τε τὸ λουτρὸν, κἄν τε εἶέν τινες ἐν αὐτοῖς προειλημμένοι καὶ βεβαπτισμένοι, τήν τε τῶν μυστηρίων μετοχὴν καὶ*
pag. 293. *ἀγαθότητα ἀθετοῦσιν, ὡς ἀλλοτρίαν οὖσαν, καὶ εἰς ὄνομα Σαβαὼθ γεγενημένην. [7] Τοῦτον γὰρ θέλουσιν εἶναι κατά τινας τῶν ἄλλων αἱρέσεων ἐν τῷ ἑβδόμῳ οὐρανῷ τυραννοῦντα καὶ κατὰ τῶν ἄλλων κατισχύοντα. Βρῶμα δὲ λέγουσιν εἶναι Ἀρχῶν καὶ Ἐξουσιῶν τὴν ψυχήν· ἄνευ δὲ αὐτοῦ μὴ δύνασθαι αὐτοὺς ζῆν, διὰ τὸ ἀπὸ τῆς ἄνωθεν ἰκμάδος αὐτὴν εἶναι καὶ δύναμιν αὐτοῖς παρέχειν, ἐν γνώσει δὲ ταύτην γενομένην, καὶ φυγοῦσαν τὸ βάπτισμα τῆς ἐκκλησίας καὶ τὸ ὄνομα τοῦ Σαβαὼθ τοῦ τὸν νόμον δεδωκότος, ἀνιέναι καθ' ἕκαστον οὐρανὸν, καὶ*

Cap. II. — 1. *Corrigendum videtur* ὁμῶς.

2. οἷς ἂν *mea est emendatio. Libri habent* οἷς ἐὰν.

3. βεβαιουμένην συνεισφέρεσθαι *rescripsi pro* βεβαιοῦν ἐπισυνεισφέρεσθαι, *quod libri habent. Terminatio* ενην *videlicet a vocabulo suo divisa et in* επι *mutata per errorem cum sequente coaluerat verbo* συνεισφέρεσθαι. *Petavius coniecit* βεβαίων.

dogmatibus esset imbutus, talem pestem velut exquisitas merces secum in patriam revexit. Erat haec, ut diximus, Armenia Minor in vicina Satalae regione. Quo cum esset reversus, contagione sua quam plurimos illic infecit. Nam se in locupletum quorundam ac senatorii ordinis feminae, aliorumque primariorum, amicitiam insinuans per eos utpote principes viros infinitis hominibus exitium attulit. Sed eum dominus celeriter e medio sustulit, cum iam zizania sua sparsisset.

Ceterum isti apocryphos quosdam libros finxerunt. E quibus Cap. II.
duo sunt Symphoniae nomine, Maior videlicet ac Minor. Praeter quos nonnullos alios iis quibus cum agunt percensere solent, ut errorem suum multis auctoritatibus affirmare ac probare videantur. Habent et quos *Ἀλλογενεῖς*, hoc est *Alienigenas*, vocant, sic inscriptos libellos. Item ex Anabatico Esaiae, et id genus apocryphis, argumenta depromunt. Sed eo libro cui Symphoniae nomen est uti potissimum solent; in quo coelestes orbes octo vel septem esse definiunt. Horum in singulis residere Principes, ita ut per septenos orbes distributi sint atque unus in quolibet Princeps existat. Certos porro unicuique Principi ordines esse descriptos. Supra quos omnes octavo in coelo lucidam Matrem ceterarum haereseon more constituunt. Sed eorum aliqui foedissimis libidinibus corpora sua contaminant. Alii ieiunia simulantes monachorum specie simplicioribus illudunt, ac se bonorum omnium abdicatione venditant. Iam vero in unoquoque, ut dictum est, coelo Principem et Potestatem cum angelis aliquot apparitoribus collocant. Quemlibet enim Principem suos sibi genuisse ac procreasse satellites. Carnem negant resurgere, idque soli animae tribuunt. Baptismum damnant; tametsi inter eos sint, qui Baptismo antea initiati fuerint. Mysteriorum communionem ac bonitatem repudiant tanquam alienam et in nomine Sabaoth repertam. Hunc enim, ut et aliae quaedam haereses, septimo in orbe versari, ac tyrannidem exercere, praedicant, ceterosque violenter opprimere. Principatuum Potestatumque cibum animam appellant, sine qua vivere illos non posse, quod a coelesti rore procreata vegetet illos ac foveat. Quae cum ad cognitionem pervenerit, ac baptismum ecclesiae nomenque Sabaoth, qui auctor legis est, effugerit, ad singulos evolare coelestes orbes, seque apud

*Cornarius vertit:* — apud se accumulant, quo in congressibus videantur suum errorem per multos confirmare et in medium afferre.

4. οὐρανῶν *rescripsi pro* οὐρανὸν, *quod vulgo extat.*

5. εἶναι *scripsi ex Cornarii atque Petavii emendatione. Libri enim habent* εἰδέναι.

6. κεχραμμένοι *cod. Vatic.* κεχραμμένων *vulgo reperitur.*

7. ταυτὸν *ed. princ.*

*ἀπολογίαν διδόναι ἑκάστῃ Ἐξουσίᾳ, καὶ οὕτως ὑπερβαίνειν πρὸς τὴν ἀνωτέραν Μητέρα καὶ Πατέρα τῶν ὅλων, ὅθεν δὴ κατῆλθεν εἰς τόνδε τὸν κόσμον. Ἤδη δὲ εἶπον ὡς ἀναθεματίζουσι τὸ βάπτισμα, ὡς μυῖαι θανατοῦσαι σαπεριοῦσαι σκευασίαν ἐλαίου ἡδύσματος, ὡς ἐπὶ τούτων καὶ τῶν ὁμοίων αὐτοῖς ἡ παραβολὴ τῷ Ἐκκλησιαστῇ εἴρηται. Μυῖαι γάρ εἰσιν ἀληθῶς θανατοῦσαι καὶ θάνατον ἐμποιοῦσαι καὶ σαπρίζουσαι τὸ μυρεψικὸν ἔλαιον τοῦ ἡδύσματος, τὰ ἅγια τοῦ θεοῦ μυστήρια τὰ ἐν τῷ λουτρῷ ἡμῖν εἰς ἄφεσιν ἁμαρτιῶν κεχαρισμένα.*

Κεφ. γ'. *Θαυμάσειε δ' ἄν τις εὑρὼν καὶ παρὰ τοῖς φυσιολόγοις τινὰ ὠφελείας ἔμπλεα, ἀπεικασθεὶς τῇ τῆς μελίττης συνέσει, τῆς ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα ἐφιζανούσης, τὰ χρήσιμα δὲ ἑαυτῇ ἐπισυναγούσης. Ὁ γὰρ συνετὸς ἄνθρωπος οὐδαμόθεν ζημιοῦται, ἀλλ' ἢ πανταχόθεν κερδαίνει· ἀσύνετος δὲ ζημιωθήσεται, ὡς καὶ ὁ ἅγιος προφήτης λέγει· Τίς συνετὸς καὶ συνήσει ταῦτα; καὶ ὁ λόγος κυρίου ἐστὶ, καὶ γνώσεται αὐτὰ, ὅτι εὐθεῖαι αἱ ὁδοὶ κυρίου, ἀσεβεῖς δὲ ἀσθενήσουσιν ἐν αὐταῖς; Εὕρομεν γὰρ καὶ παρὰ τοῖς καλουμένοις φυσιολόγοις, μᾶλλον δὲ ἡμεῖς αὐτοὶ ὁρῶμεν, ὡς τὸ τῶν κανθάρων γένος τὸ παρά τισι [1] βυλάρον καλούμενον, συνήθειαν ἔχει ἐν τῇ δυσωδίᾳ καὶ κόπρῳ ἀνακυλίεσθαι, καὶ αὕτη αὐτοῖς τροφή τε καὶ ἐργασία, ἄλλοις δὲ τὴν αὐτὴν τούτου βορβορώδη τροφὴν, εἰς μὲν ἐπάχθειαν καὶ δυσοδμίαν. Καὶ μελίσσαις μὲν αὕτη ἡ κόπρος καὶ δυσωδία θάνατος, βυλάροις δέ ἐστιν ἐργασία [2] καὶ τροφὴ καὶ πραγματεία· ταῖς δὲ μελίσσαις τοὐναντίον ἡ εὐοδμία καὶ τὰ ἄνθη καὶ τὰ μύρα εἰς ἀναψυχὴν, κτίσιν τε καὶ ἐδωδὴν, εἰς ἐργασίαν τε καὶ πραγματείαν, τοῖς δὲ κανθάροις τοῖς προειρημένοις,*
pag. 294. *εἴτ' οὖν βυλάροις, ἐναντία τὰ τοιαῦτα. Ὁ γὰρ βουλόμενος τούτους δοκιμάσαι, ὥς φασιν οἱ φυσιολόγοι, ἀπὸ μύρου, φημὶ δὲ ὀποβαλσάμου ἢ νάρδου, λαβὼν καὶ προσενέγκας τοῖς κανθάροις θάνατον αὐτοῖς ἐμποιεῖ. Εὐθὺς γὰρ τελευτῶσι, μὴ φέροντες τὴν εὐωδίαν. Οὕτω καὶ οὗτοι, τῆς μὲν [3] γαλήνης καὶ πορνείας καὶ κακίας ὀρεγόμενοι εἰς τὰ πονηρὰ ἔχουσι τὴν ἑαυτῶν ἐλπίδα, πλησιάσαντες δὲ τῷ ἁγίῳ λουτρῷ καὶ τῇ εὐοδμίᾳ ἀποθνήσκουσιν, εἰς τὸν θεὸν βλασφημοῦντες καὶ τὴν αὐτῶν κυριότητα ἀθετοῦντες.*

Κεφ. δ'. *Ἐκ μιᾶς δὲ ἢ δύο μαρτυριῶν αὐτοὺς ἀνατρέψομεν. Εἰ γὰρ καὶ Ἀρχαὶ καὶ Ἐξουσίαι καλούμεναι, οὐκ ἐκτὸς θεοῦ αὗται γεγόνασι, μάλιστα ἐν τοῖς οὐρανοῖς. Οἶδε γὰρ ἡ γραφὴ λέγειν Ἀγγέλους καὶ Ἀρχαγγέλους οὐκ εἰς ἐναντιότητα τεταγμένους, ἀλλὰ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. Καὶ γὰρ ἐπὶ τῆς γῆς καθ' ἑκάστην βασιλείαν πολλαὶ Ἀρχαὶ, ἀλλὰ ὑπὸ ἕνα βασιλέα. Αἱ γὰρ οὖσαι Ἐξουσίαι ἐκ θεοῦ τεταγμέναι,*

CAP. III. — 1. *Cornarius* pilularium *reddidit hoc scarabaeorum genus.*
2. καὶ τροφὴ *verba, quae absunt ab edit. princ., Petavius ex cod. Vatic. adiecit.*

unamquamque Potestatem excusare, sicque ad supremam Matrem atque omnium pervenire Parentem, a quo in hunc mundum delapsa sit. Diximus baptismum ab illis reiici. *Nam muscae morientes perdunt suavitatem unguenti;* quod de istis eorumque similibus proverbii specie Ecclesiastes pronuntiat. Muscae quippe sunt mortiferae, quae conditum a seplasiariis unguentum inficiunt, divina videlicet mysteria, quae ad peccatorum condonationem nobis in baptismo collata sunt. Eccles. 10, 1.

Enimvero mirari quispiam illud poterit, quam multa in naturalium rerum scriptoribus utilitatis plena reperiat, si apis velit imitari prudentiam, quae flosculis omnibus insidens undecumque sibi utilia colligit. Etenim vir prudens ac perspicax nulla ex re detrimentum capit, sed ex omni occasione lucratur, imprudens contra incommodum ac damnum percipit, uti sanctus propheta testatur: *Quis sapiens, et intelliget haec; et verbum domini est, et cognoscet ista, quoniam rectae viae domini, impii autem infirmabuntur in eis?* Apud illos igitur, quos dixi, naturalium rerum scriptores invenimus, vel ipsimet potius cernimus, scarabaeorum genus, quod a quibusdam Bylarum vocatur, in foetore ac stercore volutari solere, unicumque illis ipsis et alimentum et opus esse, cum aliis dirus ac sordidus ille cibus molestiam ac nauseam pariat. Nam qui apes fimus ac foetor interficit, scarabaeis alimentum ac materiam praebet operis, ut illis flores et odorum fragrantia atque unguentorum suavitas, quibus omnibus ad oblectationem et mellificium ac cibum et operis exercitationem utuntur. Scarabaeis vero longe haec contraria sunt. Qui enim periculum facere voluerit, ut physiologi tradunt, si unguentem, puta opobalsamum aut nardum scarabaeis admoveat, lethum illis afferret. Statim enim suavitate odoris enecantur. Sic haeretici illi stuprorum ac libidinum et nequitiae omnis appetentes pessimis in rebus spem suam collocant, mox autem ut ad sacrum baptismum et fragrantiam illam accesserint, moriuntur, blasphemantes deum ac dominationem eius spernentes. Cap. III. Ose. 14, 10.

Quos quidem uno vel altero testimonio iugulabimus. Nam si quos Principatus ac Potestates vocamus, sine deo minime constituuntur, id in coelis ipsis locum habere maxime debet. Angelos enim et Archangelos scriptura commemorat, non eiusmodi ut contrarii deo sint, sed *Administratorios spiritus ad ministerium missos, propter eos qui hereditatem capiunt salutis.* Si quidem et in terra quodlibet regnum plures habet principatus uni regi subiectos. *Quae enim po-* Cap. IV. Rom. 13, 1. Hebr. 1, 14. Rom. 13, 1 sqq.

3. „Suspecta mihi vox est γαλήνης." *Petavius. Repono* λαγνείας.

ὡς λέγει ὁ ἀπόστολος· ὥςτε οὖν ὁ ἀνθιστάμενος τῇ Ἐξουσίᾳ τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν. Οἱ γὰρ Ἄρχοντες οὔκ εἰσι κατὰ τοῦ ἀγαθοῦ, ἀλλ' ὑπὲρ τοῦ ἀγαθοῦ, καὶ οὔκ εἰσι κατὰ τῆς ἀληθείας, [1] ἀλλ' ὑπὲρ τῆς ἀληθείας. Θέλεις δὲ, φησὶ, τὴν Ἐξουσίαν μὴ φοβεῖσθαι; τὸ [2] ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Οὐ γὰρ εἰκῇ φορεῖ τὴν μάχαιραν· διάκονος γάρ ἐστιν εἰς αὐτὸ τοῦτο ἐκ θεοῦ τεταγμένος τῷ τὸ κακὸν πράττοντι. Καὶ ὁρᾷς ὡς ἡ Ἐξουσία αὕτη ἡ κοσμικὴ ἐκ θεοῦ τέτακται, καὶ μαχαίρας ἔλαβε τὴν Ἐξουσίαν; οὐκ ἀλλαχόθεν δέ ποθεν, ἀλλ' ἐκ θεοῦ, εἰς ἐκδίκησιν. Καὶ οὐ δυνάμεθα λέγειν διὰ τὸ εἶναι Ἀρχὰς καὶ Ἐξουσίας ἐν κόσμῳ τὸν βασιλέα τούτων μὴ εἶναι βασιλέα, ἀλλὰ εἶναι τὰς Ἀρχὰς καὶ τὰς Ἐξουσίας ἐν κόσμῳ, εἶναι δὲ καὶ τὸν τούτων βασιλέα. Ὡς οὖν ἐπὶ γῆς ὁρῶμεν, δέδεικται [3] γὰρ, οὐκ ἐναντίας τὰς ἀρχὰς τῷ βασιλεῖ, ἀλλ' ὑποτεταγμένας εἰς διοίκησιν παντὸς τοῦ βασιλείου, καὶ εἰς εὐταξίαν γῆς, ἔνθα φόνοι καὶ μάχαι, ἄγνοιαί τε καὶ διδασκαλίαι, εὐνομίαι τε καὶ παρανομίαι, καὶ τούτου χάριν εἰσὶν ἐξουσίαι, ἵνα εἰς εὔτακτον σύνταξιν τῆς τοῦ παντὸς κόσμου διοικήσεως τὰ πάντα ἐκ θεοῦ καλῶς καταταχθῇ καὶ οἰκονομηθῇ, οὕτω καὶ ἐν οὐρανῷ, μάλιστα δὲ ἐξαιρέτως ἐκεῖ, ἔνθα οὐ φθόνος, οὐ ζῆλος, οὐ
pag. 295. παρανομία, οὐκ ἐναντιότης, οὐ στάσις, οὐχ ὅρκος, οὐχ ἁρπαγὴ, οὐδέ τι ἕτερον τῶν τοιούτων, Ἐξουσίαι τεταγμέναι εἰσὶ δι' ἄλλην πραγματείαν. Ποίαν δέ φημι, ἀλλ' ἢ διὰ τὸν ῥυθμὸν τοῦ ὕμνου, διὰ τὴν ἄνω ἀκήρατον δοξολογίαν, δι' ἣν ἠθέλησεν ὁ ἄφθονος ἡμῶν θεὸς καὶ βασιλεὺς χαρίσασθαι ἑκάστῳ τῶν ὑπ' αὐτοῦ γεγεννημένων δόξαν προςήκουσαν, ἵνα τῆς αὐτοῦ βασιλείας τὸ φαιδρὸν καὶ [4] ἀκατάληπτον καὶ ἔκπληκτον ἀεὶ δοξάζηται. Σαφῶς τοίνυν ἐκεῖνοι πεπλάνηνται, τὴν χάριν τοῦ θεοῦ ἀγνοήσαντες.

Κεφ. ε'. Φασὶ δὲ οὗτοι, ὡς καὶ ἄνω μοι προδεδήλωται, τὸν διάβολον εἶναι υἱὸν τῆς ἑβδόμης ἐξουσίας, τουτέστι τοῦ Σαβαώθ· εἶναι δὲ τὸν Σαβαὼθ τῶν Ἰουδαίων, τὸν δὲ διάβολον πονηρὸν αὐτοῦ υἱὸν, ὄντα δὲ ἐπὶ τῆς [1] γῆς ἐναντιοῦσθαι τῷ ἰδίῳ πατρί. Καὶ τὸν αὐτοῦ πατέρα μήτε τοιοῦτον εἶναι, μήτε πάλιν εἶναι τὸν ἀκατάληπτον θεὸν, ὃν πατέρα φασὶν, ἀλλὰ ἀριστερᾶς εἶναι ἐξουσίας. Ἕτερον δὲ πάλιν μῦθον λέγουσιν οἱ τοιοῦτοι, ὅτι, [2] φασὶν, ὁ διάβολος ἐλθὼν πρὸς τὴν Εὔαν, συνήφθη αὐτῇ ὡς ἀνὴρ γυναικὶ, καὶ ἐγέννησεν ἐξ αὐτοῦ τόν τε Κάϊν καὶ τὸν Ἄβελ. Διὸ ἐπανέστη ὁ εἷς τῷ ἑνὶ διὰ ζῆλον ὃν εἶχον πρὸς ἀλλήλους,

Cap. IV. — 1. ἀλλ' ὑπὲρ τῆς ἀληθείας, quod non habet ed. princ., Petavius ex cod. Vatic. supplevit.
2. καλὸν cod. Vatic.
3. γὰρ ex cod. Vatic. adieci.
4. ἀκατάληπτον καὶ ἔκπληκτον cod. Vatic. ἀκατάπληκτον editi libri et cod. Rhedig. ἀκατάληκτον suspicatus est Pe-

*testates sunt, a deo ordinatae sunt,* ait apostolus. *Itaque qui potestati resistit, dei ordinationi resistit. Nam principes non sunt contra bonum, sed pro bono; neque sunt contra veritatem, sed pro veritate. Vis autem non timere potestatem? Bonum fac, et habebis laudem ex illa. Non enim sine caussa gladium portat. Dei enim minister ad hoc ipsum adversus scelerate quicpiam gerentem a deo constitutus.* Videsne ut haec mundi potestas a deo stabilita sit, gladiique ius obtineat? Neque vero id aliunde, quam a deo ad vindicandum accipit. Ceterum quod eiusmodi sint in mundo principatus ac potestates, nemo illorum regem propterea regem esse negaverit, sed ita principatus illos ac potestates in mundo esse fatebitur, ut interim illorum esse regem agnoscat. Igitur hoc ipsum, quod in terris accidit, demonstravimus, non esse regi principatus contrarios, sed ad imperii totius administrationem terraeque moderationem subiectos; ubi caedes videlicet ac praelia sint, ignorantiaeque ac disciplinae, observatio denique legum ac transgressio. Cuius rei gratia potestates institutae sunt, ut ad aptam totius orbis compositamque gubernationem praeclare a deo constituantur ac regantur universa. Idem et in coelo quoque contingere necesse est, eoque magis, quod illic nec invidia nec aemulatio, neque legum violatio nec seditio ulla sit, non iusiurandum, non rapina, non aliquid eiusmodi. Quare alterius negotii caussa Potestates stabilitae sunt. Cuiusnam vero? Nimirum propter divinarum laudum concentum et immortalem illam numinis praedicationem. Cuius gratia summus ille deus ac princeps omnis expers invidiae suum cuique illorum, quos produxit, ornamentum ac decus attribuit, ut imperii sui splendor atque sempiterna dignitas perpetuo celebretur. Quocirca vehementer errant isti qui dei gratiam ignorant.

Illud vero insuper affirmant, quod a me antea dictum est, diabolum septimae Potestatis, hoc est Sabaoth, esse filium. Sabaoth porro Iudaeorum esse deum, cuius malus filius sit diabolus: qui in terra consistens parenti suo reluctetur. Eundem vero parentem neque eiusmodi, hoc est malum, esse, neque deum tamen illum esse qui comprehendi nequeat, sed ad sinistram Potestatem pertinere. Addunt et aliam istiusmodi fabulam: diabolum ad Evam accedentem cum ea perinde ac vir cum muliere solet consuetudinem habuisse, deque ea Cainum et Abelum suscepisse. Ex quo factum asserunt ut in alterum unus insurgeret, pro ea videlicet invidia qua in se mutuo Cap. V.

*tavius.*

Cap. V. — 1. γῆς, *quod desideratur in cod. Rhedig. et editis libris, adieci ex cod. Vaticano.*

2. *Vulgo* φησὶν.

ὡς λέγει ὁ ἀπόστολος· ὥςτε οὖν ὁ ἀνθιστάμενος τῇ Ἐξουσίᾳ τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν. Οἱ γὰρ Ἄρχοντες οὔκ εἰσι κατὰ τοῦ ἀγαθοῦ, ἀλλ' ὑπὲρ τοῦ ἀγαθοῦ, καὶ οὔκ εἰσι κατὰ τῆς ἀληθείας, [1] ἀλλ' ὑπὲρ τῆς ἀληθείας. Θέλεις δὲ, φησὶ, τὴν Ἐξουσίαν μὴ φοβεῖσθαι; τὸ [2] ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Οὐ γὰρ εἰκῇ φορεῖ τὴν μάχαιραν· διάκονος γάρ ἐστιν εἰς αὐτὸ τοῦτο ἐκ θεοῦ τεταγμένος τῷ τὸ κακὸν πράττοντι. Καὶ ὁρᾷς ὡς ἡ Ἐξουσία αὕτη ἡ κοσμικὴ ἐκ θεοῦ τέτακται, καὶ μαχαίρας ἔλαβε τὴν Ἐξουσίαν; οὐκ ἀλλαχόθεν δέ ποθεν, ἀλλ' ἐκ θεοῦ, εἰς ἐκδίκησιν. Καὶ οὐ δυνάμεθα λέγειν διὰ τὸ εἶναι Ἀρχὰς καὶ Ἐξουσίας ἐν κόσμῳ τὸν βασιλέα τούτων μὴ εἶναι βασιλέα, ἀλλὰ εἶναι τὰς Ἀρχὰς καὶ τὰς Ἐξουσίας ἐν κόσμῳ, εἶναι δὲ καὶ τὸν τούτων βασιλέα. Ὡς οὖν ἐπὶ γῆς ὁρῶμεν, δέδεικται [3] γὰρ, οὐκ ἐναντίας τὰς ἀρχὰς τῷ βασιλεῖ, ἀλλ' ὑποτεταγμένας εἰς διοίκησιν παντὸς τοῦ βασιλείου, καὶ εἰς εὐταξίαν γῆς, ἔνθα φόνοι καὶ μάχαι, ἄγνοιαί τε καὶ διδασκαλίαι, εὐνομίαι τε καὶ παρανομίαι, καὶ τούτου χάριν εἰσὶν ἐξουσίαι, ἵνα εἰς εὔτακτον σύνταξιν τῆς τοῦ παντὸς κόσμου διοικήσεως τὰ πάντα ἐκ θεοῦ καλῶς καταταχθῇ καὶ οἰκονομηθῇ, οὕτω καὶ ἐν οὐρανῷ, μάλιστα δὲ ἐξαιρέτως ἐκεῖ, ἔνθα οὐ φθόνος, οὐ ζῆλος, οὐ
pag. 285. παρανομία, οὐκ ἐναντιότης, οὐ στάσις, οὐχ ὅρκος, οὐχ ἁρπαγὴ, οὐδέ τι ἕτερον τῶν τοιούτων, Ἐξουσίαι τεταγμέναι εἰσὶ δι' ἄλλην πραγματείαν. Ποίαν δέ φημι, ἀλλ' ἢ διὰ τὸν ῥυθμὸν τοῦ ὕμνου, διὰ τὴν ἄνω ἀκήρατον δοξολογίαν, δι' ἣν ἠθέλησεν ὁ ἄφθονος ἡμῶν θεὸς καὶ βασιλεὺς χαρίσασθαι ἑκάστῳ τῶν ὑπ' αὐτοῦ γεγεννημένων δόξαν προςήκουσαν, ἵνα τῆς αὐτοῦ βασιλείας τὸ φαιδρὸν καὶ [4] ἀκατάληπτον καὶ ἔκπληκτον ἀεὶ δοξάζηται. Σαφῶς τοίνυν ἐκεῖνοι πεπλάνηνται, τὴν χάριν τοῦ θεοῦ ἀγνοήσαντες.

Κεφ. ε'. Φασὶ δὲ οὗτοι, ὡς καὶ ἄνω μοι προδεδήλωται, τὸν διάβολον εἶναι υἱὸν τῆς ἑβδόμης ἐξουσίας, τουτέστι τοῦ Σαβαώθ· εἶναι δὲ τὸν Σαβαὼθ τῶν Ἰουδαίων, τὸν δὲ διάβολον πονηρὸν αὐτοῦ υἱὸν, ὄντα δὲ ἐπὶ τῆς [1] γῆς ἐναντιοῦσθαι τῷ ἰδίῳ πατρί. Καὶ τὸν αὐτοῦ πατέρα μήτε τοιοῦτον εἶναι, μήτε πάλιν εἶναι τὸν ἀκατάληπτον θεὸν, ὃν πατέρα φασὶν, ἀλλὰ ἀριστερᾶς εἶναι ἐξουσίας. Ἕτερον δὲ πάλιν μῦθον λέγουσιν οἱ τοιοῦτοι, ὅτι, [2] φασὶν, ὁ διάβολος ἐλθὼν πρὸς τὴν Εὔαν [illegible] αὐτῇ ὡς ἀνὴρ γυναικὶ, καὶ ἐγέννησεν ἐξ αὐτοῦ τόν τε [illegible] Ἄβελ. Διὸ ἐπανέστη ὁ εἷς τῷ ἑνὶ διὰ ζῆλον ὃν εἶχον

Cap. IV. — 1. ἀλλ' ὑπὲρ τῆς ἀληθείας, quod non habet ed. princ., Petavius ex cod. Vatic. supplevit.
2. χαλὸν cod. Vatic.
3. γὰρ ex c[illegible]
4. ἀκατάλ[illegible] Vatic. ἀκατ[illegible] Rhedig. ἀκ[illegible]

concitabantur, ac non ideo quod Abelus deo esset acceptior, uti sese res habet, sed novo quodam mendacio veritatem dissimulant. Ambos enim aiunt sororis amore flagrasse. Ideo Cainum in Abelum concitatum ipsum interemisse. Nam utrumque diaboli e stirpe procreatum ut diximus, affirmant. Nec desunt illis testimonia sacris e literis deprompta, quibus ad illudendos homines abutuntur. Cuiusmodi istud est in alia a me haeresi commemoratum, quod Iudaeis salvator dixit: *Vos ex Satana estis:* et, *Quando loquitur mendacium,* Ioann. 8, 44.
*ex propriis loquitur, quoniam et pater eius mendax est.* Ut nimirum diabolum esse Cainum efficiant, ex eo quod dixerit, *Homicida est ab initio,* atque patrem eius esse diabolum ostendant, diaboli vero patrem mendacem illum principem, quem in caput suum blasphemantes ipsum esse Sabaoth stolidissimi homines putant, quod nomen dei cuiusdam proprium esse volunt. De quà re in superioribus haeresibus abunde disputavimus; ubi et Sabaoth aliorumque nominum interpretationem attulimus, velut *Eli* et *Eloi, Israel, Sadadai, Ellion, Rabboni, Ia, Adonai, Iabe.* Quas quidem voces si recte interpretemur, varias ad praedicandam dei gloriam appellationes esse, non ipsi divinitati significandae imposita nomina docuimus. Ac nos illas iterum hoc loco repetemus. Est igitur *Israel* Deus, *Eloim* Deus semper, *Eli* Deus meus, *Saddai* sufficiens, *Rabboni* Dominus, *Ia* Dominus, *Adonai* Qui est dominus, *Iabe* Qui erat et est et semper existit, quemadmodum Moysi ipse declarat: *Qui est misit me ad vos,* Exod. 3, 14.
*dices ad illos; Ellion* Altissimum sonat, *Sabaoth* Exercituum. Quare *Dominus Sabaoth* idem est ac Dominus exercituum. Quae vox *Dominus* addi perpetuo solet ubicumque Sabaoth nomen exprimitur. Non enim sola Sabaoth dictio ponitur, puta, Dixit mihi Sabaoth, aut, Locutus est Sabaoth, sed statim adiungitur, Dominus Sabaoth. Ita enim Hebraice scriptum, *Adonai Sabaoth,* hoc est Dominus Sabaoth.

Sed quae praeclare omnino dicta sunt, haec ab illis et illorum Cap. VI.
similibus frustra prae animi caecitate per calumniam ac malitiam depravantur. Etenim salvator noster in eo quem ad Iudaeos habuit sermone nequaquam de diabolo locutus est, ut nemo non aperte videt qui inhaerere veritati studeat, sed propter Iudam id ab eo usurpatum est. Non enim Abraami filii erant qui se antequam carnem indueret sub illa Mambre quercu olim exceperat, sed perfidiae Iudae filios, ut ita dicam, sua se sententia declaraverant, quem dominus

*rent* πρόςκειται.

8. ἤ οὐ μόνον *putabat Petavius.*

9. *Verba* Οὕτω γὰρ ἡ Ἑβραΐς φάσκει· Ἀδωναΐ Σαβαώθ, *quae non comparent in edit. princ., Petavius ex cod. Vatic. adiecit.*

Cap. VI. — 1. μάτην *Petavii est emendatio. Libri habent* μετὰ τὴν.

μένου, ὡς λέγει, Οὐχὶ δώδεκα ὑμᾶς ἐξελεξάμην, καὶ εἷς ἐξ ὑμῶν ἐστι διάβολος; Καὶ τούτου ἕνεκα τὰ τῆς αὐτοῦ κακοτροπίας ὁ κύριος ἑρμηνεύων ἔλεγεν ὅτι, Ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ. ²Ὡς καὶ ἀλλαχοῦ τὸ εὐαγγέλιον λέγει, Ὅτι κλέπτης ἦν, καὶ τὸ γλωσσόκομον αὐτὸς ἐβάσταζεν. Οὗτος οὖν ὁ διάβολος κληθεὶς Ἰούδας πατέρα ἔσχε τὸν Κάϊν, διὰ ψεύδους ἀπατήσαντα τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ, καὶ ἀποκτείναντα· ὃς καὶ ἐρωτώμενος ὑπὸ τοῦ κυρίου, Ποῦ Ἄβελ ὁ ἀδελφός σου; ψευδόμενος ἔλεγεν, Οὐκ οἶδα. Εἰκότως οὖν καὶ οὗτος τὸν φύσει διάβολον μιμησάμενος τοῖς τρόποις υἱὸς αὐτοῦ κατ' ἀξίαν ἀνηγόρευται ὑπὸ τοῦ σωτῆρος. Ὧι γὰρ ἥττηταί τις, τούτῳ καὶ δεδούλωται. Καὶ ἡμῶν δὲ ἕκαστος ὁτιοῦν ἂν ἐπιτελέσῃ, τοὺς τοῦτο προτετε-
pag. 287. λεκότας πατέρας ἕξει μιμησάμενος. Σαφῶς τοίνυν ἐφράσθη ἡ παρὰ τοῦ κυρίου λεχθεῖσα ῥῆσις ὅτι, Ὑμεῖς τέκνα ἐστὲ τοῦ διαβόλου, καὶ πάλιν, Ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ὁ πατὴρ αὐτοῦ ψεύστης ἐστίν· ἵνα εἴπῃ Ἰούδαν καὶ Κάϊν, εἶτα, Καὶ γὰρ ὁ πατὴρ αὐτοῦ ψεύστης ἐστὶν, ἵνα εἴπῃ αὐτὸν τὸν διάβολον, διὰ τὰ ὁμοίως πεπραγματευμένα ἑκάστῳ τούτων. Ἐμπνεύσας γὰρ ἐν στόματι τοῦ ὄφεως ψευδῆ πάντα λελάληκεν ὁ διάβολος, καὶ οὕτως τότε ἐξηπάτησε τὴν Εὔαν. Καὶ ἀνῄρηται παρὰ τούτοις ἡ πεπλανημένη μυθοποιΐα, κἂν λέγει ἡ γραφὴ ὡς ὁ Κάϊν ἀπέκτεινε τὸν ἀδελφὸν αὐτοῦ ὅτι ἐκ τοῦ διαβόλου ἦν. Ἐδείχθη γὰρ παντάπασιν οὐχὶ διὰ τὸ τὴν Εὔαν ἐκ τοῦ σπέρματος τοῦ διαβόλου συλλαβοῦσαν, ὡς κατὰ συζυγίαν γάμου καὶ συνάφειαν σωμάτων, γεγεννηκέναι τὸν Κάϊν καὶ τὸν Ἄβελ, ὡς τούτοις ἔδοξεν, ἀλλὰ διὰ τὸ ὁμότροπον καὶ μίμημα τῆς τοῦ διαβόλου κακοτροπίας υἱὸς αὐτοῦ ἤκουσε.

Κεφ. ζ'. Πάλιν δὲ λέγουσιν οἱ αὐτοὶ τὸν Ἀδὰμ συναφθέντα τῇ Εὔᾳ τῇ ἰδίᾳ γαμετῇ γεγεννηκέναι τὸν Σήθ, φύσει ἴδιον αὐτοῦ υἱόν. Καὶ τότε φασὶ τὴν ἄνω Δύναμιν σὺν τοῖς ὑπουργοῖς τοῦ ἀγαθοῦ θεοῦ ἀγγέλοις καταβεβηκέναι, καὶ ἡρπακέναι αὐτὸν τὸν Σήθ, ὃν καὶ ἀλλογενῆ καλοῦσι, καὶ ἀνενηνοχέναι ἄνω που, καὶ ἀναθρέψαι χρόνῳ ἱκανῷ, ἵνα μὴ ἀποκτανθῇ, καὶ μετὰ χρόνον πολὺν κατενηνοχέναι εἰς τόνδε τὸν κόσμον, καὶ πνευματικὸν ἀπεργάσασθαι αὐτὸν καὶ σωματικὸν, εἰς τὸ μὴ κατισχύειν [1] αὐτόν τε κατ' αὐτοῦ καὶ τὰς ἄλλας Ἐξουσίας καὶ Ἀρχὰς τοῦ κοσμοποιοῦ θεοῦ. Μηκέτι δὲ αὐτόν φασι λελατρευκέναι τῷ ποιητῇ τε καὶ Δημιουργῷ, ἐπεγνωκέναι δὲ τὴν ἀκατονόμαστον Δύναμιν, καὶ τὸν ἄνω ἀγαθὸν θεόν· τούτῳ λελατρευκέναι, καὶ κατὰ τοῦ ποιητοῦ τοῦ κόσμου καὶ Ἀρχῶν καὶ Ἐξουσιῶν πολλὰ ἀποκεκαλυφέναι. Ὧι δὴ καὶ

2. ὡς καὶ cod. Vatic., et inde Petav. καὶ ὡς edit. princ.

Cap. VII. — 1. αὐτόν τε κατ' αὐτοῦ rescripsi pro τόν τε κατ' αὐτοῦ, quod libri praebent, idque voluisse Cornarium video, qui vertit: ut non posset contra

Satanam ac Diabolum nominat, his verbis: *Nonne duodecim vos elegi,* Ioann. 6, 70.
*et unus ex vobis diabolus est?* Cuius etiam rei caussa dominus eiusdem improbitatem exaggerans: *Cum loquitur*, inquit, *mendacium, de propriis loquitur*. Quo pertinet illud, quod in alio evangelii loco scriptum est: *Quoniam fur erat, et loculos portabat.* Hic igitur Dia- Ioann. 12, 6.
boli insignitus nomine Iudas Cainum patrem habuit qui Abelum fratrem mendacio suo circumscripsit et occidit. Qui etiam interroganti domino, *Ubi est Abel frater tuus?* mentitus respondit, *Nescio.* Me- Gen. 4, 9.
rito itaque etiam iste qui verum diabolum moribus est imitatus, eius filius domini ore pronuntiatur. A quo enim quisque superatus est, ei et servit. Ac nos adeo quodcumque demum egerimus, eos patres habebimus, quorum exempla iisdem factis expressimus. Quocirca perspicue iam illa domini est declarata sententia: *Vos estis filii diaboli;* item, *Cum loquitur mendacium ex propriis loquitur, quoniam pater eius mendax est.* Quibus verbis Iudam et Cainum intelligit. Illud vero, *Nam et pater eius mendax est,* ad diabolum referendum est, quod ad eius imitationem ab illis sint perpetrata nonnulla. Siquidem per os serpentis inspirans diabolus falsa omnia locutus est, sicque tunc Evam fefellit. Atque hunc in modum tota ab istis conficta fabula penitus evanescit. Quod vero de Caino scriptura testatur, illum fratrem occidisse suum, quod esset ex diabolo, id omnino demonstratum est, non ex diaboli satu conceptum ab Eva fuisse fetum aliquem, ita ut velut coniugio quodam congressis copulatisque corporibus Cainum et Abelum pepererit, ut istis placuit, sed ob morum similitudinem expressamque imitatione diaboli nequitiam filium eius appellari.

Quin illud etiam ab istis asseritur: Adamum ex Eva coniuge Cap. VII.
Sethum germanam suscepisse sobolem. Tum vero supremam illam Virtutem ferunt cum administris dei melioris angelis delapsam Sethum ipsum rapuisse, quem et Ἀλλογενῆ, hoc est *Alienigenam*, vocant. Quem cum sursum aliquem in locum sustulisset, ac diuturno tempore, ne forte interficeretur, aluisset, longo demum intervallo in hunc orbem intulisse, simulque et spiritalem et corporeum reddidisse, ne a Caino, vel ceteris conditoris mundi Potestatibus ac Principatibus opprimeretur. Eundem porro creatorem atque opificem desiisse venerari, et illam agnovisse Virtutem quae nullo comprehendi nomine potest, nec non adversus auctorem mundi eiusque Principatus et Potestates pleraque detexisse. Hinc etiam libros aliquot

ipsum praevalere neque ipse neque aliae potestates ac principatus mundi fabricatoris. *Petavius nomen* Κάϊν *restituendum esse suspicatus est.*

*βίβλους τινὰς ἐξετύπωσαν εἰς ὄνομα αὐτοῦ τοῦ Σὴθ γεγραμμένας, παρ' αὐτοῦ αὐτὰς δεδόσθαι λέγοντες, ἄλλας δὲ εἰς ὄνομα αὐτοῦ καὶ τῶν ἑπτὰ υἱῶν αὐτοῦ. Φασὶ γὰρ αὐτὸν γεγεννηκέναι ἑπτὰ Ἀλλογενεῖς καλουμένους, ὡς καὶ ἐν ἄλλαις αἱρέσεσιν εἰρήκαμεν, Γνωστικῶν φημι καὶ Σηθιανῶν. Οὗτοι δὲ καὶ ἄλλους προφήτας φασὶν εἶναι, Μαρτιάδην τινὰ καὶ Μαρσιανὸν, ἁρπαγέντας εἰς τοὺς οὐρανοὺς, καὶ διὰ ἡμερῶν τριῶν καταβεβηκότας. Καὶ πολλά ἐστιν ἃ μυθοποιοῦντες πλαστῶς ἐκ-*
pag. 238. *τυποῦσι, βλάσφημά τε πλάττοντες κατὰ τοῦ ὄντος θεοῦ παντοκράτορος, πατρὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὡς Ἄρχοντος ὄντος καὶ πονηρίας εὑρετοῦ, ὡς ἀπ' αὐτῶν τῶν παρ' αὐτοῖς λόγων ἁλίσκονται. Εἰ γὰρ πονηρῶν ἐστιν εὑρετὴς καὶ κακοποιὸς, πῶς εὐθὺς οὐκ ἀγαθὸς εὑρεθείη, ὡς καὶ ἐν ταῖς ἄλλαις αἱρέσεσιν εἴπαμεν, κατὰ πορνείας καὶ μοιχείας καὶ ἁρπαγῆς καὶ πλεονεξίας νομοθετήσας; Θεὸν γὰρ αὐτὸν τῶν Ἰουδαίων καὶ αὐτοὶ λέγουσι, τοῖς Ἰουδαίοις δὲ τὸν νόμον ἔδωκεν, ἐν ᾧ πάντα ταῦτα ἀπηγόρευσεν ὧν εὑρετὴν αὐτὸν λέγουσιν εἶναι. Πῶς δὲ πατὴρ τοῦ Σατανᾶ κληθείη ὁ κατ' αὐτοῦ τὰ τοσαῦτα ὑποδείξας; Καὶ εἰ ἀλλότριός ἐστι τοῦ ἄνω παρ' αὐτοῖς λεγομένου θεοῦ, καὶ οὐκ αὐτός ἐστιν ὁ θεὸς ὁ παντοκράτωρ, ὁ βασιλεὺς καὶ κύριος [2] ἡμῶν, ὁ ἐν νόμῳ καὶ ἐν εὐαγγελίοις καὶ ἐν προφήταις καὶ ἀποστόλοις αὐτὸς θεὸς κύριος, πατὴρ δὲ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὡς αὐτὸς διδάσκει σαφῶς ἡμᾶς ὁ κύριος ἐν εὐαγγελίῳ, λέγων, Εὐχαριστῶ σοι, πάτερ, κύριε οὐρανῶν καὶ γῆς, ἵνα δείξῃ τὸν αὐτοῦ πατέρα θεὸν τῶν πάντων.*

Κεφ. η'. *Καὶ περὶ νεκρῶν ἀναστάσεως ὑποφαίνων ἔσεσθαι πάλιν φησὶ, Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Ναὸν δὲ ἔλεγε τὸ ἴδιον σῶμα, λυόμενον μὲν διὰ χειρῶν ἀνθρώπων, τουτέστιν ἀποκτεινόμενον. Τὸ δὲ μὴ ὂν σῶμα, ἀλλὰ δοκήσει φαινόμενον, ὡς οὗτοι πάλιν λέγουσιν, οὐκ ἂν ἠδύνατο εἰς χεῖρας ἔρχεσθαι, ἐγείρεσθαί τε τῇ τρίτῃ ἡμέρᾳ, καθὼς ἐπηγγείλατο. Δέδεικται τοίνυν σαφῶς διὰ τῆς τοιαύτης οἰκονομίας ἀναντίρρητος ἡ τῶν νεκρῶν ἀνάστασις· καὶ οὔτε χρεία ἐστὶν ἀπολογίας τῇ ψυχῇ, ἵνα λαλήσῃ πρὸς ἑκάστην Ἐξουσίαν (πλάττονται γὰρ οὗτοι καὶ τοῦτο, ὡς εἴρηται), ἀλλὰ [1] διὰ τῆς τοῦ κυρίου εὐεργεσίας τῆς διὰ τῶν ἔργων καὶ τῆς πίστεως συνισταμένης, ὡς λέγει ὁ ἁγιώτατος Παῦλος, γράφων Τιμοθέῳ διὰ τούτων τῶν λόγων· Ὅπως γινώσκοις πῶς δεῖ ἐν οἴκῳ κυρίου περιπατεῖν, ἥτις ἐστὶν ἐκκλησία θεοῦ τοῦ ζῶντος, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας, ἣν οἱ πολλοὶ ἀφέντες εἰς μύθους καὶ μωρολογίας ἐξετράπησαν, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται· ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης. Ἀλλὰ καὶ ἐν τῇ δευτέρᾳ ἐπιστολῇ Ὑμέναιον καὶ Φιλητὸν*

2. *Post* ἡμῶν *in libris vulgo reperitur iam a Petavio uncinis notata, plane insertum* Ἰησοῦς Χριστὸς, *quae verba, lenda iudicavi.*

ediderunt Sethi nomine inscriptos, quos ab eo traditos ac relictos affirmant. Item alios cum illius, tum septem eius liberorum nomine. Totidem enim ab eo procreatos volunt, quos *Ἀλλογενεῖς* nominant, ut in aliis haeresibus, Gnosticorum scilicet ac Sethianorum ostendimus. Ceterum isti prophetas alios commemorant, Martiadem nescio quem et Marsianum, quos in coelum raptos tertio die descendisse fingunt. Addunt et alias plerasque commentitias ac ridiculas fabulas, et in verum atque omnipotentem deum patrem domini nostri Iesu Christi contumeliose multa iactitant. Principem hunc et inventorem omnis esse nequitiae, ut vel ipsa sua confessione iugulentur. Nam si malorum inventor is ac maleficus est, nonne bonus vel eo ipso comprobabitur, ut aliis haeresibus obiecimus, quod contra stupra, adulteria, rapinas ac cupiditates et iniurias decreta multa condiderit? Nam Iudaeorum illum esse deum utique confitentur. Iudaeis porro legem illam tulit, qua sunt ea omnia prohibita quorum inventor ab illis asseritur. Satanae vero pater qui demum appellari potest, qui tam multa adversus illum ediderit, si ab illo summo, quem deum nominant, alienus est, nec idem est omnipotens ille deus, rex et dominus noster, qui in lege et evangeliis ac prophetis, et ab apostolis celebratur, *Dominus deus, ac pater domini nostri Iesu Chri-* 2. Cor. 11, 31.
*sti?* ut idem aperte Christus in evangelio testatur his verbis: *Confi-* Matth. 11, 25.
*teor tibi, pater, domine coeli ac terrae,* quibus patrem suum universorum deum esse significat?

Mortuorum vero resurrectionem aperte futuram denuntiat, cum Cap. VIII.
ita loquitur: *Solvite templum hoc, et in tribus diebus excitabo illud.* Ioann. 2, 19.
Templum enim corpus suum vocabat, quod hominum manibus evertebatur, hoc est interficiebatur. Nam quod verum corpus non esset, sed specie duntaxat appareret, cuiusmodi illi fuisse statuunt, nequaquam hostium in manus venire, aut, ut pollicebatur, excitari die tertia potuisset. Haec igitur dei administratio perspicue declarat, mortuos ad vitam sine ulla controversia restitui, nec animae purgatione ulla opus esse, aut apud singulas potestates caussam illi suam esse perorandam, quod isti, uti dictum est, temere praedicant, sed uno dei beneficio duntaxat indigere, quo cum fide recte facta coniungat, ut ad Timotheum scribens apostolus hisce verbis testatur:
*Ut scias quomodo te oporteat in domo dei ambulare, quae est ecclesia* 1. Tim. 3, 15.
*dei vivi, columna et firmamentum veritatis: Quam multi relinquentes* 2. Tim. 4, 4.
*ad fabulas et ineptias diverterunt: Non intelligentes nec quae dicunt,* 1. Tim. 1, 7.
*nec de quibus affirmant: Ex quibus est Phygellus et Hermogenes.* Sed 2. Tim. 1, 15.
et in secunda epistola Hymenaeum ac Philetum excidisse a veritate

Cap. VIII. — 1. *Rescribendum arbitror* ἀλλὰ δεῖ τῆς τοῦ κυρίου *cett.*

*περὶ τὴν ἀλήθειαν ἠστοχηκέναι λέγει, οἵτινες καὶ αὐτοὶ τῇ αἱρέσει ἐξη-*
pag. 299. *κολούθησαν, ἄλλον θεὸν καταγγέλλοντες, καὶ γενεαλογίας ἀπεράντους, καὶ πλάνην ἐπισπείροντες τοῖς ἀνθρώποις, καὶ λέγοντες μὴ ἐκ θεοῦ γεγενῆσθαι τὸν κόσμον, ἀλλὰ ὑπὸ Ἀρχῶν καὶ Ἐξουσιῶν, τὴν δὲ ἀνάστασιν ἤδη γεγενῆσθαι, διὰ τῶν γενομένων τέκνων ὑπὸ ἑκάστου τῶν γεννώντων, τὴν δὲ τῶν νεκρῶν οὐ λέγουσιν ἔσεσθαι. Καὶ ὁρᾶτε, ἀδελφοί, τὸν χαρακτῆρα τῆς ἀληθείας, καὶ τὸν ἔλεγχον τῆς τούτων παρανομίας.*

*Ὑπολαμβάνω δὲ καὶ περὶ τούτων ἱκανῶς εἰρῆσθαι. Ὅθεν ταύτην παραλιπὼν ἐπὶ τὰς ἑξῆς τὴν πορείαν ποιήσομαι, ἐκεῖνο μόνον εἰπών, ὡς πάνυ φαίνεται ἐοικυῖα αὕτη διὰ τῆς πολυωνύμου Ἀρχοντικῆς ὀνομασίας τῇ πολυπλόκῳ ἑρπετώδῃ κακοηθείᾳ. Τρόπον γάρ τινα ἐκ πολλῶν ἑρπετῶν ἀναμὶξ τῆς ἑαυτῶν πλάνης συνηγμένη ἐστὶν ἡ ἰοβολία· οἷον τὸ θρασὺ ἔχουσα τοῦ δράκοντος, τὸ δολερὸν τοῦ [2] φυσάλου, τὴν ἀνθέλκυσιν τῆς πνοῆς τοῦ [3] βαίτωνος, τὸ γαῦρον τοῦ ἀκοντίου, τὸ προπετὲς τοῦ ὀστρακίτου. Τούτων δὲ πάντων τὴν κεφαλὴν καταπατήσαντες τῇ τῆς ἀληθείας ὑποθέσει ἐπὶ τὰς λοιπὰς διέλθωμεν, ἐπιπόθητοι, τὴν ἑκάστης πλάνην ἀποκαλύψαι ἐν θεῷ πειρώμενοι.*

## ΚΑΤΑ ΚΕΡΔΩΝΙΑΝΩΝ,
εἰκοστὴ πρώτη, ἡ καὶ τεσσαρακοστὴ πρώτη.

Κεφ. α'. *Κέρδων τις τούτους καὶ τὸν Ἡρακλέωνα διαδέχεται, ἐκ τῆς αὐτῶν σχολῆς ὤν, ἀπὸ Σίμωνός τε καὶ Σατορνίλου λαβὼν τὰς προφάσεις. Οὗτος μετανάστης γίνεται ἀπὸ τῆς Συρίας, καὶ ἐπὶ τὴν Ῥώμην ἐλθὼν λυμεών τις πέφηνεν ἑαυτῷ τε καὶ τοῖς αὐτῷ πειθομένοις ὁ ἐλεεινότατος. Ἐλεεινὴ γὰρ ἡ φύσις τῶν ἀνθρώπων, ὅταν καταλείψασα τὴν τοῦ θεοῦ ὁδὸν πλανᾶται, καὶ ἀπὸ τῆς τοῦ θεοῦ κλήσεως ἑαυτὴν ἀφορίσασα. Συμβέβηκε γὰρ τοῖς τοιούτοις ἡ τοῦ κυνὸς παροιμία, ὃς τῇ σκιᾷ προσέχων οὗ κατεῖχεν ἐν τῷ στόματι, ἐμβλέπων εἰς ὕδωρ καὶ νομίσας τῷ ὕδατι σκιὰν μείζονα εἶναι τῆς ἐν τῷ στόματι αὐτοῦ ἐδωδῆς, ἀνοίξας τὸ στόμα καὶ τὴν οὖσαν ἀπώλεσεν. Οὕτω καὶ οὗτοι τὴν ὁδὸν εὑρόντες, καὶ βουλόμενοι σκιᾶς περιγενέσθαι τῆς ἐν τῇ ὑπονοίᾳ αὐτῶν*
pag. 300. *γενομένης, τὴν οὖσαν ἐν τῷ στόματι αὐτῶν, ὡς εἰπεῖν, ἐκ θεοῦ τροφὴν κεχαρισμένην οὐ μόνον ἀπώλεσαν, ἀλλὰ καὶ ὄλεθρον ἑαυτοῖς ἐπεσπάσαντο.*

*Οὗτος τοίνυν ὁ Κέρδων ἐν χρόνοις Ὑγίνου γέγονεν ἐπισκόπου*

2. *Hoc serpentis genus commemorat etiam haer.* 50, 3.

scribit; qui quidem et ipsi in haeresin prolapsi sunt, alium praedicantes deum, ac genealogias interminabiles, erroremque inter homines disseminantes, cum a deo negarent fabricatum esse mundum, sed a Principatibus ac Potestatibus conditum assererent, resurrectionem demum accidisse iam dicerent, illis ipsis producendis liberis quos parentum quisque genuisset, nec aliam mortuorum expectandam esse resurrectionem. Vos autem quaeso, fratres, animadvertite cuiusmodi propria sit veritatis nota, et ad illorum convincendam improbitatem certa ratio.

Equidem satis superque adversus illos disputatum a me esse iudico. Quare hac omissa reliquas persequar, et id unum attexam, illam mihi haeresin ob multiplicem Archonticorum appellationem variae ac perplexae serpentum improbitati quam simillimam videri. Nescio enim quo pacto sic tanquam multis ex anguibus confusis in unum ac promiscuis pestiferi illius erroris venena conflata sunt. Ut in illis partim draconis insit audacia, partim physali calliditas, partim spiritus quae est in baetone suppressio, partim aconitae agilitas, partim ostracitae prona lubricitas. Quorum omnium eliso capite ac veritatis doctrina contrito ad reliquas transibimus, ac singularum falsitatem arguere deo opitulante conabimur.

## ADVERSUS CERDONIANOS,
### quae est haeresis XXI., sive XLI.

Tam his quam Heracleoni quidam Cerdo successit, ab eadem schola profectus, et a Simone ac Saturnilo erroris nactus initia. Qui cum e Syria Romam peregrinandi caussa miser accessisset, sui iuxta ac sectatorum suorum labes quaedam ac pernicies fuit. Miserrima quippe tunc est hominum natura, cum dei viam relinquens, et a divina se vocatione segregans, longius aberrat. Quibus illud de canis fabulas contingit, qui in eius quod in ore gestabat umbram intentus, et in aquam despiciens, dum eodem cibo quem mordicus ferebat maiorem umbram esse suspicatur, diducto rictu illum ipsum qui verus erat perdidit. Sic illi reperta via, dum eius umbrae quam in falsa opinione circumferunt compotes fieri student, non modo divinitus concessum illud quod ore, ut ita dixerim, ferunt, alimentum amiserunt, sed insuper exitium sibi ipsis attulerunt. Cap. I.

Igitur Cerdo Hygini papae temporibus fuit, qui in apostolorum

3. βαίτων *idem videtur esse qui appellatur* βέων *haer.* 50, 3.

τοῦ [1] ἔνατον κλῆρον ἄγοντος ἀπὸ τῆς τῶν περὶ Ἰάκωβον καὶ Πέτρον καὶ Παῦλον ἀποστόλων διαδοχῆς· τὸ δὲ κήρυγμα αὐτοῦ τῆς τῶν προειρημένων αἱρεσιαρχῶν φλυαρίας μετέχον τὸ αὐτὸ μὲν εἶναι δοκεῖ, παρήλλακται δὲ παρ' αὐτῷ τοῦτον ἔχον τὸν τρόπον. Δύο καὶ οὗτος Ἀρχὰς κεκήρυχε τῷ βίῳ, καὶ δῆθεν θεοὺς δύο, ἕνα ἀγαθὸν, καὶ [2] ὄντα ἄγνωστον τοῖς πᾶσιν, ὃν καὶ Πατέρα τοῦ Ἰησοῦ κέκληκε, καὶ ἕνα τὸν δημιουργὸν, πονηρὸν ὄντα καὶ γνωστὸν, λαλήσαντα ἐν τῷ νόμῳ καὶ ἐν τοῖς προφήταις φανέντα, καὶ ὁρατὸν πολλάκις γενόμενον· μὴ εἶναι δὲ τὸν Χριστὸν γεγεννημένον ἐκ Μαρίας, μηδὲ ἐν σαρκὶ πεφηνέναι, ἀλλὰ δοκήσει ὄντα καὶ δοκήσει πεφηνότα, δοκήσει δὲ τὰ ὅλα πεποιηκότα. Καὶ αὐτὸς σαρκὸς ἀνάστασιν ἀπωθεῖται, παλαιὰν δὲ ἀπαγορεύει διαθήκην, [3] τήνδε διὰ Μωϋσέως καὶ τῶν προφητῶν, ὡς ἀλλοτρίαν οὖσαν θεοῦ. Ἐληλυθέναι δὲ τὸν Χριστὸν ἀπὸ τῶν ἄνωθεν ἐκ τοῦ ἀγνώστου πατρὸς, εἰς ἀθέτησιν τῆς τοῦ κοσμοποιοῦ καὶ δημιουργοῦ ἐνταῦθα, φησὶ, ἀρχῆς καὶ τυραννίδος· ὥςπερ ἀμέλει καὶ πολλαὶ τῶν αἱρέσεων ἐξεῖπαν. Ὀλίγῳ δὲ τῷ χρόνῳ οὗτος ἐν Ῥώμῃ γενόμενος μεταδέδωκεν αὐτοῦ τὸν ἰὸν Μαρκίωνι. Διόπερ τοῦτον ὁ Μαρκίων διεδέξατο.

Κεφ. β'. Τῆς δὲ αἱρέσεως ὡςαύτως φωρατῆς οὔσης ἐν συντόμῳ περὶ ταύτης ἡμῖν ἔσται λόγος. Ἀρξόμεθα δὲ πάλιν τῆς κατ' αὐτοῦ ἀνατροπῆς ἀπ' αὐτῶν τῶν παρ' αὐτοῦ λεγομένων. Ὅτι μὲν γὰρ δύο Ἀρχὰς ἐπιτοαυτὸ εἶναι ἀδύνατον, δῆλον. [1] Ἢ γὰρ αἱ δύο ἐκ μιᾶς εἰσί τινος, ἢ ἡ μὲν ἔστι δευτέρα, ἡ δὲ τῆς δευτέρας αἰτία καὶ ἀρχή. Ζητηθήσεται οὖν ἤτοι αἰτία τῶν δύο, ἢ ὁποτέρα τούτων ἀρχὴ οὖσα τῆς ἑτέρας, ὡς ἔφην. Καὶ οὕτως ἐκ παντὸς τρόπου ἐπὶ τὴν μίαν ἀνακτέον τὴν διάνοιαν, τὴν εὑρισκομένην πρώτην, ἐξ ἧς καὶ ἡ δευτέρα, ἤτοι ἀμφότεραι, καθὼς δέδεικται, [2] ὡς ἔφην. Ἐπιτοαυτὸ δὲ ἀδύνατον τὰς δύο ἀρχὰς ὑπάρχειν· ἀλλ' οὐδὲ διαφέρεσθαι τὴν μίαν πρὸς τὴν ἄλλην δυνατόν. Εἰ γὰρ διαφέρονται, εἰσὶ μὲν δύο, τῷ δὲ δύο ἀριθμῷ εὑρισκόμεναι τὸν ἕνα ἀριθμὸν ὑπερβεβήκασι. Τοῦ δὲ ἑνὸς καὶ πρώτου ἀριθ-
pag. 301. μοῦ ζητουμένου αἱ δύο τῷ ἑνὶ ἀριθμῷ καὶ ἀνωτέρῳ ὑπόκεινται, τῷ αἰτίῳ τῶν δύο ὄντι. Οὐ γὰρ αἱ δύο αἱ μετὰ τὸν ἕνα ἀριθμὸν, ἢ τὴν μίαν ἀρχὴν καὶ πρώτην, αἰτίαι ἑαυτῶν δύνανται εἶναι, τοῦ ἑνικοῦ ἀριθμοῦ καὶ ἀνωτάτου ἀεὶ ζητουμένου. Εἰ γὰρ αἱ δύο εὑρεθήσονται μιᾶς [3] οὔσης συμφωνίας καὶ συγχαίρουσαι καὶ συμφωνοῦσαι ἀλλήλαις ἐν τῷ τὴν μὲν μίαν παραμένειν τῆς ἑτέρας εὐδοκούσης, καὶ τῆς ἄλλης δὲ χαιρούσης τῇ τῆς ἑτέρας συζυγίᾳ, ἡ στάσις τίς ἐστιν ἀναμέσον ἀμφοτέρων; Εἰ δὲ στασιάζουσι καὶ ἰσχύουσιν ἅμα ἀμφότεραι πρὸς ἀλλήλας ἐπ' ἴσης,

Cap. I. — 1. *Libri* ἕνα τόν. *Cf. infra haer.* 42, 1.
2. *Correxi* ὄντα *pro* ἕνα, *quod libri tuentur hic male repetitum. Possis etiam* εἶναι.
3. *Vulgo* τὴν δέ. *Petavius volebat* τὴν διά.
Cap. II. — 1. ἢ *scripsi, post Petavii*

Iacobi et Petri Paulique successione nonum locum tenebat. Cuius dogma cum reliquorum quos enumeravimus haereticorum nugis consentiens licet idem esse videatur, nonnihil tamen discrepat, et est huiusmodi. Duo perinde atque alii Principia statuit, ac deos videlicet duos, bonum alterum, et ignotum omnibus, quem et Patrem Iesu nominavit, alterum creatorem, malum et cognitum, qui et in lege locutus et prophetis apparuit, ac se videndum saepenumero praebuit. Christum negat a Maria genitum, aut carne revera fuisse vestitum, sed eiusmodi specie tenus extitisse, et apparuisse talem ac specie sola universa fecisse. Idem corporum resurrectionem repudiat; vetus testamentum, quod per Moysen ac prophetas traditum est, tanquam alienum a deo reiicit. Christum e coelo atque ab ignoto Patre descendisse ideo putat, ut hic mundi conditoris atque opificis imperium ac tyrannidem everteret, id quod aliae pleraeque haereses existimant. Romae igitur brevi ille tempore commoratus suum Marcioni virus aspersit, quem etiam successorem habuit.

Verum cum non minus ceteris haeresis ista deprehendi ac redargui facile possit, paucis quae ad eam pertinent complectar, eiusque refellendae ab illis ipsis eorum decretis initium arcessam. Etenim duo simul rerum esse Principia nequaquam posse manifestum est. Nam aut duo ab uno manarunt aliquo, aut unum secundum est, alterum secundi caussa rursus ac principium. Quaerendum igitur est quaenam amborum caussa sit, aut quod ex illis principium sit alterius, ut diximus; sicque ad unum omnino referenda cogitatio, quod primum occurrit, a quo secundum aut ambo illa proficisci demonstravimus. Duo porro simul ut Principia sint fieri penitus non potest; sed nec unum potest ab altero differre. Si enim differunt, duo sint oportet. Duo vero si numerentur, singularem numerum excedunt. Cum autem unicus iste ac primus numerus quaeratur, duo illa Principia uni ac supremo subiicientur, a quo velut a caussa duo reliqua pendeant. Neque enim duo illa post singularem numerum atque unicum primumque Principium sui esse caussa possunt ipsorum, cum singularis ac supremus nihilominus numerus inquiratur. Fingamus enim eiusmodi esse duo ut inter sese consentiant ac communiter gaudeant, sibique consentanea sint invicem, ita ut uno volente ac libente adhaereat alterum, et ipsum quoque alterius coniunctione delectetur, quaenam esse potest inter utrumque dissensio? Sin mutuo reluctantur ac sibi aequaliter resistunt, non poterit Chri- Cap. II.

*coniecturam, secundum auctoritatem cod. Rhedig. Vulgo extat* εἰ.

2. *Suspicor* καὶ ὡς ἔφην.

3. *Suspicor* οὖσαι συμφωνίας, καὶ *cett.*

οὐκέτι Χριστὸς, ὁ ἐλθὼν διὰ τὴν ἀθέτησιν τῆς μιᾶς, δυνήσεται καταλῦσαι τὴν ταύτην τυραννίδα, αὐτῆς ἀντεχούσης καὶ δυναμένης πρὸς τὴν ἄνω ἀόρατον καὶ ἀκατονόμαστον ἀγωνίζεσθαι, ἀντέχειν τε καὶ μηδέποτε δύνασθαι καταλύεσθαι.

Κεφ. γ'. Λέγει δὲ ὁ ἠλίθιος καὶ τὸν νόμον καὶ τοὺς προφήτας τῆς φαύλης καὶ ἐναντίας εἶναι Ἀρχῆς, τὸν δὲ Χριστὸν τῆς ἀγαθῆς. Πόθεν οὖν οἱ προφῆται τὰ εἰς Χριστὸν τετυπωμένα προανεφώνησαν, εἰ μὴ μία ἦν καὶ ἡ αὐτὴ Δύναμις ἡ λαλήσασα ἐν νόμῳ καὶ ἐν προφήταις καὶ εὐαγγελίοις; καθάπερ λέγει, Ὁ λαλῶν ἐν τοῖς προφήταις, ἰδοὺ, πάρειμι, καὶ τὰ ἑξῆς. Πόθεν δὲ καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ προανεφώνει, λέγων, Εἰ Μωϋσεῖ ἐπιστεύετε, καὶ ἐμοὶ ἂν ἐπιστεύετε, ἐκεῖνος γὰρ περὶ ἐμοῦ ἔγραψε; Καὶ πολλά μοι ἔστι περὶ μαρτυριῶν λέγειν, καθὼς συναγείρας σχολὴν ἑαυτῷ ἐποίησεν ὁ ἐπὶ συγκυρήματι πονηρῷ τῷ κόσμῳ ἐπιβλαστήσας καὶ πλανήσας τοὺς ὑπ' αὐτοῦ πεπλανημένους. Παρελεύσομαι δὲ καὶ [1] ταύτης, ὡςεὶ [2] βέμβικος καὶ πεμφρηδόνος τῶν ὀδυνοποιῶν ἐκ πετεινῶν κνωδάλων ὁρμωμένων ὑπὸ μίαν θῆξιν ἐκπετασθέντων, τὴν ἀνάλωσιν ποιησάμενος, διὰ τῆς τοῦ θεοῦ ἐνεργεστάτης πίστεώς τε καὶ σωτηριώδους διδασκαλίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰπόντος, Βλέπετε μὴ πλανηθῆτε, πολλοὶ γὰρ ἐλεύσονται ψευδοπροφῆται· καὶ τοῦ ἀποστόλου περὶ τῶν αὐτῶν ψευδοχρίστων καὶ ψευδοδιδασκάλων καὶ ψευδαδέλφων φήσαντος καὶ ἡμᾶς ἀσφαλισαμένου ἐπὶ τὰς ἑξῆς κατὰ τὴν ἀκολουθίαν [3] προβαίνων τῶν ἄλλων ποιήσομαι τὴν ὑφήγησιν.

pag. 302.

## ΚΑΤΑ ΜΑΡΚΙΩΝΙΣΤΩΝ,

### εἰκοστὴ δευτέρα, ἢ καὶ τεσσαρακοστὴ δευτέρα.

Κεφ. α'. Μαρκίων, ἀφ' οὗπερ Μαρκιωνισταὶ, ἐκ τούτου τοῦ προειρημένου Κέρδωνος τὴν πρόφασιν εἰληφὼς καὶ αὐτὸς μέγας ὄφις προῆλθε τῷ βίῳ, πολὺ δὲ πλῆθος ἐξαπατήσας ἔτι εἰς δεῦρο εἰς πολλοὺς τρόπους προεστήσατο διδασκαλεῖον. Ἡ δὲ αἵρεσις ἔτι καὶ νῦν ἔν τε Ῥώμῃ καὶ ἐν τῇ Ἰταλίᾳ, ἐν Αἰγύπτῳ τε καὶ ἐν Παλαιστίνῃ, ἐν Ἀραβίᾳ τε καὶ ἐν τῇ Συρίᾳ, ἐν Κύπρῳ τε καὶ Θηβαΐδι, οὐ μὴν ἀλλὰ καὶ ἐν τῇ Περσίδι καὶ ἐν ἄλλοις τόποις εὑρίσκεται. Μεγάλως γὰρ ὁ πονηρὸς ἐν αὐταῖς κατίσχυσε τὴν ἀπάτην. Οὗτος τὸ γένος Ποντικὸς ὑπῆρχεν, Ἑλενοπόντου δέ φημι, Σινώπης δὲ πόλεως, ὡς πολὺς περὶ αὐτοῦ ᾄδεται λόγος. Τὸν δὲ πρῶτον αὐτοῦ βίον παρθενίαν δῆθεν ἤσκει. Μονάζων γὰρ

Cap. III. — 1. ταύτης postulat sententia, non ταύτην, quod vulgo extat. Et illud, quemadmodum suspicor, voluit etiam qui scripsit codicem Rhedigeranum, in quo deprehendi ταύτῃ.

2. Sic emendavit Petavius in Animadv. ad h. l., postquam in editionis margine proposuit μύρμηκος. V. Nicandr. Alexiph.

stus, qui ad alterum extinguendum accessit, tyrannicum eius dominatum evertere, utpote quod acriter obsistat et adversus supremum illud, quod nec videri nec nominari potest, sic pugnet ac refragetur, nulla ut vi deiici sese patiatur.

Quod autem insanus ille legem ac prophetas existimat a deteriori ac contrario esse Principio, a meliore vero Christum, si id verum est, quomodo quae ad Christum attinebant prophetae certis figurarum involucris obtecta vaticinati sunt nisi una eademque vis esset quae in lege pariter ac prophetis atque evangeliis locuta sit? Quemadmodum dicit qui loquebar in prophetis: *Ecce adsum etc.* Praeterea cur dominus in evangelio praedicaret, *Si Moysi crederetis, crederetis forsitan et mihi, de me enim ille scripsit?* Plura equidem de eiusmodi testimoniis in medium afferre possem, quibus accumulatis scholam ille sibi conflavit, qui infelici quodam fato communem ad orbis perniciem effloruit, ac sectatores suos in fraudem impulit. Sed hanc ego quoque praetermittam, postquam eam memycis cuiusdam ac pemphredonis (quod vespae genus est) instar, quae et ictu dolorem incutiunt et ex pennatorum insectorum genere sunt, uno contactu obtrituque profligavi, efficacissima dei fide ac salutari domini nostri Iesu Christi doctrina subnixus, qui dixit, *Videte ne decipiamini: multi enim venient pseudoprophetae.* Cumque et apostolus de iisdem ementitis Christis ac magistris falsisque fratribus locutus cautiores nos reddiderit, ad reliquas, prout ordine sese offerunt, transferenda nobis est oratio.

Cap. III. Isai. 58, 9. Ioann. 5, 46. Luc. 21, 8. et Marc. 13, 22.

## CONTRA MARCIONISTAS,
## quae est haeresis XXII., vel XLII.

Cap. I.

Marcion, a quo Marcionistae nominati sunt, a Cerdone illo novi dogmatis occasionem arripiens, ingens et ipse coluber in orbem terrarum invectus est. Qui infinita hominum multitudine variis artibus ad hoc usque tempus illusa ludum erroris aperuit. Atque haec haeresis hodie non modo Romae et in Italia reperitur, sed et Aegyptum ac Palaestinam, nec non Arabiam ac Syriam, Cyprum ac Thebaidem, imo etiam Persidem aliasque regiones longe est lateque pervagata. Quibus in locis plurimum nequissimus daemon calliditate sua ac fraudulentia profecit. Fuit iste genere Ponticus, ex ea parte quae Helenopontus dicitur, oppido Sinope, quemadmodum frequenti de eo fama percrebuit. Qui initio vitae scilicet castitatem

183. c. *schol. Epiphanii libri vulgo praebent* μέμυκος.

3. *Ita correxi. Libri enim habent* προβαινόντων τῶν ἄλλων.

ὑπῆρχε, καὶ υἱὸς ἐπισκόπου τῆς ἡμετέρας ἁγίας καθολικῆς ἐκκλησίας. Χρόνου δὲ προϊόντος προςφθείρεται παρθένῳ τινὶ, καὶ ἐξαπατήσας τὴν παρθένον ἀπὸ τῆς ἐλπίδος αὐτήν τε καὶ ἑαυτὸν κατέσπασε, καὶ τὴν φθορὰν ἀπεργασάμενος ἐξεοῦται τῆς ἐκκλησίας ὑπὸ τοῦ ἰδίου πατρός. Ἦν γὰρ αὐτοῦ ὁ πατὴρ δι' ὑπερβολὴν εὐλαβείας τῶν διαφανῶν καὶ σφόδρα τῆς ἀληθείας ἐπιμελομένων, διαπρέπων ἐν τῇ τῆς ἐπισκοπῆς λειτουργίᾳ. Πολλὰ δῆθεν ὁ Μαρκίων καθικετεύσας, καὶ αἰτήσας μετάνοιαν, οὐκ εἴληφε παρὰ τοῦ ἰδίου πατρός· πόνος γὰρ εἶχε τὸν ἀξιόλογον γέροντα καὶ ἐπίσκοπον ὅτι οὐ μόνον ἐξέπεσεν ἐκεῖνος, ἀλλ' ὅτι καὶ αὐτῷ τὸ αἶσχος ἔφερεν. Ὡς τοίνυν οὐκ ἔτυχε παρ' αὐτοῦ διὰ τῆς κολακείας ὧν ἐδέετο, μὴ φέρων τὴν ἀπὸ τῶν πολλῶν χλεύην ἀποδιδράσκει τῆς πόλεως τῆς αὐτῆς, καὶ ἄνεισιν εἰς τὴν Ῥώμην αὐτὴν, μετὰ τὸ τελευτῆσαι Ὑγῖνον τὸν ἐπίσκοπον Ῥώμης. Οὗτος δὲ ἔνατος ἦν ἀπὸ Πέτρου καὶ Παύλου τῶν ἀποστόλων. Καὶ τοῖς ἔτι πρεσβύταις περιοῦσι, καὶ ἀπὸ τῶν μαθητῶν τῶν ἀποστόλων [1] ὁρμωμένοις, συμβάλων ᾔτει συναχθῆναι, καὶ οὐδεὶς αὐτῷ συγκεχώρηκε· ζήλῳ λοιπὸν ἐπαρθεὶς,
pag. 303. ὡς οὐκ ἀπείληφε τὴν προεδρίαν τε καὶ τὴν εἴςδυσιν τῆς ἐκκλησίας, ἐπινοεῖ ἑαυτῷ καὶ προςφεύγει τῇ τοῦ ἀπατεῶνος Κέρδωνος αἱρέσει.

Κεφ. β'. Καὶ ἄρχεται, ὡς εἰπεῖν, ἐξ αὐτῆς τῆς ἀρχῆς καὶ ὡς ἀπὸ θυρῶν τῶν ζητημάτων, προτείνειν τοῖς κατ' ἐκεῖνο καιροῦ πρεσβυτέροις τοῦτο τὸ ζήτημα, λέγων, Εἴπατέ μοι, τί ἐστι τὸ, Οὐ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιοὺς, οὐδὲ ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ· εἰ δὲ μή γε, καὶ τὸ πλήρωμα αἴρει καὶ τῷ παλαιῷ οὐ συμφωνήσει· μεῖζον γὰρ γενήσεται σχίσμα. Καὶ ὡς τοῦτο ἤκουσαν οἱ ἐπιεικεῖς καὶ πανάγιοι τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας πρεσβύτεροι καὶ διδάσκαλοι, τὸν τῆς ἀκολουθίας καὶ ἁρμονίας ἀποδιδόντες λόγον καὶ φράζοντες αὐτῷ μετὰ ἐπιεικείας ἔλεγον, Τέκνον, τοῦτό ἐστιν ἀσκοὶ παλαιοὶ, αἱ τῶν Φαρισαίων καρδίαι καὶ γραμματέων, παλαιωθεῖσαι ἐν ἁμαρτήμασι, καὶ μὴ δεξάμεναι τὸ κήρυγμα τοῦ εὐαγγελίου· καὶ τὸ ἱμάτιον τὸ παλαιὸν, ὡς ὁ Ἰούδας παλαιωθεὶς ἐν φιλαργυρίᾳ οὐκ ἐδέξατο τοῦ καινοῦ καὶ ἁγίου καὶ ἐπουρανίου μυστηρίου κήρυγμα, τὸ τῆς ἐλπίδος· καί τοι συναφθεὶς τοῖς ἕνδεκα ἀποστόλοις καὶ κληθεὶς ὑπ' αὐτοῦ τοῦ κυρίου περισσότερον σχίσμα ἔσχε δι' ἑαυτοῦ, μηδενὸς αὐτῷ αἰτίου γενομένου, ἐπειδὴ ἡ διάνοια αὐτοῦ οὐ συμπεφώνηκε τῇ ἄνω ἐλπίδι καὶ ἐπουρανίῳ κλήσει τῶν μελλόντων ἀγαθῶν, ἀντὶ τῶν ἐνταῦθα χρημάτων τε καὶ κόμπου καὶ φιλίας παρερχομένης, ἐλπίδος τε καὶ ἡδονῆς. Ὁ δὲ, Οὐχ οὕτως, φησὶν, ἀλλὰ ἄλλα ἐστὶ παρὰ ταῦτα, ἀντιλέγων ὁ Μαρκίων, ἐπειδὴ μὴ ἠθέλησαν αὐτὸν δέξασθαι. Τοῦτο οὖν φανερῶς αὐτοῖς ἔλεγε· Τί μὴ ἠθελήσατέ με ὑποδέξασθαι; Τῶν δὲ λεγόντων ὅτι,

CAP. I. — 1. ὁρμωμένοις abest ab edit. princ. Adiecit Petavius ex cod. Vaticano.

prae se ferens monachorum instituta professus est, parente natus catholicae communionis episcopo. Postea cum virginem quandam adamasset ac fraudibus pellexisset, ab spe vitae coelestis illam iuxta ac semetipsum deiecit. Ob hunc igitur incestum ecclesia ab ipso parente pulsus est, viro cumprimis religioso ac veritatis amore flagrantissimo, et in hac episcopalis muneris administratione praestanti. Cui cum Marcio diu multumque supplicasset ac poenitentiam postulasset, hanc a patre precibus nullis obtinuit. Vehementem siquidem ex ea re dolorem optimus senex et episcopus ceperat, quod non ille solum excidisset, sed et ignominiam sibi ac dedecus imposuisset. Ergo ubi se nullis artibus eblandiri posse quod cuperet animadvertit, popularium suorum probra ac ludibria non sustinens clam ab oppido secessit, ac Romam post Hygini papae obitum sese contulit, qui a Petro Pauloque apostolis nonus ecclesiae praefuerat. Eo statim ac Marcion pervenit, ad seniores adiens qui ab apostolorum discipulis edocti adhuc supererant, ut in communionem admitteretur, ab iis frustra petiit. Quamobrem exstimulatus invidia, quod non principem illic locum, ac ne ecclesiae quidem aditum impetrasset, ad impostoris Cerdonis haeresin confugere in animum induxit.

Tum ab ipso principio, ipsisque, ut ita dixerim, quaestionum foribus exorsus presbyteris qui tunc temporis erant coepit ista proponere. *Cedo,* inquit, *quid hoc sibi vult: Non mittunt vinum novum in utres veteres, neque commissuram panni rudis in vestimentum vetus, alioqui tollit plenitudinem, neque veteri congruet; maior enim scissura fit?* quod candidi illi ac sanctissimi dei ecclesiae presbyteri ac doctores audientes hunc in modum respondebant: Fili, veteres illi utres nihil aliud sunt quam Pharisaeorum Scribarumque corda, quae peccatis inveteraverant, nec evangelii doctrinam admiserant. Eodemque vetus illud vestimentum pertinet. Cuiusmodi Iudas extitit, qui in avaritiae tanquam vetustate quadam obsoleverat, neque novi ac sanctissimi, coelestisque mysterii praedicationem accepit, tametsi ad undecim apostolos esset aggregatus et ab ipso domino vocatus, ex quo maiorem scissuram non alio quam ipsomet sibi auctore conscivit; propterea quod eius animus caducis his opibus ac fastu fluxaque hominum amicitia ac spe voluptateque contemptis nequaquam se coelestem ad spem ac futurorum bonorum vocationem accommodaverat. At haec contradicere Marcion, ac longe secus id habere se dicere, pro eo quod admittere sese detrectassent. Quare palam eos alloquens, Cur me, inquit, recipere noluistis? Responderunt illi,

Cap. II. Matth. 9, 17.

*Οὐ δυνάμεθα ἄνευ τῆς ἐπιτροπῆς τοῦ τιμίου πατρός σου τοῦτο ποιῆσαι, μία γάρ ἐστιν ἡ πίστις, καὶ μία ὁμόνοια, καὶ οὐ δυνάμεθα ἐναντιωθῆναι τῷ καλῷ συλλειτουργῷ, πατρὶ δὲ σῷ, ζηλώσας λοιπὸν, καὶ εἰς* [1] *μέγαν ἀρθεὶς θυμὸν καὶ ὑπερηφανίαν, τὸ σχίσμα ἐργάζεται ὁ τοιοῦτος, ἑαυτῷ τὴν αἵρεσιν προστησάμενος, καὶ εἰπὼν ὅτι, Ἐγὼ σχίσω τὴν ἐκκλησίαν ἡμῶν, καὶ βαλῶ σχίσμα ἐν αὐτῇ εἰς τὸν αἰῶνα· ὡς τἀληθῆ μὲν σχίσμα ἔβαλεν οὐ μικρὸν, οὐ τὴν ἐκκλησίαν σχίσας, ἀλλ' ἑαυτὸν καὶ τοὺς αὐτῷ πεισθέντας.*

Κεφ. γ'. *Ἔλαβε δὲ τὴν πρόφασιν ἐκ τοῦ προειρημένου Κέρδωνος, γόητος*
pag. 304. *καὶ ἀπατηλοῦ. Καὶ αὐτὸς μὲν γὰρ δύο κηρύττει ἀρχάς. Προςθεὶς δὲ πάλιν ἐκείνῳ, φημὶ τῷ Κέρδωνι, ἕτερόν τι παρ'* [1] *ἐκεῖνον δείκνυσι, λέγων τρεῖς εἶναι ἀρχὰς, μίαν μὲν τὴν ἄνω ἀκατονόμαστον καὶ ἀόρατον, ἣν καὶ ἀγαθὸν θεὸν βούλεται λέγειν, μηδὲν δὲ τῶν ἐν τῷ κόσμῳ κτίσασαν, ἄλλον δὲ εἶναι ὁρατὸν θεὸν,* [2] *καὶ κτιστὴν καὶ δημιουργὸν, διάβολον δὲ τρίτον, ὡς εἰπεῖν, καὶ μέσον τῶν δύο τούτων, τοῦ τε ὁρατοῦ καὶ τοῦ ἀοράτου· τὸν δὲ κτιστὴν καὶ δημιουργὸν καὶ ὁρατὸν θεὸν εἶναι τῶν Ἰουδαίων, εἶναι δὲ αὐτὸν κριτήν. Παρ' αὐτῷ δὲ τῷ Μαρκίωνι καὶ παρθενία κηρύσσεται. Νηστείαν δὲ* [3] *καὶ τὸ σάββατον κηρύττει. Μυστήρια δὲ δῆθεν παρ' αὐτῷ ἐπιτελεῖται, τῶν κατηχουμένων ὁρώντων. Ὕδατι δὲ οὗτος ἐν τοῖς μυστηρίοις χρῆται. Τὸ δὲ σάββατον νηστεύει διὰ τοιαύτην αἰτίαν· Ἐπειδὴ, φησὶ, τοῦ θεοῦ τῶν Ἰουδαίων ἐστὶν ἡ ἀνάπαυσις τοῦ πεποιηκότος τὸν κόσμον, καὶ ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀναπαυσαμένου, ἡμεῖς νηστεύσωμεν ταύτην, ἵνα μὴ τὸ καθῆκον τοῦ θεοῦ τῶν Ἰουδαίων ἐργαζώμεθα. Τὴν τῆς σαρκὸς δὲ ἀθετεῖ ἀνάστασιν, καθάπερ πολλαὶ τῶν αἱρέσεων, ψυχῆς δὲ ἀνάστασιν εἶναι λέγει, καὶ ζωὴν καὶ σωτηρίαν μόνης. Οὐ μόνον δὲ παρ' αὐτῷ ἓν λουτρὸν δίδοται, ἀλλὰ καὶ ἕως τριῶν λουτρῶν, καὶ ἐπέκεινα ἔξεστι διδόναι παρ' αὐτοῖς τῷ βουλομένῳ, ὡς παρὰ πολλῶν ἀκήκοα. Συμβέβηκε δὲ τοῦτο γενέσθαι αὐτῷ, τὸ ἐφίεσθαι τρία λουτρὰ δίδοσθαι, δι' ἣν ὑπεῖχε χλεύην παρὰ τῶν αὐτὸν ἐγνωκότων μαθητῶν αὐτοῦ, ἐκ παραπτώματός τε καὶ φθορᾶς τῆς εἰς τὴν παρθένον γεγενημένης. Ἐπειδὴ φθείρας ἐν τῇ ἑαυτοῦ πόλει τὴν παρθένον καὶ, ἀποδράσας μὲν, ἐν παραπτώματι μεγάλῳ εὑρέθη, ἐπενόησεν ὁ ἀγύρτης ἑαυτῷ δεύτερον λουτρὸν, φήσας ὅτι, Ἔξεστιν ἕως τριῶν λουτρῶν, τουτέστι τριῶν βαπτισμῶν, εἰς ἄφεσιν ἁμαρτιῶν δίδοσθαι, ἵν' εἴ τις παρέπεσεν εἰς τὸ πρῶτον, λάβῃ δεύτερον μετανοήσας, καὶ τρίτον ὡςαύτως, ἐὰν ἐν παραπτώματι μετὰ τὸ δεύτερον γένηται. Φέρει δὲ δῆθεν ἵνα τὴν ἑαυτοῦ χλεύην ἀνασώσῃ εἰς παράστασιν αὐτοῦ, ὅτι τὸ μετὰ τὸ αὐτοῦ παράπτωμα πάλιν ἐκαθαρίσθη καὶ λοιπὸν ἐν ἀθῴοις ὑπάρχει, μαρτυρίαν περὶ τούτου ψευδηγορῶν ὡς* [4] *πιθανὴν, δυναμένην ἐξαπατῆσαι, οὐ*

Cap. II. — 1. *Ita scripsit Petavius cod. Vatic. secutus. In edit. princ. extat* μέγα

Nobis iniussu venerandi patris tui facere istud non licet. Una siquidem fides est, et animorum una consensio; neque contra spectatissimum collegam patrem tuum moliri quippiam possumus. At ille vehementius excandescens ac superbia invidiaque percitus schisma conflavit, ac privatam haeresin architectatus est, et, Ecclesiam, ait, vestram ego dissociabo, in eamque schisma sempiternum immittam. Quod ille revera nec mediocre quidem iniecit, non ita tamen ut ecclesiam, sed ut se potius ac suos discinderet.

Cuius ei schismatis argumentum nebulo ille et impostor Cerdo praebuit. Nam et duo ipse Principia constituit. At Marcio tertium ad illius dogma Principium adiecit, ut omnino tria sint: quorum unum sit supremum, quod neque nomine comprehendi neque visu percipi possit, quem et Bonum Deum appellat, a quo nihil sit eorum quae in mundo sunt conditum. Alterum vero Deum esse dicit aspectabilem ac Creatorem. Tertium denique Diabolum inter ambos illos, aspectabilem scilicet et eum qui aspici nequit interiectum. Ex iis qui Creator est et opifex, viderique potest, Iudaeorum esse deum, eundemque Iudicem. Ceterum virginitas a Marcione praedicatur. Ieiunium et sabbato observari praecipit. Mysteria catechumenis cernentibus apud illum celebrantur. Ad haec vero mysteria aquam adhibet. Sabbato ob eam caussam ieiunium sanxit. Cum enim ait, Iudaeorum dei, qui hunc mundum fabricavit, illa sit requies, cum die VII. requieverit, eadem nos ieiunare instituimus, ne Iudaeorum dei ritibus uti videamur. Carnem negat resurgere, idque habet plerisque cum haeresibus commune. Animae duntaxat resurrectionem ac vitam unius et salutem asserit. Baptismo non semel, sed tertio apud illos initiantur. Quod fieri idcirco concessit, quod a discipulis suis, quibus fuerat cognitus, ob delictum illud ac virginis stuprum ludibrio esset habitus. Nam cum virginem in patria constuprasset, et ingentis flagitii convictus aufugisset, alterum sibi circumforaneus iste baptismum adscivit, licere pronuntians ter omnino aquis elui ac baptismo peccatorum ad condonationem expiari, ut si quis post usurpatum priorem peccaverit, ad secundum cum poenitentia confugiat, similiterque tertium, si post secundum iterum se delictis obstrinxerit. Quod ad infamiae suae remedium excogitavit, quo se rursum post facinus purgatum et inter innocentes numerandum esse persuaderet. Ad quod etiam falso testimonium quoddam accommodat, quod specie ipsa probabile possit videri, etsi non eo Cap. III.

ἀρθεὶς θύμου.

Cap. III. — 1. *Libri* ἐκείνου.

2. *Verba* καὶ κτίστην, *quae desiderantur in edit. princ., Petavius adiecit ex cod. Vaticano.*

3. κατὰ *emendat Petavius in Animadvv.*

4. πειθανὴν *edit. princ.*

τοῦτο δὲ σημαίνουσαν ὃ αὐτὸς λέγει, ὅτι φησὶ, Βαπτισθεὶς ὁ κύριος ὑπὸ τοῦ Ἰωάννου ἔλεγε τοῖς μαθηταῖς, Βάπτισμα ἔχω βαπτισθῆναι,
pag. 305. καὶ τί θέλω, εἰ ἤδη τετέλεκα αὐτό; καὶ πάλιν, Ποτήριον ἔχω πιεῖν, καὶ τί θέλω εἰ ἤδη πληρώσω αὐτό; Καὶ οὕτω τὸ διδόναι πλείω βαπτίσματα ἐδογμάτισεν.

Κεφ. δ'. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸν νόμον ἀποβάλλει, καὶ πάντας προφήτας, λέγων ἐκ τοῦ Ἄρχοντος τοῦ τὸν κόσμον πεποιηκότος τοὺς τοιούτους προπεφητευκέναι. Χριστὸν δὲ λέγει ἄνωθεν ἀπὸ τοῦ ἀοράτου καὶ ἀκατονομάστου Πατρὸς καταβεβηκέναι ἐπὶ σωτηρίᾳ τῶν ψυχῶν καὶ ἐπὶ ἐλέγχῳ τοῦ θεοῦ τῶν Ἰουδαίων, καὶ νόμου, καὶ προφητῶν, καὶ τῶν τοιούτων· καὶ ἄχρι ᾅδου καταβεβηκέναι τὸν κύριον, ἵνα σώσῃ τοὺς περὶ Κάϊν καὶ Κορὲ καὶ Δαθὰν καὶ [1] Ἀβηρὼν, Ἡσαῦ τε καὶ πάντα τὰ ἔθνη τὰ μὴ ἐπεγνωκότα τὸν θεὸν τῶν Ἰουδαίων, τοὺς δὲ περὶ Ἄβελ καὶ Ἐνὼχ καὶ Νῶε καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ Μωϋσέα, Δαβίδ τε καὶ Σαλομῶνα ἐκεῖ καταλελοιπέναι· διότι ἐπέγνωσαν, φησὶ, τὸν θεὸν τῶν Ἰουδαίων, ὄντα ποιητὴν καὶ κτιστὴν, καὶ τὰ καθήκοντα αὐτοῦ πεποιήκασι, καὶ οὐχὶ τῷ θεῷ τῷ ἀοράτῳ ἑαυτοὺς προσανέθεντο. Δίδωσι καὶ ἐπιτροπὴν γυναιξὶ βάπτισμα διδόναι. Παρ' αὐτοῖς γὰρ πάντα χλεύης ἔμπλεα, καὶ οὐδὲν ἕτερον, ὅποτε καὶ τὰ μυστήρια ἐνώπιον κατηχουμένων ἐπιτελεῖν τολμῶσιν. Ἀνάστασιν δὲ, ὡς εἶπον, οὗτος λέγει οὐχὶ σωμάτων, ἀλλὰ ψυχῶν, καὶ σωτηρίαν ταύταις ὁρίζεται, οὐχὶ τοῖς σώμασι· καὶ μεταγγισμοὺς ὁμοίως τῶν ψυχῶν, καὶ μετενσωματώσεις ἀπὸ σωμάτων εἰς σώματα φάσκει.

Κεφ. ε'. Πανταχόθεν δὲ πίπτει ἡ αὐτοῦ ματαία κενοφωνία, ὡς ἤδη μοι ἐν ἄλλαις αἱρέσεσι πεπραγμάτευται. Πῶς γὰρ ἀναστήσεται ἡ μὴ πεπτωκυῖα ψυχή; ἀνάστασις δὲ πῶς αὐτῆς κληθήσεται, τῆς μὴ πεσούσης ψυχῆς; Πᾶν γὰρ τὸ πίπτον ἀναστάσεως δεῖται· πίπτει δὲ οὐχ ἡ ψυχὴ, ἀλλὰ σῶμα. Ὅθεν καὶ δικαίως πτῶμα αὐτὸ ἡ συνήθεια εἴωθε καλεῖν, καὶ αὐτὸς ὁ κύριος εἰπὼν ὅτι, Ὅπου τὸ πτῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί. Καὶ γὰρ ἐν τοῖς μνήμασιν οὐ κατακλείομεν ψυχὰς, ἀλλὰ σώματα κατατιθέαμεν, ἐν γῇ καταχώσαντες, ὧν ἡ ἀνάστασις εἰς ἐλπίδα ἔχει τὸ κήρυγμα, καθάπερ ὁ τοῦ σίτου κόκκος· ὡς καὶ ὁ ἅγιος ἀπόστολος τὴν μαρτυρίαν ἤνεγκε περὶ τοῦ κόκκου τοῦ σίτου καὶ τῶν ἄλλων σπερμάτων, καὶ αὐτὸς δὲ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ ὅτι, Ἐὰν μὴ πε-
pag. 306. σὼν ὁ κόκκος τοῦ σίτου ἀποθάνῃ, μόνος μένει. Ὁ δὲ ἅγιος ἀπόστολός φησιν — ἄφρονα γὰρ καλεῖ τὸν ἄπιστον τὸν ὅλως ἀμφιβάλλοντα, καὶ λέγοντα, Πῶς ἡ ἀνάστασις γίνεται; ποίῳ δὲ σώματι ἔρχονται; καὶ εὐθὺς πρὸς τοὺς τοιούτους φησὶν, Ἄφρων, σὺ ὃ σπείρεις οὐ ζωογονεῖ-

Cap. IV. — 1. ἀβηρῶ edit. princ.

quo vult pertineat; sic enim asserit: Dominum, postquam a Ioanne baptizatus est, dixisse discipulis: *Baptisma habeo baptizari, et quid volo nisi ut perficiam ipsum?* ac rursum: *Calicem habeo bibere et quid volo nisi ut impleam illum?* unde plures illos baptismos commentus est. Luc. 12, 50.

Praeterea legem ac prophetas omnes abiicit; quos principis illius afflatu, qui hunc orbem condidit, vaticinatos existimat. Christum vero ideo de coelo delapsum illo a parente, qui nec videri nec nominari potest, ut et animas liberaret, et Iudaeorum ac legis et prophetarum atque istiusmodi ceterorum deum redargueret. Imo ad inferos usque descendisse dominum, ut et Caino et Core, ac Dathani et Abironi, nec non Esau, ac nationibus omnibus, quibus Iudaeorum deus fuerat ignotus, salutem afferret: Abelum vero, Enochum, Noëmum, Abraamum, Isaacum, Iacobum, Moysen, Davidem ac Salomonem illic relictos, quoniam Iudaeorum deum, inquiunt, agnoverunt, qui universitatis conditor ac fabricator est, eiusque leges et instituta secuti sunt, ac non se potius alteri illi deo, qui videri oculis nequit, addixerunt. Iam mulierculis baptizandi potestatem facit. Nihil est enim apud illos nisi ludibrio ac risu dignissimum, cum vel mysteriis ipsis adstantibus Catechumenis operari non dubitent. Quod ad resurrectionem attinet, hanc ille corporum esse negat, uti monuimus, animarum concedit, quibus solis salutem, non item corporibus, circumscribit. Animarum denique ab aliis in alia corpora migrationes ac transitus statuit. Cap. IV.

Verum inanis ac ridicula haec opinio omni ex parte concidit, ut in aliis haeresibus antea docuimus. Qui enim resurgere anima illa potest, quae nunquam corruit? Quomodo inquam ei, quae non cecidit, resurrectio tribuetur? Quicquid enim cadit, resurrectione opus habet. Cadit autem non anima, sed corpus. Quod idcirco πτῶμα, hoc est cadaver, consuetudo communis appellat, adeoque dominus ipse, cum sic loquitur: *Ubicumque est πτῶμα,* id est corpus, *illic congregabuntur et aquilae.* Neque enim sepulcris animas includimus, sed corpora humi defossa componimus; quibus divini praedicatione verbi spes resurrectionis ostenditur. Quemadmodum in frumenti grano ceterisque seminibus accidit, ex quibus apostolus ad fidem faciendam exempla produxit, ut et ipsemet in evangelio dominus: *Nisi,* inquit, *granum frumenti cadens in terram mortuum fuerit, ipsum solum manet.* At apostolus cum idem argumentum pertractat, insipientem eum appellat qui non credit, aut omnino haesitans interrogat, *Quomodo fit resurrectio? quali autem corpore venient?* Ac statim contra illos sic disputat: *Insipiens, tu quod seminas non vivifica-* Cap. V. Luc. 17, 37. Ioann. 12, 24. 1. Cor. 15, 35. Ibid. 36.

ται, ἐὰν μὴ ἀποθάνῃ. Καὶ ἐξάπαντος ἔδειξεν ἡ γραφὴ τοῦ πεπτωκότος κόκκου, τουτέστι τοῦ σώματος τοῦ θαπτομένου, καὶ οὐ ψυχῆς, τὴν ἀνάστασιν γίνεσθαι. Πῶς δὲ ψυχὴ ἐλεύσεται μόνη; πῶς δὲ βασιλεύσει μόνη ἡ ὁμοῦ σὺν σώματι ἐργασαμένη τὸ δίκαιον ἢ τὸ φαῦλον; Ἔσται γὰρ ἐναντία, καὶ οὐ δικαία, ἡ κρίσις.

Κεφ. ϛ'. Πῶς δὲ συσταθήσεται ὁ παρ' αὐτῷ [1] τῷ Μαρκίωνι τριῶν ἀρχῶν λόγος; πῶς δὲ ὁ ἀγαθὸς εὑρεθήσεται ἐν τοῖς τοῦ φαύλου μέρεσιν ἔργον ἐπιτελῶν ἢ σωτηρίας, ἢ τῶν ἄλλων; Εἰ γὰρ οὐκ αὐτοῦ τυγχάνει ὁ κόσμος, ἀπέστειλε δὲ αὐτοῦ τὸν μονογενῆ εἰς τὸν κόσμον λαβεῖν ἐκ τοῦ κόσμου τοῦ ἀλλοτρίου ἃ μὴ αὐτὸς ἔσπειρε, μηδὲ ἐποίησεν, εὑρεθήσεται ἢ τῶν ἀλλοτρίων ἐφιέμενος, ἢ πενίαν [2] ὑφιστάμενος καὶ ἴδια μὴ ἔχων, ἐπὶ τὰ ἀλλότρια ἑαυτὸν ἐπιδιδούς, ὅπως ἑαυτῷ προςπορίσηται ἃ μὴ πρότερον ἔχει. Πῶς δὲ κριτὴς ἀναμέσον ἀμφοτέρων γενήσεται ὁ δημιουργός; εἶτα, τίνας ἔχει κρῖναι; Εἰ γὰρ τῶν ἀπὸ τοῦ ἄνω σκευῶν δικαστὴς προκαθέζεται, ἰσχύει ὑπὲρ τὸν ἄνω, ἐπειδὴ φέρει εἰς μέσον τῶν αὐτοῦ κριτηρίων τὰ τοῦ ἄνω ὑπάρχοντα, ὡς τῷ Μαρκίωνι ἔδοξε. Καὶ εἰ ὅλως κριτὴς τυγχάνει, δίκαιός ἐστι. Δείξωμεν δὲ ἀπὸ τοῦ δικαίου ὀνόματος ὅτι ταὐτόν ἐστι τὸ ἀγαθὸν καὶ τὸ δίκαιον. Πᾶν γὰρ ὃ δίκαιόν ἐστι, τοῦτο καὶ ἀγαθόν. Ἀπὸ γὰρ τοῦ ἀγαθὸν εἶναι τὸ ἀγαθὸν χαρίζεται δικαίως μετὰ ἀληθείας τῷ ἀγαθὰ δράσαντι, καὶ οὐκέτι ἔσται πρὸς τὸ ἀγαθὸν ἐναντίως τῷ ἀγαθῷ, κατὰ δικαιοσύνην τὸ ἀγαθὸν τῷ ἀγαθῷ παρέχων, καὶ τῷ φαύλῳ τὴν ἐπιτιμίαν τῆς τιμωρίας. Οὐδὲ πάλιν ἀγαθὸς ἂν εἴη ὁ τῷ πονηρῷ τὸν ἀγαθὸν μισθὸν ἐπὶ τῷ τέλει ἀποδιδοὺς μὴ μετανοοῦντι· εἰ καὶ ἐν τῷ παρόντι ἀνατέλλοι αὐτοῦ τὸν ἥλιον ἐπὶ ἀγαθοὺς καὶ φαύλους, καὶ τὸν ὑετὸν αὐτοῦ παρέχοι διὰ τὸ νῦν αὐτεξούσιον τοῖς τε πονηροῖς καὶ ἀγαθοῖς ἀνθρώποις. Ἀγαθὴ γὰρ οὐκέτι ἔσται φύσις καὶ δικαία τοῦ τῷ πονηρῷ μισθὸν ἐν τῷ μέλλοντι αἰῶνι σωτηρίας παρέχοντος, καὶ οὐ μᾶλλον μισοῦντος τὸ πονηρὸν
pag. 307. καὶ φαῦλον. Ὁ δὲ τρίτος εὑρισκόμενος παρ' αὐτῷ πονηρὸς εἰ ἔχει τὴν ἐξουσίαν τὰ πονηρὰ ἐργάζεσθαι καὶ κατισχύειν τῶν ἐν τῷ κόσμῳ, [3] ἢ τῶν ἄνωθεν ἀγαθῶν, ἢ τοῦ μέσου δικαίου, εὑρεθήσεται ἰσχυρότερος οὗτος δύο θεῶν τῶν παρὰ Μαρκίωνι λεγομένων, ἐπειδὴ ἐξουσιάζει ἁρπάζειν τὰ ἀλλότρια· καὶ ἀδρανεῖς λοιπὸν καταψηφισθήσονται οἱ δύο παρὰ τὸν ἕνα πονηρόν, οἱ μὴ δυνάμενοι ἀντέχειν καὶ ῥύεσθαι ἀπὸ τοῦ ἁρπάζοντος τὰ [4] αὐτῶν ὄντα, καὶ εἰς πονηρίαν μεταβάλλοντος.

Κεφ. ζ'. Ἄλλως δὲ πάλιν νοήσωμεν, ἵνα τὴν χλεύην τοῦ ἀγύρτου φωρά-

Cap. VI. — 1. τῷ, *quod desideratur in editis, reposui ex cod. Vaticano.*
2. ὑφιστάμενος *scripturam recepit Petavius ex cod. ms. aliquo, qui non est Vaticanus ille cuius vulgo est usus, in Scholtiani exempli margine adnotatam.* ἐφι-

*tur, nisi prius moriatur.* Qua ex scripturae auctoritate plane illud intelligimus, grano illi quod cecidit, hoc est consepulto corpori, non animae, resurrectionem esse vindicandam. Etenim quomodo anima sola veniret, aut regnare sola posset, quae cum corpore quod iustum vel malum est communiter exercuit? Esset quippe iustitiae minime consentaneum et alienum.

Nam triplex illud Marcionis Principium cohaerere quo demum pacto poterit? Qui autem fieri potest, ut qui bonus sit, in deterioris partibus opus moliatur ullum, quod ad salutem et id genus alia pertineat? Si enim non ipsius peculiaris est mundus, et in eundem unigenam suum nihilominus immisit, ut ex alieno mundo, quod nec severat nec fecerat, auferret, necesse est illum vel alienorum cupiditate vel penuria laborare, ut cum propriis careat, in ea quae alterius sunt, manus immittat, quo sibi quae antea non habebat usurpet. Conditor porro quomodo inter utrosque iudicabit, aut quorum omnino caussam disceptabit? Si enim de iis, quae in supremi illius possessione sunt, iudicium exerceat, erit supremo illo potentior, utpote qui quae eius sunt suum ad tribunal cognitionemque transferat, ut quidem Marcioni videtur. Quod si iudex est, omnino iustus itidem sit oportet. Atqui ex ipso iusti nomine bonum ac iustum idem esse demonstrabimus. Quicquid enim iustum est, id etiam est bonum. Ex eo quippe quod bonum sit, hoc habet, ut ei qui bona fecerit iuste ac reipsa bonum rependat. Quare quod bonum est bono contrarium non erit, illud scilicet, quod et bono bonum ex iustitia tribuat, et malo debitas poenas ac supplicia constituat. Vicissim vero nec ille bonus erit qui eum qui malus sit in fine praemiis afficit, nisi forte resipuerit; quamvis modo *super bonos ac malos oriri solem* Matth.5,45. *suum faciat, atque imbrem suum largiatur;* propter eam quae in malis perinde ac bonis cernitur arbitrii libertatem. Neque enim bona eius esse natura potest, qui in futuro seculo scelerato cuipiam mercedem salutis conferat, nec quicquid malum est potius execretur. Nam tertius ille, qui a Marcione ponitur Malus, si male agendi potestate praeditus est, atque eos qui in mundo sunt, aut e coelo delapsi sunt, bonos, aut mediocrem Iustum expugnare potest, duobus reliquis diis erit potentior, quippe qui aliena per vim possit eripere. Isti vero, si cum illo comparentur, ignavi et imbecilles habendi sunt, qui quidem resistere nequeant, suaque ab illius qui ea rapiat et insita sibi pravitate corrumpat, iniuria vindicare.

Cap. VI.

Verum ut improbi nebulonis inanes ac ridiculas fabulas magis Cap. VII.

στάμενος *ed. princ. Ita* χλεύην ὑφίστασθαι *Epiphanius dixit haer.* 66, 54.

3. ἢ τῶν τῶν ἄνωθεν *cod. Vatic.*

4. αὐτῷ *cod. Vatic.*

*σωμεν τῆς ματαιοφροσύνης. Εἰ γὰρ ὅλως ὁ πονηρὸς πονηρὸς ὑπάρ-
χει, ἁρπάζει δὲ τοὺς ἀγαθοὺς ἀπὸ τοῦ ἀγαθοῦ, καὶ τοὺς δικαίους ἀπὸ
τοῦ δικαίου, ἰδίους δὲ οὐχ ἁρπάζει μόνους, εὑρεθήσεται ὁ πονηρὸς
οὐκέτι πονηρὸς, τῶν ἀγαθῶν ὀρεγόμενος καὶ ἐπιδικαζόμενος ὡς βελ-
τιόνων. Εἰ δὲ καὶ τοὺς ἰδίους κρίνει, τιμωρίαν δὲ τοὺς ἀδικήσαντας
ἀπαιτεῖ, οὐκέτι πονηρὸς ἔσται ὁ πονηρῶν δικαστὴς ὑπάρχων, καὶ
εὑρεθήσεται κατὰ πάντα τρόπον ἡ αὐτοῦ ὑπόθεσις ἑαυτὴν ἀνατρέ-
πουσα. Πόθεν δὲ εἰλήφασι τὸ εἶναι αἱ τρεῖς ἀρχαὶ, πάλιν λέγε. Τίς
δὲ ὁ ταύταις ὁρισμὸν συστησάμενος; Εἰ μὲν γὰρ ἕκαστος ἐν τῷ ἰδίῳ
τόπῳ περιορίζεται, οὐκέτι τέλεια τὰ τρία εὑρεθήσεται [1] ὁριζόμενα ἔν
τισι περιεκτικοῖς τόποις, εὑρεθήσεται δὲ τὸ περιεκτικὸν μεῖζον τοῦ περι-
εχομένου, καὶ οὐκέτι τὸ περιεχόμενον θεὸς ἂν κληθείη, ἀλλὰ μᾶλλον
ἡ περιεκτικὴ ὁροθεσία. Εἰ δὲ καὶ εἰς ταὐτὸν ἀλλήλοις γενόμενοι ἕκα-
στος κατὰ δίεσιν τὸν ἴδιον ἐκληρώθη τόπον, καὶ ἕκαστος ἐν τῷ ἰδίῳ
ὢν τῷ ἑτέρῳ οὐκ ἐντρίβεται, οὐδὲ ἐπέρχεται, οὐκέτι αἱ ἀρχαὶ ἀλλήλαις
ἐναντίαι, οὐδέ τις αὐτῶν φαύλη εὑρεθήσεται, διὰ τὸ κατὰ τὸ δίκαιον
καὶ ἥσυχον καὶ εὐσταθὲς τῶν ἰδίων ἐπιμέλεσθαι, καὶ μὴ περαιτέρω
βαίνειν ἐπιβαλλόμενον. Εἰ δὲ ὁ μὲν πονηρὸς ὑπὸ τοῦ ἄνω κατισχύε-
ται καὶ βιάζεται καὶ καταπονεῖται, μεμερισμένος ὢν καὶ ἐν ἰδίῳ τόπῳ
ὑπάρχων, οὗ τόπου τῷ ἄνω ἀγαθῷ οὐδὲν προσήκει, οὐδέ τι ὑπ᾽ αὐτοῦ
κεκτῆσθαι τῶν ἐνταῦθα λέγω ἐν τῷ τοῦ πονηροῦ τόπῳ, τυραννικώτε-
ρος μᾶλλον εὑρεθήσεται ὁ ἄνω, καὶ οὐκέτι ἀγαθὸς, τὸν ἴδιον υἱὸν,*
pag. 308. *εἴτουν Χριστὸν, ἀποστείλας ἵνα τὰ ἀλλότρια λάβῃ. Καὶ ποῦ ὁ ὅρος
ὁ διορίζων τὰς τρεῖς ἀρχὰς, κατὰ τὸν τοῦ ἀγύρτου τῆς ὑποθέσεως λό-
γον; Ζητηθήσεται γὰρ τέταρτός τις ἐπιεικέστατος καὶ τῶν τριῶν σοφώ-
τερος, ὁριογνώμων τε καὶ ἐπιστήμων, ὃς τὰ μέτρα ἑκάστῳ διένειμέ τε
καὶ τοὺς τρεῖς εἰρηνοποίησεν [2] ἤδη, μὴ στασιάσαιεν πρὸς ἀλλήλους,
μηδὲ εἰς τὰ ἄλλου ἄλλος [3] ἀποστέλλοι. Καὶ οὗτος μὲν πείσας τὰς τρεῖς
ἀρχὰς εὑρεθήσεται τέταρτος καὶ σοφώτερος καὶ ἐπιεικέστερος, καὶ αὐ-
τὸς δὲ ἐν ἰδίῳ τόπῳ πάλιν ζητηθήσεται, ἀφ᾽ οὗπερ εἰς μέσον ἦλθε τῶν
τριῶν, καὶ ἑκάστῳ τὸ μέρος σοφῶς διώρισεν, ἵνα μὴ εἰς ἀλλήλους ἀδι-
κοῖεν. Εἰ δὲ ἐν τοῖς τοῦ ἑνὸς, λέγω δὴ τοῦ δημιουργοῦ, αἱ δύο ἀρ-
χαὶ εἰσιν ἐμπολιτευόμεναι, ὅ τε πονηρὸς ἐν τοῖς τοῦ δημιουργοῦ χώραις
τε καὶ χώροις, καὶ ὁ τοῦ ἀγαθοῦ Χριστὸς ἐπιδημήσας, οὐκέτι ἄρα
κριτὴς καὶ δημιουργὸς μόνον εὑρεθήσεται, ἀλλὰ καὶ ἀγαθὸς, συγχω-
ρῶν τοῖς δυσὶν εἰς τὰ ἴδια ποιεῖν ὃ βούλονται· ἢ ἀδρανὴς εὑρεθήσεται,
καὶ μὴ ἰσχύων κωλῦσαι τῶν ἰδίων τοὺς ἀλλοτρίους ἅρπαγας. Εἰ δὲ*

CAP. VII. — 1. ὁριζόμενα *scripsi ex emendatione Cornarii atque Petavii. In libris enim est* ὁριζόμενος.

2. ἤδη *scripsi pro* εἰ δὲ, *quod libri habent. Petavius suspicabatur* ἵνα.

3. ἀποστέλλοι *ego rescripsi. Libri habent* ἀποστέλλει.

magisque refellamus, alia istud ratione considerandum est. Etenim si Malus ille penitus malus est, et a Bono nihilominus bonos auferat, iustos a Iusto, solos sui similes relinquat, utique Malus esse desinet, qui malus dicitur, cum bonorum desiderio teneatur, eosdemque sibi quasi meliores asserere studeat. Sin de suis quoque iudicium instituat, ab iisque qui iniuriam fecerint poenas exigat, non iam malus erit utpote malorum iudex, atque hoc modo tota illius doctrina per sese penitus labefacta concidet. Nunc illud velim mihi respondeas, unde tria illa Principia idipsum quod sunt obtinuerint, aut quis singula suis finibus ac regionibus descripserit. Nam si deorum quilibet suo loco definitur, non amplius perfecta illa tria censentur, quae certis comprehensa sunt ac circumscripta spatiis, estque idipsum quod continet eo quod continetur maius; neque quod eiusmodi ambitu cingitur, dei appellationem meretur, sed spatium illud utique quo suis ipsum limitibus complectitur. Atenim cum in unum coiissent, separati postea sedes suas occuparunt, ac propria quisque contentus nequaquam invadit in alterum, aut impressionem facit. Igitur non amplius contraria invicem erunt illa Principia, nec ullum esse malum poterit, cum suas res comiter ex aequo bonoque ac summa constantia moderetur, nec ultra progredi quam fas sit appetat. Sed si Malus a supremo vincitur ac violenter opprimitur, cum et ab eo seiunctus sit et propriam sedem obtineat, quae Boni illius ac supremi nihil intersit, neque quicquam in ea quae in mali domicilio sunt iuris habeat, tyrannicis magis erit moribus supremus ille minimeque bonus, qui filium suum, nempe Christum, miserit, ut usurparet aliena. Quo quidem constituto, ubi ille terminus erit a quo ex impostoris illius opinione tria sunt illa Principia separata? Quaerendus nimirum erit quartus aliquis aequissimus, ac tribus sapientior, velut limitum finiumque regundorum peritus, qui suum cuique modum attribuit, ac pacem inter illos stabilivit, ut ne amplius a se mutuo dissiderent, aut alter satellites suos in stationem alterius immitteret. Atque ille quidem pace inter tria Principia constituta quartus numerabitur, ceteris prudentior ac iustior, et idem tamen ipse proprio ac certo in loco quaerendus est, a quo trium in medium progressus unicuique partem suam scite ac perite tribuerit, ne mutuo sibi iniuriam importarent. Iam vero si in unius, puta creatoris, possessione duo Principia versentur, malus nimirum, qui in huius regionibus locisque resideat, et a bono missus ibidemque commorans Christus, consequens est non illum modo iudicem ac conditorem, sed et bonum esse, qui ambobus quodcumque apud se cuperent agere permiserit, aut sane perquam erit imbecillus, qui alienorum direptores coërcere nequive-

καὶ ἥσσων τῇ δυνάμει ἐστὶν, οὐκέτι εὑρεθήσεται ἡ δημιουργία συνεστῶσα, ἀλλ' ἐξέλιπεν ἔκπαλαι ἀναρπαζομένη καθ' ἑκάστην ἡμέραν ὑπό τε τοῦ πονηροῦ εἰς τὸ ἴδιον μέρος, καὶ ὑπὸ τοῦ ἀγαθοῦ εἰς τὰ ἄνω. Καὶ ποῦ ἔτι ἡ δημιουργία σταθήσεται; Εἰ δὲ ὅτι χρόνῳ λήξει λέγεις, καὶ δυνατὸν ταύτην ὅλως λήγειν διὰ τῆς τοῦ ἀγαθοῦ ἐπιμελείας, οὐκοῦν ὁ ἀγαθὸς αἴτιος τῆς βλάβης ἔσται, ὁ μὴ πάλαι ποιήσας ὅπερ ὕστερον ἀγαθὸν ἔδοξεν ἐπιτελεῖν, μήτε μὴν πεποιηκὼς ἀπὸ τῶν ἀνέκαθεν, πρὶν ἢ τοὺς πλείους ἀδικηθῆναι, καὶ [4] ἐν καθέξει αὐτοὺς γενέσθαι τοῦ κρίτου καὶ κάτω μεμενηκέναι.

Κεφ. η'. Πάλιν δὲ τὰ τῆς θείας γραφῆς οὐκ ὀρθῶς νοῶν προφέρει, καὶ τοὺς ἀκεραίους ἐξαπατᾷ διαστρέφων τὸ τοῦ ἀποστόλου ῥητὸν ὅτι, Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Καί φησιν, Εἰ ἦμεν αὐτοῦ, οὐκ ἂν τὸ ἑαυτοῦ ἠγόραζεν, ἀγοράσας δὲ εἰς ἀλλότριον κόσμον ἦλθεν ἡμᾶς ἀγοράσαι τοὺς οὐκ ὄντας αὐτοῦ· ποίημα γὰρ ἦμεν ἑτέρου, καὶ διὰ τοῦτο ἡμᾶς αὐτὸς ἠγόραζεν εἰς τὴν ἑαυτοῦ ζωήν. Ἀγνοεῖ δὲ ὅλως ὁ ἠλίθιος ὅτι οὔτε Χριστὸς κατάρα γεγέννηται, μὴ γένοιτο, ἀλλὰ τὴν κατάραν τὴν διὰ τῆς ἁμαρτίας pag. 309. ἡμῶν ἀφεῖλεν ἑαυτὸν σταυρώσας, καὶ γενόμενος θάνατος θανάτῳ διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ κατάρα αὐτὸς τῇ κατάρᾳ γενόμενος. Διὸ οὐκ ἔστι Χριστὸς κατάρα, ἀλλὰ τῆς κατάρας λύσις, εὐλογία δὲ πᾶσι τοῖς εἰς αὐτὸν ἀληθῶς πεπιστευκόσιν. Οὕτω καὶ τὸ Ἐξηγόρασεν, οὐκ εἶπεν Ἠγόρασεν. Οὔτε γὰρ εἰς ἀλλότριον ἦλθεν ἁρπάσαι ἢ ἀγοράσαι. Εἰ γὰρ ἠγόρασεν, μὴ ἔχων ἠγόρασε, καὶ ὡς πτωχὸς ἃ μὴ εἶχεν ἐκτήσατο, καὶ [1] ὃς κεκτημένος ἡμᾶς πέπρακεν, ἀπορήσας πέπρακεν, ἀπό τινος ἄρα δανειστοῦ ἐλαυνόμενος. Ἀλλ' οὐκ ἔχει οὕτως. Οὔτε γὰρ εἶπεν Ἠγόρασεν, ἀλλ' Ἐξηγόρασεν· ὅμοιον δὲ τούτῳ ὁ αὐτὸς ἅγιος ἀπόστολός φησιν, Ἐξαγοραζόμενοι τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι, καὶ οὐχ ἡμέρας ἀγοράζομεν, οὐδὲ τιμὴν ἡμερῶν δίδομεν, ἀλλὰ τὸ δι' ὑπομονὴν καὶ τὸ μελλητικόν τε μακροθυμίας σημαίνων τοῦτο ἔφη. Ὥστε τὸ Ἐξηγόρασε τὴν ὑπόθεσιν ἀπέφηνε τῆς ὑπὲρ ἡμῶν ἀναδοχῆς ἐν κόσμῳ ἐνσάρκου παρουσίας, ἧς ἀνεδέξατο ὑπὲρ ἡμῶν παθεῖν ὁ ἀπαθὴς ὢν θεὸς, μένων ἐν τῇ ἰδίᾳ ἀπαθείᾳ τῆς αὐτοῦ θεότητος, καὶ [2] αὐτῷ, ὃ ἀνεδέξατο ὑπὲρ ἡμῶν παθεῖν, οὐκ ἀγοράζων ἡμᾶς ἀπ' ἀλλο-

4. ἐγκαθέξει *habent libri.*

CAP. VIII. — 1. ὃς *scripsi, Petavium secutus, pro* ὃ, *quod libri retinent.*

2. αὐτῷ *correxi, omnes cum libri* αὐτὸ *tenerent.*

rit. Igitur demus illum viribus imparem esse, nusquam fabricatum opus ab eo constare poterit, sed iampridem interciderit oportet, cum diebus singulis decerptum indidem aliquid partim a malo propriam in regionem, partim a bono in superiora transferatur. Ubinam ergo demum illud opificium consistet? Si paulatim desiturum respondeas, ac boni cura studioque finem aliquando consecuturum, nonne illati damni culpam bonus iste sustinebit, qui quod boni fecisse postea visus est, non diu ante, adeoque initio perfecerit, antequam plerique iniuriam acciperent, et in iudicis potestate detenti inferiore loco remanerent?

Iam quod e sacris depromptum literis affert, eo perperam intellecto, atque apostoli depravata sententia, rudioribus fucum obiicit, cum ita loquitur apostolus: *Christus nos a maledicto redemit, pro nobis factus maledictum.* Ex quo istud colligit, si ipsius essemus, non utique quod iam suum erat redempturum fuisse. Cum igitur redemisse dicatur, necesse est alienum in mundum pedem posuisse, ut nos, qui illius non essemus, redimeret. Opus enim eramus alterius, ideoque nos vitam ad suam transportandos redemit. Verum illud hominum stolidissimus ignorat, nequaquam Christum maledictum fuisse, absit ut eiusmodi quiddam arbitremur, sed cum ultro crucem subiisset, contractum a nobis ex peccato maledictum abstulisse, ut mors quodammodo mortis esset culpa nostra susceptae, ipsiusque maledicti maledictum. Quare maledictum Christus non est, sed dissolutio maledicti, contra vero benedictio omnibus est in eum vere ac sincere credentibus. Unde et *redemit* scriptum est, non *emit.* Neque enim in alienam possessionem diripiendi vel emendi gratia venit. Nam si emeret, quod ante non habebat emeret, ac mendici instar quibus caruerat sibi compararet. Cuius autem in peculio eramus, omnino egestate nos oppressus aliqua vendidisset, quasi a creditore quopiam coactus. Longe vero sese aliter res habet. Non enim emendi verbo usus est, sed redimendi. Cui simile est illud, quod idem apostolus alio loco dixit: *Redimentes tempus, quoniam dies mali sunt.* Atqui neque dies emuntur a nobis, nec pro illis pretium ullum persolvimus, sed ad patientiam ac tolerantiam animique constantiam exprimendam eam loquendi rationem adhibuit. Quocirca redimendi verbum totum illud suscepti pro salute nostra corporis adventusque negotium significat, quo quidem pati nostra caussa dignatus est deus, qui pati nihil alioqui poterat, cum in eodem statu divinitatis, patiendi videlicet, nihilominus persisteret. Quod vero perpeti aliquid pro nobis voluit, non id emendi nostri gratia praestitit, quasi alieno mancipio teneremur, sed uno duntaxat no-

Cap. VIII.

Galat. 3, 13.

Eph. 5, 16.

*τρίων, ἀλλὰ τὴν ὑπόθεσιν ὑπὲρ ἡμῶν τοῦ σταυροῦ ἀναδεξάμενος προαιρέσει, καὶ οὐ μετ' ἀνάγκης. Ὅθεν ἐλήλεγκται κατὰ πάντα τοῦ Μαρκίωνος ὁ λόγος· καὶ πολλά ἐστι τὰ πρὸς ἀνατροπὴν τῆς τούτου μηχανῆς καὶ τραγῳδίας ἐξ εὐσεβοῦς λογισμοῦ καὶ εὐλόγου ὁρμώμενα ἐμφάσεως ἐν τῇ πρὸς αὐτὸν ἀντιῤῥήσει.*

Κεφ. Ϛ'. *Ἐλεύσομαι δὲ εἰς τὰ ὑπ' αὐτοῦ γεγραμμένα, μᾶλλον δὲ ἐῤῥᾳδιουργημένα. Οὗτος γὰρ ἔχει εὐαγγέλιον μόνον τὸ κατὰ Λουκᾶν, περικεκομμένον ἀπὸ τῆς ἀρχῆς διὰ τὴν τοῦ σωτῆρος σύλληψιν καὶ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν. Οὐ μόνον δὲ τὴν ἀρχὴν ἀπέτεμεν ὁ λυμηνάμενος ἑαυτὸν ἤπερ τὸ εὐαγγέλιον, ἀλλὰ καὶ τοῦ τέλους καὶ τῶν μέσων πολλὰ περιέκοψε τῶν τῆς ἀληθείας λόγων· ἄλλα δὲ παρὰ τὰ γεγραμμένα προςτέθεικε. Μόνῳ δὲ κέχρηται τούτῳ τῷ χαρακτῆρι, τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ. Ἔχει δὲ καὶ ἐπιστολὰς παρ' αὐτῷ τοῦ ἁγίου ἀποστόλου δέκα, αἷς μόναις κέχρηται, οὐ πᾶσι δὲ τοῖς ἐν αὐταῖς γεγραμμένοις, ἀλλά τινα αὐτῶν περιτέμνων, τινὰ δὲ ἀλλοιώσας κεφάλαια. Ταύταις δὲ ταῖς δυσὶ βίβλοις κέχρηται. Ἄλλα δὲ συντάγματα ἀφ'*
pag. 310. *ἑαυτοῦ συνέταξε τοῖς ἀπ' αὐτοῦ πλανωμένοις. Αἱ δὲ ἐπιστολαὶ αἱ παρ' αὐτῷ λεγόμεναί εἰσι, πρώτη μὲν πρὸς Γαλάτας, δευτέρα δὲ πρὸς Κορινθίους, τρίτη πρὸς Κορινθίους δευτέρα, τετάρτη πρὸς Ῥωμαίους, πέμπτη πρὸς Θεσσαλονικεῖς, ἕκτη πρὸς Θεσσαλονικεῖς δευτέρα, ἑβδόμη πρὸς Ἐφεσίους, ὀγδόη πρὸς Κολωσσεῖς, ἐννάτη πρὸς Φιλήμονα, δεκάτη πρὸς Φιλιππησίους. Ἔχει δὲ καὶ τῆς πρὸς* [1] *Λαοδικέας λεγομένης μέρη. Ἐξ οὗπερ χαρακτῆρος τοῦ παρ' αὐτοῦ σωζομένου τοῦ τε εὐαγγελίου καὶ τῶν ἐπιστολῶν τοῦ ἀποστόλου δεῖξαι αὐτὸν ἐν Θεῷ ἔχομεν ἀπατεῶνα καὶ πεπλανημένον, καὶ ἀκρότατα διελέγξαι. Ἐξ αὐτῶν γὰρ ἀναμφιβόλως τῶν παρ' αὐτοῦ ὁμολογουμένων ἀνατραπήσεται. Ἐκ γὰρ τῶν αὐτῶν ἔτι παρ' αὐτοῦ λειψάνων τοῦ τε εὐαγγελίου καὶ τῶν ἐπιστολῶν εὑρισκομένων δειχθήσεται ὁ Χριστὸς τοῖς συνετοῖς μὴ ἀλλότριος εἶναι παλαιᾶς διαθήκης, καὶ οἱ προφῆται οὖν οὐκ ἀλλότριοι ὄντες τῆς τοῦ κυρίου ἐνδημίας, καὶ ὅτι ἀνάστασιν σαρκὸς ὁ ἀπόστολος κηρύττει καὶ δικαίους τοὺς προφήτας ὀνομάζει, καὶ ἐν σωζομένοις ὑπάρχοντας τοὺς περὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ πάντα ὅσα ἐστὶ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας* [2] *σωτήριά τε καὶ ἅγια καὶ ἐκ Θεοῦ ἐστηριγμένα, ἔν τε τῇ πίστει καὶ ἐν τῇ γνώσει καὶ ἐν ἐλπίδι καὶ διδασκαλίᾳ.*

Κεφ. ί. *Παραθήσομαι δὲ καὶ ἣν ἐποιησάμην κατ' αὐτοῦ πραγματείαν πρὶν τοῦ ταύτην μου τὴν σύνταξιν ἐσπουδακέναι διὰ τῆς ὑμῶν, τῶν ἀδελφῶν, προτροπῆς ποιήσασθαι. Ἀπὸ ἐτῶν* [1] *ἱκανῶν ἀνερευνῶν τὴν τού-*

Cap. IX. — 1. *Vulgo* Λαοδικείας.
2. σωτήριά τε καὶ *cod. Vatic.* τε σωτήρια καὶ *vulgo extat.*

stri studio et amore ductus crucis supplicium non necessitate ulla, sed voluntate sustinuit. Ex quo Marcionis tota illa ratio funditus labefactatur. Sed ad eius machinam omnem ac tragoediam evertendam multa sunt a nobis in illius refutationem congesta, eademque religiosa ex mente animique recta ratione praediti significatione profecta.

Iam enim ad eius scripta, vel potius scelerate commissa, me confero. Nam iste solum Lucae evangelium amplectitur, amputato tamen eius initio, quod ibi salvatoris in utero generationem et eiusdem adventum cum corpore perspicue commemoret. Nec initium modo circumscripsit ille sui potius quam evangelii corruptor, sed et ex initio pariter ac medio plerasque veritatis sententias sustulit, aliasque pro illis substituit. Hanc unam porro evangelii formam, quod a Luca scriptum, admittit: epistolas praeterea Pauli apostoli decem, quibus solis utitur, nec iis quidem integris, sed alia ex illis capita detrahit, alia commutat. Atque hos duos libros duntaxat pro canonicis habet; praeter quos alia insuper a se elucubrata volumina erroris sui studiosis obtrusit. Epistolae vero, quae ab illo probantur, hae sunt. Prima est ad Galatas, II. ad Corinthios prima, III. ad Corinthios secunda, IV. ad Romanos, V. ad Thessalonicenses prima, VI. ad Thessalonicenses secunda, VII. ad Ephesios, VIII. ad Colossenses, IX. ad Philemonem, X. ad Philippenses. Habet et ad Laodicenses epistolae particulas aliquot. Qua ex ipsa, quam retinet, evangelii epistolarumque forma planum hunc et impostorem esse demonstrare deo opitulante possumus, plenissimeque refellere. Etenim ex iis ipsis libris, quos germanos esse confitetur, procul dubio redarguetur. Ex iis inquam quas adsciscit ac servat evangelii, epistolarumque reliquiis, apud eos quidem qui sapientiae paululum habeant manifeste probabimus, nequaquam a vetere testamento Christum, aut ab eo cum carne veniente prophetas abhorrere: quinetiam resurrectionem corporum ab apostolo praedicari, et in eorum qui salutem consequuntur numerum Abraamum ab eodem et Isaacum Iacobumque referri: nec non reliqua demonstrabuntur omnia, quae sancta dei ecclesia profitetur, salutaria illa quidem ac sancta, deique auctoritate roborata, quae communi fide, scientia, spe doctrinaque comprehendit. Cap. IX.

Libet vero disputationem quandam hic inserere, quam adversus haereticum istum elucubraveram, antequam opus istud hortatu vestro susciperem. Nam cum multis abhinc annis Marcionis huius com- Cap. X.

Cap. X. — 1. ἱκανῶν γάρ *scribendum putavit Petavius. Non opus est.*

*του τοῦ Μαρκίωνος ἐπινενοημένην ψευδηγορίαν καὶ ληρώδη διδασκαλίαν, αὐτὰς δὴ τὰς τοῦ προειρημένου βίβλους ἃς κέκτηται μετὰ χεῖρας λαβὼν, τό τε παρ'* [2] *αὐτῷ λεγόμενον Εὐαγγέλιον καὶ Ἀποστολικὸν καλούμενον παρ' αὐτῷ, ἐξανθισάμενος καὶ ἀναλεξάμενος καθ' εἱρμὸν ἀπὸ τῶν προειρημένων δύο βιβλίων τὰ ἐλέγξαι αὐτὸν δυνάμενα ἐδάφιόν τι συντάξεως ἐποιησάμην, ἀκολούθως τάξας κεφάλαια, καὶ ἐπιγράψας ἑκάστῃ ῥήσει, πρώτην, δευτέραν, τρίτην, καὶ οὕτως ἕως τέλους διεξῆλθον ἐν οἷς φαίνεται ἠλιθίως καθ' ἑαυτοῦ* [3] *ἔτι ταύτας τὰς παραμεινάσας τοῦ τε σωτῆρος καὶ τοῦ ἀποστόλου λέξεις φυλάττων. Αἱ μὲν γὰρ*
pag. 311. *αὐτῶν παρηλλαγμένως ὑπ' αὐτοῦ ἐρρᾳδιουργήθησαν, καὶ ὡς οὐκ εἶχε* [4] *τοῦ κατὰ Λουκᾶν εὐαγγελίου τὸ* [5] *ἀντίγραφον, οὔτε ἡ τοῦ ἀποστολικοῦ χαρακτῆρος ἔμφασις, ἄλλα δὲ φύσει ὡς ἔχει καὶ τὸ εὐαγγέλιον καὶ ὁ ἀπόστολος, μὴ ἀλλαγέντα ὑπ' αὐτοῦ, δυνάμενα δὲ αὐτὸν διελέγχειν, δι' ὧν δείκνυται παλαιὰ διαθήκη συμφωνοῦσα πρὸς τὴν νέαν, καὶ ἡ καινὴ πρὸς τὴν παλαιὰν διαθήκην· ἄλλαι δὲ πάλιν λέξεις τῶν αὐτῶν βιβλίων ὑποφαίνουσι Χριστὸν ἐν σαρκὶ ἐληλυθέναι, καὶ ἐν ἡμῖν τελείως ἐνηνθρωπηκέναι· ἀλλὰ καὶ ἄλλαι πάλιν* [6] *ὁμολογοῦσι τὴν τῶν νεκρῶν ἀνάστασιν, καὶ τὸν θεὸν ἕνα ὄντα κύριον πάντων παντοκράτορα αὐτὸν ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ πάντων τῶν ἐπὶ γῆς γενομένων, καὶ οὔτε παραχαράσσουσαι τοῦ εὐαγγελίου τὴν κλῆσιν, οὔτε μὴν ἀρνούμεναι τὸν ποιητὴν καὶ δημιουργὸν τῶν πάντων, ἀλλὰ δηλοῦσαι, τὸν σαφῶς ὡμολογημένον ὑπὸ τοῦ χαρακτῆρος τοῦ ἀποστολικοῦ καὶ τοῦ εὐαγγελικοῦ κηρύγματος. Καὶ ἔστι τὰ ἡμῖν πεπραγματευμένα ἐν ὑποκειμένοις παρατιθέμενα, ἅτινά ἐστι τάδε.*

## ΠΡΟΟΙΜΙΟΝ ΤΗΣ ΠΕΡΙ ΤΩΝ ΜΑΡΚΙΩΝΟΣ ΒΙΒΛΙΩΝ ΥΠΟΘΕΣΕΩΣ ΤΕ ΚΑΙ ΕΛΕΓΧΟΥ.

*Ὅτῳ φίλον ἐστὶ τὰς τοῦ ἀπατηλοῦ Μαρκίωνος νόθους ἐπινοίας ἀκριβοῦν, καὶ τὰς ἐπιπλάστους τοῦ αὐτοῦ βοσκήματος μηχανὰς διαγινώσκειν, τουτῳῒ τῷ συλλελεγμένῳ πονήματι ἐντυχεῖν μὴ κατοκνείτω. Ἐκ γὰρ τοῦ παρ' αὐτοῦ εὐαγγελίου τὰ πρὸς ἀντίρρησιν τῆς πανούργου αὐτοῦ ῥᾳδιουργίας σπουδάσαντες παρεθέμεθα, ἵν' οἱ τῷ πονήματι ἐντυχεῖν ἐθέλοντες ἔχωσι τοῦτο γυμνάσιον ὀξύτητος, πρὸς ἔλεγχον τῶν ὑπ' αὐτοῦ ἐπινενοημένων ξενολεξιῶν. Ὁ μὲν γὰρ χαρακτὴρ τοῦ κατὰ Λουκᾶν σημαίνει τὸ εὐαγγέλιον, ὡς δὲ ἠκρωτηρίασται μήτε ἀρχὴν ἔχων, μήτε μέσα, μήτε τέλος, ἱματίου βεβρωμένου ὑπὸ πολλῶν σητῶν ἐπέχει*

2. αὐτῷ *scripsi Cornarium secutus, qui vertit*, nempe id quod apud ipsum dicitur Evangelium *cett. Libri habent* αὐτῶν.

3. ἔτι *emendarunt Ios. Scaliger et Cornarius, qui vertit*, quod stulte contra se ipsum adhuc has quae restant, tum Salvatoris, tum Apostoli servat. *Libri habent* ἐπὶ.

4. τοῦ κατὰ Δουκᾶν εὐαγγελίου *emendarunt Ios. Scaliger, et Cornarius, qui*

mentitias fabulas, et inanissima dogmata perscrutatus essem, quosque ille libros pro canonicis comprobat, puta Evangelium quod ipsi vocant, et Apostolicum ab iisdem nominatum, evolvens selectiora inde nonnulla, quae ad illum refutandum pertinent, continuata serie decerpsissem, uberioris cuiusdam operis fundamenta posui, ac singulorum capitum ordinem ita distribui, ut unicuique sententiae, prima, secunda, tertia, ac sic deinceps, praescriberem, et ad finem usque singula notarem, in quibus istas salvatoris aut apostoli sententias contra se videtur stultissime retinuisse. Quaedam enim ex illis ab eo commutatae depravataeque sunt, non ea fide repraesentatae qua aut in evangelii secundum Lucam exemplaribus leguntur, aut apostolicus ipse stylus prae se ferre videatur. Alias integras et incorruptas reliquit; cuiusmodi sincero in evangelio et apostolo reperiuntur; ex quibus illius convinci mendacia possunt, utpote quae veteris testamenti cum novo, huius vicissim cum illo, consensionem ac concordiam declarant. Insunt in his libris et alia loca quibus assumpta carne venisse Christum ostendatur, ac perfectum inter nos hominem fuisse versatum. Accedunt ea quoque quibus mortuorum praedicatur excitatio, idemque deus et universorum dominus omnipotens, coeli ac terrae omniumque quae sunt in terra conditor perhibetur. Quae nec evangelicam vocationem adulterant, nec totius universitatis auctorem ac molitorem abnegant, sed eundem ipsum referunt, qualem et apostolicus stylus et evangelica praedicatio profitetur. Quae igitur hunc in modum elaboravimus suis argumentis digesta, deinceps proponenda sunt.

DE MARCIONIS LIBRIS OPUSCULI, SIVE REFUTATIONIS PROOEMIUM.

Si quis adulterina Marcionis inventa comprehendere penitus studet, ac pecudis illius versutias omnes et artificia cognoscere, hoc quod a me concinnatum opus est percurrat. Nam ex eius Evangelio quae contra calliditatem ipsius scelere implicatam opponi queant studiose selegimus, ut qui nostram hanc lucubratiunculam in manus sumere voluerint, in ea quandam acuminis exercitationem habeant, quo peregrinarum vocum ab illo repertarum novitatem facilius redarguant. Et quidem Marcionis ille liber evangelium secundum Lucam stylo ipso referre videtur, ut autem ab eo mutilatus est, initio, medio ac fine decurtatis, corrosi a tineis undique vestimenti simillimus

*vertit*, et non sicut habuit Evangelii secundum Lucam exemplar *cett. Libri habent vulgo* τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ.

5. ἀντίγραφον *cod. Vatic., et inde edit. Petav.* ἀντίγραμμα *edit. princ.*

6. *Scripsi* ὁμολογοῦσι *pro* ὁμολογοῦσαι, *quod libri habent.*

τὸν τρόπον. Εὐθὺς μὲν γὰρ ἐν τῇ ἀρχῇ πάντα τὰ ἀπ' ἀρχῆς τῷ Λουκᾷ πεπραγματευμένα, τουτέστιν ὡς λέγει, Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν, καὶ τὰ ἑξῆς, καὶ τὰ περὶ τῆς Ἐλισάβετ, καὶ τοῦ ἀγγέλου εὐαγγελιζομένου τὴν Μαρίαν παρθένον, Ἰωάννου τε καὶ Ζαχαρίου, καὶ τῆς
pag. 312. ἐν Βηθλεὲμ γεννήσεως γενεαλογίας, καὶ τῆς τοῦ βαπτίσματος ὑποθέσεως, ταῦτα πάντα περικόψας ἀπεπήδησε, καὶ ἀρχὴν τοῦ εὐαγγελίου ἔταξε ταύτην· Ἐν τῷ πεντεκαιδεκάτῳ ἔτει Τιβερίου Καίσαρος, καὶ τὰ ἑξῆς. Ἐντεῦθεν οὖν οὗτος ἄρχεται, καὶ οὐ καθ' εἱρμὸν πάλιν ἐπιμένει, ἀλλὰ τὰ μὲν ὡς προεῖπον παρακόπτει, τὰ δὲ προςτίθησιν ἄνω κάτω, οὐκ ὀρθῶς βαδίζων, ἀλλὰ ἐῤῥᾳδιουργημένως πάντα περινοστεύων, καὶ ἔστιν.

α'. Ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προςένεγκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς προςέταξε Μωϋσῆς, ἵνα ᾖ μαρτύριον τοῦτο ὑμῖν· ἀνθ' οὗ εἶπεν ὁ σωτὴρ, Εἰς μαρτύριον αὐτοῖς.

β'. Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς.

γ'. Κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

δ'. Ἰούδαν Ἰσκαριὼθ, ὃς ἐγένετο προδότης· ἀντὶ τοῦδε, Κατέβη μετ' αὐτῶν, ἔχει, Κατέβη ἐν αὐτοῖς.

ε'. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ. [7] Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ.

ς'. Κατὰ τὰ αὐτὰ ἐποίουν τοῖς προφήταις οἱ πατέρες ὑμῶν.

ζ'. Λέγω δὲ [8] ὑμῖν, τοσαύτην πίστιν οὐδὲ ἐν τῷ Ἰσραὴλ εὗρον.

η'. Παρηλλαγμένον τὸ, Μακάριος [9] ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί· [10] εἶχε γὰρ ὡς πρὸς Ἰωάννην.

θ'. Αὐτός ἐστι περὶ οὗ γέγραπται, Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προςώπου σου.

ι'. Καὶ εἰςελθὼν εἰς τὸν οἶκον τοῦ Φαρισαίου κατεκλίθη. Ἡ δὲ γυνὴ στᾶσα ὀπίσω ἡ ἁμαρτωλὸς, παρὰ τοὺς πόδας, ἔβρεξε τοῖς δάκρυσι τοὺς πόδας, καὶ ἤλειψε, καὶ κατεφίλει.

ια'. Καὶ πάλιν, Αὕτη τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας, καὶ ἤλειψε, καὶ κατεφίλει.

ιβ'. Οὐκ εἶχεν, Ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ἀλλὰ μόνον, Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου.

ιγ'. Πλεόντων αὐτῶν ἀφύπνωσεν· ὁ δὲ ἐγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῇ θαλάσσῃ.

pag. 313. ιδ'. Ἐγένετο δὲ ἐν τῷ ὑπάγειν αὐτὸν, συνέπνιγον αὐτὸν οἱ ὄχλοι.

7. *Haec verba,* Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, *vulgo sunt male ad sequens scholion tracta. V. infra.*

8. ὑμῖν, *quod desideratur vulgo, adieci ex cod. Vaticano.*

9. ὡς *ed. princ.*

est. Etenim ab ipso statim initio ea unde Lucas exorsus est, nimirum: *Quoniam quidem multi conati sunt ordinare narrationem etc.*, una cum Elizabethae et angeli Mariae virgini nuntium afferentis historia, Ioannis item ac Zachariae, adeoque nati apud Bethleemum domini, cum eiusdem genealogia ac baptismate, haec inquam omnia circumcidens ac transiliens inde Evangelium exorditur: *Anno XV. Tiberii Caesaris etc.* Hoc igitur illius initium est. Neque tamen cetera ordine pertexit; verum quaedam ut diximus, amputat, addit alia, susque deque, quod aiunt, omnia perturbans, nec recta gradiens, sed malitiose huc illucque cursitans. Ea porro sequuntur.

**Quae scripturae loca a Marcione depravata sint.**

I. *Abiens ostende te sacerdoti, et offer pro expiatione tua, sicut praecepit Moyses, ut sit hoc testimonium vobis:* pro eo quod a salvatore dictum est, *In testimonium ipsis.* Luc. 5, 14.

II. *Ut autem sciatis quia potestatem habet filius hominis dimittendi peccata in terra.* Cap. 5, 24.

III. *Dominus est filius hominis etiam sabbati.* Cap. 6, 5.

IV. *Iudam Iscariothem, qui fuit proditor:* pro eo quod est, *Descendit cum ipsis*, habet *Descendit in ipsos.* Cap. 6, 16.

V. *Et omnis turba quaerebat eum tangere.* Ibid. 19 et 20.

VI. *Et ipse elevatis oculis suis. Secundum haec eadem faciebant Prophetis Patres vestri.* Cap. 6, 23.

VII. *Dico autem, Tantam fidem neque in Israel inveni.* Cap. 7, 9.

VIII. Depravatum ab eo est, *Beatus qui non fuerit scandalizatus in me.* Ibid. 23.

IX. Nam ad Ioannem ista referebat. *Hic est de quo scriptum est, Ecce ego mitto angelum meum ante faciem tuam.* Ibid. 27.

X. *Et ingressus in domum Pharisaei discubuit: mulier vero stans retro peccatrix, secus pedes, lacrymis pedes rigavit, et unxit, et osculata est.* Ibid. 36.

XI. Et rursus, *Haec lacrymis rigavit pedes meos, et unxit, et osculata est.* Ibid. 44.

XII. Non habet ista: *Mater ipsius, et fratres ipsius*, sed hoc solum: *Mater tua, et fratres tui.* Cap. 8, 19.

XIII. *Navigantibus ipsis obdormivit. At ille surgens increpavit ventum et mare.* Ibid. 24.

XIV. *Et contigit dum iret, ut a turbis comprimeretur. Et mu-* Ibid. 42 sq.

10. *Ex cod. Vaticani auctoritate haec verba* εἶχε γὰρ ὡς πρὸς Ἰωάννην *suo loco restitui. Vulgo enim leguntur ad sequentem paragraphum tracta, quod ne fieret vel sola illa* γὰρ *particula satis videri poterat dissuadere. V. infra locum gemellum.*

*Καὶ γυνὴ ἁψαμένη αὐτοῦ ἰάθη τοῦ αἵματος· καὶ εἶπεν ὁ κύριος, Τίς μου ἥψατο; καὶ πάλιν, Ἥψατό μού τις. Καὶ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ.*

*ιε'. Ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν ἐπ' αὐτούς.*

*ις'. Λέγων, Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποκτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας ἐγερθῆναι.*

*ιζ'. Καὶ ἰδοὺ, δύο ἄνδρες συνελάλουν αὐτῷ Ἠλίας καὶ Μωϋσῆς ἐν δόξῃ.*

*ιη'. Ἐκ τῆς νεφέλης φωνὴ, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός.*

*ιθ'. Ἐδεήθην τῶν μαθητῶν σου. Εἶχε δὲ παρὰ τὸ, Οὐκ ἠδυνήθησαν ἐκβαλεῖν αὐτὸ, Καὶ πρὸς αὐτοὺς, Ὦ γενεὰ ἄπιστος, [11] ἕως ἀνέξομαι ὑμῶν.*

*κ'. Ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων.*

*κα'. Οὐδὲ τοῦτο ἀνέγνωτε, τί ἐποίησε Δαβίδ· εἰςῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ.*

*κβ'. Εὐχαριστῶ σοι, κύριε τοῦ οὐρανοῦ. Οὐκ εἶχε δὲ, Καὶ τῆς γῆς, οὔτε Πάτερ εἶχεν. Ἐλέγχεται δέ· κάτω γὰρ εἶχεν, Ναὶ, ὁ πατήρ.*

*κγ'. Εἶπε τῷ νομικῷ, Ἐν τῷ νόμῳ τί γέγραπται; καὶ ἀποκριθεὶς μετὰ τὴν ἀπόκρισιν τοῦ νομικοῦ εἶπεν, Ὀρθῶς [12] εἶπες· τοῦτο ποίει, καὶ ζήσῃ.*

*κδ'. Καὶ εἶπε, Τίς ἐξ ὑμῶν ἕξει φίλον, καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου, αἰτῶν τρεῖς ἄρτους; Καὶ λοιπὸν, Αἰτεῖτε, καὶ δοθήσεται. Τίνα γὰρ ἐξ ὑμῶν τὸν πατέρα υἱὸς αἰτήσει ἰχθὺν, καὶ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ; ἢ ἀντὶ ὠοῦ σκορπίον; Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ, πόσῳ μᾶλλον ὁ πατήρ.*

*κε'. Περικέκοπται τὸ περὶ Ἰωνᾶ τοῦ προφήτου. Εἶχε γὰρ, Ἡ γενεὰ αὕτη, σημεῖον οὐ δοθήσεται αὐτῇ. Οὐκ εἶχε [13] δὲ περὶ Νινευὴ, καὶ βασιλίσσης νότου, καὶ Σαλομῶνος.*

*κς'. Ἀντὶ τοῦ, Παρέρχεσθε τὴν κρίσιν τοῦ θεοῦ, εἶχε, Παρέρχεσθε τὴν κλῆσιν τοῦ θεοῦ.*

*κζ'. Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνήματα τῶν προφητῶν, καὶ οἱ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς.*

*κη'. Οὐκ εἶχε, Διὰ τοῦτο εἶπεν ἡ σοφία τοῦ θεοῦ, Ἀποστελῶ εἰς αὐτοὺς προφήτας· καὶ περὶ αἵματος Ζαχαρίου καὶ Ἄβελ τῶν προ-*
pag. 314. *φητῶν, ὅτι, Ἐκζητηθήσεται ἐκ τῆς γενεᾶς ταύτης.*

*κθ'. Λέγω τοῖς φίλοις μου, Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, φοβηθῆτε δὲ τὸν μετὰ τὸ ἀποκτεῖναι ἔχοντα ἐξουσίαν*

11. *Infra extat* ἕως πότε. 12. *Infra extat* εἶπας *pro* εἶπες.

*lier cum tetigisset ipsum, sanata est a fluxu sanguinis. Et ait dominus, Quis me tetigit?* Ac rursum: *Tetigit me aliquis. Nam ego novi virtutem de me exisse.*

XV. *Suspiciens in coelum benedicebat ipsis.* Luc. 9, 16.

XVI. *Dicens, Oportet filium hominis multa pati, et occidi, et* Ibid. 22.
*post tres dies resurgere.*

XVII. *Et ecce duo viri loquebantur cum eo, Elias et Moyses in* Ibid. 30.
*gloria.*

XVIII. *E nube vox, Hic est filius meus dilectus.* Ibid. 35.

XIX. *Rogavi discipulos tuos.* Quod in codice suo habebat, Ibid. 40.
praeterquam, *Non potuerunt eiicere ipsum. Et ait ad ipsos: O generatio incredula! quamdiu vos sustinebo.*

XX. *Filius enim hominis tradendus est in manus hominum.* Ibid. 44.

XXI. *Neque hoc legistis, quid fecerit David: Ingressus est in* Cap. 6, 3.
*domum dei.*

XXII. *Gratias ago tibi domine coeli.* Deerat, *et terrae*, sed Cap. 10, 21.
et vox, *Pater*, aberat. Sed ex eo redarguitur, quod paulo post habeat, *Etiam pater.*

XXIII. Dixit legisperito, *In lege quid scriptum est? Et re-* Ibid. 26.
*spondens.* Post legisperiti responsum dixit, *Recte dixisti. Hoc fac, et vives.*

XXIV. Et dixit, *Quis vestrum habebit amicum, et ibit ad illum* Cap. 11, 5.
*media nocte, postulans tres panes?* Ac deinceps, *Petite et dabitur.*
*Quis enim ex vobis est pater, a quo filius petat piscem, et pro pisce* Ibid. 11.
*serpentem dabit illi? aut pro ovo scorpionem? Si ergo vos cum sitis mali, nostis dona bona, quanto magis pater?*

XXV. Amputata erant ea quae ad Ionam pertinebant. Sic Ibid. 29.
enim habebat: *Generatio haec, signum non dabitur ei.* Desiderabantur etiam illa, quibus de Ninive et regina Austri ac Salomone fit mentio.

XXVI. Pro his verbis, *Praeteritis dei iudicium*, rescripserat, Ibid. 42.
*Praeteritis dei vocationem.*

XXVII. *Vae vobis, quoniam aedificatis sepulcra prophetarum, et* Ibid. 47.
*patres vestri occiderunt illos.*

XXVIII. Deerat, *Propterea et sapientia dei dixit, Mittam ad* Ibid. 49.
*illos prophetas:* et de sanguine Zachariae et Abel prophetarum, *Quoniam requiretur a generatione hac.*

XXIX. *Dico amicis meis, Nolite timere eos qui occidunt corpus:* Cap. 12, 4.
*timete vero eum qui postquam occiderit habet potestatem mittendi in*

13. *Vulgo* δή.

βαλεῖν εἰς γέενναν. Οὐκ εἶχε δὲ, Οὐχὶ πέντε στρουθία ἀσσαρίων δύο πωλοῦνται, καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ θεοῦ;

λ'. Ἀντὶ τοῦ, Ὁμολογήσει ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ, Ἐνώπιον τοῦ θεοῦ, λέγει.

λα'. Οὐκ ἔχει τὸ, Ὁ θεὸς ἀμφιέννυσι τὸν χόρτον.

λβ'. Ὑμῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων, τῶν σαρκικῶν δή.

λγ'. Ζητεῖτε δὲ τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προςτεθήσεται ὑμῖν.

λδ'. Ἀντὶ τοῦ, Ὁ πατὴρ ὑμῶν, Ὁ πατὴρ εἶχεν.

[14] λε'. Ἀντὶ τοῦ, Δευτέρᾳ ἢ τρίτῃ φυλακῇ, εἶχεν Ἑσπερινὴν φυλακήν.

[15] λς'. Ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει.

[16] λζ'. Μή ποτε κατασύρῃ σε πρὸς τὸν κριτὴν, καὶ ὁ κριτὴς παραδώσει σε τῷ πράκτορι.

[17] λη'. Ἦν παρακεκομμένον ἀπὸ τοῦ, Ἦλθόν τινες ἀναγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα συνέμιξε Πιλᾶτος μετὰ τῶν θυσιῶν αὐτῶν, ἕως ὅπου λέγει περὶ τῶν ἐν τῷ Σιλωὰμ δεκαοκτὼ ἀποθανόντων ἐν τῷ πύργῳ. Καὶ ὅτι, Ἐὰν μὴ μετανοήσητε, καὶ ἕως τῆς παραβολῆς τῆς συκῆς, περὶ ἧς εἶπεν ὁ γεωργὸς [18] ὅτι, Σκάπτω, καὶ βάλλω κόπρια, καὶ ἐὰν μὴ ποιήσῃ, ἔκκοψον.

λθ'. Ταύτην δὲ θυγατέρα Ἀβραὰμ ἔδησεν ὁ Σατανᾶς.

μ'. Παρέκοψε πάλιν, Τότε ὄψεσθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας τοὺς προφήτας, ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. Ἀντὶ δὲ τούτου ἐποίησεν, Ὅτε πάντας τοὺς δικαίους ἴδητε ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους. [19] Ἐποίησε δὲ, Κρατουμένους ἔξω, καὶ, Ἐκεῖ ἐστιν ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

μα'. Παρέκοψε πάλιν τὸ, Ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ· καὶ τὸ, Οἱ ἔσχατοι ἔσονται πρῶτοι· καὶ τὸ, Προςῆλθον οἱ Φαρισαῖοι λέγοντες, Ἔξελθε καὶ πορεύου, ὅτι Ἡρώδης σε θέλει ἀποκτεῖναι· καὶ τὸ, Εἶπε, Πορευθέντες εἴπατε
pag. 315. τῇ ἀλώπεκι ταύτῃ, ἕως ὅτου εἶπεν, Οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἱερουσαλήμ· [20] καὶ τὸ, Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους· καὶ τὸ, Πολλάκις ἠθέλησα ἐπισυνάξαι ὡς ὄρνις τὰ τέκνα σου· καὶ τὸ, Ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν· καὶ τὸ, Οὐ μὴ ἴδητέ με, ἕως εἴπητε, Εὐλογημένος.

14. *Desideratur numerus in edit. princ. Andr. Schottus suo exemplo adscripsit de cod. Vaticano:* „Invenitur numerus 36."

15. λζ' *cod. Vatic.*

16. λη' *cod. Vatic.*

17. λθ' *cod. Vatic.*

*Geennam.* Nec habebat illud: *Nonne quinque passeres veneunt dipondio, et unus ex ipsis non est in oblivione coram deo?*

XXX. Pro his verbis: *Confitebitur coram angelis dei,* rescribit, *Coram deo.* Luc. 12, 8.

XXXI. Non habet ista: *Deus vestit foenum.* Ibid. 28.

XXXII. *Pater vester novit quoniam his opus habetis;* haud dubie quae ad carnem attinent. Ibid. 30.

XXXIII. *Quaerite autem regnum dei, et haec omnia adiicientur vobis.* Ibid. 31.

XXXIV. Pro eo quod est, *Pater vester,* habebat, *Pater.* Ibid. 30.

XXXV. Pro his vero, *Secunda aut tertia custodia,* substituerat *Vespertinam custodiam.* Ibid. 38.

XXXVI. *Veniet dominus servi istius, et secabit eum, et partem eius ponet cum infidelibus.* Ibid. 46.

XXXVII. *Ne forte trahat te ad iudicem, et iudex tradat te exactori.* Ibid. 58.

XXXVIII. Sustulerat ex illo loco, *Venerunt quidam nuntiantes ipsi de Galilaeis, quorum sanguinem miscuerat Pilatus cum sacrificiis eorum,* usque ad ea quibus de octodecim illis est sermo qui ruina turris oppressi sunt. Item, *Nisi poenitentiam egeritis,* usque ad parabolam ficus de qua dixit agricola, *Fodiam, et mittam stercora, et si non fecerit, excide.* Cap. 13, 1.

XXXIX. *Hanc autem filiam Abrahae alligavit satanas.* Ibid. 16.

XL. Item illud ademit: *Tunc videbitis Abraam, Isaac et Iacob, et omnes prophetas in regno dei.* Pro quo rescripsit, *Cum omnes iustos videritis in regno dei, vos autem exclusos.* Adiecit vero, *detentos foris:* et, *Illic est fletus et stridor dentium.* Ibid. 28.

XLI. Item illud sustulit: *Venient ab oriente et occidente, et recumbent in regno.* Tum illud: *Erunt novissimi primi.* Item: *Accesserunt Pharisaei dicentes, Exi et vade, quoniam Herodes vult te interficere.* Nec non et istud: *Dixit, Abeuntes dicite vulpi huic,* usque ad ea, *Non capit prophetam occidi extra Hierusalem.* Illud etiam: *Hierusalem, Hierusalem, quae occidis prophetas, et lapidas eos qui ad te missi sunt.* Item: *Saepe volui congregare, sicut gallina pullos suos.* Et: *Relinquetur vobis domus vestra.* Et: *Non me videbitis, donec dicatis, Benedictus.* Ibid. 29.

18. ὅτι, καὶ σκάπτω *cod. Vatic.*

19. *Recte infra* Προςέθηκε *pro* Ἐποίησε.

20. *Verba* καὶ τὸ, Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, *quae vulgo desiderantur, reposui ex auctoritate cod. Vaticani.*

*μβ'. Πάλιν ἀπέκοψε τὴν παραβολὴν πᾶσαν τῶν δύο υἱῶν, τοῦ εἰληφότος τὸ μέρος τῶν ὑπαρχόντων, καὶ τοῦ ἄλλου.*

*μγ'. Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, καὶ πᾶς εἰς αὐτὴν βιάζεται.*

*μδ'. Περὶ τοῦ πλουσίου καὶ Λαζάρου τοῦ πτωχοῦ, ὅτι ἀπηνέχθη ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ.*

*με'. Νῦν δὲ ὧδε παρακαλεῖται ὁ αὐτὸς Λάζαρος.*

*μϛ'. Εἶπεν Ἀβραάμ, Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν [21] αὐτοῦ· ἐπεὶ οὐδὲ τοῦ ἐγειρομένου ἐκ νεκρῶν ἀκούουσιν.*

*μζ'. Παρέκοψε τὸ, Λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν.*

*μη'. Ὅτε συνήντησαν οἱ δέκα λεπροί. Ἀπέκοψε δὲ πολλὰ, καὶ ἐποίησεν, Ἀπέστειλεν αὐτοὺς λέγων, Δείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι· καὶ ἄλλα ἀντὶ ἄλλων ἐποίησε, λέγων ὅτι, Πολλοὶ λεπροὶ ἦσαν ἐν ἡμέραις Ἐλισσαίου τοῦ προφήτου, καὶ οὐκ ἐκαθαρίσθη εἰ μὴ Νεεμὰν ὁ Σύρος.*

*μθ'. Ἐλεύσονται ἡμέραι, ὅταν ἐπιθυμήσητε ἰδεῖν μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου.*

*ν'. Εἶπέ τις πρὸς αὐτὸν, Διδάσκαλε ἀγαθὲ, Τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; Μή με λέγετε ἀγαθόν· εἷς ἐστιν ἀγαθός. [22] Προςέθηκε τὸ ὅτι, Ὁ πατήρ. Καὶ ἀντὶ τοῦ, Τὰς ἐντολὰς οἶδας, λέγει, Τὰς ἐντολὰς οἶδα.*

*να'. Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν τῇ Ἱεριχὼ, τυφλὸς ἐβόα, Ἰησοῦ, υἱὲ Δαβὶδ, ἐλέησόν με. Καὶ ὅτε [23] ἰάθη, φησὶν, Ἡ πίστις σου σέσωκέ σε.*

*νβ'. Παρέκοψε τὸ, Παραλαβὼν τοὺς δώδεκα ἔλεγεν, Ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ τελεσθήσεται πάντα τὰ γεγραμμένα ἐν τοῖς προφήταις περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου· παραδοθήσεται, ἀποκτανθήσεται, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Ὅλα ταῦτα παρέκοψε.*

*νγ'. Παρέκοψε τὸ κεφάλαιον τῆς ὄνου καὶ Βηθφαγὴ, καὶ τὸ περὶ* pag. 316. *τῆς πόλεως καὶ τοῦ ἱεροῦ, ὅτι γεγραμμένον ἦν, Ὁ οἶκός μου οἶκος προςευχῆς, καὶ ποιεῖτε αὐτὸν σπήλαιον λῃστῶν.*

*νδ'. Καὶ ἐζήτησαν ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας, καὶ ἐφοβήθησαν.*

*νε'. Πάλιν ἀπέκοψε [24] τὴν τοῦ ἀμπελῶνος τοῦ ἐκδεδομένου γεωργοῖς· καὶ τὸ, Τί οὖν ἐστι τὸ, Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες;*

*νϛ'. Ἀπέκοψε τὸ, Ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ, Μωϋσῆς ἐμήνυσε*

21. αὐτοῦ *reposui ex cod. Vatic., quamquam infra reperitur* αὐτῶν. *Vulgo extat* αὐτούς.

22. *Corrigo* Προςεθήκατο ὅτι, *vel* Προςέθετο ὅτι.

23. ἰάσθη *edit. princ.*

XLII. Ad haec integram abscidit duorum filiorum parabolam, eius videlicet qui bonorum partem abstulerat, et alterius. Luc. 15, 11 sqq.

XLIII. *Lex et prophetae usque ad Ioannem, et omnis in illud vim facit.* Cap. 16, 16.

XLIV. De divite et Lazaro mendico, quemadmodum delatus est ab angelis in sinum Abraami. Ibid. 22.

XLV. *Nunc vero hic consolatur Lazarus.* Ibid. 25.

XLVI. *Dixit Abraam, Habent Moysem et prophetas, ipsos audiant: quandoquidem neque si quis a mortuis resurrexerit audient.* Ibid. 29.

XLVII. Sustulit ista: *Dicite, quoniam servi inutiles sumus; quod debuimus facere, fecimus.* Cap. 17, 10.

XLVIII. Quando occurrerunt leprosi. Quo in loco multa resecuit, atque ita scripsit: *Et misit eos dicens, Ostendite vos sacerdotibus:* ac pro aliis alia subiecit, ita concipiens: *Multi erant leprosi in diebus Elisaei prophetae, et nemo curatus est nisi Naamam Syrus.* Ibid. 12.

XLIX. *Venient dies, quando desiderabitis videre unum ex diebus filii hominis.* Ibid. 22.

L. *Dixit ei quidam, Magister bone, quid faciens vitam aeternam possidebo? Nolite me dicere bonum: Unus est bonus.* Adiecit vero, *Pater.* Sed et pro eo quod est, *Mandata nosti*, scripsit ille, *Mandata novi.* Cap. 18, 18.

LI. *Factum autem est cum appropinquaret Ierícho, caecus clamabat, Iesu filii David, miserere mei! Et cum curatus esset, ait, Fides tua te salvum fecit.* Ibid. 35.

LII. Mutilavit ista: *Assumptis duodecim ait, Ecce ascendimus Hierosolymam, et consummabuntur omnia quae scripta sunt per prophetas de filio hominis: tradetur, occidetur, et tertia die resurget.* Haec omnia sustulit. Ibid. 31.

LIII. Expunxit et caput illud de asino, Bethphage et urbe ac Cap 19, 29.
templo: *Quoniam scriptum est, Domus mea domus orationis vocabitur,* Ibid. 46.
*et facitis eam speluncam latronum.*

LIV. *Et quaesierunt iniicere manus in illum, et timuerunt.* Cap. 20, 19.

LV. Item illum induxit locum quo de vite illa agitur agricolis Ibid. 9.
locata. Atque hoc insuper: *Quid est igitur, Lapidem quem reproba-* Ibid. 17.
*verunt aedificantes?*

LVI. Delevit illud: *Quia vero mortui resurgunt, Moyses osten-* Ibid. 37.

24. *Intellego* παραβολὴν *cum Cornario. Petavius rescribendum proposuit* τὰ τοῦ ἀμπελῶνος.

περὶ τῆς βάτου, καθὼς λέγει, Κύριον τὸν θεὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. Θεὸς δέ ἐστι ζώντων, καὶ οὐχὶ νεκρῶν.

νζ'. Οὐκ εἶχε ταῦτα· Ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ καὶ Μωϋσῆς ἐμήνυσε, λέγων θεὸν Ἀβραὰμ καὶ θεὸν Ἰσαὰκ καὶ θεὸν Ἰακὼβ, θεὸν ζώντων.

νη'. Πάλιν παρέκοψε τὸ, Θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται.

νθ'. Πάλιν παρέκοψε ταῦτα· Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ τὰ ἑξῆς· διὰ τὸ ἐπιφερόμενον, Ἕως πληρωθῇ πάντα τὰ γεγραμμένα.

ξ'. Συνελάλησε τοῖς στρατηγοῖς καὶ τὸ πῶς αὐτὸν παραδῷ αὐτοῖς.

ξα'. Καὶ εἶπε τῷ Πέτρῳ καὶ τοῖς λοιποῖς, Ἀπελθόντες ἑτοιμάσατε, ἵνα φάγωμεν τὸ πάσχα.

ξβ'. Καὶ ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ, καὶ εἶπεν, Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν, πρὸ τοῦ με παθεῖν.

ξγ'. Παρέκοψε τὸ, Λέγω γὰρ ὑμῖν, Οὐ μὴ φάγω αὐτὸ ἀπαρτὶ ἕως πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.

ξδ'. Παρέκοψε τὸ, Ὅτε ἀπέστειλα ὑμᾶς, μή τινος ὑστερήσατε; καὶ τὰ ἑξῆς· διὰ τὸ, Καὶ τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι, τὸ, Καὶ μετὰ ἀνόμων συνελογίσθη.

ξε'. Ἀπεσπάσθη ἀπ' αὐτῶν ὡςεὶ λίθου βολὴ, καὶ θεὶς τὰ γόνατα προςηύχετο.

ξϛ'. Καὶ ἤγγισε καταφιλῆσαι αὐτὸν, καὶ εἶπεν.

ξζ'. Παρέκοψε [25] ὃ ἐποίησε Πέτρος, ὅτε ἐπάταξε καὶ ἀφεῖλετο τὸ οὖς.

ξη'. Οἱ συνέχοντες ἐνέπαιζον δέροντες, καὶ τύπτοντες ἔλεγον, Προφήτευσον τίς ἐστιν ὁ παίσας σε;

ξθ'. Προςέθετο μετὰ τοῦτο, Τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ καταλύοντα τὸν νόμον καὶ τοὺς προφήτας.

pag. 317. ο'. Προςθήκη μετὰ τὸ, Κελεύοντα φόρους μὴ δοῦναι, Καὶ ἀποστρέφοντα τὰς γυναῖκας καὶ τὰ τέκνα.

οα'. Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Κρανίου τόπος ἐσταύρωσαν αὐτὸν, καὶ διεμερίσαντο τὰ ἱμάτια, καὶ ἐσκοτίσθη ὁ ἥλιος.

οβ'. Παρέκοψε τὸ, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ.

ογ'. Καὶ φωνήσας φωνῇ μεγάλῃ ἐξέπνευσε.

οδ'. Καὶ ἰδοὺ, ἀνὴρ, ὀνόματι Ἰωσὴφ, καθελὼν τὸ σῶμα [26] ἐνετύλιξε, καὶ ἔθηκεν ἐν μνήματι λαξευτῷ.

οε'. Καὶ ὑποστρέψασαι ἡσύχασαν τὸ σάββατον κατὰ τὸν νόμον.

25. *Libri habent* τὸ *pro* ὃ. 26. ἐνετίλιξε *cod. Vatic.* ἐνεστύλιξε

*dit secus rubum, sicut dicit Dominum deum Abraham et Isaac et Iacob. Deus autem est vivorum, non mortuorum.*

LVII. Ista quoque praetermisit: *Quia vero resurgant mortui et Moyses ostendit, dicens Deum Abraham et Deum Iacob, Deum vivorum.*

LVIII. Illud insuper omisit: *Capillus de capite vestro non peribit.* Luc. 21, 18.

LIX. Iterum haec amputavit: *Tunc qui in Iudaea sunt fugiant* Ibid. 21.
*ad montes etc.*, ob ea quae sequuntur: *Donec consummentur omnia quae scripta sunt.*

LX. *Locutus est cum magistratibus, quemadmodum illum tra-* Cap. 22, 4.
*deret etc.*

LXI. *Et dixit Petro et reliquis, Euntes praeparate, ut mandu-* Ibid. 8.
*cemus Pascha.*

LXII. *Et recubuit, et duodecim apostoli cum illo; et dixit, De-* Ibid. 15.
*siderio desideravi hoc Pascha manducare vobiscum, antequam patiar.*

LXIII. Praeterea haec ab eo detracta sunt: *Dico enim vobis,* Ibid. 16.
*Non edam illud amplius donec impleatur in regno patris mei.*

LXIV. Item illud: *Quando misi vos, numquid defuit vobis? etc.* Ibid. 35.
Ob ea quae sequuntur: *Et hoc oportet impleri: et cum iniquis deputatus est.*

LXV. *Avulsus est ab illis, quantum iactus est lapidis, et positis* Ibid. 41.
*genibus orabat.*

LXVI. *Et accessit, ut oscularetur eum, et dixit.* Ibid. 47.

LXVII. Recidit id quod a Petro gestum est, cum percussit et Ibid. 50.
amputavit auriculam.

LXVIII. *Et qui tenebant, illudebant caedentes, et percutientes* Ibid. 63.
*dicebant, Prophetiza quis est qui te percussit?*

LXIX. Post illa: *Hunc invenimus subvertentem gentem nostram,* Cap. 23, 2.
addidit: *Et destruentem legem et prophetas.*

LXX. Aliud quoque post haec verba: *Et prohibentem tributa* Ibid. 2.
*dare*, subiecit, *Et avertentem uxores et filios.*

LXXI. *Et venientes in locum qui dicitur Calvariae locus, cruci-* Ibid. 33.
*fixerunt eum, et diviserunt vestimenta, et obscuratus est sol.*

LXXII. Hoc abstulit: *Hodie mecum eris in Paradiso.* Ibid. 43.

LXXIII. *Et clamans voce magna expiravit.* Ibid. 46.

pag. 330. *Σχόλ. κδʹ. Καὶ εἶπε, Τίς ἐξ ὑμῶν ἕξει φίλον, καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου, αἰτῶν τρεῖς ἄρτους; καὶ λοιπὸν, Αἰτεῖτε, καὶ δοθήσεται. Τίνα γὰρ [70] ἐξ ὑμῶν τὸν πατέρα υἱὸς [71] αἰτήσας ἰχθὺν, καὶ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ, καὶ ἀντὶ ᾠοῦ σκορπίον; Εἰ οὖν ὑμεῖς [72] πονηροὶ οἴδατε δόματα ἀγαθὰ, πόσῳ μᾶλλον ὁ πατήρ;*

*Ἔλεγχ. κδʹ. Ἐλήλεγκται δὲ τοῦ ἀπατηλοῦ ἡ ἐθελοθρησκεία τῆς πολιτείας ἀπὸ τούτου τοῦ [73] ῥητοῦ. Οὐ γὰρ αὐτῷ δι' ἐγκράτειαν ἡ πολιτεία, οὐδὲ διὰ μισθὸν ἀγαθὸν καὶ ἐλπίδα ἀγῶνος, ἀλλὰ διὰ ἀσέβειαν καὶ κακοτροπίαν κακῆς ὑπονοίας. Διδάσκει γὰρ οὗτος ἐμψύχων μὴ μεταλαμβάνειν, φάσκων ἐνόχους εἶναι τῇ κρίσει τοὺς τῶν κρεῶν μεταλήπτορας, ὡς ἂν ψυχὰς ἐσθίοντας. Ἠλίθιον δέ ἐστι τὸ πᾶν. Οὐ γὰρ [74] τὰ κρέα ἡ ψυχὴ, ἀλλ' ἐν τοῖς κρέασιν ἡ ψυχή. Καὶ οὔτε ψυχήν φαμεν εἶναι τὴν ἐν τοῖς ζώοις ὡς τὴν τῶν ἀνθρώπων τιμίαν, ἀλλὰ ψυχὴν εἰς τὸ ζῆν μόνον τὸ ζῶον. Νομίζει δὲ ὁ ἐλεεινὸς οὗτος ἅμα τοῖς οὕτω φρονοῦσιν ὅτι ἡ αὐτὴ ψυχὴ ἐν τοῖς ἀνθρώποις καὶ ζώοις ὑπάρχει. Τοῦτο γὰρ παρὰ πολλαῖς τῶν πεπλανημένων αἱρέσεων μάτην ὑπολαμβάνεται. Καὶ γὰρ καὶ Οὐαλεντῖνος καὶ Κολόρβασος, Γνωστικοί τε πάντες καὶ Μανιχαῖοι, καὶ μεταγγισμοὺς εἶναι ψυχῶν φάσκουσι, καὶ μετενσωματώσεις τῆς ψυχῆς τῶν ἐν ἀγνωσίᾳ ἀνθρώπων. [75] Ὡς αὐτοί φασι κατά τινα μυθοποιΐαν, ταύτας φασὶν ἐπιστρέφειν καὶ μετενσωματοῦσθαι εἰς ἕκαστον τῶν ζώων, ἕως ἂν ἐπιγνῷ, καὶ οὕτω καθαρθεῖσα καὶ ἀναλλυθεῖσα μεταστῇ εἰς τὰ ἐπουράνια. Καὶ πρῶτον μὲν ἐλήλεγκται αὐτοῦ ἡ μάταιος πᾶσα τοῦ μύθου κατασκευή. Τούτων γὰρ τὴν ἀκρίβειαν οὐδεὶς ἄλλος δύναται εἰδέναι ὑπὲρ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἐλθόντα διὰ τὸ πρόβατον τὸ ἀπολωλὸς, τουτέστι διὰ τὰς ψυχὰς τῶν ἀνθρώπων, ὃς τῶν αὐτῶν ἐπιμελούμενος ἐθεράπευσε ψυχικῶς καὶ σωματικῶς, σώματός τε καὶ ψυχῆς δεσπόζων, καὶ*

70. ἐξ ὑμῶν, *quod desideratur in edit. princ., Petavius ex cod. Vatic. adiecit.*

71. *Repone* αἰτήσει, *uti supra scriptum est in eisdem verbis.*

72. πονηροὶ ὄντες οἴδατε *supra est scriptum in verbis eisdem, neque aliter infra in elencho.*

73. *Sic restituit hunc locum ope cod. Vatic. Petavius. Nam in edit. princ. extat* ἀπατηλοῦ αὐτῷ, *spatio quinque fere lite-*

Refut. XXIII. Cum dei filius ipsamet veritas esset, neminem eorum qui se de vita consequenda interrogarent, fefellit. Si quidem ut vitam humano generi conciliaret, advenit. Quare cum et vitae nostrae curam gesserit, et ei qui legem servaret affuturam vitam ostenderit, sed et eum qui cum lege ipsa consentanee responderat praeclare dixisse testatus fuerit, quis erit tam vecors ac stupidus Marcioni ut inhaereat, qui deo illi maledicat, a quo non modo lex in homines, sed et evangelii est gratia derivata, ut se hominis illius erroribus addicat, qui neque ex lege neque ex spiritu sancto ullam doctrinae suae particulam expresserit?

Schol. XXIV. *Et dixit, Quis vestrum habebit amicum, et ibit* Luc. 11, 5.
*ad illum media nocte, postulans tres panes?* Ac deinceps, *Petite, et dabitur. Quis enim ex vobis est pater, a quo filius petat piscem et* Ibid. 11.
*pro pisce serpentem dabit illi? aut pro ovo scorpionem? Si ergo vos cum sitis mali nostis bona data, quanto magis pater?*

Refut. XXIV. Ex hoc loco vafri hominis superstitiosa et affectata religio convincitur. Non enim optimae alicuius mercedis gratia, aut spe consequendae immortalitatis inductus, sed ex impietate ac pestiferae opinionis falsitate ciborum temperantiam adhibuit. Animatis enim vesci prohibet, ac reos esse iudicio putat illos qui carnes degustent, tanquam animas comedant. Quod quidem inprimis est absurdum. Neque enim caro est, sed in carnibus inest anima. Neque vero brutorum animam perinde atque hominum pretiosam esse dicimus, sed ad vitam duntaxat animalibus concessam. At ille miserrimus cum sectatoribus suis eandem hominum esse quae in reliquis animantibus cernitur animam existimat. Quod ei dogma plerisque cum aliis est haeresibus commune. Nam et Valentinus et Colorbasus et Gnostici omnes ac Manichaei traductiones quasdam animarum atque in varia corpora transitus esse definiunt; quod ad eos quidem homines attinet qui in ignoratione versantur. De quibus nescio quam fabulam commenti sunt, redire videlicet animam, ac se in unum quodque animantium induere, donec cognitionem adepta sit, atque ita purgata dissolutaque in coelestia loca commigret. Sed inprimis vanum illud somnium nullo negotio convincitur. Etenim quid reipsa geratur scire nemo melius potest quam Iesus Christus dominus noster, qui recuperandae ovis perditae gratia descendit, hoc est ut animas liberaret hominum, quorum utilitati ac rationibus serviens tam illis quas dixi quam corporibus ipsis remedium attulit; utpote corpo-

*rarum inter haec duo vocabula vacuo relicto.*

74. τὰ χρέα *cod. Vatic., et inde edit. Petav.* τὸ χρέας *edit. princ.*

75. *Fortasse corrigendum est* ἀνθρώπων, ὡς αὐτοί φασι, καὶ κατὰ *cett.*

τῆς ἐνταῦθα ζωῆς παρεκτικὸς ὢν, καὶ τῆς μελλούσης, [76] τοὺς μὲν τελευτήσαντας, φημὶ δὲ Λάζαρον καὶ τὸν υἱὸν τῆς χήρας καὶ τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου, ἀπὸ νεκρῶν ἐγείρας, οὐκ εἰς πονηρὸν αὐτοὺς φέρων, ὡς αὐτοὶ τὸ σῶμα φυλακὴν εἶναι δογματίζουσιν, ἀλλὰ ἀγαθὸν
pag. 331. ποιῶν, καὶ γινώσκων ὅτι καὶ ἡ ἐνταῦθα ἐν σαρκὶ παραμονὴ ὑπ' αὐτοῦ ὥρισται, καὶ ἡ μέλλουσα σαρκὸς καὶ ψυχῆς ἀνάστασις. Καὶ εἰ πάλιν ᾔδει ὅτι μία ψυχή ἐστιν ἡ ἐν ζώοις καὶ ἐν ἀνθρώποις, ψυχῆς δὲ ἦλθε ποιήσασθαι τὴν σωτηρίαν, οὐκ ἔδει αὐτὸν ἕνα καθαρίσαντα δαιμονιῶντα, λέγω δὴ τὸν ἀπὸ τῶν μνημείων ἐξερχόμενον, κελεῦσαι τοῖς δαίμοσιν ἀπελθεῖν καὶ ἀποκτεῖναι δισχιλίους χοίρους, εἰ ἴσαι ἦσαν αἱ ψυχαὶ τῶν ἀνθρώπων καὶ τῶν χοίρων. Πῶς γὰρ μιᾶς ἐπιμελόμενος δισχιλίων ἐποίει ὄλεθρον; Εἰ δὲ πάλιν ὡς ὄφις σκολιεύει μηχανώμενος καὶ λέγων ὅτι, Ἔλυσεν αὐτὰς ἀπὸ τῶν σωμάτων, ἵνα ἀνέλθωσιν, ἔδει τὸν Λάζαρον λυθέντα τοῦ σώματος μὴ ἐπιστρέψαι πάλιν εἰς τὸ σῶμα, μᾶλλον δὲ καὶ αὐτὸν τὸν δαιμονιῶντα λῦσαι τοὺς δεσμοὺς τοῦ σώματος. Ἀλλ' οὐκ ἐποίησεν οὕτως. Προενόει δὲ μᾶλλον οὕτω τοῦ σώματος εἰδὼς τὸ συμφέρον. Διέπεσεν ὁ περὶ ψυχῆς σου λόγος, ὦ Μαρκίων, καὶ τῶν ἀπὸ σοῦ καὶ τῶν ἄλλων αἱρέσεων ὁρμωμένων. Καὶ περὶ τῆς προςποιητῆς σου πολιτείας αὖθις ἐρῶ, διὰ τὸ λέγειν σε πονηρὸν εἶναι καὶ ἀθέμιτον τὸ σαρκῶν μεταλαμβάνειν. Ἐλέγχει δέ σε ὁ σωτὴρ πλέον σου ἐπιστάμενος, καὶ διδάσκων τὸ κάλλιον, ἀπὸ τοῦ τοιούτου ῥητοῦ. Λέγει γὰρ, Τίνα ὁ υἱὸς αἰτήσῃ ἰχθὺν, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; ἢ ἀντὶ ᾠοῦ σκορπίον; καὶ ὕστερόν φησιν, Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐπουράνιος. Εἰ τοίνυν δόματα ἀγαθὰ κέκληκεν ἰχθὺν καὶ ᾠὸν, οὐ πονηρὸν τὸ μετ' εὐχαριστίας ἐκ θεοῦ χαρισθὲν μεταλαμβανόμενον, καὶ ἐλήλεγκταί σου ἡ κακοτροπία πανταχόθεν.

Σχόλ. κε'. Παρακέκοπται τὸ περὶ Ἰωνᾶ τοῦ προφήτου. Εἶχε γὰρ, Ἡ γενεὰ αὕτη, [77] σημεῖον οὐ δοθήσεται αὐτῇ. Οὐκ εἶχε [78] δὲ περὶ βασιλίσσης νότου καὶ Σαλομῶνος.

Ἔλεγχ. κε'. Καὶ ἐν αὐτοῖς οἷς δοκεῖς παρακόπτειν οὐ δύνασαι, ὦ Μαρκίων, λαθεῖν τὴν ἀλήθειαν. Κἂν ἀφέλῃς γὰρ περὶ Ἰωνᾶ τοῦ προφήτου ὃ τὴν οἰκονομίαν σημαίνει τοῦ σωτῆρος, ἀφέλῃς δὲ καὶ τὸ περὶ τῆς βασιλίσσης τοῦ νότου καὶ [79] Σαλομῶντος καὶ τῆς Νινευὶ τὴν σωτηριώδη ὑπόθεσιν, καὶ τοῦ Ἰωνᾶ τὸ κήρυγμα, αὐτὸς ὁ προκείμενος

76. τοὺς μὲν τελευτήσαντας *emendavit Petavius. Libri vulgo habent* τοῦ μὲν τελευτήσαντος.

77. σημεῖον αἰτεῖ, καὶ σημεῖον οὐ δοθ. *placuit Petavio.*

ris pariter animaeque dominus, ac tam praesentis quam futurae vitae largitor. Hic enim post corporis obitum Lazarum et viduae filium ac synagogae principis filiam excitavit a mortuis, non ut in malum quiddam illos subire compelleret, cuiusmodi ergastulum isti animae corpus esse statuunt, sed bonum utique molitus, ac probe istud intelligens tam illam in corpore commorationem a se quam futuram carnis et animae resurrectionem esse definitam. Ac si reliquorum animantium eandem atque hominum esse putaret animam, cum animae servandae caussa venisset, nequaquam oportebat arreptitio uno persanato, qui e monumentis exibat, abire daemones iubere ac porcorum millia duo perimere, si in porcis et hominibus eaedem animae resideant. Cur enim unius curam cum duorum millium commutabat exitio? Ad haec si serpentis instar obliquis flexibus callide irrepat, ac dicat ideo a corporis illas vinculis exsolutas sursum ut evolare possent, etiam Lazarum par erat corpore solutum ad corpus iterum minime reverti, adeoque illum ipsum quem diximus arreptitium corporis vinculis eximere; quod quidem facere noluit, sed corpori potius hoc modo providit, haud ignarus quid potissimum expediret. Quamobrem ruit illa tua, Marcio, tuorumque, nec non et ceterorum de anima haereticorum opinio. De simulata vero illa tua vitae integritate nunc paucis agendum est, deque eo quod sceleratum atque execrabilem usum carnium esse contendis. Sed nimirum te salvator ipse condemnat, qui cum scientia longe antecellit, tum quid melius esset hac sententia complexus est: *Quisnam est a quo filius petat piscem, num serpentem dabit illi aut pro ovo scorpionem?* Quibus ista subiecit: *Si ergo vos cum sitis mali nostis bona data dare filiis vestris, quanto magis pater vester coelestis?* Igitur cum data bona piscem ovumque nominet, malum non est illud quo coelitus concesso cum gratiarum actione perfruimur, adeoque tua ex omni parte fraus impietasque detegitur.

Schol. XXV. Detractum illud erat quod ad prophetam Ionam pertinet. Sic enim habebat: *Generatio haec, signum non dabitur ei.* Luc. 11, 30.
Desiderabantur et illa quibus de Ninive et Salomone fit mentio.

Refut. XXV. Nec in illis quidem locis quae mutilando corrumpis, Marcio, vim potes veritatis effugere. Tametsi enim totum illud de Iona propheta subtrahas, quo salvatoris administratio illa omnis exprimitur, auferas etiam ea quae ad Austri reginam ac Salomonem spectant, una cum salutari illa Ninives mentione ac Ionae praedicatione, nihilominus vel illa, quam proposui, iugulat te salva-

78. δὴ περὶ Νινευὴ καὶ βασ. *extat supra.* 79. Σαλομῶνος *ed. Petav.*

pag. 332. λόγος τοῦ σωτῆρος ἐλέγχει. Λέγει γὰρ, Ἡ γενεὰ αὕτη σημεῖον αἰτεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ· ὡς τῶν πρὸ αὐτῆς τῆς γενεᾶς καταξιωθεισῶν σημείων παρὰ θεοῦ ἀπ' οὐρανοῦ. Ὡς ὁ μὲν Ἠλίας σημεῖον ἐποίει διὰ τοῦ ἀπ' οὐρανοῦ πυρὸς καταβεβηκότος καὶ λαβόντος τὴν θυσίαν· καὶ Μωϋσῆς τέμνει τὴν θάλασσαν, καὶ τὴν πέτραν νύσσει, καὶ προχέει ὕδωρ, καὶ μάννα ἀπ' οὐρανοῦ φέρει· καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἵστησι τὸν ἥλιον καὶ τὴν σελήνην· καὶ κατὰ πάντα τρόπον κἂν κρύψῃ τὰ γεγραμμένα ἀπατεὼν, οὐδὲν βλάψει τὴν ἀλήθειαν, ἀλλ' ἑαυτὸν ἀπαλλοτριοῖ τῆς ἀληθείας.

Σχόλ. κϛʹ. Ἀντὶ τοῦ, Παρέρχεσθε τὴν κρίσιν τοῦ θεοῦ, Παρέρχεσθε τὴν κλῆσιν τοῦ θεοῦ.

Ἔλεγχ. κϛʹ. Πόθεν οὐκ ἐλέγχῃ; Πόθεν δὲ [80] κατὰ σοῦ συναχθῇ ἡ μαρτυρία; Τὰ πρῶτα γὰρ συνᾴδει τοῖς μετέπειτα, ἐλεγχομένης τῆς παρὰ σοῦ ῥᾳδιουργίας. Ἐὰν γὰρ εἴπῃ, Κατέχετε τὰς παραδόσεις τῶν πρεσβυτέρων ὑμῶν, καὶ παρέρχεσθε τὸ ἔλεος καὶ τὴν κρίσιν τοῦ θεοῦ, μάθε ἀπὸ ποίου χρόνου αἰτιᾶται αὐτοὺς τοῦτο ἐπιτελοῦντας, πότε δὲ ἡ παράδοσις αὐτοῖς γέγονε τῶν πρεσβυτέρων, καὶ [81] εὑρήσεις ὅτι τοῦ μὲν Δαβὶδ μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον, τοῦ δὲ Ἀκιβᾶ καὶ πρὸ τῶν Βαβυλωνικῶν αἰχμαλωσιῶν γεγένηται, τῶν δὲ υἱῶν Ἀσσαμωναίου ἐν χρόνοις Ἀλεξάνδρου καὶ Ἀντιόχου, πρὸ τῆς τοῦ Χριστοῦ ἐνδημίας ἑκατὸν ἐνενήκοντα ἔτεσιν. Ἄρα γοῦν καὶ ἔκτοτε διὰ νόμου ἦν ἡ κλῆσις, καὶ διὰ προφητῶν τὸ ἔλεος, καὶ πανταχόθεν ἐκπίπτει ὁ ἀγυρτώδης σου λόγος.

Σχόλ. κζʹ. Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν, καὶ οἱ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς.

Ἔλεγχ. κζʹ. Εἰ τῶν προφητῶν ποιεῖται τὴν φροντίδα, τοὺς ἀποκτείναντας ὀνειδίζων, οὐκ ἀλλότριοι αὐτοῦ ἦσαν οἱ προφῆται, ἀλλὰ δοῦλοι, καὶ προετοιμασταὶ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας, οἱ καὶ μαρτυρήσαντες τῇ καινῇ διαθήκῃ· Μωϋσῆς μὲν λέγων, Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· καὶ πρὸ αὐτοῦ Ἰακὼβ λέγων, Ἐκ βλαστοῦ, υἱέ μου Ἰούδα, ἀνέβης, ἀναπεσὼν ἐκοιμήθης· οὐκ ἐκλείψει [82] ἄρχων ἐξ Ἰούδα, καὶ μετ' ὀλίγα, Ἕως ἔλθῃ ᾧ τὰ ἀποκείμενα, καὶ αὐτὸς προσδοκία ἐθνῶν· καὶ ἐπ' αὐτὸν ἔθνη

pag. 333. ἐλπιοῦσιν. Ἡσαΐας δὲ, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει. Ἱερεμίας δὲ, Καὶ ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν. Μιχαίας, Καὶ σὺ Βηθλεὲμ, καὶ μεθ' ἕτερα, Ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος, καὶ τὰ ἑξῆς. Ὁ δὲ Μαλαχίας, Ἐξαίφνης εἰς τὸν ναὸν ἥξει κύριος. Ὁ δὲ Δαβὶδ, Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, καὶ τὰ ἑξῆς. Καὶ πολλά ἐστι

80. Πόθεν δὲ οὐ κατὰ σοῦ (*magis probarem* Πόθεν δὲ κατὰ σοῦ οὐ) *supplevit Petavius.*

81. εὑρήσεις *emendatio est Petavii. Libri tam scripti quam editi* εὕρεσις.

toris oratio. Sic enim loquitur. *Generatio haec signum quaerit, et signum non dabitur ei.* Quibus indicat generationes illas quae hanc antecesserant a deo prodigia coelitus esse consecutas. Cuiusmodi praestitum est ab Elia, cum ignis e coelo lapsus sacrificia consumpsit. Moyses vero mare dividit, percusso silice aquas elicit, atque e coelo manna demittit. Iesus Nave filius solem sistit ac lunam. Unde quantumvis quae scripta sunt impostor dissimulet, nihil veritati nocere poterit, sed ab ea se magis alienabit. 1. Reg. 18, 38. Exod. 14, 21. Num. 20, 11. Exod. 16, 14. Ios. 10, 12.

Schol. XXVI. Pro eo quod est *Praeteritis dei iudicium*, rescripserat, *Praeteritis dei vocationem.* Luc. 11, 42.

Refut. XXVI. Quid est quod ad te refellendum non valeat? aut unde non arcessi contra te testimonium queat? Prima enim cum posterioribus consentiunt, ut scelerata illa tua convincatur audacia. Cum enim dicit, *Tenetis traditiones seniorum, et praeteritis misericordiam et iudicium dei,* disce sodes ex quo tempore haec illos observantes arguat, ac quandonam seniorum ista traditio coeperit. Invenies profecto eam quae Davidis inscribitur post reditum e Babylonia, Akibae vero paulo ante Babylonicam captivitatem initium habuisse. Assamonaeorum porro traditionem Alexandri et Antiochi coepisse temporibus, annis ante Christum CXC. Itaque iam tum per legem vocatio, ac per prophetas erat oblata misericordia, ut circulatoris istius ratio funditus evertatur.

Schol. XXVII. *Vae vobis, quoniam aedificatis sepulcra prophetarum, et patres vestri occiderunt illos.* Ibid. 47.

Refut. XXVII. Quandoquidem prophetas curae sibi esse significat, ut eorum necem interfectoribus exprobret, apparet minime ab eo alienos extitisse, sed servos, qui et advenienti illi viam quodammodo munierint, et novo testamento testimonio suo suffragati fuerint. Quod Moyses his praecipue verbis praestitit: *Prophetam vobis suscitabit dominus deus e fratribus vestris sicut me.* Sed et ante Moysen Iacob, dum ita loquitur: *E germine, fili mi Iuda, ascendisti. Requiescens accubuisti. Non deficiet princeps ex Iuda etc.* Ac paulo post: *Donec veniat cui reposita sunt, et ipse expectatio gentium, et in ipsum gentes sperabunt.* Isaias vero, *Ecce*, inquit, *Virgo concipiet*, Hieremias item, *Et homo est, et quis cognoscet illum?* Michaeas, *Et tu Bethleem etc.*, et paulo post, *Ex te mihi egredietur dux etc.* At Malachias, *Statim in templum veniet dominus.* Nam quod ad Davidem spectat, haec illius est praedictio: *Dixit dominus domino meo etc.* Deut. 18, 15. Gen. 49, 9. Esai. 7, 14. Ierem. 17, 9. Mich. 5, 1. Malach. 3, 1. Psalm. 110, 1.

82. ἄρχων *Petavius primum addidit de cod. Vaticano.*

λέγειν, καὶ αὐτοῦ λέγοντος τοῦ σωτῆρος, Εἰ Μωϋσῇ ἐπιστεύετε, ἐπιστεύετε ἂν καὶ ἐμοί· ἐκεῖνος γὰρ περὶ ἐμοῦ ἔγραψε.

Σχόλ. κη'. Οὐκ εἶχε, Διὰ τοῦτο εἶπεν ἡ σοφία τοῦ θεοῦ, [83]Ἀποστέλλω εἰς αὐτοὺς προφήτας· καὶ περὶ αἵματος Ζαχαρίου [84]καὶ Ἄβελ καὶ τῶν προφητῶν, ὅτι, Ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης.

Ἔλεγχ. κη'. Καὶ ἐν τούτῳ σοι πολλὴ αἰσχύνη, ὦ Μαρκίων, τοῦ χαρακτῆρος τῆς ἀληθείας σωζομένου, καὶ τῆς παρεκτομῆς τῶν κλεμμάτων σου εὑρισκομένης, ἀπὸ τοῦ ἀντιγράφου τοῦ κατὰ Λουκᾶν εὐαγγελίου τῶν τόπων εὑρισκομένων, καὶ τῶν παρὰ σοῦ ἀφαιρεθέντων ἐλεγχομένων.

Σχόλ. κθ'. Λέγω δὲ τοῖς φίλοις μου, Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, φοβήθητε δὲ τὸν μετὰ τὸ ἀποκτεῖναι ἔχοντα [85]τὴν ἐξουσίαν βαλεῖν εἰς γέενναν. Οὐκ εἶχε δὲ, Οὐχὶ πέντε στρουθία ἀσσαρίων δύο [86]πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ θεοῦ;

Ἔλεγχ. κθ'. Τὸ, Λέγω ἐγὼ τοῖς φίλοις μου, Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, φοβήθητε δὲ τὸν ἔχοντα ἐξουσίαν τὸ μετὰ τὸ ἀποκτεῖναι τὸ σῶμα τὴν ψυχὴν βαλεῖν εἰς γέενναν, ἀναγκάζει σε, ὦ Μαρκίων, καὶ τὰ ἑξῆς τῆς παραβολῆς ὁμολογῆσαι. Ἄνευ γὰρ τοῦ θεοῦ οὐδὲν γίνεται, κἂν ἐπάρῃς τὸ περὶ τῶν στρουθίων. Ἀπολόγησαι οὖν περὶ τῶν ἐν τῷ ῥητῷ καταλειφθέντων ὑπὸ σοῦ, ὦ Μαρκίων, καὶ ἀπόκριναι ἡμῖν τί διανοῇ περὶ τοῦ ἐξουσίαν ἔχοντος. Εἰ γὰρ φαίης αὐτὸν εἶναι τὸν πατέρα τοῦ Χριστοῦ, τὸν καὶ παρὰ σοὶ ἀγαθὸν λεγόμενον θεὸν, εἰ καὶ κακῶς διαιρεῖς, ὅμως, ἐπειδὴ ἔχει τὴν ἐξουσίαν, δέδωκας αὐτὸν κριτὴν ὄντα καὶ ἑκάστῳ νέμοντα τὸ κατ' ἀξίαν. Εἰ δὲ οὐ τοῦτο λέγεις, ἀλλὰ τὸν δημιουργὸν τὸν παρὰ σοὶ φύσει κριτὴν ᾀδόμενον, λέγε μοι τίς τούτῳ δέδωκε τὴν ἐξουσίαν. Εἰ γὰρ ἀφ' ἑαυτοῦ ἔχει, ἄρα μέγας ἐστὶ, καὶ ἐξουσίαν ἔχει· εἰ δὲ τοῦ κρίνειν ἐξουσίαν, ἔχει καὶ τοῦ σώζειν. Ὁ γὰρ δυνάμενος κρίνειν, δύναται καὶ ἀπολύειν.
pag. 334. Καὶ ἄλλως, εἰ τοῦ κριτοῦ βάλλοντος τὰς ψυχὰς εἰς γέενναν ὁ θεὸς ὁ ἀγαθὸς οὐ ῥύεται αὐτὰς, ὁ πανταχόθεν τῶν αὐτῶν ἐπιμελούμενος ψυχῶν, πῶς ἂν εἴη ἀγαθός; Ἢ γὰρ ὅτι ἰσχυρότερος αὐτοῦ ἐστι, καὶ οὐ δύναται ἐκ χειρὸς ῥύεσθαι, ἢ ὅτι δύναται μὲν, οὐ βούλεται δέ. Καὶ ποῦ ἡ ἀγαθότης; Εἰ δὲ, ἐπειδὴ αὐτὸς ἔκτισεν, ἐξουσίαν ἔχει καὶ κρίνειν, πῶς ὁ ἄνω θεὸς ὁ ὑπὸ σοῦ μυθευόμενός τινας μερικῶς σώζει; Εἰ μὲν ἀπὸ τῶν ἀλλοτρίων λαμβάνων σώζει, πλεονεκτεῖ ἀλλοτρίων ἐρῶν, εἰ δὲ οὐ φάσκεις πλεονεξίαν εἶναι, διὰ τὸ εἰς ἀγαθὸν τὸ ἔργον γίνεσθαι

83. *Supra extat* Ἀποστελῶ.
84. καὶ *supra non habet.*
85. τὴν *nec supra habet, neque infra in elencho.*
86. *Supra* πολοῦνται.

**Possum et innumera alia percensere, cum praesertim a domino sit dictum, *Si Moysi crederetis, crederetis forsitan et mihi. De me enim* Ioann. 5, 46. *ille scripsit.***

Schol. XXVIII. Deerat, *Propterea et sapientia dei dixit, Mittam ad illos prophetas*, et de sanguine Zachariae et Abel et prophetarum, *Quoniam requiretur a generatione hac.* Luc. 11, 49.

Refut. XXVIII. Enimvero summam hic tibi, Marcio, locus ignominiam inurit, cum veritatis adhuc integra forma relicta sit, ac furtim a te sublata mutilataque loca facile reperiantur, ac quae desunt, in Evangelii secundum Lucam exemplaribus legantur omnibus, ut quae abs te sunt interversa prodantur.

Schol. XXIX. *Dico autem amicis meis, Nolite timere eos qui* Cap. 12, 4. *occidunt corpus: timete vero eum, qui postquam occiderit habet potestatem mittendi in Geennam.* Nec habebat illud: *Nonne quinque passeres veneunt dupondio, et unus ex illis non est in oblivione coram dei?*

Refut. XXIX. Haec ipsa verba: *Dico ego amicis meis, Nolite timere eos qui occidunt corpus: timite vero eum qui postquam occiderit corpus habet potestatem mittendi animam in Geennam*, parabolae etiam reliqua fateri te cogunt. Etenim sine dei nutu nihil omnino geritur; quamvis quod de passeribus scriptum est auferas. Igitur de iis quae in hac sententia dicuntur reddenda tibi ratio est, o Marcio. Ac velim mihi respondeas quid de eo censeas qui potestatem habere dicitur. Si enim patrem illum Christi esse dixeris, eundemque quem tu bonum esse deum praedicas, etsi male tu quidem separas, tamen quoniam potestate praeditus est, iudicem esse confiteris, qui pro meritis suis unumquodque compenset. Aut si alium esse quempiam iudicas, conditorem scilicet, quem tu proprie iudicem constituis, cedo quis ei potestatem commiserit. Hanc enim si habet ipse per sese, magnus utique est, ac potestate praeditus. Quod si iudicandi penes eum facultas est, erit et servandi. Qui enim iurisdictionem exercere potest, potest et absolvere. Praeterea, si cum iudex in Geennam praecipites immittit animas, bonus ille deus, qui tantam animarum curam gerit, non eas liberat, haberi bonus qui poterit? aut enim ille fortior est, nec ex eius manibus extorquere potest, aut ut facultas suppetat, deest tamen liberandi voluntas. Ubinam igitur illa bonitas est? Sin quoniam alter ille condidit, ideo et iudicandi potestas ei tribuitur, quomodo supremus ille, quem fingis, deus nonnullos ex aliqua parte liberare dicitur? Sive enim aliena rapiens conservat, iniuriam cupiditate sua facit alteri, sive propterea negas iniuriam esse, quod ad bonum alicuius ac salutem referat, personarum

καὶ σωτήριον, προςωπολήπτην αὐτὸν ποιεῖς, μὴ τὸ ἀγαθὸν ἴσως πᾶσιν, ἀλλὰ μερικῶς ποιοῦντα.

Σχόλ. λ'. Ἀντὶ τοῦ, Ὁμολογήσει ἐνώπιον τῶν [87] ἀγγέλων, ἐκεῖνος Τοῦ θεοῦ λέγει.

Ἔλεγχ. λ'. Πανταχόθεν ἐλέγχεται μὴ κατὰ θεὸν πορευόμενος, κἄν τε ἐν βραχυτάτῳ λόγῳ παραλλάξῃ τὴν ἀλήθειαν. Ὁ τολμῶν γάρ τι παραλλάσσειν τῶν γεγραμμένων ἀπ' ἀρχῆς, οὐκ ἐν ὁδῷ ἀληθείας ἵσταται.

Σχόλ. λα'. Οὐκ ἔχει τὸ, Ὁ θεὸς ἀμφιέννυσι τὸν χόρτον.

Ἔλεγχ. λα'. Εἰ καὶ μὴ ἐᾷς τὰ γεγραμμένα ὡς εἶχεν ὑπὸ τοῦ σωτῆρος εἰρημένα, ἀλλ' οὖν γε σώζονται οἱ τόποι ἐν τῷ εὐαγγελίῳ τῆς ἁγίας ἐκκλησίας, κἂν ἀρνήσῃ σὺ τὸν θεὸν τὸν πάντα πεποιηκότα καὶ πάντων ἐπιμελόμενον τῷ Λόγῳ αὐτοῦ, ἄχρι καὶ τοῦ χόρτου, καὶ ὑπὸ τοῦ σωτῆρος ὁμολογούμενον.

Σχόλ. λβ'. Ὑμῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων, [88] τῶν σαρκικῶν.

Ἔλεγχ. λβ'. Οἶδεν ὁ πατὴρ ὅτι χρῄζουσιν οἱ μαθηταὶ τῶν σαρκικῶν χρειῶν, καὶ [89] προνοεῖ τῶν τοιούτων. Προνοεῖ δὲ οὐκ ἐν ἄλλῳ αἰῶνι, ἀλλ' ἐνταῦθα, οὐκ ἐν τοῖς ἀλλοτρίοις τὴν πρόνοιαν τῶν ἑαυτοῦ δούλων ποιούμενος, ἀλλ' ἐν τοῖς ὑπ' αὐτοῦ ἐκτισμένοις.

Σχόλ. λγ'. [90] Ζητεῖτε τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προςτεθήσεται ὑμῖν.

Ἔλεγχ. λγ'. Εἰ [91] ἐκ τῶν ἄλλου τρεφόμεθα, καὶ ἄλλος θεὸς τῆς βασιλείας τῶν οὐρανῶν ὑπάρχει, πῶς ἔτι ὁ λόγος συμφωνήσει; [92] Ἢ γὰρ αὐτοῦ ἐστι [93] τὰ ἐνταῦθα, καὶ αὐτοῦ ἐστιν ἡ βασιλεία, διὸ προςτίθησι πάντα τὰ ἐνταῦθα ὄντα αὐτοῦ διὰ τὸν κάματον τοῦ πόθου τῆς αὐτοῦ βασιλείας, ἢ αὐτοῦ μὲν ἡ βασιλεία καὶ ὁ ἐκεῖ αἰὼν, τοῦ δὲ δημιουργοῦ τὰ ἐνταῦθα, καὶ συνευδοκεῖ ὁ δημιουργὸς τῇ τοῦ ἄνω βασιλείᾳ, ἀντιλαμβανόμενος τῶν τὴν δικαιοσύνην τοῦ ἄνω καὶ βασιλείαν ζητούντων. Μιᾶς δὲ οὔσης εὐδοκίας, καὶ οὐχὶ διαφερομένης, οὐκέτι δύο ἀρχαὶ ἢ τρεῖς· τῷ γὰρ ὄντι εἷς ἐστιν ὁ θεὸς, ὁ τὰ πάντα ποιήσας, ποιήσας δὲ καλῶς, καὶ οὐκ ἐναντίως. Ἡμῶν δέ ἐστι τὸ ἁμαρτάνειν καὶ σφάλλεσθαι ἐν τῷ θέλειν καὶ ἐν τῷ μὴ θέλειν.

pag. 336.

Σχόλ. λδ'. Ἀντὶ τοῦ, Ὁ πατὴρ ὑμῶν, Ὁ πατὴρ εἶχεν.

Ἔλεγχ. λδ'. Καὶ ἐν τούτῳ οὐδὲν ἡμᾶς ἀδικήσεις, ἀλλὰ ἔτι ἐπιβε-

87. ἀγγέλων τοῦ θεοῦ plenius supra extat.

88. τῶν σαρκικῶν δή supra extat.

89. ἐπρονόει ed. princ.

90. Ζητεῖτε δὲ τὴν supra extat.

91. Εἰ ἐκ τῶν scripsi Cornarium al-

illum habere rationem iudicas, qui non bene de omnibus aequaliter, sed certis duntaxat mereri studeat.

Schol. XXX. Pro his verbis: *Confitebitur coram angelis*, rescripsit, *Coram deo.* Luc. 12, 8.

Refut. XXX. Apparet omnino nequaquam illum secundum deum ambulare, licet veritatem vel exigua vocabula commutet. Qui enim eorum quae sunt initio scripta partem aliquam corrumpere non dubitat, a via veritatis aberrat.

Schol. XXXI. Non habet ista: *Deus vestit foenum.* Ibid. 28.

Refut. XXXI. Licet ea quae scripta sunt non ea fide referas qua a salvatore pronuntiata sunt, eadem tamen illa loca in evangelio, quo ecclesia catholica utitur, integra servantur; quantumlibet deum illum abneges qui verbo suo condidit universa, eademque cura sua providentiaque complectitur, ne foeno quidem excepto; quem insuper deum salvator sua voce confessus est.

Schol. XXXII. *Pater vester novit corporeis iisce vobis opus esse.* Ibid. 30.

Refut. XXXII. Novit pater discipulos corporis indigere commoditatibus, quas idcirco procurat, non in alio quodam quam in hoc seculo, neque in aliena possessione, sed in iis rebus quarum ipse conditor est, servos suos singulari providentia gubernans.

Schol XXXIII. *Quaerite regnum dei, et haec omnia adiicientur vobis.* Ibid. 31.

Refut. XXXIII. Si alienis sustentamur opibus, estque alius coelestis regni deus, quid potest in hoc esse sermone consentaneum? Nam aut ad illum tam inferiora ista pertinent quam coeleste regnum, ideoque inferiora haec omnia, quae sua sunt, pro labore illo, quem regni sui desiderium afferre solet, hominibus rependit, aut ita regnum futurumque seculum ad illum pertinet, ut haec infima conditori tribuenda sint; ex quo sequitur conditoris ipsius voluntatem ad supremi illius regnum accommodatam esse, cum iis omnibus gratificetur et faveat qui iustitiam ipsius ac regnum requirant. Quod si voluntatis nulla dissensio, sed summa quaedam concordia sit, non iam duo sunt triave principia. Vere enim deus unus est, qui universa condidit, et quidem bene, non contrario modo condidit. Peccare vero nostrum est, atque in eligendo fugiendoque aberrare.

Schol. XXXIV. Pro eo quod est, *Pater vester*, habebat, *Pater.* Ibid. 30.

Refut. XXXIV. Nihil caussae nostrae ne hoc loco quidem offi-

*que Petavium secutus. Libri tam scripti quam editi habent* Εἰ τῶν ἄλλου, *omissa praepositione* ἐκ.

92. ἢ γὰρ *reposui ex cod. Rhedig. Vulgo* εἰ γάρ.

93. *Verba* τὰ ἐνταῦθα, καὶ αὐτοῦ ἐστιν *desiderantur in edit. princ. Petavius ea reposuit ex cod. Vatic.*

βαιώσεις. Τὸν γὰρ αὐτοῦ πατέρα προνοεῖν τῶν ἐνταῦθα ὡμολόγησας τὸν σωτῆρα εἰρηκέναι.

*Σχόλ.* λε'. Ἀντὶ τοῦ, Δευτέρᾳ ἢ τρίτῃ φυλακῇ, εἶχεν, [94] Ἑσπερινῇ φυλακῇ.

*Ἔλεγχ.* λε'. Ἐλήλεγκται ὁ κτηνώδης μεταστρέψας τοὺς θείους λόγους ἀνοήτως πρὸς τὴν ἑαυτοῦ ὑπόνοιαν. Οὐ γὰρ ἡμεριναὶ γίνονται φυλακαὶ, ἀλλὰ νυκτεριναὶ, ἀπὸ ἑσπέρας εἰς τὴν πρώτην [95] φυλακὴν προκοπὴν τῆς ἐπεκτάσεως ἔχουσαι, καὶ οὐκ ἀπὸ τῆς ἕω εἰς τὴν ἑσπέραν, ὡς οὗτος ἁλίσκεται ῥᾳδιουργήσας.

*Σχόλ.* λϛ'. Ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει.

*Ἔλεγχ.* λϛ'. Τίς ὁ διχοτομῶν τὸν δοῦλον; λέγε. Εἰ μὲν ὁ δημιουργὸς καὶ κριτὴς παρά σου λεγόμενος θεός ἐστιν ὁ τοῦτο μέλλων πράσσειν, ἄρα αὐτοῦ εἰσιν οἱ πιστοί. Ἐπιτιμῶν γὰρ τῷ μὴ καλῶς πράττοντι δούλῳ τὸ μέρος αὐτοῦ [96] μετὰ τῶν ἀπίστων τίθησιν. Εἰ δὲ ὁ πατὴρ τοῦ Χριστοῦ ἐστιν, ἢ αὐτὸς ὁ Χριστὸς, ὁ μέλλων τοῦτο ἐπιτελεῖν, σαφῶς τὴν μαρτυρίαν παρὰ σαυτῷ φυλάττεις κατὰ σοῦ οὖσαν. Ὁμολογῶν γὰρ ἢ Χριστὸν ἢ τὸν αὐτοῦ πατέρα τοῦτο πράττειν μέλλοντα ἀναμφιβόλως ὡμολόγησας τὸν αὐτὸν κριτὴν, καὶ τὸν αὐτὸν ἀγαθὸν καὶ ἕνα ὄντα, τῶν ὧδε καὶ τῶν ἐκεῖ προνοούμενον.

*Σχόλ.* λζ'. Μή ποτε [97] κατασύρῃ σε πρὸς τὸν κριτὴν, καὶ ὁ κριτὴς παραδώσει σε τῷ πράκτορι.

pag. 336. *Ἔλεγχ.* λζ'. Κριτὴν λέγει τὸν δημιουργὸν, πράκτορα δὲ ἕκαστον τῶν αὐτοῦ ἀγγέλων, μέλλοντας ἀπαιτεῖν τοὺς ἁμαρτωλοὺς τὰ πεπραγμένα. Ποῖα δὲ ἀλλ' ἢ τὰ σφάλματα καὶ ἁμαρτήματα, ἃ καὶ ὁ Ἰησοῦς βδελύσσεται, ἃ καὶ σὺ ἀπαγορεύειν λέγεις; Εἰ τοίνυν ἃ ὁ ἀγαθὸς θεὸς βδελύσσεται, καὶ ὁ κριτὴς καὶ ὁ δημιουργὸς τὰ αὐτὰ βδελύσσεται, εἷς ἐστι καὶ ὁ αὐτὸς ἀπὸ τοῦ ἔργου δεικνύμενος καὶ τῆς μιᾶς εὐδοκίας.

*Σχόλ.* λη'. Ἦν παρακεκομμένον ἀπὸ τοῦ, Ἦλθόν τινες ἀναγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα συνέμιξε Πιλᾶτος μετὰ τῶν θυσιῶν αὐτῶν, ἕως ὅπου λέγει περὶ τῶν ἐν τῷ Σιλωὰμ [98] δέκα καὶ ὀκτὼ ἀποθανόντων ἐν τῷ πύργῳ. Καὶ ὅτι, Ἐὰν μὴ μετανοήσητε, καὶ ἕως τῆς παραβολῆς τῆς συκῆς, περὶ ἧς εἶπεν ὁ γεωργὸς ὅτι, Σκάπτω, καὶ βάλλω κόπρια, καὶ ἐὰν μὴ [99] ποιήσει, ἔκκοψον.

*Ἔλεγχ.* λη'. Τούτων πάντων ἐποιήσατο τὴν ἀφαίρεσιν ὁ συλητὴς, κρύψας ἀφ' ἑαυτοῦ τὴν ἀλήθειαν, διὰ τὸ τὸν κύριον συμπεφωνηκέναι τῷ καλῶς δικάσαντι τοὺς τοιούτους Πιλάτῳ, καὶ ὅτι καλῶς οἱ ἐν τῷ Σιλωὰμ ἀπέθανον ἁμαρτωλοὶ ὄντες, καὶ ὑπὸ θεοῦ οὕτως τιμωρηθέντες. Ὅταν δὲ ῥᾳδιουργήσωσί τινες βασιλικὰ προστάγματα, ἀπὸ τῶν

94. ἑσπερινὴν φυλακήν *supra extat.*
95. προκοπήν, φυλακὴν τῆς *cod. Vatic.*
96. *Verba* μετὰ τῶν ἀπίστων *absunt ab edit. princ. Adiecit ea ex cod. Vatic.*

cis, sed eam magis sublevas, dum horum inferiorum curam a patre suo geri confitentem salvatorem inducis.

Schol. XXXV. Pro eo quod est, *Secunda, vel tertia custodia,* scripserat, *Vespertina custodia.* Luc. 12, 38.

Refut. XXXV. Ex hoc loco manifeste belua ista convincitur divina ad opiniones suas oracula depravasse. Neque enim diurnae sunt custodiae, sed nocturnae, quae a vespera primam ad custodiam prorogantur, non a matutino diluculo ad vesperam, quemadmodum iste flagitiose substituit.

Schol. XXXVI. *Veniet dominus servi illius, et secabit eum, et partem eius ponet cum infidelibus.* Ibid. 46.

Refut. XXXVI. Qui isti servi sector est agedum dicito. Si enim ille ipse creator, quem tu iudicem ac deum statuis, hoc omnino facturus est, ad hunc plane fideles pertinebunt. Etenim servum ille haud recte sese gerentem increpans partem illius cum infidelibus ponit. Quod si pater ipse Christi, vel etiam Christus idipsum praestiturus est, perspicuum habes contra te testimonium. Cum enim Christum, vel ipsius patrem citra ullam controversiam facturum id esse fateare, eundem pariter et iudicem et bonum, et unicum tam infimorum quam coelestium moderatorem constituis.

Schol. XXXVII. *Ne forte trahat te ad iudicem, et iudex tradat te exactori.* Ibid. 58.

Refut. XXXVII. Iudicem hic creatorem appellat. Exactorem porro ipsius angelorum quemlibet, qui factorum rationem a peccatoribus exigent. Quae autem illa facta, nisi delicta et peccata sunt, quae Iesus detestatur et, ut fateris ipse, prohibet? Ergo cum eadem illa quae bonus deus execratur iudex detestetur et conditor, unus idemque opere ipso ac voluntatis consensione declaratur.

Schol. XXXVIII. Sustulerat ex illo loco, *Venerunt quidam nuntiantes ipsi de Galilaeis, quorum sanguinem miscuerat Pilatus cum sacrificiis eorum,* usque ad ea quibus de octodecim illis est sermo, qui in Siloam ruina turris oppressi sunt. Item, *Nisi poenitentiam egeritis,* usque ad parabolam ficus, de qua dixit agricola, *Fodiam, et mittam stercora, et si non fecerit, excide.* Cap. 13, 1.

Refut. XXXVIII. Haec ideo nefarius praedo subtraxit ac semetipsum veritate fraudavit, quod dominus Pilati sententiam qua homines istos iure damnaverat approbarit, quoque alteri illi, qui in Siloam perierant, merito eas poenas dedisse videantur, utpote peccatores, et eiusmodi a deo suppliciis affecti. Sed ut imperatoris

*Petavius.*
97. καταχρίνῃ *cod. Vatic.*

98. *Supra* δεχαοχτῷ.
99. *Supra* ποιήσῃ.

[1] ἀρχαίων τὰ ἀντίγραφα προφερόμενα ἠσφαλισμένως ἔχοντα ἐλέγχει τοὺς ἄφρονας. Οὕτως καὶ ἀπὸ τοῦ βασιλικοῦ οἴκου, τουτέστι τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας προφερόμενον τὸ εὐαγγέλιον ἐλέγχει τοὺς ἀφανιστὰς τῶν καλῶν ἐνδυμάτων μύας.

Σχόλ. λθ'. Ταύτην δὲ θυγατέρα Ἀβραάμ, [2] ἣν ἔδησεν ὁ Σατανᾶς.

Ἔλεγχ. λθ'. Εἰ τῆς θυγατρὸς τοῦ Ἀβραὰμ ἐπιμελεῖται ἐλθὼν ὁ κύριος, οὐκ ἀλλότριος αὐτοῦ ἐστιν Ἀβραάμ. Ὁμολογεῖ γὰρ αὐτὸν αὐτῷ εὐαρεστηκέναι, οἶκτον εἰς τὴν αὐτοῦ θυγατέρα ἐνδεικνύμενος.

Σχόλ. μ'. Παρέκοψε πάλιν τὸ, Τότε ὄψεσθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ πάντας τοὺς προφήτας, ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. Ἀντὶ δὲ τούτου ἐποίησεν, Ὅτε πάντας τοὺς δικαίους ἴδητε ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους. [3] Προςτέθηκε δὲ, Κρατουμένους ἔξω, [4] καὶ, Ἐκεῖ [5] ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

pag. 337. Ἔλεγχ. μ'. Πῶς τὰ ἴχνη τῆς ἀληθείας φαίνεται. Οὐ γάρ τις ὁδὸν δύναται ἀποκρύψαι. Πλανῆσαι μὲν γὰρ ἀνθρώπους δύναται ἐξ αὐτῆς, καὶ ἀποκρύψαι αὐτὴν ἀπὸ τῶν ἀγνοούντων, ἀπὸ δὲ τῶν ἐν πείρᾳ αὐτῆς γεγονότων ἀδύνατον. Οὐ γὰρ δύναται τὴν γῆν, ἔνθα ἦν ἡ ὁδὸς, ἀφανίσαι, κἄν τε αὐτὴν ἀμαυρώσῃ, τοῦ τε τόπου παραμένοντος τῆς ὁδοῦ ὑπὸ τῶν γινωσκόντων ἐλέγχεται ὁ τὴν ὁδὸν ῥᾳδιουργήσας. Ὅρα δὴ τὰ ἴχνη τῆς ἀκολουθίας. Τὸν γὰρ λόγον τοῦτον πρὸς τίνα ἔλεγεν, ἀλλ' ἢ πρὸς τοὺς Ἰουδαίους; καὶ εἰ πρὸς τοὺς Ἰουδαίους, ἤδη ἔδειξεν αὐτοὺς ἔνδον, καὶ ἐκβαλλομένους ἀπὸ τῶν δικαίων. Τίνες δ' ἂν εἶεν, ἀλλ' ἢ οἱ αὐτῶν πατέρες, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ προφῆται; Οὐ γὰρ εἶπεν, Ὄψεσθε δικαίους εἰςερχομένους, [6] καὶ ὑμᾶς μὴ εἰςερχομένους, ἀλλ', Ὄψεσθε τοὺς δικαίους ἐν τῇ βασιλείᾳ, ὑμᾶς δὲ ἐκβαλλομένους. Καὶ περὶ μὲν τοῦ Ἐκβαλλομένους, [7] μελλητικῶς ἀπεφήνατο, τοὺς δὲ δικαίους ἤδη ὄντας ἀπέδειξεν οὐκ ἀλλοτρίους τούτων κατὰ τὴν σάρκα, οὐδὲ κατὰ τὴν κλῆσιν, ἀλλὰ μετὰ τούτων κληθέντας τοὺς ἤδη δεδικαιωμένους πρὸ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας. Εἰ δὲ καὶ ἔξω μένοντας, ὡς τῶν πατέρων ἔσω ὄντων, πόθεν δὲ βρυγμὸς ὀδόντων γίνεται ἐν τῇ κρίσει, ὦ ἠλίθιε, ἐὰν μὴ ἀνάστασις σωμάτων γένηται;

Σχόλ. μα'. Παρέκοψε πάλιν τὸ, Ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ· καὶ τὸ, Οἱ ἔσχατοι ἔσονται πρῶτοι· καὶ τὸ, Προςῆλθον [8] Φαρισαῖοι λέγοντες, Ἔξελθε καὶ πορεύου, ὅτι Ἡρώδης σε θέλει ἀποκτεῖναι· καὶ [9] τὸ, Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ, ἕως [10] ὅπου εἶπεν, Οὐκ ἐνδέχεται προφήτην

1. ἀρχείων correxit Petavius.
2. ἣν supra desideratur.
3. Supra ἐποίησε.
4. καὶ abest h. l. ab libris, tam scriptis quam editis; sed supra extat.
5. Supra ἔστιν.

edicta si qui corrumpere ac depravare conentur, prolata ex archivis fidelissima exemplaria insanos illos redarguunt, sic e palatio, hoc est ecclesia sancta, deprompium evangelium egregiarum, ut ita dicam, vestium arrosores mures facile detegit.

Schol. XXXIX. *Hanc autem filiam Abraae, quam alligavit Satanas.* Luc. 13, 16.

Refut. XXXIX. Cum veniens dominus Abraami filiae curam suscipiat, non erit ab eo alienus Abraamus. Quem hoc ipso placuisse sibi declarat, quod eius filiae misericordia moveatur.

Schol. XL. Item illud ademit: *Tunc videbitis Abraam, Isaac et Iacob, et omnes prophetas in regno dei.* Pro quo rescripsit, *Cum omnes iustos videritis in regno dei, vos autem exclusos.* Adiecitque, *Detentos foris*, et, *Illic est fletus et stridor dentium.* Ibid. 28.

Refut. XL. Quomodo veritatis vestigia produntur! Viam enim occultare nemo potest. Ac licet homines ab eo revocare et in errorem possit abducere, aut ignaris dissimulare, idem tamen itinerum peritis fieri nequit, quia terra, in qua sit impressa via, tolli funditus e medio non potest. Et quamvis illud obscuret quispiam, cum idem tamen huius locus remaneat, qui eam depravaverit a peritis haud difficile, coarguitur. Quamobrem orationis ipsius vestigia, et consequentia respice. Illum enim ipsum sermonem ad quemnam alium praeterquam ad Iudaeos habuit? Quod si Iudaeos alloquebatur, iam eos intus fuisse demonstrabat, et a iustorum consortio segregatos. At vero quinam ii sunt, nisi Abraam, Isaac, Iacob et prophetae? Non enim ait: *Videbitis iustos intrantes, vos autem non intrantes*, sed, *Videbitis iustos in regno, vos autem eiectos.* Ubi quod eiectos dicit, quasi futurum denuntiat, iustos vero iam ibidem versari significat, qui neque carne neque vocatione ab illis alieni sunt, sed communiter vocati ante Christi salvatoris adventum iustitiam adepti sunt. Sed illi foris manent scilicet, dum intus eorum patres resident. Quod nisi futura corporum est resurrectio, undenam dentium ille stridor in iudicio esse potest, homo stolidissime!

Schol. XLI. Illud item sustulit: *Venient ab oriente et occidente, et recumbent in regno*, tum illud: *Erunt novissimi primi*, item: *Accesserunt Pharisaei dicentes, Exi et vale, quoniam Herodes vult te interficere.* Nec non et istud: *Abeuntes dicite vulpi huic*, usque ad Ibid. 29.

6. καὶ ὑμᾶς μὴ εἰςερχομένους *desideratur in edit. princ. Ex cod. Vatic. adiecit ea verba Petavius.*

7. *Cornarius vertit:* futuri significatione pronuntiavit.

8. οἱ Φαρισαῖοι *extat supra.*

9. *Supra* τὸ, Εἶπε, Πορευθέντες εἴπατε *cett.*

10. ὅτου *supra legitur.*

ἀπολέσθαι ἔξω Ἱερουσαλήμ· καὶ τὸ, Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους· καὶ τὸ, Πολλάκις ἠθέλησα ἐπισυνάξαι ὡς ὄρνις τὰ τέκνα σου· καὶ τὸ, Ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν· καὶ τὸ, Οὐ μή ἴδητέ με, [11] ἕως οὗ εἴπητε, Εὐλογημένος.

Ἔλεγχ. μα΄. Ὅρα τὴν τοσαύτην τόλμαν, πόσην ποιεῖται ἀφαίρεσιν τοῦ εὐαγγελίου· ὡς εἴ τις λάβῃ ζῶον καὶ ἐκτέμῃ αὐτὸ [12] κατὰ ἥμισυ τοῦ σώματος, καὶ ἐν τῷ ἡμίσει τοὺς ἀγνοοῦντας πειράσεται πείθειν τοιοῦτο εἶναι τὸ ζῶον λέγων, καὶ μηδὲν ἀπ᾽ αὐτοῦ ἀφαιρεῖσθαι.

pag. 338. Σχόλ. μβ΄. Πάλιν παρέκοψε πᾶσαν τὴν παραβολὴν τῶν δύο υἱῶν, τοῦ εἰληφότος τὸ μέρος τῶν ὑπαρχόντων [13] καὶ ἀσώτως δαπανήσαντος, καὶ τοῦ ἄλλου.

Ἔλεγχ. μβ΄. Οὐδὲν διοίσει τὸ ἀκόλουθον τῆς ῥᾳδιουργίας ἀπὸ τῶν πρότερον ἑαυτῷ τετολμημένων. Ἑαυτῷ δὲ τὸ ἐπιζήμιον ἐπάγεται, μενούσης τῆς κατὰ θεὸν ἀληθείας.

Σχόλ. μγ΄. Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, καὶ πᾶς εἰς αὐτὴν βιάζεται.

Ἔλεγχ. μγ΄. Εἰ νόμον τάσσει, καὶ προφήτας ἀποκαλεῖ, καὶ οὐκ ἀνομίαν δηλοῖ τὸν νόμον, οὐδὲ ψευδοπροφήτας φάσκει τοὺς προφήτας, σαφῶς ὁμολογεῖται μεμαρτυρηκέναι τὸν σωτῆρα τοῖς προφήταις, καὶ δέδεικται ὡς περὶ αὐτοῦ προεφήτευσαν.

Σχόλ. μδ΄. Περὶ τοῦ πλουσίου καὶ Λαζάρου τοῦ πτωχοῦ, ὅτι ἀπηνέχθη ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ.

Ἔλεγχ. μδ΄. Ἰδοὺ, καὶ ἐν ζῶσι καὶ μακαριζομένοις καὶ ἐν κληρονομίᾳ ἀναπαύσεως ὁ Ἀβραὰμ ὑπὸ τοῦ κυρίου ἐγκατελέχθη, καὶ Λάζαρος ἐν κόλποις αὐτοῦ κατηξίωται. Μηκέτι τοίνυν, Μαρκίων, τὸν Ἀβραὰμ βλασφήμει, τὸν ἐπιγνόντα τὸν ἑαυτοῦ δεσπότην, καὶ εἰπόντα αὐτῷ, Κύριε, ὁ κρίνων πᾶσαν τὴν γῆν. Ἰδοὺ γὰρ, ὑπ᾽ αὐτοῦ τοῦ κυρίου ἐμαρτυρήθη εἶναι δίκαιος, καὶ οὐκ ἀλλότριος τῆς παρὰ τοῦ σωτῆρος ἐπαινουμένης ζωῆς.

Σχόλ. με΄. Νῦν δὲ ὧδε παρακαλεῖται ὁ αὐτὸς Λάζαρος.

Ἔλεγχ. με΄. Εἰ παρακαλεῖται Λάζαρος ἐν κόλποις Ἀβραὰμ, οὐκ ἐκτὸς τῆς παρακλήσεως τῆς ζωῆς ὑπάρχει ὁ Ἀβραάμ.

Σχόλ. μς΄. Εἶπεν Ἀβραὰμ, Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν, ἐπεὶ οὐδὲ τοῦ ἐγειρομένου ἀπὸ νεκρῶν [14] ἀκούσουσιν.

Ἔλεγχ. μς΄. Οὐχ ὡς ἔτι ἐν τῷ κόσμῳ ὢν καὶ ὡς ἠκατημένος

11. Supra ἕως εἴπητε.
12. κατὰ rescripsi pro καὶ τὸ, quod vulgo in libris extat.

ea: *Non capit prophetam occidi extra Hierusalem.* Illud etiam: *Hierusalem, Hierusalem, quae occidis prophetas et lapidas eos, qui ad te missi sunt;* item: *Saepe volui congregare, sicut gallina pullos suos;* et: *Relinquetur vobis domus vestra;* et: *Non me videbitis, donec dicatis, Benedictus.*

Refut. XLI. Vide hominis audaciam, ac quantum ex evangelio subtrahat, quemadmodum si quis animali quopiam in duas partes dissecto dimidium eius imperitis ostendat, ac persuadere conetur eiusmodi totum animal esse, nec ei quicquam ademptum.

Schol. XLII. Ad haec integram abscidit duorum filiorum parabolam, eius videlicet qui bonorum partem abstulerat, et alterius. Luc. 15, 11.

Refut. XLII. Simillimum maximeque geminum novum hoc facinus est iis, quae in eodem ante genere commisit. Quod huic uni duntaxat fraudi fuit, cum eadem divina veritas nihilominus perseveret.

Schol. XLIII. *Lex et prophetae usque ad Ioannem, et omnis in illud vim facit.* Cap. 16, 16.

Refut. XLIII. Si legem percenset ac prophetas commemorat, neque aut illi pravitatem adscribit, aut istos falsos prophetas appellat, necessario fatendum est Christum dominum prophetas testimonio suo comprobasse, quos ex eodem loco de Christo vaticinatos esse colligitur.

Schol. XLIV. De divite et Lazaro mendico, quemadmodum delatus est ab angelis in sinum Abraae. Ibid. 22.

Refut. XLIV. Viden' ut inter vivos ac beatos in illa felici sempiternae quietis hereditate Abraamus ad omino numeretur, et in eius sinu Lazarus acquiescat? Desine igitur, Marcio, Abraamo maledicere, qui dominum agnovit suum, eumque sic allocutus est: *Domine, qui iudicas universam terram.* Ecce tibi iustum hunc fuisse Gen. 18, 25.
testatus est dominus, nec ab ea vita, quam salvator ipse commendat, alienum.

Schol. XLV. *Nunc vero hic consolatur Lazarus.* Luc. 16, 25.

Refut. XLV. Cum Lazarus in Abraami sinu consoletur, sequitur ne Abraamum quidem ipsum solatii esse huius expertem.

Schol. XLVI. Dixit Abraam, *Habent Moysem et prophetas, illos audiant: alioqui neque si a mortuis quis resurrexerit, audient.* Ibid. 29.

Refut. XLVI. Non tanquam in hoc mundo adhuc sit, et in er-

13. *Haec verba* καὶ ἀσώτως δαπανήσαντος *supra non occurrunt.*

14. *Supra* ἀκούουσιν.

Ἀβραὰμ μαρτυρεῖ τῷ νόμῳ Μωϋσέως καὶ τοῖς προφήταις, οὐδὲ ὡς οὐκ εἰδὼς τὰ ἐκ τούτων ἀποβησόμενα, ἀλλὰ μετὰ τὸ ἐν πείρᾳ γενέσθαι τῆς ἐκεῖ ἀναπαύσεως. Μετὰ γὰρ τελευτὴν μαρτυρεῖται ὑπὸ τοῦ σωτῆρος ἐν τῇ παραβολῇ τοῖς τοῦ νόμου δόγμασι καὶ προφήταις τὴν σωτηρίαν
pag. 339. κτησάμενος, καὶ ταῦτα πρὸ τοῦ νόμου πράξας. Ὁμοίως δὲ καὶ τοὺς μετὰ ταῦτα τὸν νόμον φυλάξαντας καὶ προφήταις ὑπακούσαντας εἰς τὸν κόλπον αὐτοῦ εἶναι, καὶ εἰς τὴν ζωὴν μετ' αὐτοῦ ἀπιέναι· ὧν εἷς ἦν Λάζαρος, ὁ διὰ νόμου καὶ προφητῶν καταξιωθεὶς ζωτικοῦ κόλπου τῆς τοῦ Ἀβραὰμ μακαριότητος.

Σχόλ. μζ'. Παρέκοψε τὸ, Λέγετε, [15] ἀχρεῖοι δοῦλοί ἐσμεν· ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν.

Ἔλεγχ. μζ'. Καὶ τὸ ἀσφαλὲς τῆς τοῦ κυρίου διδασκαλίας οὐ παραδέχεται. Ἐπασφαλιζόμενος γὰρ τοὺς ἑαυτοῦ μαθητὰς, ἵνα μὴ διὰ τῆς ὑπερφανίας ἀπολέσωσι τὸν μισθὸν τοῦ ἔργου, ταπεινοφρονεῖν ἐνουθέτει. Οὗτος δὲ οὐ παραδέχεται. Τύφῳ γὰρ κατὰ πάντα ἐπήρθη, καὶ οὐκ ἀληθείᾳ.

Σχόλ. μη'. Ὅτε συνήντησαν οἱ δέκα λεπροί. Ἀπέκοψε δὲ πολλὰ, καὶ ἐποίησεν, Ἀπέστειλεν αὐτοὺς λέγων, Δείξατε ἑαυτοὺς [16] τοῖς ἱερεῦσι, καὶ ἄλλα ἀντ' ἄλλων ἐποίησε, λέγων ὅτι, Πολλοὶ λεπροὶ ἦσαν ἐν ἡμέραις Ἐλισσαίου τοῦ προφήτου, καὶ οὐκ ἐκαθαρίσθη εἰ μὴ Νεεμὰν ὁ Σύρος.

Ἔλεγχ. μη'. Καὶ ἐνταῦθα προφήτην τὸν Ἐλισσαῖον καλεῖ ὁ κύριος, καὶ ἑαυτὸν πληροῦντα τὰ ἰσοτύπως παρ' ἐκείνου προγεγενημένα, ἵνα ἐλέγχῃ Μαρκίωνα καὶ πάντας τοὺς ἀθετοῦντας θεοῦ προφήτας.

Σχόλ. μθ'. Ἐλεύσονται ἡμέραι, ὅταν ἐπιθυμήσητε [17] μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

Ἔλεγχ. μθ'. Εἰ ἡμέρας ἀριθμεῖ, καὶ χρόνον σημαίνει, καὶ υἱὸν ἀνθρώπου λέγει ἑαυτὸν, ἄρα καὶ μέτρον ἡλικίας ὑπέδειξε, καὶ ἡμερῶν τοῦ κηρύγματος ὑπόδειγμα. Οὐκ ἄσαρκος οὖν ὁ λόγος, ἀλλ' ἐν σώματι ἡ εὐδοκία.

Σχόλ. ν'. Εἰπέ τις πρὸς αὐτὸν, Διδάσκαλε ἀγαθὲ, Τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; [18] ὁ δὲ, Μή με λέγε ἀγαθόν· εἷς ἐστιν ἀγαθὸς [19] ὁ θεός. [20] Προσέθετο ἐκεῖνος, Ὁ πατήρ· καὶ ἀντὶ τοῦ, Τὰς ἐντολὰς οἶδας, λέγει, Τὰς ἐντολὰς οἶδα.

Ἔλεγχ. ν'. Ἵνα μὴ δείξῃ τὰς ἐντολὰς ἤδη προγεγραμμένας, λέγει,

15. Supra ὅτι ἀχρεῖοι. Vocabulum λέγετε, quod desideratur in edit. princ., Petavius ex cod. Vatic. restituit.

16. τοῖς non extat in ed. princ. Restituit Petavius ex cod. Vatic.

rore versetur Abraamus, legi Moysis ac prophetis testimonium perhibet, nec sic tanquam ea quae futura postea sunt ignoret, sed posteaquam cuiusmodi quies illa foret experientia didicit. Post obitum enim salvator in parabola testatur illum per legis dogmata, prophetasque salutem esse consecutum, tametsi ante legem illa factis expressisset. Similiter eos qui legem postea servassent ac prophetis obtemperassent in sinu eius acquiescere et ad vitam cum ipso pervenire. Quorum e numero Lazarus fuit, qui legis prophetarumque beneficio in vitalem beatitudinis illius, qua Abraamus fruitur, sinum receptus est.

Schol. XLVII. Haec verba praetermisit: *Dicite, Servi inutiles* Luc. 17, 10.
*sumus: quod debuimus facere, fecimus.*

Refut. XLVII. Etiam illam, quam doctrina domini praescribit, cautionem repudiat. Etenim Christus cautos ac prudentes reddere discipulos studens, ne ob superbiam operis suis mercede priventur, ad humilitatem erudiebat. Quod iste documentum reiicit, utpote elatus arrogantia, non veritate subnixus.

Schol. XLVIII. Quando occurrerunt decem leprosi. Quo in loco multa resecat, itaque scribit: *Et misit eos dicens, Ostendite vos* Ibid. 12.
*sacerdotibus:* ac pro aliis alia supposuit, ita concipiens: *Multi erant* Cf. 4, 27.
*leprosi in diebus Elisaei prophetae, et nemo curatus est, nisi Naamam Syrus.*

Refut. XLVIII. Hoc in loco prophetam dominus Elisaeum nominat, seque adeo demonstrat ea quae ab illo signis et involucris aequaliter adumbrata fuerant, reipsa complesse, quo Marcionem, ac ceteros omnes prophetarum contemptores refelleret.

Schol. XLIX. *Venient dies, quando desiderabitis videre unum* Cap. 17, 22.
*ex diebus filii hominis.*

Refut. XLIX. Cum et dies numeret, et certum tempus indicet, et filium se hominis appellat, sane mensuram quandam aetatis significat ac praedicationis suae definitum diem constituit. Quare non expers carnis est verbum, sed in corpore benevolum illud est dei consilium perfectum.

Schol. L. *Dixit ei quidam, Magister bone, quid faciens vitam* Cap. 18, 18.
*aeternam possidebo? At ille, Nolite me dicere bonum: unus est bonus deus.* Adiecit ille, *Pater.* Sed et pro eo quod est, *Mandata nosti* scripsit ille, *Mandata novi.*

Refut. L. Ne mandata antea perscripta fuisse monstraret, ista

17. *Abest* ἰδεῖν *ante* μίαν, *quod supra quidem legitur.*
18. ὁ δὲ *supra desideratur.*
19. ὁ θεὸς *supra desideratur.*
20. *Supra* Προςέθηκε τὸ ὅτι, Ὁ πατήρ.

*Τὰς ἐντολὰς οἶδα. Τὸ δὲ ὅλον κεφάλαιον φανερὸν ὑπάρχει ἀπὸ τῆς ἀκολουθίας. Καὶ εἰ πατέρα ἀγαθὸν φάσκει καὶ θεὸν ὀνομάζει, καλῶς ἀπὸ τοῦ νόμου τοῦ πατρὸς αὐτοῦ διδάσκει τὸν βουλόμενον τὴν ζωὴν* pag. 340. *κληρονομῆσαι, καὶ οὐκ ἀθετεῖ, οὐ δὲ ἀπωθεῖται, ἀλλὰ μᾶλλον ἐπιμαρτυρεῖ τοὺς ἐν νόμῳ πολιτευσαμένους ζωὴν αἰώνιον κεκληρονομηκέναι, Μωϋσέα τε καὶ τοὺς ἄλλους προφήτας.*

*Σχόλ. να΄. Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν* [21] *αὐτὸν τῇ Ἱεριχῷ, τυφλὸς ἐβόα, Ἰησοῦ, υἱὲ Δαβὶδ ἐλέησόν με. Καὶ ὅτε ἰάθη, φησὶν, Ἡ πίστις σου σέσωκέ σε.*

*Ἔλεγχ. να΄. Ἐν πίστει οὐκ ἔνι ψεῦδος. Εἰ γὰρ ψεύδεται, οὐ πίστις. Λέγει γοῦν, Υἱὲ Δαβὶδ, καὶ ἐπαινεῖται, καὶ κομίζεται τὸ αἴτημα ὁ τὸ ὄνομα ὁμολογήσας καὶ οὐκ* [22] *ἐπετιμήθη ὡς ψεύστης, ἀλλ' ὡς πιστὸς ἐμακαρίσθη. Οὐκ ἄρα ἄσαρκος ὁ διὰ τὴν ἐπίκλησιν τοῦ ὀνόματος χαρισάμενος τῷ τυφλῷ τὸ βλέπειν. Ἀληθινῶς γὰρ ἦν, καὶ οὐ δοκήσει, ἐκ τοῦ σπέρματος Δαβὶδ κατὰ σάρκα, ἀπὸ Μαρίας τῆς ἁγίας παρθένου καὶ διὰ πνεύματος ἁγίου γεγεννημένος.*

*Σχόλ. νβ΄. Παρέκοψε τὸ, Παραλαβὼν τοὺς δώδεκα ἔλεγεν, Ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ τελεσθήσεται πάντα τὰ γεγραμμένα ἐν τοῖς προφήταις περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου· παραδοθήσεται* [23] *γὰρ, καὶ ἀποκτανθήσεται, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται. Ὅλα ταῦτα παρέκοψε.*

*Ἔλεγχ. νβ΄.* [24] *Ἵνα ἐν μηδενὶ ὀρθοποδήσῃ· μὴ ὀρθοποδῶν δὲ ἐλέγχεται ῥᾳδιουργῶν κατὰ πάντα τρόπον. Ἔκρυψε γὰρ τὰ ῥητὰ, ἵνα δῆθεν τὰ περὶ τοῦ πάθους ἀρνήσηται. Ὕστερον δὲ ὁμολογοῦντι αὐτὸν ἐσταυρῶσθαι εἰς μάταιον αὐτῷ ὁ πόνος τῆς ῥᾳδιουργίας ἔσται.*

*Σχόλ. νγ΄. Παρέκοψε τὸ κεφάλαιον τὸ περὶ τῆς ὄνου καὶ Βηθφαγὴ, καὶ τὸ περὶ τῆς πόλεως καὶ τοῦ ἱεροῦ,* [25] *διότι γεγραμμένον ἦν, Ὁ οἶκός μου οἶκος προσευχῆς* [26] *κληθήσεται, καὶ ποιεῖτε αὐτὸν σπήλαιον λῃστῶν.*

*Ἔλεγχ. νγ΄. Τὸν ἔλεγχον ἑαυτῆς ἡ κακία οὐχ ὁρᾷ, τυφλώττει γάρ. Οἴεται δὲ δύνασθαι ἀποκρύπτειν τὴν τῆς ἀληθείας ὁδὸν, ὅπερ ἐστὶν ἀδύνατον. Εὐθὺς γὰρ ἀνεπήδησε, παραλιπὼν ὅλα τὰ κεφάλαια τὰ προειρημένα, διὰ τὸν μαρτυρηθέντα τόπον τοῦ ναοῦ ὄντα αὐτοῦ ἴδιον καὶ εἰς ὄνομα αὐτοῦ ᾠκοδομημένον, καὶ ἀπὸ τῆς Ἱεριχῷ καταλιπὼν πᾶσαν τὴν ἀκολουθίαν τῆς ὁδοιπορίας, πῶς τε ἦλθον εἰς Βηθανίαν καὶ εἰς Βηθφαγή. Φύσει γὰρ λεωφόρος ἦν παλαιὰ ἄγουσα εἰς Ἱερουσαλὴμ* pag. 341. *διὰ τοῦ Ὄρους τῶν ἐλαιῶν, οὐκ ἄγνωστος οὖσα τοῖς καὶ τὸν τόπον*

21. αὐτὸν *supra desideratur.* Petav. ἐπεθυμήθη *edit. princ.*
22. ἐπετιμήθη *cod. Vatic., et inde edit.* 23. γὰρ *non legitur supra.*

substituit: *Mandata novi.* Sed integrum caput illud ex ipsa sermonis est consequentia manifestum. Et quoniam patrem bonum appellat ac deum, praeclare illud ostendit, quemlibet ex patris sui lege velut quoddam vitae patrimonium posse consequi, nec illam condemnat, aut reiicit, sed eos potius qui in lege vixerunt immortalem vitam sortitos esse testatur, Moysen videlicet, ac prophetas ceteros.

Schol. LI. *Factum autem est cum appropinquaret Iericho, caecus clamabat: Iesu fili David, miserere mei! Et cum curatus esset, ait, Fides tua te salvum fecit.* Luc. 18, 35.

Refut. LI. Nullum inest in fide mendacium. Nam si mentitur, fides non est. At ille cum dixisset, *Fili David*, a Christo laudatur, nomenque confessus quod petierat impetrat. Non ille increpatur ut mendax, sed praedicatur ut fidelis. Non carnis igitur erat expers, qui ob illam nominis invocationem caeco visum restituit. Quippe non vana duntaxat specie, sed reipsa secundum carnem e stirpe Davidis originem duxerat de beatissima virgine Maria natus, et a sancto spiritu formatus.

Schol. LII. Mutilavit ista: *Assumptis duodecim ait, Ecce ascendimus Hierosolymam, et consummabuntur omnia quae scripta sunt per prophetas de filio hominis: tradetur, occidetur, et tertia die resurget.* Ibid. 31.
Haec omnia sustulit.

Refut. LII. Ut nusquam recta gradiatur. Quamquam illius obliquitas ac mala in omnibus fides reprehendi potest. Verba enim illa dissimulavit ideo, ut quae ad Christi passionem attinent negaret. Sed cum deinde crucifixum eundem esse confitetur, frustra est omnis ab eo depravandi illius loci susceptus labor.

Schol. LIII. Exponxit et caput illud de asino, Bethphage et Cap. 19, 29.
urbe atque templo. *Quoniam scriptum est, Domus mea domus orationis vocabitur. Et facitis eam speluncam latronum.* Ibid. 46.

Refut. LIII. Caeca est improbitas omnis, nec ea videt quibus redargui possit, ac se quod fieri nequit omnino, veritatis viam occultare sperat posse. Sic iste praetermissis iis omnibus quae dixi capitibus abrupte transiliit, ut illud de templo testimonium vitaret, quo peculiare sibi illud esse ac nomini suo constitutum significat. Ac deinceps ab Hierichuntis mentione totam itineris seriem omittit, utque Bethaniam ac Bethphage pervenerit. Vetus enim erat via, quae per Oliveti montem Hierosolyma ducebat, quam haud ignorant

24. *Construe* Ὅλα ταῦτα παρέκοψε, ἵνα ἐν μηδένι ὀρθοποδήσῃ.

25. *Supra* ὅτι.

26. *Supra abest* κληθήσεται.

ἱστοροῦσιν. Ἵνα δὲ ἐλεγχθῇ ἀπὸ τοῦ ἰδίου στόματος, φησὶν, Ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν διδάσκοντος αὐτοῦ ἐν τῷ ἱερῷ, ἐζήτησαν ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας, καὶ ἐφοβήθησαν, ὡς ἔχει μετὰ τοῦτο τὸ κεφάλαιον νδ'. Πῶς οὖν ἀπὸ Ἱεριχὼ ἐγένετο ἐν τῷ ἱερῷ, ἀπὸ τῆς αὐτῆς ὁδοιπορίας γνωσθήσεται, καὶ τοῦ τῆς ὁδοῦ διαστήματος· ἀλλ' ἵνα ὀφθῇ ὁ ῥᾳδιουργὸς παρακρύψας τὰ ἐν τῇ ὁδῷ γενόμενα, καὶ ἐν τῷ ἱερῷ ῥηθέντα ὑπ' αὐτοῦ τοῦ σωτῆρος πρὸ τούτου λόγου, λέγω δὴ, Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται, καὶ τὰ ἑξῆς, ὡς ἔχει ἡ προφητεία.

Σχόλ. νδ'. Καὶ ἐζήτησαν ἐπιβαλεῖν [27] τὰς χεῖρας ἐπ' αὐτὸν, καὶ ἐφοβήθησαν.

Ἔλεγχ. νδ'. Ἐθεωρήθη καὶ ἡρμηνεύθη ἐν τῷ πρὸ τούτου ἐλέγχῳ σὺν τῇ φράσει, μετ' ἐπιτομῆς τῆς προσηκούσης.

Σχόλ. νε'. Πάλιν ἀπέκοψε [28] τὰ περὶ τοῦ ἀμπελῶνος τοῦ ἐκδεδομένου γεωργοῖς· καὶ τὸ, Τί οὖν ἐστι τὸ, Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες;

Ἔλεγχ. νε'. Οὐδὲν ἡμᾶς ἀδικήσει τοῦτο. Κἄν τε γὰρ αὐτὸ περικόψῃ, οὐκ ἀφ' ἡμῶν ἀπέκοψεν, ἀλλὰ ἑαυτὸν καὶ τοὺς αὐτοῦ ἐζημίωσεν. Ἱκανῶς γὰρ ὁ κατ' αὐτοῦ ἔλεγχός ἐστι, διὰ πλειόνων μαρτυριῶν.

Σχόλ. νϛ'. Ἀπέκοψε τὸ, Ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ, Μωϋσῆς ἐμήνυσε περὶ τῆς βάτου, [29] ὡς λέγει ὁ κύριος τὸν θεὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. Θεὸς δέ ἐστι ζώντων, καὶ οὐχὶ νεκρῶν.

Ἔλεγχ. νϛ'. Θαυμάσαι ἔστιν ἐπὶ τῇ ἀνοίᾳ τοῦ ματαιόφρονος, πῶς οὐχὶ νοεῖ ὅτι ἴση αὕτη ἡ μαρτυρία τυγχάνει τῇ τοῦ Λαζάρου τοῦ πτωχοῦ καὶ τῇ παραβολῇ τῶν μὴ συγχωρουμένων εἰς τὴν βασιλείαν εἰσελθεῖν· ὧν παραβολῶν τὰ λείψανα εἴασε, καὶ οὐ παρέκοψεν, ἀλλὰ ἐπὶ τῇ αὐτοῦ αἰσχύνῃ καταλέλοιπε τὸ, Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Δακτύλου δὲ ἐμβρεχομένου εἰς ὕδωρ μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν, καὶ γλώσσης καταψυχομένης ὕδατι, ὡς ὁ πλούσιος ἔφη τῷ Ἀβραὰμ διὰ τὸν Λάζαρον, καὶ βρυγμοῦ ὀδόντων καὶ κλαυθμοῦ γινομένου, ἀναστάσεως σωμάτων ἐστὶ σημεῖον, κἂν παρακόψῃ ὁ κτηνώδης τὰ ὑπὸ κυρίου περὶ ἀναστάσεως νεκρῶν ἀληθῶς εἰρημένα.

pag. 312. Σχόλ. νζ'. Οὐκ εἶχε ταῦτα· Ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ καὶ Μωϋσῆς ἐμήνυσε, λέγων θεὸν Ἀβραὰμ καὶ θεὸν Ἰσαὰκ καὶ θεὸν Ἰακὼβ, θεὸν ζώντων.

Ἔλεγχ. νζ'. Διὰ τὸ δευτερῶσαι τὸν σωτῆρα τὴν παραβολὴν διττῶς παρ' ἡμῶν ἐντέτακται· ἵνα μὴ ἀπεικαζόμενοι τῷ ἀγύρτῃ Μαρκίωνι

27. Supra ἐπ' αὐτὸν τὰς χεῖρας. 28. Supra τὴν τοῦ ἀμπελῶνος.

qui ea loca peragrant. Verum ut suo ipsius ore convincatur: *Factum est*, inquit, *in una dierum docente illo in templo, quaesierunt iniicere in illum manus, et timuerunt*, ut sequenti capite LIV. declaratur. Igitur quemadmodum Hierichunte in templum venerit ex eodem illo itinere ac viae intervallo cognoscitur. Sed eo res adducta est ut improbus ille veterator quae in via gesta sunt, et in templo a salvatore ante hunc sermonem sunt dicta, dissimulasse videatur. Nimirum, *Domus mea domus orationis vocabitur etc.*, ut in prophetia leguntur.

Schol. LIV. *Et quaesierunt iniicere manus in illum, et timuerunt.* Luc. 20, 19.

Refut. LIV. Quae ad hunc locum spectant, ea proxima refutatione cum ipsa loquendi ratione quam fieri potuit brevissime expensa sunt et explicata.

Schol. LV. Item illum induxit locum, quo de vite illa agitur Ibid. 9.
agricolis locata. Atque hoc insuper: *Quid est igitur, Lapidem quem* Ibid. 17.
*reprobaverunt aedificantes?*

Refut. LV. Nihil id quidem nocere nobis potest. Tametsi enim locum istum exemerit, non ullo id nostro damno sustulit, sed sibi ipsi suisque fraudi potius fuit. Compluribus enim testimoniis satis superque refellitur.

Schol. LVI. Delevit illud: *Quia vero mortui resurgunt, Moyses ostendit secus rubum, sicut dicit dominum deum Abraam, Isaac et Iacob. Deus autem est vivorum, non mortuorum.* Ibid. 37.

Refut. LVI. Admirandus plane insani hominis stupor. Quid enim? Non illud animadvertisse par istud esse testimonium altero illi de mendico Lazaro, nec non et eorum parabolae quibus regni aditus intercluditur? Quarum quidem parabolarum reliquias servavit, nec ut alia pleraque sustulit. Ita summa sua cum ignominia verba illa dereliquit: *Illic erit fletus et stridor dentium.* Ceterum quod et digitus post obitum in aquam immergitur, et aqua linguam refrigerat, uti de Lazaro dives Abraamo dicebat, quodque dentium stridor est ac fletus, argumento est resurrectionem esse corporum, quantumvis ea quae de mortuorum resurrectione vere sunt a domino prolata pecus illa sustulerit.

Schol. LVII. Ista quoque praetermisit: *Quia vero resurgant mortui et Moyses ostendit dicens, deum Abraam, et deum Isaac, et deum Iacob, deum vivorum.*

Refut. LVII. Quoniam bis eadem a salvatore repetita parabola est, ideo bis eam proposuimus, ne ut circumforaneus iste Marcio,

29. *Supra* καθώς.

ἡμεῖς παραλείψωμέν τι τῶν γεγραμμένων. Ἤδη ἐν τῷ ἀνωτέρῳ ἐλέγχῳ γεγένηται ἡ κατὰ τῆς αὐτοῦ ῥᾳδιουργίας ἀντίῤῥησις.

Σχόλ. νη'. Πάλιν παρέκοψε τὸ, Θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται.

[30] Ἔλεγχ. νη'. * * * * * * * *
* * * * * * * * * * *
* * * * * * * * * * *

Σχόλ. νθ'. Πάλιν παρέκοψε ταῦτα· Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ τὰ ἑξῆς· διὰ τὰ ἐπιφερόμενα ἐν τῷ ῥητῷ, Ἕως πληρωθῇ [31] τὰ γεγραμμένα.

Ἔλεγχ. νθ'. Δοκεῖ λήθην κεκτημένος τοὺς ἅπαντας ἴσους αὐτῷ ἀνοήτους εἶναι, καὶ οὐκ οἶδεν ὅτι, κἂν μικρὸν ῥητὸν ὑπ' αὐτοῦ καταλειφθῇ, ἔλεγχον ποιεῖται, πόσῳ μᾶλλον καὶ πολλῶν ῥητῶν ὑπ' αὐτοῦ [32] παρακοπέντων. Οὐδὲν τοίνυν κωλύει τὸν βουλόμενον παραθεῖναι ταύταις ταῖς παρακεκομμέναις μαρτυρίαις τὰ παρ' αὐτοῦ ὁμολογηθέντα. Δειχθήσεται γὰρ σύμφωνα ὄντα τούτοις τοῖς ὑπ' ἐκείνου περικοπεῖσιν ἐν οἷς ἔλεγεν [33] ὁ Ἀβραὰμ μετὰ τὴν τελευτὴν, Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν. Ἃ ἔλεγον γὰρ οἱ προφῆται καὶ Μωϋσῆς, ἐκ θεοῦ πατρὸς ἦν, καὶ ἐξ αὐτοῦ τοῦ κυρίου υἱοῦ τοῦ θεοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἃ ἔδει γεγραμμένα ὄντα πληροῦσθαι.

Σχόλ. ξ'. Συνελάλησε τοῖς στρατηγοῖς [34] τὸ πῶς αὐτὸν παραδῷ αὐτοῖς.

Ἔλεγχ. ξ'. Ὢ φρενοβλάβεια τοῦ Μαρκίωνος. Συνελάλησε τίς, [35] ἀλλ' ἢ Ἰούδας; [36] Τὸ τί ποιῆσαι, ἀλλ' ἢ παραδοῦναι τὸν σωτῆρα; Παραδιδομένου δὲ τοῦ σωτῆρος οὐκέτι δόκησις ὁ παραδιδόμενος, ἀλλὰ ἀλήθεια. Εἰ γὰρ πνεῦμα ἦν μόνον, σαρκικοῖς ἀνθρώποις οὐ παρεδίδοτο· ἀλλὰ θεὸς ὢν ὑπὸ ἀφὴν γέγονε, σάρκα ἐνδυσάμενος εἰς χεῖρας ἀνθρωπίνης φύσεως ἑαυτὸν ἑκὼν παρεδίδου. Τἀναντία [37] δὲ ἑαυτοῖς ὑπὸ ἀνοίας φθέγγονται. Καὶ γὰρ καί ποτε [38] διαλεγόμενός τισι τῶν
pag. 313. αὐτοῦ μαθητῶν Μαρκιωνιστῇ τινι, καὶ λέγων ὡς ἐν τῷ εὐαγγελίῳ ἔχει, ὅτι παρέλαβεν αὐτὸν [39] εἰς τὴν ἔρημον τὸ πνεῦμα πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, ἤκουσα παρ' αὐτοῦ ὅτι, Πῶς ἠδύνατο Σατανᾶς

30. *Hanc lacunam neque cod. Vaticanus, neque Venetus explet, neque cod. Rhedigeranus. In cod. Venet. quatuor lineae explendae restant. In Rhedigerano spatium duarum fere linearum, id est triginta fere et quinque vocabulorum, vacuum est relictum.*

31. *Supra* πάντα τὰ.

32. *Ita ex cod. Vatic. Petavius. In edit. princ. legitur* καταχοπέντων.

33. ὁ *om. cod. Venet.*

34. *Supra* καὶ τὸ.

35. ἀλλ' ἢ *codd. Vatic. Venet. Rhedig.*,

quicquam eorum quae scripta sunt praeteriisse videamur. Ceterum in superiori refutatione improbitatem illius ac calumniam abunde diluimus.

Schol. LVIII. Illud ademit praeterea: *Capillus de capite vestro non peribit.* Luc. 21, 18.

Refut. LVIII. * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * *

Schol. LIX. Iterum haec abstulit: *Tunc qui in Iudaea sunt fugiant ad montes etc.*, ob ea quae sequuntur: *Donec consummentur omnia quae scripta sunt.* Ibid. 21.

Refut. LIX. Obliviosus hic homo ceteros sui esse similes, hoc est stolidos, existimat. Nec intelligit, si vel minimam voculam reliquerit, eam ad sese convincendum facere. Quanto igitur magis cum plurima verba de sententia detrahit? Quamobrem licet mutilatis iis ab illo testimoniis alia quaedam quae ipsemet admittit opponere. Quae cum sublatis ab eo reliquis omnino consentanea esse constabit. Eiusmodi sunt illa in quibus Abraamus post mortem ita loquens inducitur: *Habent Moysen et prophetas; ipsos audiant.* Quae enim prophetae ac Moyses dixerunt, a deo sunt patre profecta, et ab ipsomet dei filio domino nostro, nec non et spiritu sancto; quae quidem mandata scriptis impleri penitus oportuit.

Schol. LX. *Locutus est cum magistratibus, quemadmodum illum traderet eis.* Cap. 22, 4.

Refut. LX. O Marcionis incredibilem amentiam! Quis enim alius praeter Iudam locutus est? aut quid tandem facturus aliud, nisi salvatorem traditurus? Iam vero si salvator traditur, profecto non inane quoddam spectrum erat, sed solida hominis natura constabat. Nam si nihil praeter spiritum foret, carne praeditis hominibus tradi neutiquam posset. Idem ergo deus cum esset, assumpta carne contrectandum se praebuit, hominumque manibus sponte permisit. Sed illi adeo stulti sunt, secum ut oratione sua pugnent. Ac memini me aliquando cum Marcionis quodam discipulo disputantem, cum ex evangelio locum illum obiicerem, quo in loco ductus in desertum a spiritu dicitur, ut tentaretur a diabolo, eiusmodi de illo abstulisse responsum: Qui fieri potest ut Satanas deum verum, Matth. 4, 1.

*et edit. princ. Petavius edidit* ἢ, *omisso* ἀλλ'.

36. Τὸ τί ποιῆσαι *codd. Vatic. et Venet.* τί ποιῆσαι, *omisso illo* Τὸ, *cod. Rhedig. et editi libri.*

37. δὲ *codd. Vatic. Venet. Rhedig. et edit. princ. Petavius edidit* καὶ. *Sed hoc operarum, ni fallor, errore factum est.*

38. διαλεγόμενοι *cod. Venet.*

39. τὸ πνεῦμα εἰς τὴν ἔρημον *cod. Venet.*

*τὸν ὄντα θεὸν, καὶ μείζονα αὐτοῦ ὑπάρχοντα καὶ κύριον αὐτοῦ, ὡς ὑμεῖς λέγετε, πειρᾶσαι, τὸν Ἰησοῦν τὸν αὐτοῦ δεσπότην; Ἐγὼ δὲ ἐν* [40] *τῇ τοῦ θεοῦ βοηθείᾳ ἐξ ὑπογυίου λαβὼν σύνεσιν ἀπεκρινάμην αὐτῷ λέγων, Οὐ πιστεύετε ὅτι ἐσταυρώθη ὁ Χριστός; Ὁ δὲ ἔφη, Ναὶ, καὶ οὐκ ἠρνήσατο. Τίνες οὖν αὐτὸν ἐσταύρωσαν; Ὁ δὲ ἔφη, Ἄνθρωποι. Εἶτα ἔφην αὐτῷ, Τίς δυνατώτερος, ὁ ἄνθρωπος, ἢ ὁ διάβολος; Ὁ δὲ ἔφη, Ὁ διάβολος.* [41] *Ὅτε δὲ τοῦτο εἶπεν, ἀπεκρινάμεθα, Εἰ ὁ διάβολος ἰσχυρότερος ἀνθρώπων ὑπάρχει, ἄνθρωποι δὲ οἱ ἀσθενέστεροι Χριστὸν ἐσταύρωσαν, οὐ θαῦμα εἰ καὶ ὑπὸ τοῦ διαβόλου ἐπειράσθη; Πάντα γὰρ θέλων, καὶ οὐ μετὰ ἀνάγκης, ὑπὲρ ἡμῶν ἑαυτὸν δέδωκεν ὁ Χριστὸς,* [42] *πάσχειν ἐν ἀληθείᾳ, οὐ κατὰ ἀσθένειαν, ἀλλὰ κατὰ προαίρεσιν, εἰς ὑπογραμμὸν ἡμῶν, καὶ τὰ πρὸς τὸν διάβολον, καὶ εἰς σωτηρίαν ἡμῶν ἐν τῷ πάθει τοῦ σταυροῦ, εἰς κατάκρισιν ἁμαρτίας, καὶ ἀθέτησιν τοῦ θανάτου.*

*Σχόλ. ξα΄. Καὶ εἶπε τῷ Πέτρῳ καὶ τοῖς λοιποῖς, Ἀπελθόντες ἑτοιμάσατε, ἵνα φάγωμεν τὸ πάσχα.*

*Ἔλεγχ. ξα΄. Νέφος βελῶν κατὰ σοῦ ἐν μιᾷ μαρτυρίᾳ τὸ ῥητὸν περιέχει, ὦ Μαρκίων. Εἰ γὰρ προστάσσει ἑτοιμάζεσθαι αὐτῷ φαγεῖν τὸ πάσχα, πάσχα δὲ πρὸ τοῦ παθεῖν τὸν Χριστὸν ἐπετελεῖτο, πάντως ὅτι ἀπὸ νόμου τὴν σύστασιν εἶχε. Κατὰ νόμον δὲ τοῦ Χριστοῦ πολιτευομένου σαφὲς ἦν ὅτι οὐ νόμον ἦλθε καταλῦσαι, ἀλλὰ πληρῶσαι. Εἰ δὲ νόμον βασιλεὺς οὐ καταλύει,* [43] *εὐκαθοσίωτος ἡ ἐν τῷ νόμῳ διάταξις, οὐδὲ τῷ* [44] *βασιλεῖ ἀπειρημένη· εὐκαθοσιώτου δὲ ὄντος τοῦ νόμου καὶ τῆς διατάξεως ὁμολογουμένης εἴ τι προςθείη βασιλεὺς τῇ διατάξει ἐπὶ μείζονι δωρεᾷ, κατ' ἐξουσίαν ἡ φαιδρότης γίνεται τῆς προςθήκης. Ἑνὸς δὲ καὶ τοῦ αὐτοῦ τῆς νομοθεσίας οὔσης καὶ τῆς κατὰ προςθήκην δωρεᾶς, παντί τῳ δῆλόν ἐστι καὶ σαφὲς, ὡς οὐκ ἐναντιοῦται τῷ νόμῳ ὁ τὴν προςθήκην ποιησάμενος. Ἀποδέδεικται τοίνυν* pag. 344. *ἐναντία οὖσά τις ἡ παλαιὰ διαθήκη τοῦ εὐαγγελίου, οὐδὲ τῆς τῶν προφητῶν ἀκολουθίας. Κατὰ σαυτοῦ δὲ, ὦ Μαρκίων, ἐπήγαγες πολυτρόπως τὸν ἔλεγχον, μᾶλλον δὲ ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναγκαζόμενος. Πάσχα γὰρ τὸ παλαιὸν οὐδὲν ἦν ἀλλ' ἢ προβάτου θύμα καὶ κρεῶν ἐδωδὴ, ἐμψύχου τε μετάληψις καὶ ἀζύμων. Καὶ τίς σε ἠνάγκασε μὴ ἀφανίσαι τέλεον τὸν κατὰ σοῦ ἔλεγχον, ἢ, ὡς εἶπον, αὐτὴ ἀλήθεια;*

40. τῇ, *quod agnoscunt reliqui libri, tam scripti quam editi, desideratur in edit. Petav.*

41. *Verba* Ὅτε δὲ (δὲ *ego adieci ex cod. Veneto*) τοῦτο εἶπεν, ἀπεκρινάμεθα, Εἰ ὁ διάβολος *desiderantur in edit. princ. Petavius, qui ea reposuit ex cod. Vaticano, paulo aliter expressit, sic:* Ὁ διάβολος ἰσχυρώτερος (*ita ubique habet scriptum, non* ἰσχυρότερος). Ὅτε τοῦτο εἶπεν, ἀπεκρινάμεθα, Εἰ ὁ διάβολος ἰσχυρώτερος *cett.*

42. πάσχειν *libri omnes, praeter edit. Petav. in qua* πάσχων.

ac seipso longe praestantiorem, Dominumque suum, ut dicitis, Iesum scilicet, tentaverit? Ego vero dei fretus auxilio quod e re nata mihi in animum inciderat ad ista subieci. Creditis, inquam, Christum esse crucifixum? Nos vero, inquit, credimus, nec fateri dubitavit. A quibus ergo crucifixus est? rogavi. Ab hominibus, respondit. Tum ego: Quis amborum potentior est, homo, an diabolus? Diabolus, inquit ille, longe praestat hominibus. Ego vero ad haec ista subieci: Si ab hominibus, qui longe imbecilliores sunt, crucifixus est Christus, quid mirum est eundem a diabolo esse tentatum? Ad haec enim omnia vere ac nostra caussa toleranda, adeoque illum cum diabolo congressum non coactus a quopiam, sed ultro se Christus obiecit; quod quidem non ulla eius imbecillitate factum, sed voluntate susceptum, suo ut nos exemplo condocefaceret, crucisque supplicio salutem nobis afferret, damnaret peccatum, mortem denique profligaret.

Schol. LXI. *Et dixit Petro et reliquis, Euntes praeparate ut manducemus Pascha.* Luc. 22, 8.

Refut. LXI. Ingentem contra te telorum nubem unius huiusce testimonii auctoritas continet, Marcio. Cum enim praeparari sibi Pascha iubeat, idque antequam Christus pateretur est celebratum, profecto lege istud ipsum praescriptum fuerat. Quare cum ex legis mandato Christus vitae suae rationem componeret, manifestum est non illum solvendae legis, sed implendae gratia venisse. Iam quoties legem princeps non abrogat, constitutionis quae in lege est integra manet sanctio, nec edicto revocatur. Quamdiu vero legis sanctio perseverat, estque firma constitutio, si quid ad eam princeps cumulandi doni gratia velit adiicere, ab eiusdem potestate accessionis illius benignitas hilaritasque dimanat. Sed cum ab uno eodemque legis illa latio accessioque beneficentiae profecta sit, facile quivis intelligit non eum adversari legi qui ad eam aliquid adiiciendum putarit. Quamobrem demonstratum illud est, nihil vetus testamentum ac prophetarum seriem cum evangelio pugnare. Tu vero, Marcio, multiplex contra te argumentum attulisti, quod ut faceres ipsa te veritas vel invitum coëgit. Vetus enim Pascha nihil praeter agni mactationem, esumque carnium, et animatorum, nec non Azymorum habuit. Quid te igitur impulit, ut ne locum illum, qui ad tui refutationem tantopere pertinet, auderes eradere, nisi vis, uti diximus,

43. εὐκαθοσίωτος *scripsi ex Petavii emendatione pro* οὐκ ἀθοσίωτος, *quod vulgo extat. In cod. Rhedig. legitur* οὐ καθοσίωτος. *Cornarius vertit:* non condemnata est legis constitutio. *Cf. etiam Petavii Animadv. ad h. l.*

44. βασιλεία *edit. princ.*

*Ἣν γὰρ σὺ βδελύττει σαρκοφαγίαν, ὁ κύριος Ἰησοῦς μετὰ τῶν αὐτοῦ μαθητῶν βέβρωκεν, ἐπιτελῶν τὸ πάσχα τὸ κατὰ νόμον. Καὶ μὴ λέγε ὅτι ὃ ἔμελλε μυστήριον ἐπιτελεῖν, τοῦτο προωνόμαζε λέγων, Θέλω μεθ' ὑμῶν φαγεῖν τὸ πάσχα. Ἵνα γὰρ κατὰ πάντα τρόπον καταισχύνῃ σε ἡ ἀλήθεια, οὐκ ἐν τῇ ἀρχῇ ποιεῖ τὸ μυστήριον, ἵνα μὴ ἀρνήσῃ, ἀλλά, φησὶ, Μετὰ τὸ δειπνῆσαι λαβὼν τάδε καὶ τάδε, καὶ εἶπε τοῦτό ἐστι τάδε καὶ τάδε, [45] καὶ οὐκ εἴασε τόπον τῇ ῥᾳδιουργίᾳ. Ἔδειξε γὰρ ὅτι μετὰ τὸ βεβρωκέναι τὸ πάσχα τὸ κατὰ τοὺς Ἰουδαίους, τουτέστι μετὰ τὸ δειπνῆσαι, ἧκεν ἐπὶ τὸ μυστήριον.*

*Σχόλ. ξβ'. Καὶ ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ, καὶ εἶπεν, Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν, πρὸ τοῦ με παθεῖν.*

*Ἔλεγχ. ξβ'. Ἀνέπεσεν ὁ σωτὴρ, ὦ Μαρκίων, καὶ οἱ δώδεκα ἀπόστολοι μετ' αὐτοῦ. Εἰ ἀνέπεσε καὶ συνανέπεσον, οὐ δύναται μία λέξις τὴν σημασίαν ἔχειν ἑτέραν [46] καὶ ἑτέραν, κἂν τε τῇ ἀξίᾳ καὶ τρόπῳ ἔχοι τὴν διαφοράν. Ἢ γὰρ δώσεις καὶ τοὺς δώδεκα δοκήσει ἀναπεπτωκέναι, ἢ καὶ αὐτὸν ἀληθείᾳ σάρκα ἔχοντα ἀληθινῶς ἀναπεπτωκέναι. Καὶ, Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν, ἵνα δείξῃ πάσχα πρὸ τοῦ πάθους αὐτοῦ ἐν τῷ νόμῳ προτυπούμενον καὶ γινόμενον τὸ βέβαιον αὐτοῦ τοῦ πάθους, καὶ ἐντελέστερον προσκαλούμενον, καὶ ὑποδεικνύων ὡς καὶ ὁ ἅγιος ἀπόστολός φησι, Παιδαγωγὸς ἡμῖν [47] γέγονεν ὁ νόμος εἰς Χριστόν. Εἰ δὲ παιδαγωγὸς ὁ νόμος εἰς Χριστὸν, οὐκ ἀλλότριος Χριστοῦ ὁ νόμος.*

*Σχόλ. ξγ'. Παρέκοψε τὸ, [48] Λέγω ὑμῖν, Οὐ μὴ φάγω αὐτὸ ἀπάρτι, ἕως [49] ἂν πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.*

pag. 315. *Ἔλεγχ. ξγ'. Τοῦτο περιεῖλε καὶ ἐρραδιούργησεν, ἵνα δῆθεν μὴ ποιήσει ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ βρωτὰ ἢ ποτὰ, οὐκ εἰδὼς ὁ κτηνώδης ὅτι ἀντιμίμημα τῶν ἐπιγείων δύναται εἶναι πνευματικὰ καὶ ἐπουράνια, μεταλαμβανόμενα ὡς ἡμεῖς οὐκ οἴδαμεν. Μαρτυρεῖ γὰρ πάλιν ὁ σωτὴρ, καὶ λέγει ὅτι, Καθίσεσθε ἐπὶ τῆς τραπέζης μου, ἐσθίοντες καὶ πίνοντες ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. [50] Ἢ παρέκοψε πάλιν ταῦτα, ἵνα δῆθεν ποιήσῃ τὰ ἐν τῷ νόμῳ μὴ ἔχοντα τόπον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Πόθεν οὖν Ἠλίας καὶ Μωϋσῆς ὤφθησαν μετ' αὐτοῦ ἐν τῷ ὄρει ἐν δόξῃ; Ἀλλ' οὐδὲν δυνήσεταί τις πρὸς τὴν ἀλήθειαν.*

45. καὶ οὐκ εἴασεν οὐ τόπον cod. *Vatic.*
46. καὶ ἑτέραν *abest ab edit. princ. Ex cod. Vatic. adiecit Petavius.*
47. γέγονεν ὁ νόμος cod. *Vatic., et inde edit. Petav.* γένοιτ' ὁ νόμος *edit. princ.* γένοιτο ὁ νόμος cod. *Rhedig.*

ipsa veritatis? Quem enim detestaris carnium esum, eum dominus cum discipulis adhibuit tum cum Pascha ex legis praescripto celebravit. Nec est quod dicas mysterium hoc ab illo, quod erat peracturus, fuisse nominatum, cum ita diceret: *Volo manducare Pascha vobiscum.* Nam ut pudorem tibi omni ex parte veritas faciat, non ei mysterio prius operari voluit, ne inficiandi occasionem haberes, sed, *Cum coenasset,* inquit, *accipiens haec et illa, dixit, Hoc est haec et illa,* nullum ut cavillandi calumniandique locum relinqueret. Ostendit enim ipsum posteaquam Iudaicum Pascha comedit, hoc est secundum coenam, ad celebrandum accessisse mysterium.

Schol. LXII. *Et recubuit, et duodecim apostoli cum illo: et dixit, Desiderio desideravi hoc Pascha manducare vobiscum, antequam patiar.* Luc. 22, 15.

Refut. LXII. Recubuit salvator, o Marcio, cum eoque discipuli duodecim! Si tam ille recubuit, quam una isti recubuerunt, non potest eidem voci diversa notio ac potestas affingi, tametsi quod ad dignitatem ac modum attinet nonnihil intersit. Aut igitur fatendum tibi est duodecim quoque discipulos specie tenus accubuisse, aut ipsum, qui vere carnem induerat, vere idipsum egisse. Qui sic ideo locutus est: *Desiderio desideravi hoc Pascha manducare vobiscum antequam patiar,* ut et Pascha illud ante passionem suam figurate in lege constitutum ostenderet, et alterum successisse monstraret, quod et ad astruendam passionem suam spectaret, et perfectius appellaretur, simul illud indicans quod apostolus Paulus docuit, Legem paedagogi nobis instar in Christo fuisse. Quod si paedagogus noster lex in Christo fuit, a Christo minime erit aliena. Gal. 3, 24.

Schol. LXIII. Praeterea haec ab illo detracta sunt: *Dico enim vobis, Non edam illud amplius donec impleatur in regno dei.* Luc. 22, 16.

Refut. LXIII. Mala ista fide subtraxit, ne scilicet ullum in regno dei potum ac cibum his verbis pateretur exprimi. Nec illud homo stupidus agnovit, terrenorum simile quiddam in spiritalibus ac coelestibus inesse, quorum participandorum occulta nobis est ratio. Ita enim et salvator ipse testatus est ac dixit: *Sedebitis in mensa mea edentes et bibentes in regno coelorum.* Sed et propterea ista sustulit, nullum ut iis quae ad legem pertinent in regno coelorum locum tribueret. Undenam igitur Elias ac Moyses in monte cum ipso apparuerunt in gloria? Sed nemo est qui contra veritatem virium quicquam habeat.

48. Λέγω γὰρ ὑμῖν *supra extat.*
49. ἂν *supra abest.*
50. *Verba* Ἢ παρέκοψε — — — βασιλείᾳ τῶν οὐρανῶν, *quae desiderantur in edit. princ., Petavius ex cod. Vatic. restituit.*

*Σχόλ. ξδ'. Παρέκοψε τὸ, Ὅτε ἀπέστειλα ὑμᾶς, μή τινος ὑστερήσατε, καὶ τὰ ἑξῆς· διὰ τὸ, Καὶ τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι, τὸ, Καὶ μετὰ ἀνόμων συνελογίσθη.*

*Ἔλεγχ. ξδ'. Κἂν παρακόψῃς τὰ ῥήματα ἀπὸ τοῦ ἔργου φαίνονται αὐτῶν οἱ τόποι, προάγοντος τοῦ νόμου καὶ προκηρυττόντων τῶν προφητῶν, καὶ κυρίου πληροῦντος.*

*Σχόλ. ξε'. Ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου* [51] *βολὴν, καὶ θεὶς τὰ γόνατα προσηύχετο.*

*Ἔλεγχ. ξε'. Θεὶς τὰ γόνατα ὁρατῶς ἔθηκε, καὶ αἰσθητῶς ἐπετέλεσεν, εἰ δὲ αἰσθητῶς, κατὰ τὸ εἶδος τὸ ἔργον ἐποίησε τῆς γονυκλισίας· οὐκ ἄρα ἄνευ σαρκὸς ἐνεδήμησεν ὁ μονογενής. Αὐτῷ γὰρ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· ἐπουρανίων πνευματικῶν, ἐπιγείων αἰσθητῶν, καταχθονίων, τῷ ἰδίῳ εἴδει. Ὧδε δὲ τὰ πάντα ἐν ἀληθείᾳ ἐπετέλει ὁρώμενος, καὶ ὑπὸ ἀφὴν τοῖς μαθηταῖς εὑρισκόμενος, καὶ μὴ* [52] *φαντάζων.*

*Σχόλ. ξϛ'. Καὶ ἤγγισε καταφιλῆσαι αὐτὸν* [53] *Ἰούδας, καὶ εἶπεν.*

*Ἔλεγχ. ξϛ'. Ἤγγισε σαρκὶ ὄντι δεσπότῃ καὶ θεῷ σῶμα λαβόντι, καταφιλῆσαι ἀληθινὰ χείλη, καὶ οὐ δοκήσει ὄντα καὶ φαντάζοντα.*

*Σχόλ. ξζ'. Παρέκοψε ὃ ἐποίησε Πέτρος, ὅτε* [54] *ἐπάταξε, καὶ ἀφείλετο τὸ οὖς τοῦ δούλου τοῦ ἀρχιερέως.*

pag. 348. *Ἔλεγχ. ξζ'. Δοκῶν εἰς τιμὴν Πέτρου ὁ ἀπατεὼν κρύπτειν τὸ ἐν ἀληθείᾳ γενόμενον τῆς δοξολογίας τοῦ σωτῆρος, τὸ ῥητὸν τεμὼν ἀπέκρυψεν. Ἀλλὰ οὐδὲ ὠφελήσει. Κἄν τε γὰρ αὐτὸς ἀποκόψῃ, ἡμεῖς οἴδαμεν τὰ θεοσήμεια. Μετὰ γὰρ τὸ ἀποκόψαι τὸ ὠτίον, ὁ κύριος πάλιν λαβὼν ἰάσατο, ἵνα ἀποδειχθῇ ὅτι θεός ἐστι καὶ θεοῦ ἔργον ἐπετέλεσεν.*

*Σχόλ. ξη'. Οἱ συνέχοντες ἐνέπαιζον δέροντες,* [55] *τύπτοντες, καὶ λέγοντες, Προφήτευσον τίς ἐστιν ὁ παίσας σε;*

*Ἔλεγχ. ξη'. Ὅτι τὸ Συνέχοντες, καὶ τὸ Ἐνέπαιζον, καὶ τὸ δεῖραι, καὶ τὸ τύψαι, καὶ τὸ, Προφήτευσον τίς ἐστιν ὁ παίσας σε, τοῦτο οὐ δόκησις ἦν, ἀλλὰ ἀφῆς ἐστι καὶ σωματικῆς καὶ ἐνσάρκου ὑποστάσεως δηλωτικὸν, καὶ παντί τῳ δῆλόν ἐστι, κἄν τε σὺ τυφλωθεὶς, Μαρκίων, μὴ θέλοις ὁμολογεῖν τὴν ἐναργῆ θεοῦ ἀλήθειαν.*

51. *Supra* βολή.
52. φαντάζων *correxerunt Cornarius et Petavius. Libri habent* φαντάζου.
53. Ἰούδας *supra abest.*
54. ἐπάταξε *vitiose scriptum est in utraque editione.*

Schol. LXIV. Item illud induxit: *Quando misi vos, numquid defuit vobis? etc.* Ob ea quae sequuntur: *Et hoc, quod scriptum est, oportet impleri: Et cum iniquis deputatus est.* Luc. 22, 35.

Refut. LXIV. Quantumvis verba subducas, res ipsa tamen proprios ipsorum locos aperiet. Siquidem antegressa lex est, ac prophetae nuntiarunt, at ipse tandem dominus implevit.

Schol. LXV. *Avulsus est ab illis quantum iactus est lapidis, et positis genibus orabat.* Ibid. 41.

Refut. LXV. *Positis*, inquit, *genibus*. Ita posuit, ut id videri posset idque ipsum sensibili modo praestitit. Quod si genua ita flexit ut sentiri posset, adeoque ut actionis huius natura postulabat, profecto non sine carne salvator in hoc terrarum orbe versatus est. Huic enim *Omne genu flectetur, coelestium, terrestrium et infernorum: coelestium* porro, hoc est spiritalium, *terrestrium*, hoc est eorum quae sub sensus cadunt, *infernorum* denique, eo modo qui illorum est proprius. Hic autem ex rei veritate faciebat omnia, cum et cerneretur oculis, et a discipulis contrectaretur, neque spectri instar illuderet. Phil. 2, 10.

Schol. LXVI. *Et accessit, ut oscularetur eum et dixit.* Luc. 22, 47.

Refut. LXVI. Ad dominum ac deum carnem factum Iudas accessit, cum ille corpus induisset; nimirum vera ut oscularetur labia, non quae eiusmodi duntaxat apparerent ac ludificarent oculos.

Schol. LXVII. Recidit id quod a Petro gestum dicitur, cum percussit, et amputavit auriculam. Ibid. 50.

Refut. LXVII. Quamvis ut honori Petri consuleret, suppressisse ista videatur, hoc ipso tamen quod revera gestum est et ad salvatoris decus gloriamque pertinet, occultare conatus est. Verum nihil omnino perfecit. Nam etsi ille mentionem huius rei sustulerit, dei tamen miracula cognoscimus. Abscissa igitur auricula eam subinde dominus accipiens in integrum restituit, ut deum se esse ac divinum opus edidisse monstraret.

Schol. LXVIII. *Et qui tenebant illudebant caedentes, et percutientes dicebant, Prophetiza quis est qui te percussit?* Ibid. 63.

Refut. LXVIII. Haec omnia, *Qui tenebant, et illudebant:* item, *Caedere et percutere:* et, *Prophetiza nobis quis est qui te percussit,* haec, inquam, non adumbratam duntaxat speciem referunt, sed contactum quendam ac corpoream carneamque substantiam significant. Idque adeo manifesto cuivis apparet, tametsi prae ea quae in te est animi caecitate, Marcio, perspicuam dei veritatem confiteri detrectes.

55. *Supra* καὶ τύπτοντες ἔλεγον *cett.*

Σχόλ. ξθ'. Προςέθετο μετὰ τοῦτο, Τοῦτον [56] ηὕραμεν διαστρέφοντα τὸ ἔθνος, καὶ καταλύοντα τὸν νόμον καὶ τοὺς προφήτας.

Ἔλεγχ. ξθ'. Πόθεν οὐ φωραθήσῃ, πόθεν οὐκ ἐλεγχθήσῃ διαστρέφων τὴν ὁδὸν κυρίου; Ὅταν γὰρ ἐνταῦθα προςθείης τὸ μὴ γεγραμμένον, συκοφαντῶν σεαυτὸν, οὐ γὰρ ἂν εἴποιμι τὸν κύριον, λέγων ὅτι, Τοῦτον ηὕρομεν καταλύοντα τὸν νόμον καὶ τοὺς προφήτας, τὸ ἀντίζυγον τούτου ἐλέγξει σε, ὦ ματαιόπονε, αὐτοῦ τοῦ σωτῆρος λέγοντος, Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον [57] καὶ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι. Οὐ δύναται τοίνυν ὁ αὐτὸς λέγων, Οὐκ ἦλθον καταλῦσαι, διὰ τὸ καταλύειν κατηγορεῖσθαι. Οὐ γὰρ εἶχεν οὕτως τὸ ῥητὸν, ἀλλὰ, Εὕρομεν τοῦτον διαστρέφοντα τὸν λαὸν, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα.

Σχόλ. ο'. Προςθήκη [58] μετὰ τὸ, Κελεύοντα φόρους μὴ δοῦναι, [59] τὸ, Ἀποστρέφοντα τὰς γυναῖκας καὶ τὰ τέκνα.

Ἔλεγχ. ο'. Τίς αὐτῷ κρημνὸν περιποιεῖ πληρῶν τὸ γεγραμμένον τὸ, Ὁ ἑαυτῷ πονηρὸς τίνι ἀγαθὸς ἔσται; Πάσης γὰρ τόλμης καὶ πονηρίας ὑπόδειγμά ἐστι, καὶ κινδυνώδους ὁδοιπορίας, τὸ τὰ μὲν γεγραμμένα παρακόπτειν, ἃ δὲ μὴ γέγραπται προςτιθέναι, μάλιστα ἐν
pag. 347. εὐαγγελίῳ, ἀκαταλύτῳ ὄντι εἰς τοὺς αἰῶνας. Καὶ αὐτὰ δὲ τὰ τῆς προςθήκης οὔτε τόπον ἔχει, οὔτε αἴνιγμα. Οὐ γὰρ ἀπέστρεφεν Ἰησοῦς γυναῖκα ἢ τέκνα. Αὐτὸς γὰρ ἔφη, Τίμα τὸν πατέρα καὶ τὴν μητέρα, καὶ, Ἃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. Ἀλλὰ κἂν εἴπῃ, Ἐὰν μή τις καταλείψῃ πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς καὶ γυναῖκα καὶ τέκνα, καὶ τὰ ἑξῆς, οὐκ ἔστι μου μαθητὴς, οὐχ ἵνα μισῶμεν πατέρας, ἀλλ' ἵνα μὴ ὑπαγώμεθα πατέρων καὶ μητέρων [60] ἐπιταγῇ ἑτέρᾳ πίστεως, ἢ τρόπῳ, παρὰ τὴν τοῦ σωτῆρος διδασκαλίαν.

Σχόλ. οα'. Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Κρανίου τόπος ἐσταύρωσαν αὐτὸν, καὶ διεμερίσαντο τὰ ἱμάτια [61] αὐτοῦ, καὶ ἐσκοτίσθη ὁ ἥλιος.

Ἔλεγχ. οα'. Δόξα τῷ ἐλεήμονι θεῷ, τῷ συνδήσαντί σου τὰ ἅρματα, ὦ Φαραὼ Μαρκίων, καὶ βουλομένου σου ἀποδράσαι, κατεπόντισεν αὐτὰ ἐν τῇ θαλάσσῃ. Προφασιζόμενος γὰρ τὰ πάντα οὐχ ἕξεις ἐνταῦθα οὐδεμίαν πρόφασιν. Ὁ γὰρ μὴ σάρκα ἔχων οὔτε σταυρωθῆναι δύναται. Πῶς οὐκ ἔφυγες τὸ μέγα τοῦτο ῥητόν; Πῶς οὐκ ἐπε-

56. *Supra* εὕρομεν. *Infra, in Refutatione, extat* ηὕρομεν *et* εὕρομεν.

57. καὶ *cod. Vatic.* ἢ *reliqui libri, tam scripti quam editi.*

58. *Ex loco gemello, qui supra extat, scripsi* μετὰ τὸ *pro* τὸ, *quomodo in omnibus hic scriptum est libris.*

59. *Supra* καὶ ἀποστρέφοντα.

60. *Rescripsi* ἐπιταγῇ ἑτέρᾳ πίστεως *pro* ἐπιταγὴν ἑτέρας πίστεως, *quod vul-*

Schol. LXIX. Post ista: *Hunc invenimus subvertentem gentem nostram*, addidit, *Et destruentem legem ac prophetas.* Luc. 23, 2.

Refut. LXIX. Nonne vias domini pervertere undique deprehenderis ac convinceris? Nam cum huic loco quod minime scriptum est adiicis ac tibimetipsi, neque enim domino dixerim calumniam facis, ita scribens: *Hunc invenimus evertentem legem ac prophetas*, contraria te huic salvatoris, insane, iugulabit oratio. *Non veni solvere legem aut prophetas, sed implere.* Non igitur potest idem ille, qui se non evertendi gratia venisse testatur, accusari quod everterit. Neque vero ita in evangelio legimus, sed potius, *Hunc invenimus subvertentem populum, dicentem se Christum regem.* Act. 13, 10. Matth. 5, 17.

Schol. LXX. Aliud quoque post haec verba: *Et prohibentem tributa dare*, subiecit: *Et avertentem uxores ac liberos.* Luc. 23, 2.

Refut. LXX. Quis seipsum in praeceps impellit, impletque quod scriptum est: *Qui sibi nequam est, cui bonus erit?* Est enim hoc inauditae cuiusdam temeritatis ac flagitii, sive periculosae salebrosaeque viae evidens argumentum, delere quae scripta sunt, quae nusquam scripta erant addere, idque in evangelio potissimum committere, quod in aeternum stabile ac firmum esse oporteat. Adde quod illa ipsa quae sunt addita neque locum habent, neque aenigmatis instar aliquid significant. Neque enim Christus uxores avertit aut liberos, cum ipse dixerit, *Honora patrem et matrem*, item, *Quae deus coniunxit, homo non separet.* Ac tametsi ita pronuntiarit: *Si quis non reliquerit patrem et matrem, et fratres, et uxorem et filios etc., non potest meus esse discipulus*, non ideo tamen usurpavit ut parentes odio habendos praeciperet, sed ut ne ad alienam fidem capessendam, quidpiamve salvatoris disciplinae contrarium parentum nos imperium atque auctoritas provocaret. Sir. 14, 5. Matth. 15, 4. Matth. 19, 6. Luc. 14, 26.

Schol. LXXI. *Et venientes in locum, qui dicitur Calvariae locus, crucifixerunt eum, et diviserunt vestimenta, et obscuratus est sol.* Luc. 23, 33.

Refut. LXXI. Gratias misericordi deo, qui currus tuos alligavit, o Pharao Marcio, illosque dum fugam moliris in mare demersit. Nam cum omnem tergiversandi occasionem captes, nihil hic quo te excuses afferre poteris. Etenim qui carne non constat, ne affigi quidem cruci potest. Quomodo igitur tam illustrem sententiam Exod. 14, 24.

*go extat, quodque corruptum esse nemo est qui non intellegat. Petavio nonnihil deesse videbatur. Cornarius convertit:* sed ut ne a patribus ac matribus ad alterius fidei imperium subducamur, aut a doctrina salvatoris discedamus.

61. αὐτοῦ *desideratur supra.*

χείρησας κρύψαι τὴν μεγάλην ταύτην πραγματείαν, τὴν λύσασάν σου πᾶσαν τὴν ἐξ ἀρχῆς μεμηχανημένην κακοτροπίαν; Εἰ γὰρ ὅλως ἐσταυρώθη, πῶς οὐ βλέπεις τὸν ἐσταυρωμένον ἁφὴν ἔχοντα, καὶ ἥλοις τὰς χεῖρας πηγνύμενον, καὶ πόδας; Οὐκ ἂν δὲ ἠδύνατο δόκησις τοῦτο εἶναι, ἢ φάντασμα, ὡς σὺ λέγεις, ἀλλὰ σῶμα ἀληθῶς, ὃ ἐκ Μαρίας εἴληφεν ὁ κύριος, σάρκα, φύσιν τὴν ἡμετέραν, καὶ ὀστέα, καὶ τὰ ἄλλα, ἐπειδὴ ὁμολογεῖται καὶ παρὰ σοὶ σταυρῷ προςπαγεὶς ὁ κύριος.

Σχόλ. οβ'. Παρέκοψε τὸ, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ.

Ἔλεγχ. οβ'. Καλῶς τοῦτο καὶ ἁρμοδίως παρέκοψας, ὦ Μαρκίων. Ἐπῆρες γὰρ ἀπὸ σεαυτοῦ τὴν εἴςοδον τοῦ Παραδείσου. Οὔτε γὰρ σὺ εἰςελεύσῃ, οὔτε τοὺς σὺν σοὶ ἐάσεις. Φύσει γὰρ τῷ ὄντι μισοῦσι τὸ ἀγαθὸν οἱ πλανῶντες καὶ πεπλανημένοι.

Σχόλ. ογ'. Καὶ φωνήσας φωνῇ μεγάλῃ ἐξέπνευσεν.

Ἔλεγχ. ογ'. Εἰ ἐξέπνευσεν, ὦ Μαρκίων, καὶ φωνὴν μεγάλην ἀπέδωκε, πόθεν ἐξέπνεε, ἢ τί τὸ ἐκπνέον; Δῆλον δέ ἐστι, κἂν σὺ μὴ pag. 318. λέγεις ψυχὴ σὺν τῇ θεότητι ἀπὸ σώματος ἐκπορευθεῖσα, τοῦ σώματος ἄπνου μείναντος, ὡς ἔχει ἡ ἀλήθεια.

Σχόλ. οδ'. Ἰδοὺ, ἀνὴρ, ὀνόματι Ἰωσὴφ, καθελὼν τὸ σῶμα ἐνετύλιξε [62] σινδόνι, καὶ ἔθηκεν ἐν [63] μνημείῳ λαξευτῷ.

Ἔλεγχ. οδ'. Εἰ τὸ Καθελὼν, καὶ Ἐντυλίξας, καὶ τὸ Θεῖναι ἐν μνήματι λαξευτῷ, οὐ πείθει σε, ὦ Μαρκίων, τίς σου ἠλιθιώτερος; τί δὲ ἄλλο σαφέστερον ἡ γραφὴ εἶχε δεῖξαι, ὁπότε καὶ τὸ μνῆμα, καὶ τὸν τόπον, καὶ τὸ εἶδος ἔδειξε, καὶ τοῦ σώματος τὴν τριήμερον θέσιν, καὶ τὸ εἴλημα τῆς σινδόνος, ἵνα δείξῃ τὴν πᾶσαν ἀλήθειαν;

Σχόλ. οε'. Καὶ ὑποστρέψασαι [64] αἱ γυναῖκες ἡσύχασαν τὸ σάββατον κατὰ τὸν νόμον.

Ἔλεγχ. οε'. Πόθεν ὑπέστρεψαν αἱ γυναῖκες; Διὰ τί δὲ καὶ τὸ ἡσύχασαν γέγραπται; ἀλλ' ἵνα δείξῃ ἡ γραφὴ τὴν αὐτῶν μαρτυρίαν, ἐλέγχουσάν σου τὴν ἄνοιαν, ὦ Μαρκίων. Ἰδοὺ γὰρ, καὶ γυναῖκες μαρτυροῦσι, καὶ [65] ἀπόστολοι, καὶ Ἰουδαῖοι, καὶ ἄγγελοι, καὶ Ἰωσὴφ ὁ ψηλαφητὸν ὄντως σῶμα καθελὼν, καὶ ἐνειλήσας. Τίς δὲ κοσμήσει τὸν αὐτοκατακρίτως ἑαυτὸν διαστρέφοντα; ὥς ἐστι γεγραμμένον.

Σχόλ. ος'. Εἶπαν οἱ ἐν ἐσθῆτι λαμπρᾷ, Τί ζητεῖτε τὸν ζῶντα

62. σινδόνι abest supra. 63. μνήματι legitur supra.

minime devitasti? aut ingens hoc negotium callide dissimulare non es aggressus; quo tua fraus omnis et improbitas funditus labefactata concidit? Nam si omnino cruci est affixus, cur non illud vides, eum qui crucifixus est attrectari, eiusque manus ac pedes clavis perforari? Quare non haec inanis larva vel species esse potuit, ut asseris, sed verum corpus, quod e Maria Christus accepit, carnem videlicet nostram, et ossa, ceteraque corporis membra, quandoquidem cruci affixum esse dominum ne ipse quidem diffiteris.

Schol. LXXII. Hoc insuper abstulit: *Hodie mecum eris in Paradiso.* Luc. 23, 43.

Refut. LXXII. Recte hoc et consentanee quidem subtraxisti, Marcio. Paradisi enim tibi aditum interclusisti, ut *neque tute ingrediare, neque tuos patiaris ingredi.* Ita enim comparatum est, ut quod bonum est oderint tam qui in errorem inducunt quam qui induci se permittunt. Luc. 11, 52.

Schol. LXXIII. *Et exclamans voce magna expiravit.* Ibid. 46.

Refut. LXXIII. Cum expirarit, o Marcio, Christus, et in ingentem vocem eruperit, quinam expirare potuit, aut quid tandem expiravit? Nimirum quamlibet taceas, manifestum istud est, animam fuisse, quae cum divinitate a corpore discesserit, cum interim animae illud expers maneret, ut veritas ipsa continet.

Schol. LXXIV. *Ecce vir nomine Ioseph depositum corpus involvit, et posuit in monumento exciso.* Ibid. 50.

Refut. LXXIV. Si hae voces, *Depositum*, et *Involvens*, et *Ponere in monumento exciso*, persuadere tibi nequeunt, Marcio, quid te fingi potest amentius? Quid autem clarius indicare scriptura potuit, cum et monumentum et locum et eius formam ac descriptionem expresserit, addiderit insuper triduanam illam in sepulchro commorationem, cum sindonis involucro, uti totam rei veritatem ostenderet?

Schol. LXXV. *Et revertentes mulieres siluerunt sabbato secundum mandatum.* Ibid. 56.

Refut. LXXV. Unde quaeso mulieres reversae sunt, aut cur demum siluisse narrantur, nisi ut illarum testimonia quibus insania tua redarguitur scriptura declararet? Ecce tibi mulieres testantur, et apostoli, et Iudaei, et angeli, et Ioseph ipse, qui tractabile corpus e cruce demisit et obvolvit. Verum *Quis eum corrigat, qui seipsum suo iudicio ac voluntate pervertit?* uti scriptum legimus. Eccl. 1, 15.

Schol. LXXVI. *Dixerunt qui erant in veste alba, Quid quaeri-* Luc. 24, 5.

64. αἱ γυναῖκες *abest supra.*
65. ἀπόστολοι *cod. Vatic. Vulgo* ἀπόστολος.

*μετὰ τῶν νεκρῶν; ἠγέρθη, μνήσθητε ὅσα ἐλάλησεν ἔτι ὢν [66] μεθ' ὑμῶν, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου [67] πολλὰ παθεῖν καὶ παραδοθῆναι.*

*Ἔλεγχ. ος'. Οὐδὲ οὗτοί σε πείθουσιν οἱ ἄγγελοι, ὦ Μαρκίων, ὁμολογοῦντες μὲν αὐτὸν τριήμερον μεταξὺ νεκρῶν γεγενῆσθαι, ζῶντα δὲ λοιπὸν, καὶ οὐκέτι νεκρὸν, ἀεὶ μὲν ζῶντα ἐν τῇ θεότητι, καὶ μηδ' ὅλως νεκρωθέντα, νεκρωθέντα δὲ κατὰ σάρκα τὸ τριήμερον, καὶ πάλιν ζῶντα. Λέγουσι γὰρ αὐταῖς, Ἀνέστη, οὐκ ἔστιν ὧδε. Τὸ δὲ Ἀνέστη τί ἐστι, εἰ μὴ ὅτι καὶ ἐκοιμήθη; Σαφέστερον γὰρ αὐτὸ διηγοῦνται. Μνήσθητε γὰρ, [68] φασὶν, ὅτι ἔτι περιὼν ταῦτα ἔλεγεν ὑμῖν, ὅτι δεῖ παθεῖν τὸν υἱὸν τοῦ ἀνθρώπου.*

*Σχόλ. οζ'. Παρέκοψε τὸ εἰρημένον πρὸς Κλεόπαν καὶ τὸν ἄλλον, ὅτε συνήντησεν αὐτοῖς, τὸ, Ὦ ἀνόητοι καὶ βραδεῖς τοῦ πιστεύειν [69] ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται, οὐχὶ ταῦτα ἔδει παθεῖν; καὶ ἀντὶ*
pag. 349. *τοῦ, Ἐφ' οἷς ἐλάλησαν οἱ προφῆται, ἐποίησεν, Ἐφ' οἷς ἐλάλησα ὑμῖν. Ἐλέγχεται δὲ ὅτι ὅτε ἔκλασε τὸν ἄρτον, [70] ἠνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτόν.*

*Ἔλεγχ. οζ'. Πόθεν ἡ κλάσις τοῦ ἄρτου ἐγένετο; λέγε ὦ Μαρκίων. Ἀπὸ φαντασίας ἢ ἀπὸ σώματος ἐνεργοῦντος ὀγκηροῦ κατὰ ἀλήθειαν; Ἀναστὰς γὰρ ἐκ τῶν νεκρῶν ἐν αὐτῷ τῷ ἁγίῳ σώματι ἀνέστη ἐν ἀληθείᾳ. Ἐποίησας δὲ, ὦ Μαρκίων, ἀντὶ τοῦ, Οὐ ταῦτά ἐστιν ἃ ἐλάλησαν οἱ προφῆται; ταῦτά ἐστιν ἃ ἐλάλησα ὑμῖν; [71] Εἰ δὲ εἶπεν αὐτοῖς, Ἐλάλησα ὑμῖν, πάντη ἐγίνωσκον αὐτὸν ἂν ἀπὸ τοῦ λόγου τοῦ, Ἐλάλησα ὑμῖν. Πῶς οὖν ἐν τῇ κλάσει τοῦ ἄρτου λέγει, Ἠνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτὸν, καὶ ἄφαντος ἐγένετο; Ἔπρεπε γὰρ αὐτῷ θεῷ ὄντι, καὶ μεταβάλλοντι αὐτοῦ τὸ σῶμα εἰς πνευματικὸν, δεικνύναι μὲν αὐτὸ σῶμα ἀληθινὸν, ἀφαντοῦσθαι δὲ ὅτε ἐβούλετο, ὅτι πάντα αὐτῷ δυνατά. Καὶ γὰρ καὶ Ἐλισσαῖος, προφήτης ὢν καὶ ἐκ θεοῦ λαβὼν τὴν χάριν, ᾔτησε παρὰ θεοῦ τοὺς αὐτὸν ζητοῦντας καταχθῆναι ἀορασίᾳ, καὶ ἐπατάχθησαν, καὶ οὐκ ἔβλεπον αὐτὸν τοιοῦτον ὄντα οἷος ἦν. Ἀλλὰ καὶ ἐν Σοδόμοις τὴν θύραν τοῦ Λὼτ ἀπέκρυψαν οἱ ἄγγελοι, καὶ οὐκ ἔβλεπον αὐτὴν οἱ Σοδομῖται. Μὴ καὶ ἡ θύρα τοῦ Λὼτ δόκησις ἦν, ὦ Μαρκίων; Οὐχ ὑπολείπεται δέ σοι ἀντιλογία οὐδεμία. Ἔκλασε γὰρ τὸν ἄρτον σαφῶς, καὶ διέδωκε τοῖς αὐτοῦ μαθηταῖς.*

66. μεθ' ὑμῶν *abest supra.*
67. πολλὰ *abest supra.*
68. *Libri habent* φησὶν.
69. *Restitui praepositionem* ἐπὶ, *quae hic in libris desideratur. Extat ea autem supra.*
70. *Supra* ἠνεῴχθησαν.
71. *Verba* Εἰ δὲ — — — λόγου τοῦ, Ἐλάλησα ὑμῖν, *quae desiderantur in edit. princ., ex cod. Vatic. reposuit Petavius.*

*tis viventem cum mortuis? Surrexit. Recordamini quae locutus est, cum adhuc esset: Quoniam oportet filium hominis pati et tradi.*

Refut. LXXVI. Fidem tibi facere ne angeli quidem isti possunt, o Marcio, dum ipsum triduo inter mortuos versatum esse praedicant, eundemque postea redivivum, nec amplius mortuum, qui divinitate quidem ipsa perpetuo vivat, neque mortem sit expertus aliquando, carne vero triduo mortuus iacuerit, ac denuo vivere coeperit. Sic enim mulieres alloquuntur: *Surrexit; non est hic.* Quid autem aliud surgendi vox, nisi eum dormiisse significat? Quod quidem manifestius postea declarant: *Recordamini* enim inquiunt, *quoniam cum adhuc viveret talia locutus est vobis: Quia oportet pati filium hominis.*

Schol. LXXVII. Quin ea sustulit quae Cleophae, eiusque so- Luc. 24, 25.
cio dicta sunt, cum illis occurrit: *O stulti et tardi corde ad credendum in omnibus, quae locuti sunt prophetae! Nonne haec oportuit pati?* Ac pro his, *in omnibus quae locuti sunt prophetae*, scripsit, *in omnibus, quae locutus sum vobis.* Sed ex eo redarguitur, quod Ibid. 31.
cum *panem fregit, aperti sunt oculi, et cognoverunt illum.*

Refut. LXXVII. Unde illa panis fractio? dic sodes, Marcio. Num ab inani aliqua forma, an a corpore mole aliqua constante, ac revera istud agente profecta est? Cum enim resurgeret a mortuis, cum eodem illo sanctissimo corpore reipsa surrexit. Tu vero pro his verbis: *Nonne haec sunt quae locuti sunt prophetae?* rescribere ausus es: *Nonne haec sunt quae locutus sum vobis?* Atqui si hoc illis dixisset: *Locutus sum vobis,* ex iis utique verbis ipsum cognoscere debuerant. Cur igitur in frangendo pane subiicit, *Aperti sunt illorum oculi, et cognoverunt eum: et evanuit?* Ita quippe deum decebat, qui corpus suum in spiritale convertisset, verum quidem illud ostendere, sed quoties tamen libuisset mortalium oculis subtrahere, quando nihil est quod illius potestatem effugiat. Nam et Elisaeus 4.Reg. 6, 18.
propheta cum esset, et a deo beneficio eiusmodi esset affectus, ab eodem postulavit ut qui se quaererent caeci repente fierent; quod ita gestum est ut eum illi cuiusmodi erat videre non possent. Quin etiam Sodomis angeli Loti ostium subducere oculis potuerunt, adeo ut intueri illud Sodomitae nequiverint. Utrumnam igitur Loti ianua vana Gen. 19, 11.
quaedam species fuit, o Marcio? Non video quid contra haec hiscere possis. Siquidem panem manifeste fregit, et in discipulos suos distribuit.

*Σχόλ. οη'. Τί τεταραγμένοι ἐστέ; ἴδετε τὰς χεῖράς [72] μου καὶ τοὺς πόδας [73] μου, ὅτι πνεῦμα [74] ὀστᾶ οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα.*

*Ἔλεγχ. οη'. Τίς οὐκ ἂν καταγελάσῃ τοῦ λήρου, ἐν ἀφροσύνῃ ἑαυτὸν καὶ ἑτέρων ψυχὰς κατασπῶντος εἰς ᾅδην; Εἰ μὲν γὰρ οὐχ ὡμολόγητο παρ' αὐτοῦ ταῦτα, πιθανὴ ἦν αὐτοῦ ἡ πλάνη, καὶ συγγνώμην εἶχον οἱ ὑπ' αὐτοῦ ἠπατημένοι. Νῦν δὲ ἐπειδὴ ἐκεῖνος ὡμολόγησε, καὶ οὐ περιῇρε τὰ ῥητὰ ταῦτα, ἀναγινώσκουσι δὲ αὐτὰ καὶ οἱ αὐτοῦ, ἡ ἁμαρτία αὐτοῦ καὶ τῶν αὐτῶν μένει, καὶ ἀπαραίτητον τὸ αὐτοῦ καὶ τὸ αὐτῶν πῦρ, ἀναπαλογήτοις οὖσι, σαφῶς τοῦ σωτῆρος διδάξαντος καὶ μετὰ ἀνάστασιν ὀστᾶ καὶ σάρκα [75] ἔχειν, ὡς αὐτὸς ἐμαρτύρησε λέγων, Ὡς ἐμὲ ὁρᾶτε ἔχοντα. Αὕτη ἐστὶν ἡ κατ' αὐτοῦ ἀπὸ τῶν λειψά-*
pag. 350. *νων τῶν παρ' αὐτῷ σωζομένων ἐκ τοῦ εὐαγγελίου ὑπόθεσις τῆς ἡμῶν πεποιημένης δι' αὐτὸν πραγματείας, ὥς γε νομίζω ἱκανῶς ἔχειν πρὸς ἀντίθεσιν τῆς αὐτοῦ ἀπάτης. Ἐλεύσομαι δὲ καὶ εἰς τὰ ἑξῆς τῶν ἀποστολικῶν ῥητῶν παρ' αὐτῷ ἔτι σωζομένων, καὶ δι' ἡμῶν πάλιν οὕτως ἀναλελεγμένων, ἐν πρώτοις δὲ ἡμῖν καὶ καθ' εἱρμὸν [76] δι' ὅλου οὕτως προταχθέντων ἀπὸ τῆς πρὸς Γαλάτας ἐπιστολῆς. Αὕτη γὰρ παρ' αὐτῷ πρώτη κεῖται. Ἡμεῖς δὲ τὴν ἀναλογὴν τότε ἐποιησάμεθα, οὐχ ὡς παρ' αὐτῷ, ἀλλ' ὡς ἔχει τὸ ἀποστολικὸν ῥητὸν, τὴν πρὸς Ῥωμαίους τάξαντες πρώτην· ὧδε δὲ κατὰ τὸν αὐτοῦ χαρακτῆρα οὕτως παρατιθέμεθα.*

*Σχόλ. α'. [77] Μάθετε ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται. Ὅσοι γὰρ ὑπὸ νόμον, ὑπὸ κατάραν εἰσίν. Ὁ δὲ ποιήσας αὐτὰ, ζήσεται ἐν αὐτοῖς.*

*Ἔλεγχ. α'. Τὸ, Μάθετε ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται, κατὰ τὰ ὑπὸ τοῦ ἀποστόλου εἰρημένα, γραφῆς ἐστι παλαιᾶς [78] δεικτικά· ἅτινά ἐστι παρὰ τοῦ ἀποστόλου εἰς ἡμετέραν ζωὴν ἀπὸ τοῦ νόμου καὶ τῶν προφητῶν εἰρημένα περὶ καινῆς διαθήκης, καὶ σύζυγα ὄντα τῆς ἡμῶν ἐλπίδος. Καὶ τὸ, Ὑπὸ κατάραν εἰσὶ, φησὶν ὅτι ἐν τῷ νόμῳ ἀπειλὴ ἐτύγχανε κατὰ τῆς τοῦ Ἀδὰμ παρακοῆς, ἕως ὅτε ἦλθεν ὁ [79] ἄνωθεν ἐλθὼν, καὶ ἑαυτὸν ἀπὸ τοῦ Ἀδὰμ φυράματος σῶμα ἀμφιάσας μετέβαλε τὴν κατάραν εἰς εὐλογίαν.*

*Σχόλ. β'. Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. Ὁ δὲ ἐκ τῆς ἐπαγγελίας, διὰ τῆς ἐλευθέρας.*

72. μου *abest supra.*
73. μου *abest supra.*
74. *Supra* ὀστέα.
75. *Ita correxit Petavius. Libri habent* ἔχει.
76. *Reposui* δι' ὅλου. *Nam editi libri habent* δὴ ὅλου. — *Cornarius:* „— et per nos rursus sic delecta sunt: ita ut

Schol. LXXVIII. *Quid turbati estis? Videte manus meas, et* Luc. 24, 39.
*pedes meos: quia spiritus ossa non habet, sicut me videtis habere.*

Refut. LXXVIII. Quis nugacissimum hunc non irrideat, qui stoliditate sua cum semetipsum, tum ceterorum animas ad inferos detrudat? Nam nisi haec ille confiteretur omnia, haberet eius error colorem aliquem, ac venia digni utcumque forent qui se ab illo decipi paterentur. Nunc cum et iste verba illa pro germanis habeat, nec ea sustulerit, et ab eiusdem discipulis legantur, cum utrorumque delictum, tum vero ignis ille manet, quem nulla tergiversatio possit effugere, utpote quibus omnis adempta sit excusatio. Nam id aperte salvator edocuit, post resurrectionem ossibus se ac carne constare, quod haec ipsius verba demonstrant: *Sicut me videtis habere.* Atque hoc illius operis argumentum est, quod adversus Marcionem elaboraveram, quodque ex illis evangelii reliquiis, quas adhuc retinet, carptim selegeram. Quod quidem ad refutandum illius errorem sufficere arbitror. Venio nunc ad reliquas apostoli sententias, quas perinde adsciscendas putavit, ego vero vestra caussa potissimum excerpsi, in iisce proponendis eundem quo ille usus est ordinem seriemque tenui, ut ab ea quae ad Galatas scripta est initium facerem. Hanc enim primo ille loco proposuit. Sed nos olim excerpta nostra sic institueramus, non ut illius ordinem sequeremur, sed eum quem apostolica scripta repraesentant, nimirum primum ut locum ea quae ad Romanos scripta est obtineret. Nunc autem omnia ad illius nos formam et exemplum accommodata proponemus.

Ex epistola ad Galatas.

Schol. I. *Discite quia iustus ex fide vivit. Quotquot enim sub* Galat. 3, 11.
*lege sunt, sub maledicto sunt. Qui autem fecerit ista, vivet in eis.*

Refut. I. Haec ipsa verba: *Discite quia iustus ex fide vivet,* ab apostolo usurpata testamentum vetus comprobant. Haec enim ab illo sunt ex lege ac prophetis ad vitam nobis conciliandam de novo testamento pronuntiata, et quidem cum spe nostra consentanea. Quod autem *sub maledicto esse* dicit, eo referendum est, quod adversus Adami delictum dei comminationes in lege continebantur, donec e coelo missus adveniret Christus, qui ex Adami massa formatum sibi corpus induens maledictum in benedictionem convertit.

Schol. II. *Maledictus omnis qui pendet in ligno. Qui autem ex* Ibid. 13.
*repromissione est, ex libera.* Cap. 4, 23.

superius quidem iuxta ordinem per totum a nobis proposita sint, nunc vero ab epistola ad Galatas initio facto."

77. *Supra* Μάθετε δὲ ὅτι δίκαιος.

78. δειχτιχὰ *cod. Vatic.* δεχτιχὰ *libri editi.*

79. ἄνωθεν *cod. Vatic., et inde edit. Petav.* ἄνω *edit. princ.*

*Ἔλεγχ. β΄. Δεικνὺς πάλιν ὁ ἅγιος ἀπόστολος τὴν οἰκονομίαν τῆς ἐνσάρκου παρουσίας καὶ τοῦ σταυροῦ ἐπὶ τῇ λύσει τῆς κατάρας γενομένην, [80] ταύτην δὲ προγεγράφθαι ἐν τῷ νόμῳ καὶ [81] προπεφητεῦσθαι ἐσομένην, εἶτα τελεσθεῖσαν ἐπὶ τῷ σωτῆρι, ἐπέδειξε σαφῶς ὅτι οὐκ ἀλλότριος ὁ νόμος τοῦ σωτῆρος. Προεφήτευσε γὰρ καὶ ἐμαρτύρησε τοῖς ὑπ' αὐτοῦ μέλλουσι γίνεσθαι.*

*Σχόλ. γ΄. Μαρτύρομαι δὲ πάλιν ὅτι ἄνθρωπος [82] περιτεμνόμενος ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι.*

pag. 351. *Ἔλεγχ. γ΄. Τὸ, Ὀφειλέτης ἐστὶν, οὐκέτι ὡς περὶ ἀπειρημένου λέγει, ἀλλὰ περὶ βαρυτέρου φορτίου δυναμένου ἐλαφρυνθῆναι, ἑνὸς δὲ ὄντος δεσπότου, δυναμένου καὶ βαρύνειν καὶ [83] ἐλαφρύνειν διὰ τῆς προαιρέσεως τῶν μὴ παραιτησαμένων καταδέξασθαι τὴν διὰ τῆς χάριτος αὐτοῦ ἐν τῇ ἐνσάρκῳ αὐτοῦ παρουσίᾳ σωτηρίαν.*

*Σχόλ. δ΄. Ἀντὶ τοῦ, Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ, [84] ἐποίησε Δολοῖ.*

*Ἔλεγχ. δ΄. Ἵνα μηδὲν ἀληθὲς παρ' αὐτῷ εὑρεθείη, οὐδαμοῦ σχεδὸν ἄνευ ῥᾳδιουργίας ταῖς γραφαῖς προσενήνεκται, ἀλλὰ ἀπ' αὐτῆς τῆς ἀκολουθίας ἡ φανέρωσις τοῦ λόγου γίνεται. Ἡ γὰρ ζύμη τὸ εἶδος φυράματος [85] ἔργον, καὶ ἀπὸ τοῦ φυράματος [86] τὸ ζυμοῦσθαι. Καὶ οὐκ ἐν τοῖς πρωτοτύποις τὸ εἶδος ἠφάνιζεν ὁ συνετῶς τὴν παραβολὴν τοῦ αἰνίγματος ποιησάμενος.*

*Σχόλ. ε΄. Ὁ γὰρ πᾶς νόμος ὑμῖν πεπλήρωται, [87] Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.*

*Ἔλεγχ. ε΄. Τίς ἐστι χρεία τῷ ἁγίῳ ἀποστόλῳ νόμῳ χρῆσθαι, εἰ ἀπηλλοτρίωτο [88] ἡ καινὴ διαθήκη τῆς παλαιᾶς νομοθεσίας; ἀλλ' ἵνα δείξῃ ὅτι τοῦ ἑνὸς θεοῦ [89] αἱ δύο διαθῆκαι, καὶ ἡ συμφωνία τὸ πληρωτικὸν τοῦ νόμου διὰ τῆς ἀγάπης τοῦ πλησίον ἰσορρόπως ἐν ταῖς δύο διαθήκαις γνωρίζεται, τὸ τέλεον [90] ἐργαζόμενον τὸ ἀγαθὸν νόμου τελείωσιν εἶπεν εἶναι, τὴν ἀγάπην.*

*Σχόλ. ϛ΄. Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι πορνεία, ἀκαθαρσία, ἀσέλγεια, [91] εἰδωλολατρίαι, φαρμακεῖαι, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐρίθειαι, διχοστασίαι, [92] αἱρέσεις, [93] φθόνοι,*

80. *Rescripsi* ταύτην δὲ προγεγράφθαι *pro eo quod libri praebent* ταύτῃ προσγέγραπται, *Cornarium atque Petavium secutus. Ille enim vertit* „idque praescriptum in lege, et praedictum a prophetis futurum esse."

81. προπεφητεῦσθαι *cod. Vatic., et inde edit. Petav.* προφητεῦσθαι *edit. princ.*

82. *Supra* περιτετμημένος.

83. λαφρύνειν *ed. princ.*

84. ἐποίησε *Rhedigeranus liber, et editi.* ἐποίησαν *cod. Vatic.*

85. *Verba* ἔργον, καὶ ἀπὸ τοῦ φυράματος, *quae desiderantur in edit. princ., ex cod. Vaticano restituit Petavius.*

86. τὸ ζυμοῦσθαι. Καὶ οὐκ ἐν τοῖς

**Refut. II.** Cum hoc loco rursus apostolus significet susceptae carnis administrationem omnem ac crucem ad tollendum maledictum pertinuisse, idque ipsum et in lege antea scriptum ac praedictum fuisse, ac demum in salvatore perfectum, haud obscure declarat non alienam a salvatore esse legem, utpote quae ab illo gerenda omnia vaticinata fuerit, ac testimonio corroborarit.

**Schol. III.** *Testificor rursum quoniam homo circumcisus debitor est universae legis implendae.* Galat. 5, 3.

**Refut. III.** Quod ait, *Debitor est,* non tamquam de re quapiam prohibita dixit, sed de graviore quodam onere, quod sublevari potest. Sed ita, unus ut sit dominus, qui et onerare possit, et de onere detrahere, pro eorum voluntate qui oblatam per eius gratiam ipsius adventu salutem minime repudiaverint.

**Schol. IV.** Pro eo quod est, *Modicum fermentum totam massam corrumpit,* rescripsit *Adulterat.* Ibid. 9.

**Refut. IV.** Ne quod sit apud illum veritatis vestigium, nusquam fere scripturas attigit, quin malitiose aliquid immutaret, sed ex eo quod sequitur orationis series ipsa manifesta redditur. Nam fermentum, velut forma quaedam, massae subactae opus est, et fermentatio ipsa e subacta massa fit; neque primigeniam formam destruxit, qui prudenter similitudinem illam comparationemque transtulit.

**Schol. V.** *Omnis enim lex in eo vobis impletur: Diliges proximum tuum sicut teipsum.* Ibid. 14.

**Refut. V.** Quid attinebat apostolum legem adhibere, si a veteribus mandatis novum testamentum abhorreret? Sed ut aperte monstraret duo illa testamenta ab uno eodemque auctore deo manasse, summamque amborum esse concordiam, utrobique proximorum caritate legem impleri significatur, quae perfectum omnibusque numeris absolutum bonum efficiat. Ideo perfectionem legis apostolus caritatem esse definit.

**Schol. VI.** *Manifesta sunt autem opera carnis, quae sunt fornicatio, immunditia, luxuria, idolorum servitus, veneficia, inimicitiae, contentiones, aemulationes, irae, rixae, dissensiones, sectae, homi-* Ibid. 19.

*ex cod. Vatic. reposuit Petavius. In edit. princ. enim, quacum conspirat etiam cod. Rhedig., vitiose extat* τῷ ζυμοῦσθαι ἐν τοῖς.

87. *Sic etiam supra. Petavio deesse videtur* ἐν τῷ.

88. ἡ *adposui de auctoritate cod. Vaticano.*

89. *Facile aliquis correxerit* θεοῦ, οὗ αἱ δ. δ., καὶ *cett.*

90. ἐργαζόμενον *scripsi pro* ἐργαζομένου, *quod libri tuentur. Illud enim sententia postulat.*

91. εἰδωλολατρεία *supra legitur.*

92. *Supra* αἵρεσις.

93. *Supra* φόνοι.

μέθαι, κῶμοι, [94] καθὼς καὶ προεῖπον ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν.

"Ελεγχ. ς΄. Ὦ θαυμασίων μυστηρίων, καὶ ἀντιθέτων θεοῦ ὑποδειγμάτων. Τῇ γὰρ σαρκὶ περιῆψε τὰ πάντα δεινά. Ἡ σὰρξ δὲ οὐκ ἀεὶ ἦν, ἀλλ' ἐν τῇ ἕκτῃ ἡμέρᾳ τῆς κοσμοποιΐας, τοῦ Ἀδὰμ πλασθέντος, ἡ σὰρξ ἔκτοτε ἔσχε τὴν ἀρχήν, φημὶ τῆς πλάσεως· ἵνα ἐλεγχθῶσιν οἱ λέγοντες ἀεὶ καὶ ἐξ ἀρχῆς εἶναι τὸ κακόν. Καὶ γὰρ οὔτε ἐξότε ἐπλάσθη ἡ σὰρξ ἥμαρτεν, ἵνα μὴ ὁ πλάστης αἴτιος νομισθῇ ἁμαρτίας, πλάσας σάρκα ἁμαρτωλήν, οὔτε προϋπῆρχε τοῦ πλάσματος τὸ κακόν. Μετὰ
pag. 352. χρόνον δὲ ἐν παρακοῇ ὁ Ἀδὰμ γεγονώς, ἔχων τὸ αὐτεξούσιον, προαιρέσει ἰδίᾳ ἀφ' ἑαυτοῦ τὴν ἁμαρτίαν εἰς ἑαυτὸν διανοηθεὶς ἔπραξε, φημὶ δὲ τὴν ἀθέτησιν τοῦ αὐτοῦ δεσπότου διὰ τῆς παρακοῆς ποιησάμενος. Ποῦ τοίνυν ἦν τὸ κακόν, πριν ἢ τὴν σάρκα εἶναι; Πῶς δὲ εὐθὺς πλασθεῖσα οὐ τὸ κακὸν εἰργάσατο, ἀλλὰ χρόνῳ μετέπειτα; Ἆρα γοῦν ἀνῄρηται ὁ περὶ τῆς κακίας ἀρχῆς λόγος. Οὐ γὰρ δύναται ἀρχαΐζειν, ἐπειδὴ ἐν τῇ σαρκὶ τῇ μεταγενεστέρᾳ τὸ γίνεσθαι ἔχει ἡ κακία, ἢ μὴ γίνεσθαι. Καὶ οὔτε ἡ σὰρξ πάλιν ἀκληρονόμητός ἐστι τῶν ἐπουρανίων. Καὶ μή τις λάβηται τοῦ ἁγίου ἀποστόλου εἰπόντος, Σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν· οὐ γὰρ πᾶσαν σάρκα αἰτιᾶται. Πῶς γὰρ αἰτιαθήσεται σάρξ, ἡ μὴ πράξασα τὰ προειρημένα; Καὶ ἐξ ἑτέρων δὲ ἀποδείξεων παραστήσω τὸ ζητούμενον. Τίς γάρ, φησίν, ἐγκαλέσει κατὰ ἐκλεκτῶν θεοῦ; Πῶς οὐ κληρονομήσει Μαρία ἡ ἁγία μετὰ σαρκὸς τὴν βασιλείαν τῶν οὐρανῶν, ἡ μὴ πορνεύσασα, μὴ ἀσελγήσασα, μὴ μοιχευθεῖσα, μηδέν τι τῶν ἀνηκέστων σαρκὸς ἔργων ἐργασαμένη, ἀλλὰ ἄχραντος μείνασα; Οὐκ ἄρα τοίνυν περὶ σαρκὸς λέγει μὴ κληρονομεῖν βασιλείαν οὐρανῶν, ἀλλὰ περὶ σαρκικῶν ἀνθρώπων τῶν τὰ φαῦλα διὰ τῆς σαρκὸς πραττόντων, ἅτινά ἐστι πορνεία, εἰδωλολατρία, καὶ τὰ τούτοις ὅμοια. Καὶ ἐξάπαντος ἐλήλεγκταί σου ἡ σκευωρία, ὦ Μαρκίων πεπλανημένε, τῆς ἀληθείας πάντῃ προλαβούσης, καὶ τὸ στερεὸν τοῦ κηρύγματος τῆς ζωῆς ἀσφαλιζομένης.

Σχόλ. ζ΄. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.

"Ελεγχ. ζ΄. Εἰ ἐσταύρωσαν τὴν σάρκα οἱ τοῦ Χριστοῦ, ὦ Μαρκίων, δῆλον ἦν ὅτι οἱ τοῦ Χριστοῦ δοῦλοι σὺν ταῖς ἐπιθυμίαις καὶ τοῖς παθήμασι καθαρὰν τὴν σάρκα ἀπέδειξαν, καὶ ἐμιμήσαντο τὸν Χριστόν, δείξαντες αὐτὸν σάρκα ἐσταυρωκέναι. Διὸ καὶ αὐτοὶ τὰ ἴσα τῷ δεσπότῃ αὐτῶν φρονήσαντες τὴν σάρκα ἐσταύρωσαν. Καὶ εἰ τὴν σάρκα

94. ἃ προλέγω ὑμῖν, καθὼς καὶ cett. plene supra.

*cidia, ebrietates, comessationes, quae praedico vobis, sicut praedixi, quoniam qui talia agunt regnum dei non possidebunt.*

Refut. VI. O admiranda dei mysteria, ac Marcionis erroribus adversa dogmata! Etenim mala omnia carni tribuuntur. Ea porro perpetuo non extitit, sed sexto demum die, tum cum Adamus formatus est, esse coepit. Ex quo illi refelluntur qui malum ab initio ac semper extitisse praedicant. Atqui neque simul ac formata caro est, peccatum admisit, ne peccati auctor qui illam finxerant haberetur, quasi peccata ream carnem molitus esset, neque malum opus ipsum antecessit. Verum aliquanto post tempore a dei obsequio desciscens Adamus ac libertate praeditus per sese ac sponte sua certoque consilio peccato se obstrinxit, dum per animi contumaciam domino sui maiestatem imminuit. Ubinam ergo rerum, antequam caro prodiisset, peccatum fuit? Aut quanam ratione non simulatque condita est, sed aliquanto postea intervallo malum commisit? Quamobrem omnis illa de principio mali sententia corruit. Non enim antiquum esse potest malum, quod in recentiori caro habet ut sit, aut non sit omnino. Neque vero a coelesti possessione caro deiicitur. Nec est quod apostoli auctoritate abutatur quispiam, dum ait: *Caro et sanguis regnum dei non possidebunt.* Nam non carnem omnem 1. Cor. 15, 50.
accusat. Cur enim accusetur ea quae nihil eorum quae antea commemorata sunt admiserit? Sed et aliis quoque rationibus quod quaeritur evidenter ostenditur. *Quis*, inquit, *accusabit adversus electos* Rom. 8, 33.
*dei?* Nonne sanctissima virgo Maria cum ipsa carne coeleste regnum capesset, cui neque vitium est unquam oblatum, nec libidine est ulla aut adulterio foedata, neque quicquam ex nefariis illis carnis operibus admisit, sed integra inviolataque perstitit? Non igitur utcumque de carne loquitur, cum eam negat coeleste regnum possidere, sed de carni immersis hominibus, qui adminiculo carnis scelesta quaedam perpetrant, cuiusmodi sunt fornicatio, idololatria etc. Unde tua, Marcio, fraus atque calliditas omnino detegitur, cum omnes erroris aditus iamdudum veritas occuparit, praedicationisque eius quae vitam adfert firmitatem stabilitatemque munierit.

Schol. VII. *Qui autem Christi sunt, carnem crucifixerunt cum* Gal. 5, 24.
*vitiis et concupiscentiis.*

Refut. VII. Si qui *Christi sunt, carnem crucifixerunt*, Marcio, perspicuum est Christi servos circumcisis cupiditatibus et affectionibus purgatissimam carnem suam reddidisse, imitatosque esse Christum, dum ipsum carnem suam cruci affixisse declarant. Unde et illi eodem quo dominus suus consilio carnem in cruce defigunt. Iam

ἐσταύρωσαν, [95] ἀνένδεκτον τὴν σάρκα ὑπὲρ Χριστοῦ παθοῦσαν μὴ σὺν Χριστῷ βασιλεύειν· καθὼς καὶ ἐν ἄλλῳ ῥητῷ δείκνυσιν ὁ ἅγιος ἀπόστολος λέγων ὅτι, Καθάπερ κοινωνοί ἐστε τῶν παθημάτων τοῦ Χριστοῦ, οὕτως καὶ τῆς δόξης.

*Σχόλ. η'.* Οὔτε γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν.

pag. 353. *Ἔλεγχ. η'.* Οὐκ ἀπηγόρευτο τοίνυν ἡ προτέρα περιτομὴ ἐν τῷ ἰδίῳ καιρῷ, εἰ νόμον ἐφύλαξε. Νόμος δὲ Χριστὸν κατήγγελλεν ἐρχόμενον νόμον ἐλευθερίας παρασχέσθαι, καὶ οὐκέτι ἡ περιτομὴ ἐν σαρκὶ τῷ χρόνῳ τοῦ Χριστοῦ ἐξυπηρετήσειεν. Ἦλθε γὰρ ἡ διὰ Χριστοῦ ἀληθινή, ἧς τύπος ἐκείνη ἦν. Οἱ δὲ ἔτι ἐν ἐκείνῃ σφραγιζόμενοι, κἄν τε πάντα τὸν νόμον φυλάξωσιν, οὐκέτι αὐτοῖς λογισθήσεται νόμου φύλαξις, ἐπειδὴ γὰρ ὁ νόμος ἔλεγε περὶ Χριστοῦ ὅτι, προφήτην ἐγερεῖ ὑμῖν κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν μου ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε· αὐτῶν δὲ τοῦ Χριστοῦ μὴ ἀκουσάντων ἡ περιτομὴ ἀκροβυστία γίνεται αὐτοῖς, καὶ ἡ φύλαξις τοῦ νόμου οὐκέτι φύλαξις. Καλὸς τοίνυν ὁ νόμος, καὶ καλὴ ἡ περιτομή, ἀφ' οὗ καὶ ἀφ' ἧς ἔγνωμεν Χριστόν, καὶ τὸν ἐντελέστερον αὐτοῦ νόμον, καὶ τὴν ἐντελεστέραν αὐτοῦ περιτομήν.

### [96] ΑΠΟ ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ. ΑΥΤΗ ΓΑΡ ΠΑΡ ΑΥΤΟΙΣ ΔΕΥΤΕΡΑ, ΚΑΙ ΠΑΡ ΗΜΙΝ.

*α' καὶ θ' Σχόλ.* Γέγραπται γάρ, Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω.

*α' καὶ θ' Ἔλεγχ.* Εἰ ἀπὸ τῶν γεγραμμένων ἐν τοῖς προφήταις ἀναλέγεται ὁ ἀπόστολος μαρτυρίας, εἰς παράστασιν ἀληθείας καὶ ἀγαθῆς διδασκαλίας, οὐκ ἀλλότριοι οἱ προφῆται τῆς ἀληθείας καὶ τοῦ ἀγαθοῦ, καὶ τῆς ἀγαθῆς αὐτοῦ διδασκαλίας.

*β' καὶ ι' Σχόλ.* [97] Καὶ ἵνα, καθὼς γέγραπται, ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω.

*β' καὶ ι' Ἔλεγχ.* Εἰ ἐπαινετὸς ὑπάρχει ὁ καυχώμενος ἐν κυρίῳ παρὰ τοῖς προφήταις, κύριον δὲ οἶδε τὸν θεὸν τοῦ νόμου τὸν παρὰ σοί, ὦ Μαρκίων, καὶ κριτὴν καὶ δημιουργὸν καὶ δίκαιον καλούμενον, οὐκ ἄλλος ἐστὶν οὗτος παρὰ τὸν [98] τοῦ Χριστοῦ πατέρα, οὗ μαθητὴς ὑπάρχει Παῦλος· ἐπειδήπερ ἀπὸ τῆς τοῦ προφήτου διδασκαλίας ὁ διδάσκαλος κατασταθεὶς τῶν ἐθνῶν ὑπὸ Χριστοῦ Παῦλος ἀπὸ τῶν ὁμοίων καὶ τῶν αὐτῶν διδασκαλιῶν ἀνιμώμενος ὡς καθαρὸν ὕδωρ ἀρδεύει ἣν πεπίστευται ἐκκλησίαν.

*γ' καὶ ια' Σχόλ.* Τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τῶν καταργουμένων.

95. ἀνέκδεκτον cod. Vatic.

96. Vulgo α' καὶ θ' σχόλ. Ἀπὸ τῆς ... cett., quod ita mutavi, ut illud α' καὶ θ' σχόλ. ante Γέγραπται collocarem.

vero si carnem suam crucifixerint, fieri non potest, quin caro pro Christo perpessa cum Christo pariter regnet, id quod alio in loco his verbis demonstrat apostolus: *Sicut socii passionum Christi estis, ita et gloriae.* 2. Cor. 1, 7.

Schol. VIII. *Neque enim qui circumciduntur ipsi legem custodiunt.* Gal. 6, 13.

Refut. VIII. Non igitur suo tempore prohibita vetus illa circumcisio fuit, si quidem legem custodiret. Porro lex Christum nuntiabat idcirco venientem, ut legem liberatis afferret, cuius illa figuram expressit. Quicumque vero adhuc in illa signantur, tametsi legem omnem observent, non tamen iis observatio ista legis imputabitur. Cum enim lex de Christo praedixerit: *Prophetam suscitabit vobis dominus deus e fratribus meis sicut me; ipsum audietis:* qui ex illis Christum non audierint, horum circumcisio praeputii instar aestimatur, ipsaque legis observatio observatio esse desinit. Est igitur bona quidem lex, bonaque circumcisio, quas Christum Christique perfectiorem legem ac circumcisionem cognovimus. Deut. 18, 15.

## EX EPISTOLA AD CORINTHIOS, QUAM ISTI PERINDE AC NOS SECUNDO LOCO NUMERANT.

Schol. I et IX. *Scriptum est enim, Perdam sapientiam sapientum, et prudentiam prudentium reprobabo.* 1. Cor. 1, 19.

Refut. I et IX. Quandoquidem ex iis quae a prophetis scripta sunt apostolus ad veritatis sinceraeque doctrinae faciendam fidem auctoritates arcessit nequaquam a veritate, nec a bono bonaque illius disciplina, prophetae segregandi sunt.

Schol. II et X. *Ut, quemadmodum scriptum est, qui gloriatur, in domino glorietur.* Ibid. 31.

Refut. II et X. Cum is qui gloriatur in domino apud prophetas laude dignus habeatur, dominum porro scriptura eum intelligat qui legis sit deus, quem tu, Marcio, Iudicem et Creatorem, ac Iustum nominas, non potest hic alius esse quam Christi pater, cuius discipulus est Paulus; quandoquidem e prophetae doctrina gentium institutus a Christo magister Paulus, ex iisdem inquam doctrinae fontibus velut clarissimam aquam hauriens, commissam sibi perfundit ecclesiam.

Schol. III et XI. *Principum huius seculi, qui evacuantur.* Cap. 2, 6.

97. Καὶ *ante* ἵνα *abest supra.*
98. τοῦ *abest ab edit. princ. Ex cod. Vatic. restituit Petavius.*

pag. 354. γ' καὶ ια' Ἔλεγχ. Εἰ ἄρχοντες τοῦ αἰῶνος τούτου πολλοὶ, καταργοῦνται δὲ οἱ τοιοῦτοι, ἀναγκασθήσῃ, ὦ Μαρκίων, οὐκέτι τριῶν [99] Ἀρχῶν ζητεῖν τὰς ῥίζας, ἀλλ' [1] ἐρευνῆσαι ἄλλον μῦθον πολλῶν ἀρχῶν καὶ πολλῶν ῥιζῶν καὶ πολλῆς τραγῳδίας. Καὶ ὅταν συκοφαντῶν πλάσῃς (οὐ γὰρ εὕροις), [2] συναντήσει σοι τὸ Καταργουμένων, [3] ἐκ δὲ τοῦ λόγου τοῦ λέγοντος Καταργουμένων ἀναιρεθήσεται ἡ παρά σου φανταζομένη ἄναρχος τῶν ἀρχῶν ῥίζα. Πᾶν γὰρ τὸ λῆγον οὐκ ἀΐδιον ὑπάρχει, ἀλλὰ εἰ ἀρχὴν ἔσχε τοῦ εἶναι, καὶ τέλος ὑφέξει. Ἀδύνατον γὰρ τὸ ἀρχὴν ἐσχηκὸς διαιωνίζειν ἀϊδίως, εἰ μή τι ἂν θέλοι [4] τὸ ὂν, αἴτιον γενόμενον τοῦ μή ποτε ὄντος, ἀρξαμένου δὲ τοῦ εἶναι. Τὸ δὲ ὂν ἐστι πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, τὸ δὲ μὴ ὂν ἐστι πάντα τὰ [5] κεκτισμένα, ἀρχὴν ἐσχηκότα τοῦ εἶναι· ἐν οἷς ἂν καὶ τὸ λεγόμενον κακὸν καὶ ὂν κακὸν, ἀπὸ ἀνθρώπων ἀρξάμενον τῶν γενομένων, οὐκ ὄντων ποτέ. Ἀρχὴν δὲ τοῦ κακοῦ ἐσχηκότος ἐξότε καὶ ὁ ἄνθρωπος, ὁ οὐκ ὢν ποτε, οὐκέτι ἔσται τὸ κακόν· ἀναμφιβόλως γὰρ ἀναιρεθήσεται, διὰ τὸ μὴ συνευδοκεῖν τὸν [6] ὄντα τῷ ἀρχὴν ἐσχηκότι καὶ ἐν φαύλοις ἑαυτὸν καταστήσαντι. Παυθήσεται γὰρ μετὰ τὴν ἀνάστασιν οὐ μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς τοῦ νόμου κηρύξεως, καὶ πρὸ τοῦδε νόμου ἀπὸ πολλῶν τῶν κατὰ τὸν φυσικὸν νόμον πεπολιτευμένων, καὶ ἔτι γε περισσοτέρως ἀπὸ τῆς τοῦ Χριστοῦ ἐνσάρκου παρουσίας, τελειότατα δὲ ἀπὸ τῆς τῶν νεκρῶν ἀναστάσεως. Ἐπειδὴ, Σπείρονται ἐν φθορᾷ, ἐγείρονται ἐν ἀφθαρσίᾳ, μηκέτι τὸ κακὸν ἐργαζόμενοι, μηκέτι ἀποθνήσκοντες. Καὶ ὅτι δὲ παυθήσεται, μαρτυρήσει ὁ αὐτὸς λόγος τοῦ ἀποστόλου φάσκων, Τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τῶν καταργουμένων. Καὶ ἀνῄρηται πανταχόθεν ἡ κατὰ σὲ, ὦ Μαρκίων, ὑπόθεσις, φαντασιώδης τις οὖσα καὶ ψευδὴς καὶ ἄστατος καὶ ἄλογος.

δ' καὶ ιβ' Σχόλ. Γέγραπται γὰρ, Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν pag. 355. τῇ πανουργίᾳ αὐτῶν. Καὶ πάλιν, Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων ὅτι εἰσὶ μάταιοι.

δ' καὶ ιβ' Ἔλεγχ. Τὸ Γέγραπται εἰς χρῆσιν προφερόμενον, καὶ τὸ

99. ἀρχῶν cod. Vatic., et inde edit. Petav. ἀρχόντων cod. Rhedig. et edit. princ.

1. Reposui ἐρευνῆσαι pro ἐρευνήσας, quod in omnibus libris reperitur.

2. συναντῆσαι omnes libri, tam scripti quam editi.

3. Verba ἐκ δὲ τοῦ — — — Καταργουμένων, quae in edit. princ. non reperiuntur, ex cod. Vatic. restituit Petavius.

4. τὸ αἴτιον cod. Vatic. Verte: nisi

Refut. III et XI. Si huius seculi principes sunt multi, qui quidem evacuantur, non trium amplius Principiorum, Marcio, stirpes ac radices indagare cogeris, sed aliam commiпisci fabulam, atque multorum ad Principiorum et radicum, et ingentis alicuius tragoediae inquisitionem te convertere. Cumque nescio quid calumniose struxeris, neque enim invenire poteris quemadmodum verba illa, *Qui evacuantur*, accommodes, ex hoc ipso *evacuandi* vocabulo ruat illa necesse est, quam fingis, Principiorum radix, carens ipso Principio. Quicquid enim desinit aliquando, sempiternum esse non potest: sed si principium aliquod unde esse coepit habuerit, finem insuper obtinebit. Fieri quippe nequit ut quod principium habet perenne sit ac perpetuum. Alioqui quid illud sibi vellet quod dicitur, id quod est eius esse caussam quod aliquando non fuerit et esse demum coeperit? Idipsum porro quod est, pater est et filius, et spiritus sanctus. Cetera omnia, quae condita sunt, non esse dicuntur, quae a Principio quodam ortum habuerunt; inter quae malum etiam quod dicitur referendum est, malum inquam quod ab hominibus iam in lucem editis tamquam a principio manavit, cum et ipsi quandoque non fuerint, et tum esse malum coeperit cum et homo, qui antea non erat, originem accepit. Quare veniet tempus cum malum amplius non erit, cum Principi ipsi minime istud placuerit, quod ortum a principio ipsum in malorum numero atque ordine collocarat. Igitur non solum post corporum resurrectionem desinet, sed iamdudum ab ipsa legis promulgatione, imo ante legem ipsam in plerisque desiit, qui vitam suam ex naturalis legis praescripto temperarunt. Sed multo magis post Christi salvatoris adventum, ac denique post mortuorum Resurrectionem longe id cumulatius accidet. Quandoquidem *Seminantur in corruptione, surgunt autem in incorruptione,* 1. Cor. 15, 42.
nec malum amplius perpetrant, neque moriuntur. Ac cessaturum quidem omnino malum eadem illa apostoli testatur oratio: *Principum huius seculi, qui evacuantur.* Ex quo vanum tuum illud dogma concidit, Marcio! quod opinione sola confictum mendax, inconstans, rationique minime consentaneum est.

Schol. IV et XII. Scriptum est enim: *Qui comprehendit sapientes in astutia eorum.* Cap. 3, 19. Et iterum: *Dominus novit cognitiones hominum, quia vanae sunt.* Ibid. 20.

Refut. IV et XII. Istud ipsum: *Scriptum est etc.* ad usum

qua placuerit illi quod est, quodque caussa factum est eius *cett. Neque Cornarius neque Petavius hunc locum intellexerunt.*

5. *Libri vulgo* κεκτημένα. „acquisita“ *vertit Cornarius.*

6. ὄντα *cod. Vatic.* ἄρχοντα *libri editi.*

Γινώσκει κύριος ὁμολογούμενον, οὐκ [7] ἀλλότριον ὑπάρχει τῷ ἀναλεξαμένῳ τὸ ῥητὸν τοῦ λόγου, φημὶ δὲ τῷ ἁγίῳ ἀποστόλῳ, παρ' ᾧ ἡ χρῆσις ἐμφέρεται. Ἐξ ἧς χρήσεως ὁ χαρακτὴρ φανεῖται οὐκ ἀλλοτρίου τοῦ κηρύγματος τοῦ ἀποστόλου ἀπὸ τῆς παλαιᾶς διαθήκης, ὅθεν αὐτῷ ἡ μαρτυρία συνέστη.

ε' καὶ ιγ' Σχόλ. Καὶ γὰρ τὸ πάσχα ἡμῶν ἐτύθη Χριστός.

ε' καὶ ιγ' Ἔλεγχ. Εἰ πάσχα ὁ ἀπόστολος ὁμολογεῖ, καὶ τυθέντα τὸν Χριστὸν οὐκ ἀρνεῖται, οὐκ ἀλλότριον τὸ πάσχα τοῦ Χριστοῦ, τοῦ κατὰ νόμον πάσχα πρόβατον θύοντος ἀληθινῶς, καὶ οὐ δοκήσει, [8] οὗ προβάτου τύπος ἦν ὁ [9] οὐ δοκήσει θυόμενος Χριστὸς, οὐδὲ ἄνευ σαρκὸς πάσχων. Πῶς γὰρ ἠδύνατο πνεῦμα θύεσθαι; Δῆλον οὐκ ἠδύνατο. Μὴ δυναμένου δὲ ἄνευ σαρκὸς [10] τυθῆναι, τυθέντος δὲ ἐν ἀληθείᾳ, ὁμολογεῖται διὰ τῆς τοῦ ἀποστόλου ἀναμφιλέκτου ὁμολογίας. Οὐκοῦν ἐκ παντὸς σαφῶς ἀποδέδεικται οὐκ ἀλλότριος [11] ὁ νόμος τύπῳ φερόμενος χρόνῳ [12] ἄχρι τοῦ ἐντελεστέρου καὶ ἐναργοῦς προβάτου τυθέντος ἐν ἀληθείᾳ Χριστοῦ, οὗ προῆγεν ἐν τοῖς παλαιοῖς χρόνοις ἄλλοις θυόμενον τὸ πρόβατον τὸ αἰσθητόν· ἡμῶν δὲ τὸ πάσχα ἐτύθη Χριστός.

ς' καὶ ιδ' Σχόλ. Οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν; [13] Ἔσονται γὰρ οἱ δύο εἰς σάρκα μίαν.

ς' καὶ ιδ' Ἔλεγχ. Εἰ οὐκ ἀληθὴς ὁ νόμος, τίνι τῷ λόγῳ οἱ ἀληθεῖς τὰς μαρτυρίας ἀπὸ τοῦ νόμου λαμβάνουσιν; Ὧν εἷς ὑπάρχει ὁ ἅγιος θεοῦ ἀπόστολος Παῦλος, ὁ τὴν μαρτυρίαν ταύτην μετὰ καὶ πολλῶν ἄλλων λαβὼν εἰς ἐναργῆ παράστασιν ἀληθείας καὶ κηρύγματος ἀγαθοῦ θεοῦ.

ζ' καὶ ιε' Σχόλ. Μετηλλαγμένως. [14] Ἀντὶ γὰρ τοῦ, Ἐν τῷ νόμῳ, λέγει, Ἐν τῷ Μωϋσέως νόμῳ. Λέγει δὲ πρὸ τούτου, [15] Ἢ καὶ ὁ νόμος ταῦτα οὐ λέγει;

ζ' καὶ ιε' Ἔλεγχ. Κἄν τε ἐν τῇ δευτέρᾳ ἀποφάσει ἀλλάξῃς τὸ εἶδος, ὦ Μαρκίων, καὶ νομίσῃς ἀπὸ τοῦ πεποιηκέναι σε, Ἐν τῷ νόμῳ [16] Μωϋσέως, ἀπαλλοτριοῦν διὰ τὸν Μωϋσέα θεοῦ τὸν νόμον, ἄνωθεν ὁ σύνδεσμος ἐλέγχει σου τὴν ἀφροσύνην, ὅτι, [17] Ἢ καὶ ὁ νόμος ταῦτα
pag. 358. οὐ λέγει; Ἐν γὰρ τῷ νόμῳ γέγραπται, Οὐ φιμώσεις βοῦν ἀλοῶντα. Οὐδὲν δὲ ἡμᾶς ἠδίκησας, κἄν τε προςθεὶς τὸ ὄνομα Μωϋσέως· ἀλλὰ ἡμᾶς μὲν ὠφέλησας, κατὰ σαυτοῦ δὲ τὴν μαρτυρίαν ἔσφιγξας, παντα-

7. *Ita ed. Petav., ex cod. Vatic.* ἀλλότριος *edit. princ.*

8. οὗ *scripsi, Cornarium atque Petavium secutus, pro* οὐ, *quod libri tam scripti quam editi tuentur.*

9. οὐ *desideratur in cod. Vatic.*

10. τιθῦναι τηθέντος *ed. princ. mendose.*

11. ὁ νόμος *cod. Vatic. et ed. Petav.* νόμος *ed. princ.*

12. μέχρι *edit. Petav. Nescio unde.*

translatum itemque, *Novit dominus etc.* hac auctoritate comprobatum, alienum ab eo minime censetur, qui hanc e scriptura sententiam protulit, apostolo videlicet, a quo ista collecta sunt. Atque hoc ex usu locorum satis apparet apostolicae doctrinae formam nihil a vetere testamento dissidere, cuius ille testimonium adhibuit.

Schol. V et XIII. *Etenim pascha nostrum immolatus est Christus.* 1. Cor. 5, 7.

Refut. V et XIII. Cum et pascha apostolus agnoscat, et immolatum Christum non neget, non est abalienandum a Christo pascha qui ex paschatis lege verum agnum non specie tenus immolat, cuius agni formam non specie item sola immolatus Christus nec sine carne passus expressit. Qui enim mactari spiritus posset? Sane fieri istud omnino nequit, sed neque sine carne potest occidi. Occisum autem esse revera haud dubia apostoli confessione declaratur. Quamobrem necessaria illud ratione colligitur, non alienam esse legem, quae adumbratis rebus ac figuris tamdiu constabat, donec perfectior, idemque manifestus agnus succederet, hoc est Christus reipsa mactatus, quem priscis temporibus antecessit alter ille qui immolabatur agnus, quique sensu percipi poterat: *Nostrum vero pascha immolatus est Christus.*

Schol. VI et XIV. *Nescitis quod qui adhaeret meretrici, unum corpus est. Erunt enim, inquit, duo in carnem unam.* Cap. 6, 16.

Refut. VI et XIV. Nisi vera lex sit, est tandem quod qui veritati student auctoritates ex illa depromunt? cuiusmodi sanctus dei apostolus est Paulus qui cum aliis innumeris hoc etiam testimonium ad veritatem bonique dei praedicationem evidenter asseverandam non dubitavit afferre?

Schol. VII et XV. Mutatus est locus. Nam pro eo quod est, *In lege*, scripsit, *In Moysis lege*. Sed antea dixerat, *Tametsi lex ea non dicat.* Cap. 9, 8 et 9.

Refut. VII et XV. Licet in secunda sententia formam orationis immutaveris, Marcio, atque ex eo quod, *In lege Moysis* scripseris, hac voce, *Moysis*, alienum a lege deum ostendi putaveris posse, tamen superior illa coniunctio vesaniam tuam redarguit, *Tametsi lex ista non dicat.* In lege quippe scriptum est: *Non alligabis os bovi trituranti.* Deut. 25, 4. Ceterum quod tu legem Moysis scribere maluisti, nihil nobis omnino nocuisti, sed profuisti potius, ac luculentius contra te

13. *Supra* Ἔσονται γὰρ, φησὶν, οἱ δύο *cett.*

14. *Aliter supra:* Ἀντὶ γὰρ τοῦ, Καὶ ὁ νόμος ταῦτα οὐ λέγει, φησὶ ἐκεῖνος, Εἰ καὶ ὁ νόμος Μωϋσέως ταῦτα οὐ λέγει.

15. *Editi libri* Εἰ καὶ.

16. *Ita cod. Vatic. et ed. Petav. In ed. princ. legitur* Μωϋσέος. *Ita vulgo etiam in seqq.*

17. *Editi* Εἰ καὶ.

*χόθεν δὲ [18] ὡμολόγησας, ἀγνοῶν τοῦ θεοῦ εἶναι τὸν Μωϋσέος νόμον ἀπὸ τοῦ, Ἐν τῷ νόμῳ Μωϋσέος, καὶ, Ὁ νόμος λέγει. Ἐπακολουθεῖ γὰρ ὁ ἀπόστολος συντιθέμενος ἐν τῷ μετέπειτα εἰρηκέναι, Μὴ τῶν βοῶν μέλει τῷ θεῷ; ἢ πάντως δι' ἡμᾶς εἴρηκεν; Εἰ δὲ διὰ τοὺς ἀποστόλους εἴρηκεν ὁ νόμος καὶ ὁ ἐν τῷ νόμῳ θεὸς λαλήσας, ἐπιμελεῖται ἄρα τῶν ἀποστόλων τοῦ Χριστοῦ ἐν τῷ μὴ φιμοῦν αὐτοὺς παρακελεύεσθαι, ἤτοι τοῦ λαλεῖν τὴν τοῦ Χριστοῦ αὐτοῦ διδασκαλίαν, ἤτοι τὴν ἐφήμερον τροφὴν παρὰ τῶν λαῶν ἀνενδέως αὐτοὺς ἔχειν. Οὐκ ἄρα ἀλλοτρίους τοὺς ἀποστόλους ἑαυτοῦ τῆς θεότητος οἶδεν, οὐδὲ οἱ ἀπόστολοι ἀλλότριον αὐτὸν θεὸν ἡγοῦνται. Ἐξ ἧςπερ ὑπὲρ πάντων μαρτυρίας ὁ ἅγιος ἀπόστολος ἀποδέδωκε φήσας, Μὴ περὶ τῶν βοῶν μέλει τῷ θεῷ; ἀλλὰ διὰ τοὺς ἀποστόλους εἴρηκε. Καὶ εἰ διὰ τοὺς ἀποστόλους εἴρηκε, κτιστὴς δέ ἐστι ἀνθρώπων καὶ κτηνῶν, ἐξ ὧν βόες τε καὶ στρουθοὶ, ἑρπετά τε καὶ κνώδαλα, ἐνάλιά τε καὶ τὰ ἄλλα, ἄρα μέλει αὐτῷ περὶ πάντων κατὰ τὴν ἑκάστου ἀναλογίαν. Καὶ μέλει μὲν αὐτῷ περὶ πάντων ἐν τῷ λέγειν, Ἀνθρώπους καὶ κτήνη σώσεις, κύριε, καὶ ἐν τῷ εἰρηκέναι, Τίς δέδωκε κόραξι βοράν; καὶ, Νεοσσοὶ κοράκων πρὸς κύριον κεκράγασι, τὰ σῖτα ζητοῦντες, καὶ, Δώσεις τὴν τροφὴν εὔκαιρον τοῖς πᾶσιν. Ἀλλὰ οὐκ ἐν τῷ ἀλοᾶν τοὺς βοῦς παρεκελεύετο μὴ φιμοῦν βοῦν ἀλοῶντα, [19] ἐπεὶ ἐδείκνυεν ἂν μὴ δύνασθαι τὸν θεὸν τρέφειν αὐτοῦ τὴν [20] κτῆσιν [21] ἄλλῃ, εἰ καὶ μὴ διὰ τῆς τῶν ἀνθρώπων τοῖς κτήνεσιν [22] ἐπικουρουμένων τροφῆς. Ἔδειξε δὲ ὁ ἅγιος ἀπόστολος οὐ δι' ἀπορίαν τροφῆς τὸν θεὸν διὰ τοῦ ἀλοητοῦ ἐπιμέλεσθαι βοῶν ἐν τῷ παρακελεύεσθαι μὴ φιμοῦν τοὺς τοιούτους, ἀλλὰ διὰ τοῦ αἰνίγματος περὶ τῶν ἀποστόλων σημαίνεσθαι τὴν σχέσιν. Τῶν γὰρ [23] κάτω αἰσθητῶν πάντων ποιεῖται τὴν πρόνοιαν, καὶ ὁμοίως μέλει αὐτῷ περὶ πάντων. Οὐ γὰρ ἀντιθέτως ὁ ἀπόστολος πρὸς τὸν σωτῆρα ἔγραφεν, ἵνα οὕτως προφασίσωνται οἱ πολλοί. Μικρότερα γὰρ τῶν βοῶν τὰ στρουθία, περὶ ὧν ὁ σωτὴρ ἔλεγεν ὅτι, Πέντε στρουθία πω-*
pag. 257. *λεῖται ἀσσαρίων δύο, καὶ πάλιν, Οὐχὶ δύο στρουθία πωλεῖται ἀσσαρίου ἑνός; [24] Εἰ οὖν δύο στρουθία πωλεῖται ἀσσαρίου ἑνὸς, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται εἰς παγίδα ἄνευ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὁμοῦ μὲν πάντων προνοεῖ, τῶν δὲ μειζόνων ἐπιμελεῖται, κατὰ τὸ μεῖζον εἶδος τῆς πνευματικῆς ἀκολουθίας· ὥςτ' οὖν ἐκ παντὸς ὁμολογεῖται τὸν αὐτὸν ποιητὴν καὶ δημιουργὸν καὶ νομοθέτην παλαιᾶς καὶ καινῆς διαθήκης ὄντα θεὸν ἀγαθόν τε καὶ δίκαιον καὶ τῶν πάντων κύριον.*

18. *Ita ed. Petav. ex cod. Vatic. Ed. princ. habet* ὁμολόγησας.

19. ἐπεὶ ἐδείκνυεν *ed. Petav. ex cod. Vatic.* ἐπεδείκνυεν *edit. princ.*

20. *Repone* κτίσιν.

21. *Rescripsi* ἄλλῃ, εἰ καὶ μὴ *postulante sententia. Libri habent* ἀλλὰ εἰ καὶ μή.

testimonium obfirmasti, ut vel imprudens confiterere Moysis legem a
deo derivatam, hoc ipso quod, *In lege Mosis*, scripseris. Item,
*Lex dicit.* Adstipulatur enim et apostolus postea subiiciens: *Num-
quid de bobus cura est deo? An propter nos utique dicit?* Quod si
propter apostolos tam lex quam qui in lege locutus est deus ista di-
xerunt, uterque profecto apostolorum Christi curam suscipit, dum
illis os alligari prohibet, sive a praedicanda Christi doctrina impediri
vetat, sive quotidiana ipsis alimenta suppeditari populorum liberali-
tate praecipit. Itaque nec alienos a divinitate sua apostolos ille pu-
tat, nec isti alienum ipsum esse statuunt. Ex hoc vero communi
omnibus testimonio sic colligit apostolus: *Numquid de bobus cura est
deo?* Sed propter apostolos dixit. Quare si propter apostolos usur-
pavit, hominum porro pecudumque conditor est, e quibus boves sunt
ac passeres, serpentes, bestiae, pisces, animantiaque reliqua, con-
sequens est curam illum omnium pro cuiusque ratione capessere.
Nam et universorum ei curam esse satis ex eo quod scriptum est
ostenditur: *Homines et iumenta salvabis, domine.* Item ex eo: *Quis* Psalm. 36, 7.
*dedit corvo cibum?* et: *Pulli corvorum ad dominum clamant cibos postu-* Iob. 39, 3.
*lantes;* et: *Dabis opportunam escam omnibus.* Neque vero bovum in Psalm. 146, 9.
obterendis frugibus obstringi capistris ora simpliciter prohibet. Alio- Psalm. 144, 15.
qui deum conditis a se animantibus praebere alimenta non posse mon-
straret, neque aliter quam ope hominum et auxilio pecorum pabulo
providere. Sed illud apostolus declarat, non cibariorum inopia deum
bubus triturae tempore consultum voluisse atque obligari vetuisse,
verum hoc aenigma totum ad apostolos quadam habitudine referen-
dum. At vero infima omnia, quae sensu percipi possunt, deus pro-
videntia sua complectitur, et universorum curam pariter suscipit.
Non enim salvatori contraria scripsit apostolus, ut hanc sibi plerique
excusationis latebram quaerant. Etenim longe bubus minores sunt
passeres, de quibus a salvatore dictum est: *Quinque passeres ve-* Luc. 12, 6.
*neunt dupondio.* Et rursum: *Nonne duo passeres asse veneunt, et* Matth. 10, 29.
*unus ex ipsis non cadet in laqueum sine patre vestro qui in coelis est?*
Sic igitur universa deus providentia sua gubernat. Quae vero maiora
sunt, altiore quadam cura et spiritali, quae illorum naturam conse-
quitur, administrat. Concludendum igitur est eundem conditorem
et opificem ac legislatorem esse veteris ac novi testamenti, deum
bonum, et iustum, universorumque dominum.

22. *Libri habent* ἐπιχουρουμένους. — *Pro* κτήνεσιν *in cod. Rhedig. extat* κτίσεσιν.
23. κάτω *rescripsi cum Petavio pro* κατὰ τὸ, *quod libri retinent.*
24. *Verba* Εἰ οὖν δύο στρουθία πωλεῖται ἀσσαρίου ἑνὸς, *quae desiderantur in editis et in cod. Rhedig., restitui ex auctoritate cod. Vaticani.*

η' καὶ ιϛ' Σχόλ. Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ;

η' καὶ ιϛ' Ἔλεγχ. Ἤδη διαπεπραγμάτευται καὶ διὰ πλάτους ἡρμήνευται ἐν τῷ πρὸ αὐτοῦ ῥητῷ. Διὸ περιττὸν ἡγησάμενος αὖθις περὶ αὐτοῦ λέγειν ἠρκέσθην τοῖς προειρημένοις.

θ' καὶ ιζ' Σχόλ. Οὐ θέλω γὰρ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οἱ πατέρες [25] ὑμῶν ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες τὸ αὐτὸ πνευματικὸν ἔφαγον βρῶμα, καὶ πάντες τὸ αὐτὸ πνευματικὸν ἔπιον πόμα. Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστὸς, ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν ηὐδόκησε. Ταῦτα δὲ τύποι [26] ὑμῶν ἐγενήθησαν, [27] πρὸς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς καὶ ἐκεῖνοι ἐπεθύμησαν· μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν, [28] καθὼς γέγραπται, Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν· μηδὲ ἐκπειράζωμεν τὸν Χριστὸν, [29] ὅπου λέγει, Ταῦτα δὲ τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ ἡμῖν, καὶ τὰ ἑξῆς.

θ' καὶ ιζ' Ἔλεγχ. Ὦ πολλῆς [30] φρενοβλαβείας. Τίς ἔχων ὀφθαλμοὺς ἡλίου ἀνατέλλοντος ἑαυτὸν ἀπὸ τοῦ φωτὸς πλανήσει; Εἰ γὰρ πατέρας ἑαυτοῦ τοὺς τότε λέγει ὁ ἅγιος ἀπόστολος, καὶ ὑπὸ νεφέλης καὶ διὰ θαλάσσης διεληλυθέναι, καὶ πνευματικὸν βρῶμα καὶ πόμα εἶναι, βεβρωκέναι δὲ καὶ πεπωκέναι ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, Χριστὸν δὲ εἶναι τὴν πέτραν φάσκει, τίς πεισθήσεται Μαρκίωνος τῇ ἀπονοίᾳ, τοῦ σκοτίζοντος ἑαυτοῦ τὸν νοῦν καὶ τῶν ἀκουόντων αὐτοῦ, ἀλλότριον φάσκειν τὸν Χριστὸν τῶν ἐν νόμῳ γενομένων, ὁμολογουμένων δὲ παρὰ τοῦ ἀποστόλου ἐν ἀληθείᾳ, καὶ οὐκ ἐν δοκήσει; [31] Εἰ
pag. 358. φάσκει δὲ ὁ ἅγιος ἀπόστολος μὴ ἐν τοῖς πλείστοις τὸν Χριστὸν ηὐδοκηκέναι, πάντως διὰ παράνομον πρᾶξιν τῶν αὐτῶν. Εἰ δὲ οὐκ ηὐδόκησεν ἐν τοῖς κατὰ τὸν νόμον παράνομα ἐργασαμένοις, ἄρα ἀγανακτεῖ πρὸς τοὺς τοιούτους, ὡς αὐτοῦ δεδωκότος τὸν νόμον, καὶ διδάσκει ἑαυτοῦ τὸν νόμον ὑπάρχειν, καιρῷ [32] δοθέντα, καὶ δικαίως ἐξυπηρετηθέντα ἄχρι τῆς ἐνσάρκου αὐτοῦ παρουσίας. Πρέπον γάρ ἐστιν οἰκοδεσπότῃ καθ' ἕκαστον καιρὸν ἁρμοδίως ἐπιτάσσειν τοῖς ἑαυτοῦ οἰκέταις τὰ πρέποντα. Εὐθὺς δὲ ἐπιφέρει λέγων, Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν, πρὸς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν· μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν· οὐχὶ κατὰ πάντων τὴν ψῆφον διεξιών. Καὶ πόθεν οἶδας ταῦτα, ὦ ἀπόστολε; Ἐπιφέρει, Ὡς γέγραπται, φήσας, Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. Ἄρα γοῦν ἀληθὴς ἡ γραφὴ, ἐξ ἧς καὶ τὸν ἔλεγχον κατὰ τῶν ἀνόμων ὁ ἀπόστολος λαμβάνει. Εἶτα πάλιν,

25. *Supra* ἡμῶν.
26. *Supra* ἡμῶν.
27. *Vulgo* μὴ πρὸς τὸ εἶναι. *Cf. supra.*
28. *Supra* ὡς.
29. *Supra* ἕως ὅπου.
30. φρενοβλαβίας *edit. princ.*
31. Εἰ *particulam repetii ex proxima vocabuli* δοκήσει *syllaba, quae videlicet*

Schol. VIII et XVI. *Numquid de bobus cura est deo?* 1. Cor. 9, 9.

Refut. VIII et XVI. Abunde tractatus hic locus est, et in superiori capite a nobis expositus. Ideoque supervacaneum rati eadem denuo repetere iis quae dicta sunt contenti esse debemus.

Schol. IX et XVII. *Nolo enim vos ignorare, fratres, quoniam* Cap. 10, 1 sqq. *patres nostri sub nube fuerunt, et omnes mare transierunt, et omnes eandem escam spiritalem manducaverunt. Bibebant enim de spiritali consequente eos petra, petra autem erat Christus. Sed non in pluribus eorum beneplacitum est deo. Haec autem in figura facta sunt nostri, ut non simus concupiscentes malorum, sicut illi fuerunt, neque idolorum cultores efficiamini, sicut quidam ex ipsis, quemadmodum scriptum est: Sedit populus manducare et bibere, et surrexerunt ludere. Neque tentemus Christum,* usque ad illa verba: *Haec autem omnia in figura contingebant illis, scripta sunt autem nobis etc.*

Refut. IX et XVII. O inauditam amentiam! Quis oriente sole, si modo oculos habeat, a luce possit aberrare? Nam si patres suos veteres illos apostolus nominat, et sub nube fuisse, ac mare transiisse praedicat, si spiritalem escam et potum commemorat, itemque manducasse ac bibisse de spiritali consequente illos petra, eamque petram Christum esse scribit, quis Marcionis insaniae fidem adhibeat, qui suam ac sectatorum suorum mentem tantis tenebris implicat, ut Christum ab iis qui in lege versati sunt abalienare contendat, quos quidem apostolus revera, non ficta quadam specie commendavit? Quod autem *in plerisque* scribit idem *non fuisse placitum Christo,* plane ad illorum scelera pertinere putandum est. Iam vero Ibid. 5. si in iis, qui in lege scelerate se gesserunt, nequaquam illi placitum est, ideo illis succensuerit oportet, quod legem ipse tulerit, quam omnino suam esse confirmat, quae pro temporis opportunitate concessa tamdiu functionem suam est administrationemque sortita, donec ille carne praeditus advenit. Nam et paterfamilias servis suis consentanea cuique tempori debet mandata praescribere. Subinde vero ista subtexuit: *Haec autem in figura nostri contigerunt, ne simus concupiscentes malorum, sicut illi concupierunt, neque idolorum cultores efficiamini, sicut quidam ex ipsis.* In quo non omnes sententia sua condemnavit. Sed undenam obsecro haec, apostole, nosti? *Sicut scriptum est,* inquit, *Sedit populus manducare et bibere, et surrexerunt ludere.* Vera est itaque scriptura, de qua ad convincendos improbos Paulus argumenta colligit. Deinde rursus: *Neque tentemus*

*illam absorpserat. Non enim reperitur in libris.*

32. δοθέντι *edit. princ., quod vitium ope cod. Vatic. sustulit Petavius.*

*Μηδὲ πειράζωμεν τὸν κύριον.* Ὁ δὲ Μαρκίων ἀντὶ τοῦ Κύριον Χριστὸν ἐποίησε. Χριστὸν δὲ καὶ κύριον ταὐτὸν [33] ὑπάρχει, κἂν μὴ δοκοίη τῷ Μαρκίωνι, προϋποτεταγμένης τῆς τοῦ Χριστοῦ ἐπωνυμίας, ἐν τῷ εἰπεῖν, Ἡ πέτρα ἦν ὁ Χριστὸς, καὶ, Οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν ηὐδόκησε. Διεξιὼν δὲ πάλιν ὁ ἅγιος ἀπόστολος πᾶσαν τὴν τοῦ κεφαλαίου ὑπόθεσίν φησι, Ταῦτα δὲ τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ ἡμῖν εἰς νουθεσίαν. Εἰ τοίνυν τὰ τυπικῶς ἐκείνοις συμβεβηκότα ἐγράφη ἡμῖν εἰς νουθεσίαν, ὁ γράψας τὰ γεγονότα τότε εἰς νουθεσίαν ἡμῶν ἐπεμελεῖτο ὧν καὶ τὴν νουθεσίαν ἐποιεῖτο, τὸ μὴ γίνεσθαι ἡμᾶς ἐπιθυμητὰς κακῶν. Ὁ δὲ μὴ θέλων κακῶν ἐπιθυμητὰς ἡμᾶς εἶναι ἄρα ἀγαθὸς ὑπάρχει, καὶ οὐ κακός. Ἐν οἷς γὰρ ὑπάρχει, ἐν τούτοις προτρέπεται ἡμᾶς εἶναι, ὁ αὐτὸς ἀγαθὸς θεὸς ὢν καὶ δίκαιος, ὁ τῶν προγραφέντων θεὸς, καὶ τῶν μετέπειτα νουθετουμένων κτιστὴς ὢν, τῶν πάντων καὶ δημιουργὸς καὶ νομοθέτης, καὶ δωρητικὸς τῶν εὐαγγελίων, καὶ καθοδηγὸς τῶν ἀποστόλων.

ι' καὶ ιη' Σχόλ. Τί οὖν φημι; ὅτι ἱερόθυτον τί ἐστιν, ἢ εἰδωλόθυτον τί ἐστιν; ἀλλ' ὅτι ἃ θύουσι δαιμονίοις, καὶ οὐ θεῷ. Προςέθετο δὲ ὁ Μαρκίων τὸ, Ἱερόθυτον.

pag. 359. ι' καὶ ιη' Ἔλεγχ. Τί οὖν φημι; εἰδωλόθυτον τί ἐστιν; ἀλλ' ὅτι ἃ θύουσι δαιμονίοις, καὶ οὐ θεῷ. Οὐκ ἀπηγόρευσε τὸν παλαιὸν τῶν πατέρων χρόνον ὁ ἀπόστολος, ἕως αὐτοῦ, καὶ ἕως ἀνέστηκεν Ἱερουσαλὴμ, ἀπὸ τοῦ εἰπεῖν τοὺς εἰς τὰ εἴδωλα θύοντας δαιμονίοις θύειν, καὶ οὐ θεῷ. Οὐκ ἄρα κατέκρινε τῷ θεῷ θυσάντων, ὅτε χρεία θυσιῶν ἦν· κατακρίνει δὲ τοὺς θύοντας εἰδώλοις, οὐ διὰ τὸ θύειν, ἀλλὰ διὰ τὸ ἀντὶ [34] θεοῦ εἰδώλοις θύειν. Οὔτε γὰρ θύουσιν, ἵνα τροφὴν ἑαυτοῖς ἐκ θεοῦ κεχαρισμένην εἰς μετάληψιν ἐργάσωνται, ἀλλὰ δαίμοσι θύοντες, καὶ ματαιοφροσύνῃ. Σὺ δὲ, ὦ Μαρκίων, προςέθηκας τὸ, Ἱερόθυτον, νομίσας ἀπὸ τοῦ μεμίχθαι τὰ δύο ὀνόματα, ἱεροῦ τε καὶ εἰδώλου, συνάπτεσθαι τῶν δύο τρόπων τὴν σχέσιν. Καὶ οὐκ ἔστι τοῦτο. Εἰ μὲν γὰρ μετὰ τὸ ἐλθεῖν τὴν καινὴν διαθήκην ἐθύετο τῷ Χριστῷ κατ' ἰδίαν, καὶ εἰς ὄνομα αὐτοῦ ζῶα ἀνεφέρετο, πιθανὸν ἂν σοι ηὑρίσκετο τὸ τῆς συκοφαντίας ψεῦδος, ὡς τῶν νῦν θεῷ θυόντων [35] Χριστῷ θυόντων, τῶν δὲ τότε θυσάντων ἐν τῷ ἱερῷ Ἱεροσολύμων καὶ τῶν τοῖς εἰδώλοις θυόντων ὁμοῦ συναπτομένων, καὶ [36] δαίμοσι θυόντων, καὶ οὐχὶ θεῷ. Μηδενὸς δὲ θύσαντος ζῶα Χριστῷ ἀπὸ τῆς Χριστοῦ ἐνδημίας καὶ καινῆς διαθήκης φανερὰ ἡ παρὰ σοὶ προςθήκη.

33. ὑπάρχει correxi ego. Vulgo ὑπάρχειν.
34. Vulgo θεῷ.
35. Χριστῷ θυόντων, quod vulgo desideratur, ex cod. Vaticano restitui.
36. δαίμοσι θυόντων emendatio Cornarii est, etiam a Petavio commendata. Libri habent δημοσιευόντων.

*dominum.* Marcio vero pro *Domino* Christum substituit. Sed idem est plane Christus ac dominus, etsi Marcioni aliter visum sit; cum Christi appellatio subiecta sit in iis verbis: *Petra autem erat Christus,* et, *Non in plerisque illorum beneplacitum est deo.* Post haec apostolus ubi totum illud argumentum percurrit, subiicit: *Haec autem in figura contingebant illis: scripta sunt autem ad correptionem nostram.* Cum igitur quae illis in figura contingebant, ad correptionem nostram scripta sint, qui ea, quae tum acciderunt, ad correptionem nostram praescripsit, illis haud dubie consulere studuit, quos corrigere atque admonere cupiebat, ne malorum concupiscentes essemus. Quamobrem bonus idem, non malus fuerit oportet. Quibus enim affectus est, iisdem ut praediti esse velimus hortatur, bonus ille nimirum deus ac iustus, ac tam eorum quos ante scripserat deus quam posteriorum, qui correpti sunt, conditor, communis denique auctor omnium ac legislator, qui et evangelia largitus est, et apostolorum dux ac moderator extitit.

Schol. X et XVIII. *Quid ergo dico? Quod in templo immola-* 1.Cor.10,19.
*tum aliquid sit, aut idolothytum aliquid sit? Sed quae immolant daemoniis, et non deo.* Ubi Marcio *In sacris immolatum* adiecit.

Refut. X et XVIII. *Quid ergo dico? Idolis immolatum aliquid est? Sed quae immolant daemoniis et non deo.* Non prisca illa patrum tempora condemnavit apostolus, quae ad aetatem usque suam, adeoque quamdiu, stetere Hierosolyma, fluxerunt, cum eos dixit qui idolis immolarent daemoniis immolare, non deo. Non illos, inquam, damnare voluit qui deo sacrificarent, quo tempore sacrificari oportuit, sed eos duntaxat accusat qui idolis immolant, non ob hoc ipsum quod immolant, sed quod idolis istud ipsum pro deo praestant. Non enim ideo sacrificant, ut alimenta divinitus ad usum concessa sibi comparent, sed daemonibus ac vanissimis numinibus sacra faciunt. Tu vero, Marcio, vocem illam, *In templo immolatum,* adiecisti, ex eo ratus quod duo haec vocabula, templum et idola, permista invicem forent, ambarum quoque rationum habitudines posse confundi. Sed longe opinione tua falleris. Etenim si postquam novum testamentum illatum est, privatim Christo adhuc immolaretur, et in eius nomine offerrentur animalia, probabiliter abs te mendacissimae illae calumniae repertae viderentur, ut et qui hoc tempore deo sacrificarent, et hoc olim Hierosolymitano in templo fecissent et idolis immolarent, in unum miscerentur omnes, ac daemoniis, non deo sacra facere dicerentur. Sed cum animalia nemo Christo post eius adventum ac novum testamentum conditum immolarit, illud te

*Εἰ δὲ καὶ φύσει ἔκειτο ἡ λέξις ἐν τῷ ἀποστόλῳ περὶ ἱεροθύτων καὶ εἰδωλοθύτου, ὁμοῦ ἓν καὶ τὸ αὐτὸ* [37] *ἔκρινε παρὰ τοῖς εὔλογον λογισμὸν κεκτημένοις, καταχρηστικῶς λεγομένης τῆς λέξεως ὑπὸ τοῦ ἀποστόλου, διὰ τὴν τῶν ἀνθρώπων συνήθειαν, τῶν ἀεὶ τὸ εἴδωλον ἱερὸν καλούντων. Καὶ πανταχοῦ διέπεσέ σου ἡ ψευδήγορος διάνοια, ἀποδειχθείσης τῆς ἀληθείας, ὅτι οἱ θύοντες εἰδώλοις, ἤτοι κατὰ τὸν αὐτῶν λόγον ἱερόθυτον ὃ ἐποίουν ἢ ποιοῦσι, ψεῦδος ἐργαζόμενοι δαιμονίοις θύουσι, καὶ οὐχὶ Χριστῷ· ἀλλ' οὐχ οἱ ποτὲ κατὰ νόμον θύσαντες, δικαιότατα, νῦν δὲ τούτου μηκέτι γενομένου, αὐτοῦ θέλοντος· ὥς καὶ ἀπὸ τῶν ἀνέκαθεν διὰ Ἱερεμίου τοῦ προφήτου ἔλεγεν, Ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ φέρεις, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; καὶ πάλιν, Αἱ*
pag. 360. *θυσίαι σου οὐχ ἥδυνάν μοι· καὶ ἄλλοτε, Ἄρόν σου τὰς θυσίας, Ἰσραὴλ, καὶ φάγετε κρέα· οὐ γὰρ ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν* [38] *αὐτοὺς ἐκ γῆς Αἰγύπτου, περὶ θυσιῶν, ἀλλὰ τοῦτο ἐνετειλάμην αὐτοῖς, ἕκαστον ποιεῖν δικαιοσύνην πρὸς τὸν πλησίον. Αὐτοῦ δὲ λέγοντος ὅτι, Οὐκ ἐνετειλάμην, καὶ αὐτοῦ ἐν τῷ νόμῳ λέγοντος τῷ Μωϋσῇ ὅτι, Ἕκαστος τῶν υἱῶν Ἰσραὴλ ἐὰν προςενέγκῃ θυσίαν ἐκ βοῶν ἢ προβάτων, ἄρσεν ἄμωμον προςφερέτω, καὶ πάλιν, Ἐάν τις ἁμάρτῃ, καὶ γένηται ἔν τινι πλημμελείᾳ, προςαγάγῃ πρόβατον, καὶ πάλιν, Ἐὰν ἁμάρτῃ ὁ λαὸς, προςενέγκῃ μόσχον, ἔδειξε μὲν εὐπροςδέκτως αὐτὸν κομίζεσθαι τὰς ὑπὲρ σωτηρίας τοῦ λαοῦ ποτε τελεσθείσας θυσίας· οὐκ αὐτοῦ ἐπιδεομένου τούτων, οὐδὲ θέλοντος ταῦτα, ἀλλὰ συγκαταβαίνοντος αὐτῶν τῇ ἀσθενείᾳ, καὶ τῇ τῆς ἀνθρωπότητος προλήψει, ἵνα ἀπὸ τῆς πολυθεΐας εἰς τὴν τοῦ περὶ ἑνὸς θεοῦ γνῶσιν μετενέγκῃ τὴν τῶν ἀνθρώπων διάνοιαν. Ἐπειδὴ γὰρ ἰσχυρῶς ἐθεμελίωτο ἡ διάνοια αὐτῶν ἐν τῇ θυσίᾳ, ὡς εὐσεβείᾳ, τῇ ὑπὲρ ἱλασμῶν ἑαυτῶν καὶ σωτηρίας εἰδώλοις προςφερομένῃ.* [39] *Εἰς δὲ τὸ μὴ χαλεπῶς φέρειν, διὰ τὴν συνήθειαν, τὸ ἀποστρέψαι ἅπαξ ἀπὸ τῆς πολυθέου φαντασίας τοῦτο ποιεῖν ἕως καιροῦ εἰς ἓν ὄνομα ἠθέλησε, τά τε κατ' ἔτος αὐτοῖς γινόμενα εἰς αὐτὸν μεταλλάξαι· ἵνα λοιπὸν γνόντες τὸν ἕνα καὶ πιστεύσαντες ἀσφαλῶς τῷ ἑνὶ παρ' αὐτοῦ ἀκούσωμεν, Μὴ* [40] *φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων* [41] *πίομαι; καὶ, Μὴ τεσσαράκοντα ἔτη θυσίαν προςηνέγκατέ μοι* [42] *ἐν ἐρήμῳ, οἶκος Ἰσραήλ; καί τοί γε πολλῶν θυσιῶν τότε προς-*

37. ἐκρίνετο *praeter consilium suspicabatur Petavius.*

38. αὐτοὺς, *pro quo* αὐτὸν *in edit. princ., Petavius ex cod. Vatic. restituit.*

39. *Transpositis verbis sanatus est hic locus, paucis praeterea, sed leviter, mutatis a me atque correctis. In libris enim scriptum est omnibus:* εἰς δὲ τὸ μὴ ἅπαξ χαλεπῶς φέρει, διὰ τὴν συνήθειαν τοῦ ἀποστρέψαι, τοῦτο ποιεῖν ἕως καιροῦ εἰς ὄνομα, ἀπὸ τῆς πολυθέου φαντασίας ἠθέλησα τὰ κατ' ἔτος αὐτοῖς γινόμενα εἰς τὸν μεταλλάξαι. *Neque cod. Veneti scriptura differt, nisi quod* εἰς αὐτοῦ ἔνομα *habet pro* εἰς ὄνομα, *deinde* ἠθέλησε *pro* ἐθέλησα, *et* εἰς αὐτὸν *pro* εἰς τόν.

addidisse manifestum est. Quod licet ista dictio ita ut concipis ab apostolo esset expressa, atque *ἱερόθυτον* ad *εἰδωλόθυτον* adiunxisset, unum tamen idemque esse iudicarent ii qui rationis paululum haberent, sic ut abusione quadam vocis illud usurpasse crederetur apostolus, quod homines idolum *ἱερόν*, hoc est sacrum, appellare solent. Quocirca falsa illa tua ratio concidit, cum id verissime sit patefactum, qui idolis immolant, quod *ἱερόθυτον* isti vocant, quique hoc se mendacio obstringi passi sunt, aut adhuc patiuntur, daemoniis immolare non Christo. Quod quidem longe ab illis aberat qui ex lege tum iustissime sacrificabant. Quod ipsum tamen eodem volente fieri desiit; quemadmodum iam olim per prophetam Hieremiam vaticinatus est: *Ut quid mihi tus de Saba affers, et cinnamomum de* **Hier. 6, 20.** *terra longinqua?* Item: *Victimae tuae non placuerunt mihi.* Et alibi, *Tolle victimas tuas, Israel, et comedite carnes. Non enim praecepi* **Hierem. 7, 21.** *patribus vestris in die, qua apprehendi manum eorum, ut educerem eos de terra Aegypti, de victimis, sed hoc praecepi illis, unumquemque facere iustitiam cum proximo suo.* Cum igitur dicit, *Non praecepi illis*, et idem tamen in lege Moysi praecipit, *Quilibet filiorum Israel,* **Levit. 22, 18.** *si offerat sacrificium de bobus aut ovibus, masculum immaculatum offerat,* ac rursum, *Si quis peccaverit, et in aliquo inventum est delictum, offeret agnum,* item, *Si peccaverit populus, offeret vitulum,* his omnibus grata sibi fuisse sacrificia declarat, quae tum pro salute populi istius oblata sunt; non quod illis indigeret, aut admodum cuperet, sed ut ad eorum se imbecillitatem et anticipatam humanae mentis opinionem accommodaret, atque ut a plurimorum cultu numinum ad unius dei cognitionem illorum animos traduceret. Etenim quoniam in sacrificiis vehementer ipsorum defixa mens erat, tanquam pietatis haec essent officia, quae idolis pro expiatione sua ac salute praestarent, simul ne ob consuetudinem extorqueri subito sibi ista omnia molestius ferrent, suo in nomine fieri ista aliquanto tempore voluit, quo a plurium deorum inani cultu annuas illas ceremonias ad obsequium suum transferrent, atque ut uno demum cognito deo, corroborataque in illum fide nostra, deinceps ab eodem audiamus: *Numquid manducabo carnes taurorum, aut sanguinem hircorum potabo?* **Psalm. 49, 13.** item: *Numquid quadraginta annis sacrificium obtulistis mihi in deserto* **Amos 5, 25.** *domus Israel?* Quamquam infinita iam erant oblata sacrificia. Sed

*Aliter Petavius censuit ei luxationi occurrendum, qui rescripsit:* εἰς δὲ τὸ μὴ ἅπαξ χαλεπῶς φέρειν, διὰ τὴν συνήθειαν, τοῦτο ποιεῖν ἕως καιροῦ εἰς ὄνομα αὐτοῦ ἠθέλησε, τοῦ ἀποστρέψαι ἀπὸ τῆς πολυθέου φαντασίας, καὶ τὰ κατ' ἔτος αὐτοῖς γινόμενα εἰς ἑαυτὸν μεταλλάξαι. *Iudicent eruditi.*

40. φάγωμαι *edit. princ.*
41. πίωμαι *libri editi.*
42. ἐν τῇ ἐρήμῳ *cod. Ven.*

ενεχθεισῶν· ἵνα δείξῃ ὅτι οὐκ αὐτῷ προςέφερον, καί τοί γε αὐτοῦ δεχομένου, καὶ εἰς ὄνομα αὐτοῦ αὐτῶν προςφερόντων· ἀλλὰ διὰ τὴν αὐτῶν ἐν τοῖς τοιούτοις ἀναχθεῖσαν συνήθειαν, ἕως [43] μεταλλάξῃ [44] καθελκύσας ἀπὸ συνηθείας [45] πολλῶν εἰς τὸν ἕνα, καὶ ἀπὸ τοῦ ἑνὸς λοιπὸν μάθωσιν ὅτι οὔτε ἔχρῃζεν οὔτε χρῄζει, καὶ λοιπὸν ἀποκόψῃ διὰ τῆς ἐνσάρκου παρουσίας τῆς τοῦ Χριστοῦ αὐτοῦ τὸ πᾶν τῆς ὑποθέσεως τῶν θυσιῶν, τῆς μιᾶς θυσίας τελειωσάσης τὰς προϋπαρξάσας πάσας, ἥτις ἐστὶ θυσία Χριστοῦ, ὅτι τὸ πάσχα ἡμῶν ἐτύθη Χριστὸς, κατὰ τὸ γεγραμμένον· ἧς θυσίας καὶ πάσχα καὶ διδασκαλίας
pag. 381. παιδαγωγὸς ἐγένετο ὁ νόμος, ὁδηγῶν διὰ τὸν τύπον, καὶ ἀποκαθιστῶν εἰς [46] ἐντελεστέραν διδασκαλίαν.

ια' καὶ ιθ' Σχόλ. Ἀνὴρ οὐκ ὀφείλει κομᾶν, δόξα καὶ εἰκὼν θεοῦ ὑπάρχων.

ια' καὶ ιθ' Ἔλεγχ. Εἰκόνα οὐ μόνον τὸν ἄνθρωπον θεοῦ ὁρίζεται ὁ ἀπόστολος, ἀλλὰ καὶ δόξαν. Τὴν κόμην δὲ ὑποτιθέμενος σωματικὴν οὖσαν κατ' ἰδίαν ἐν σώματι, καὶ οὐκ ἐν ψυχῇ, οὐκ ἀλλότριον ἄρα θεοῦ τὸ ποίημα ὁρίζεται τοῦ ἀγαθοῦ, διὰ τὸ ὁμολογεῖν αὐτὸν τὰ ἀπὸ παλαιᾶς ἐν καινῇ πληρούμενα διαθήκῃ.

ιβ' καὶ κ' Σχόλ. Ἀλλὰ ὁ θεὸς συνεκέρασε τὸ σῶμα.

ιβ' καὶ κ' Ἔλεγχ. Εἰ ὁ θεὸς συνεκέρασε τὸ σῶμα, οὐκ ἄλλον δὲ θεὸν ὁ ἀπόστολος κηρύσσει, ἀλλὰ τὸν ὄντα, ὁμολογεῖ δὲ τὸν θεὸν τὸ σῶμα τοῖς μέλεσι κεκερακέναι, οὐκ ἄλλον οἶδε θεὸν, ἀλλ' ἢ τὸν δημιουργὸν, αὐτὸν ἀγαθὸν καὶ κτιστὴν καὶ δίκαιον πάντων ποιητήν· ἐξ ὧν πάντων ἓν ἔργον ὑπάρχει ὁ ἄνθρωπος, ὁ τοῖς μέλεσιν ὑπ' αὐτοῦ καλῶς κεκερασμένος.

ιγ' καὶ κα' Σχόλ. Πεπλανημένως ὁ Μαρκίων, Ἀλλὰ ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους τῷ νοΐ μου λαλῆσαι· ἑτέρως δὲ, Διὰ τὸν νόμον.

ιγ' καὶ κα' Ἔλεγχ. Ἄρα καὶ αἱ γλῶσσαι ἐκ τοῦ χαρίσματος τοῦ πνεύματός εἰσι. Γλώσσας δὲ ὁποίας λέγει ὁ ἀπόστολος; ὅπως [47] γνῷς, οὐ τὰς φωνὰς τὰς Ἑβραΐδας, τὰς διαφόρως καὶ ποικίλως ἐν ἑκάστῃ λέξει καλῶς μετὰ σοφίας ποικιλθείσας, ἀλλὰ καὶ τὴν κομπώδη γλῶσσαν τῶν Ἑλλήνων· [48] ηὔχουν τινὲς τὸ Ἀττικίζειν καὶ Αἰολίζειν, καὶ Δωρικῶς φθέγγεσθαί τινες τῶν παρὰ τοῖς Κορινθίοις τὰς πτύρσεις καὶ στάσεις

43. μεταλλάξῃ *scripsi pro* μεταλλεύσῃ, *quod libri tuentur, sed citra sententiam. Etiam Cornarius vertit* donec immutaret abstractos *cett.*

44. καὶ θελήσας *cod. Ven.*

45. *Verba* τοιαύτης τῶν, *quae vulgo leguntur ante* πολλῶν, *de auctoritate codd. Vaticani et Veneti delevi. Falsum est enim quod annotavit Pelavius, a Vaticano libro abesse etiam* πολλῶν.

46. ἐντελεστέραν *cod. Venet. Vulgo extat* τὴν ἑτέρων.

47. *Ed. pr.* ἀπόστολος, ὅπως γνῷ σύ. *Ed. Pelav.* ἀπόστολος, ὅπως γνῷ σύ. *Scripturam* ἀπόστολος; ὅπως γνῷς, *ea sensentia suasit.*

ut ostenderet sibi haec oblata non fuisse, tametsi et acciperet ipse, et in nomine eius offerrent. Quod quidem ob inveteratam istiusmodi in rebus illorum consuetudinem est factum, donec a plurium deorum usu paulatim in unius cultus reformatos perduceret, et ab illo deinceps intelligerent nihil hunc eiusmodi ritibus opus habuisse, nec habere, atque ita demum per Christi sui adventum totum illud sacrificiorum negotium circumscriberet, postquam unicum ac singulare sacrificium antecedentia omnia consummasset, nimirum Christi sacrificium. Quoniam, ut scriptum est, *Pascha nostrum immolatus est* 1. Cor. 5, 7.
*Christus.* Huius porro sacrificii et paschatis et doctrinae paedagogus lex fuit, quae per figurarum adumbrationes deduceret, et ad aliud disciplinae genus conferret.

Schol. XI et XIX. *Vir comam non nutriat gloria et imago dei* Cap. 11, 14.
*cum sit.*

Refut. XI et XIX. Non solum dei imaginem, sed et gloriam apostolus hominem esse definit. Comam vero utique corpoream, non animae propriam cum nominat, non alienum a bono deo opus illud esse significat, eo quod quae in vetere testamento continebantur in novo impleta esse fateatur.

Schol. XII et XX. *Sed deus temperavit corpus.* Cap. 12, 24.

Refut. XII et XX. Si corpus a deo temperatum est, nec alium quam verum deum apostolus praedicat, eundem porro deum corporis membra temperasse ac formasse confitetur, non alium profecto deum quam conditorem ipsum, et quidem bonum et creatorem et iustum et conditorem omnium agnoscit. Quibus ex omnibus homo censendus est ab eodem apte suis partibus membrisque temperatus.

Schol. XIII et XXI. Perperam ista concepit: *Sed in ecclesia* Cap. 14, 19.
*volo quinque verba sensu meo loqui:* aliter enim scripsit, et *ob legem,* adiecit.

Refut. XIII et XXI. Linguae igitur a spiritus sancti gratia derivantur. Eiusmodi porro, de quibus apostolus loquitur, linguae sunt, ut non Hebraicas modo voces comprehendant, quae in singulis vocabulis praeclarem quandam ac sapientem varietatem exhibent, sed et alia quoque idiomatum discrimina, quae nonnulli Graecae linguae periti, cui insitus quidam fastus ac vanitas est, gloriose iactabant, qualis est Attica, Aeolica ac Dorica proprietas, quarum freti scientia nonnulli turbas illas Corinthi ac seditiones excitarant,

48. *Rescripsi* ηὔχουν τινὲς *pro* αὐχοῦντες *quo vitio libri vulgo laborant. Cornarius vertit:* Linguas autem quales dicit Apostolus? Non solum voces Hebraicas diversimode ac varie in singulis locutionibus recte cum sapientia variegatas, sed etiam fastuosam Graecorum linguam iactantes indicat, et quod Attice ac Aeolice et Dorice quidam apud Corinthios loquerentur *cett.*

ἐργασαμένων, οἷς ἡ ἐπιστολὴ ἐπετέλλετο. Καὶ ὡμολόγησε μὲν χάρισμα εἶναι πνευματικὸν τὸ ταῖς Ἑβραϊκαῖς λέξεσι κεχρῆσθαί τε καὶ τὸν νόμον διδάσκειν, οὐ μὴν ἀλλὰ καὶ [49] τὰ ἄλλα κομπώδη καθελὼν τῆς τῶν Ἑλλήνων γλώσσης ἔφησεν μᾶλλον γλώσσαις αὐτὸν αὐτῶν λαλοῦντα, διὰ τὸ εἶναι αὐτὸν Ἑβραῖον ἐξ Ἑβραίων, παρὰ τοὺς πόδας Γαμαλιὴλ ἀνατεθραμμένον, ὧν [50] Ἑβραίων τὰ γράμματα ἐν ἐπαίνοις τίθησι, καὶ
pag. 262. τῆς τοῦ πνεύματος δωρεᾶς ὄντα χαρίσματα. Διὸ περὶ τῶν αὐτῶν καὶ Τιμοθέῳ γράφων ἔλεγεν ὅτι, Ἀπὸ νεότητος ἱερὰ γράμματα ἔμαθες. Ὅτι δὲ [51] προςτιθεὶς τοὺς ἀπὸ Ἑλλήνων ποιητῶν καὶ ῥητόρων ὁρμωμένους τὰ ἴσα φάσκων ὁμοίως ἔφη, Πάντων πλέον ὑμῶν λαλῶ γλώσσαις, ἵνα δείξῃ καὶ τῆς Ἑλληνικῆς παιδείας αὐτὸν ἐν πείρᾳ ὑπερβαλλόντως γεγενῆσθαι. Καὶ γὰρ καὶ ὁ χαρακτὴρ αὐτοῦ σημαίνει αὐτὸν ὑπάρχειν ἐν προπαιδείᾳ, οὗ οὐκ ἠδυνήθησαν Ἐπικούρειοι καὶ Στωϊκοὶ ἀντιστῆναι, ἀνατρεπόμενοι διὰ τῆς λογίας [52] παρ' αὐτοῦ ἀναγνωσθείσης τοῦ βωμοῦ ἐπιγραφῆς, [53] τῆς ἀντία γνωστοῦ ἐπιγεγραμμένης τῷ Θεῷ [54] Ἀγνώστῳ, ῥητορικῶς ἀναγνωσθείσης παρ' αὐτοῦ [55] λεῷ, καὶ εὐθὺς μεταφραστικῶς ῥηθείσης, Ὃν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν· καὶ πάλιν φήσαντος, Εἶπέ τις ἴδιος αὐτῶν προφήτης,

Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί,

ἵνα τὸν Ἐπιμενίδην δείξῃ, ἀρχαῖον ὄντα φιλόσοφον καὶ Μίθρα τοῦ παρὰ Κρησὶν [56] εἰδώλου· ἀφ' οὗπερ καὶ Καλλίμαχος ὁ Λίβυς τὴν μαρτυρίαν εἰς ἑαυτὸν συνανέτεινε, ψευδῶς περὶ Διὸς λέγων,

[57] Κρῆτες ἀεὶ ψεῦσται. Καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο
Κρῆτες ἐτεκτήναντο, σὺ δὲ οὐ θάνες· ἐσσὶ γὰρ αἰεί.

Καὶ ὁρᾷς πῶς διηγεῖται περὶ γλωσσῶν ὁ ἅγιος ἀπόστολος, Ἀλλὰ θέλω πέντε λόγους ἐν ἐκκλησίᾳ τῷ νοΐ μου, τουτέστι διὰ τῆς ἑρμηνείας, φράσαι. Ὡς ὁ προφήτης ἐν πνεύματι ἁγίῳ εἰς τὸν νοῦν προκεχορηγημένα φέρων εἰς φῶς διὰ τῆς προφητείας ὠφελεῖ τοὺς ἀκούοντας, οὕτως κἀγὼ, φησὶ, [58] λαλῆσαι εἰς ἀκοὴν τῆς ἐκκλησίας καὶ οἰκοδομὴν, καὶ μὴ διὰ τοῦ κόμπου Ἑλληνίδος τε καὶ Ἑβραΐδος ἑαυτὸν οἰκοδομεῖν τὸν εἰδότα, καὶ οὐχὶ τὴν ἐκκλησίαν, δι' ἧς ἐπίσταται γλώσσης. Σὺ δὲ προςέθηκας, ὦ Μαρκίων, τὸ, Διὰ τὸν νόμον· ὡς τοῦ ἀποστόλου λέγοντος, Θέλω πέντε λόγους ἐν ἐκκλησίᾳ διὰ τὸν νόμον. Αἰδέσθητι,

49. *Epiphanium scripsisse puto* τὰ ἄλλα τὰ κομπώδη *cett.*, ita ut τὰ ἄλλα *adverbii potius locum obtineat.*

50. *Reposui* Ἑβραίων *pro* Ἑβραίοις, *quod libri tuentur omnes. Nihilominus Cornarius quoque vertit:* Nam Hebraeas literas laudi ducit *cett.*

51. *Vix dubito quin reponendum sit:* Ὅτι δὲ προςτίθησιν, τοὺς ἀπὸ Ἑλλήνων ποιητῶν καὶ ῥητόρων ὁρμωμένους τὰ ἴσα φάσκων ὁμοίως ἔφη *cett.* — *In edit. Petav. mendose legitur inverso verborum ordine:* ὅτι δὲ τοὺς ἀπὸ προςτιθεὶς Ἑλλήνων *cett.*

52. παρ' αὐτοῦ *ego. Libri* παρ' αὐτῷ. *Et Cornarius:* ab ipso.

53. τῆς ἀντία γνωστοῦ (*sc.* θεοῦ) *mea est emendatio. Libri (etiam cod. Venet.)*

ad quos ideo hanc apostolus epistolam dedit. In qua primum singu-
laris cuiusdam esse beneficii docet Hebraicis uti vocabulis posse ac
legem docere. Deinde ut Graeci sermonis tumorem arrogantiamque
comprimeret, sese linguarum illorum usu instructiorem illis ipsis esse
monuit, quod Hebraeus ab Hebraeis esset oriundus, et ad pedes
Gamalielis institutus. Ita Hebraicae linguae scientiam in laude po-
suit, et inter spiritus sancti beneficia numeravit. Unde et ad Timo-
theum de iisdem scribens, *Tu*, inquit, *ab adolescentia sacras literas* 2.Tim. 3, 15.
*didicisti*. Quod vero ad illam eruditionem politiores quoque Graeco-
rum literas, hoc est poëticas ac rhetoricas, adiecerit, iisce verbis
expressit: *Abundantius vobis omnibus linguis loquor*, uti se Graeca-
rum disciplinarum excellentiori quodam usu praeditum esse monstra-
ret. Nam et scribendi genus ipsum quo utitur humanitatis illum stu-
diis haud mediocriter imbutum fuisse declarat, ut ne Epicurei quidem
ipsi Stoicive possent resistere; quos omnes cum arae illius inscri-
ptionem eiusmodi, *Ignoto Deo*, erudite legisset, summa cum elo- Act. 17, 23.
quentia artificioseque refutavit, id ipsumque ita declaravit: *Quem igno-
rantes colitis, hunc annuntio vobis*. Item illud alio loco dixit, *Dixit* Tit. 1, 12.
*quidam proprius illorum propheta,*

*Cretenses semper mendaces, malae bestiae, ventres pigri,*

Epimenidem veterem philosophum intelligens, Mithrae cuiusdam apud
Cretenses idoli sacerdotem. De quo et Callimachus, Libycus poëta,
idem testimonium falso ad institutum suum transtulit, cum ita de
Iove cecinit:

*Creta quidem assidue mendax. Rex magne, sepulcrum*
*Creta tuum exstruxit, sed te mors nulla subegit.*

Vides quorsum ille de linguis apostoli sermo pertineat, *Volo quinque
verba sensu meo*, hoc est cum interpretatione loqui. Quemadmodum
propheta quae sibi sancti spiritus afflatu in animum immissa fuerint
in medium proferens auditoribus suis per prophetiam illam affert uti-
litatem, ita ego, inquit, loqui sic cupio, ut me ecclesia omnis
audiat, et aedificari possit, non ut Graecae aut Hebraicae linguae
scientia elatus me unum, qui eam scilicet intelligam, non ecclesiam
ipsam, aedificem. Tu vero illud addidisti, Marcio, *Ob legem*; quasi
ita scripserit apostolus: *Volo quinque verba in ecclesia propter legem.*

*habent* τῆς ἀντὶ ἀγνώστῳ, *quae verba Pelavius cum non intellegeret, uncinis notavit.*

54. *Libri habent* ἀγνώστως.

55. *Ita rescripsi pro* θεῷ *quod libri praebent omnes. Pelavius voculam uncinis notavit.*

56. εἰδώλου *cod. Vatic., et inde edit. Pelav.* εἰδωλίου *cod. Rhedig. et edit. princ.*

57. *Callimach. Hymn. in Iov.* 8.

58. *Infinitivi* λαλῆσαι *et* οἰκοδομεῖν *pendere videntur a verbo* θέλω, *quod cogitatione repetendum est.*

Βαβυλὼν δευτέρα, καὶ καινὴ Σοδόμων πολυμιξία. Ἕως πότε [59] συγχέεις τὰς γλώσσας; Ἕως πότε τολμᾷς κατὰ τῶν ὑπὸ σοῦ μηδὲν ἀδικουμένων; Ζητεῖς γὰρ βιάσασθαι ἀγγελικὰς δυνάμεις, [60] ἐκβαλὼν τοὺς
pag. 363. λόγους τῆς ἀληθείας ἀπὸ τῆς ἐκκλησίας, φάσκων Λὼτ τῷ ἁγίῳ, Ἐξάγαγε τοὺς ἄνδρας. Καὶ ὃ ἐπιχειρεῖς, κατὰ σεαυτοῦ ἐπιχειρεῖς, τοὺς δὲ λόγους τῆς ἀληθείας οὐκ ἐκβαλεῖς, ἀλλὰ σεαυτὸν πατάσσεις ἐν ἀορασίᾳ, καὶ ἐν νυκτὶ ἐζοφωμένῃ διάγεις, ψηλαφῶν τὴν θύραν, καὶ μὴ εὑρίσκων ἕως ἀνατείλῃ ὁ ἥλιος καὶ ἴδῃς τὴν ἡμέραν τῆς κρίσεως, ἐν ᾗ καὶ τὸ πῦρ ἀπαντήσεται τῇ σῇ ψευδηγορίᾳ. Τοῦτο γάρ σε ἐκδέχεται, ὡς ὁρᾷς. Οὔτε γὰρ κεῖται παρὰ τῷ ἀποστόλῳ, Διὰ τὸν νόμον, καὶ παρὰ σοὶ τοῦτο πεποιήτευται. Εἰ δὲ καὶ ἔλεγεν ὁ ἀπόστολος, Διὰ τὸν νόμον, συνᾳδόντως ἔλεγε τῷ ἑαυτοῦ κυρίῳ, οὐχ ἵνα καταλύσῃ τὸν νόμον, ἀλλ' ἵνα πληρώσῃ.

ιδ' καὶ κβ' Σχόλ. Ἐν τῷ νόμῳ γέγραπται ὅτι, ἐν ἑτερογλώσσοις καὶ χείλεσιν ἑτέροις λαλήσω πρὸς τὸν λαὸν τοῦτον.

ιδ' καὶ κβ' Ἔλεγχ. Εἰ μὴ ἐπλήρωσε κύριος τὰ ἐν τῷ νόμῳ προειρημένα, τίς ἦν χρεία τὸν ἀπόστολον ὑπομνῆσαι τὰ ἀπὸ νόμου ἐν καινῇ διαθήκῃ πληρούμενα; Ὡς καὶ ὁ σωτὴρ ἔδειξεν ὅτι αὐτὸς ἦν ὁ καὶ τότε ἐν νόμῳ λαλήσας, καὶ κατὰ ἀπειλὴν ὁρίσας αὐτοῖς, λέγων, Διὸ προσώχθησα τῇ γενεᾷ ταύτῃ, καὶ εἶπον, Ἀεὶ πλανῶνται τῇ καρδίᾳ, καί, Ὤμοσα εἰ εἰςελεύσονται εἰς τὴν κατάπαυσίν μου. Διὸ καὶ ἐν ἑτερογλώσσοις ἐπηγγείλατο λαλῆσαι αὐτοῖς, ὡς καὶ ἐλάλησε, καὶ οὐκ εἰςῆλθον. Τοῦτο γὰρ εὑρίσκεται λέγων τοῖς αὐτοῦ μαθηταῖς, Ὑμῖν δέδοται λαλῆσαι τὰ μυστήρια τῆς βασιλείας, ἐκείνοις δὲ ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ τὰ ἑξῆς. Πανταχοῦ τοίνυν ἐν τῇ καινῇ τὰ ἀπὸ παλαιᾶς πληρούμενα παντί τῳ σαφές ἐστιν ὅτι οὐχ ἑτέρου θεοῦ καὶ ἑτέρου, ἀλλὰ τοῦ αὐτοῦ αἱ δύο διαθῆκαι συνίστανται.

ιε' καὶ κγ' Σχόλ. Αἱ γυναῖκες ἐν ἐκκλησίᾳ σιγάτωσαν, οὐ γὰρ ἐπιτρέπεται αὐταῖς λαλεῖν· ἀλλὰ ὑποτασσέσθωσαν, καθὼς καὶ ὁ νόμος λέγει.

ιε' καὶ κγ' Ἔλεγχ. Εἰ κατὰ τὸν νόμον διατάσσεται ὁ ἅγιος τοῦ θεοῦ ἀπόστολος τὴν εὐταξίαν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ, οὐκ ἄτακτος ὁ νόμος, ἀφ' οὗπερ τὴν εὐταξίαν μετακομίζεται, οὐδὲ ἀλλοτρίου θεοῦ ὑπάρχει ὁ νόμος, τὴν γυναῖκα καθυποτάξας τῷ ἀνδρί. Συναρέσκει γὰρ καὶ ἀποστόλῳ τοῦτο ἐν τῇ τῆς ἐκκλησίας νομοθεσίᾳ, ὥς φησι,
pag. 364. Καθὼς καὶ ὁ νόμος λέγει. Ποῦ δὲ εἶπεν ὁ νόμος; Ἀλλὰ ἐν τῷ εἰπεῖν τὸν θεὸν πρὸς τὴν Εὔαν εὐθύς, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. Εἰ γὰρ καὶ ἐν ἄλλοις τόποις, ἀλλὰ ἐν-

59. συγχεῖς emend. Petavius. Libri habent συνέχεις.

60. Ita edidit Petavius ex cod. Vatic. ἐκ βαβυλὼν edit. princ.

Pudeat te secunda Babylon, ac Sodomorum nova confusio. Quousque linguas istas confundes? Quousque contra eos quibus nocere nihil potes tuam armabis audaciam? Nam angelis vim moliris afferre, et ab ecclesia veritatis sermones abiudicas, quasi ita sanctum Lot alloquare: *Educ viros illos.* Verum tuus in te conatus recidet, nec Gen. 19, 5. ideo veritatis illos sermones eiicis, sed tibimetipsi caecitatem infligis, atque in densissima noctis caligine versaris, fores palpans, nec inveniens, donec sol ortus fuerit, tuque iudicii diem aspicias, in quo mendaciis tuis vindex ignis occurrat. Nam hic te, uti vides, expectat. Ceterum apud apostolum non legitur, *Propter legem*, sed illud a te perperam est adiectum. Quod si istud addidisset, consentaneum ei foret, quod ab eius domino fuerat dictum, *non venisse se ut legem solveret, sed ut adimpleret.*

Schol. XIV et XXII. *In lege scriptum est: Quoniam in aliis* 1. Cor. 14, 21. *linguis et labiis aliis loquar populo huic.*

Refut. XIV et XXII. Nisi illa quae in lege praedicta fuerant dominus implesset, quid attinebat apostolum ea commemorare, quae ex lege veteri fuerant in novo testamento perfecta? Quemadmodum et salvator ipse demonstrat, eundem se esse qui tum in lege locutus est, in hunc modum interminatus: *Ideo offensus fui generationi huic,* Ps. 94, 10. *et dixi, semper hi errant corde,* et, *Iuravi si introibunt in requiem meam.* Propterea in aliis linguis locuturum se esse denuntiavit, ut et locutus est, nec ingressi illi sunt. Huiusmodi enim quiddam discipulis suis dixisse legitur: *Vobis datum est nosse mysteria regni dei:* Matth. 13, 11. *illis autem in parabolis, ut videntes non videant etc.* Cum itaque in Matth. 4, 12. novo testamento ea ubique sint impleta quae in vetere continebantur, dubitare nemo potest quin eiusdem ambo testamenta dei sint, non alterius ac diversi.

Schol. XV et XXIII. *Mulieres in ecclesia taceant. Non enim* 1. Cor. 14, 34. *permittitur illis loqui, sed subditae sint, sicut et lex dicit.*

Refut. XV et XXIII. Si ex legis praescripto sanctissimus dei apostolus ecclesiae ordinem ac disciplinam constituit, non erit lex ordinis expers, e qua ordinem apostolus transtulit, neque ab alieno deo proficiscetur, quae viro feminam esse subiectam praecipit. Hoc enim et apostolo in condendis ecclesiae legibus placuit, ut ipse testatur, *Sicut et lex dicit.* Sed ubinam demum ista lex dicit? Nimirum eo in loco ubi ita dominus Evam alloquitur: *Ad virum erit conversio* Gen. 3, 16. *tua, et ipse dominabitur tibi.* Nam etsi plerisque aliis in locis idem repetitum fuerit, illic tamen primum est usurpatum. Iam cum ex

*τεῦθεν ἡ ἀρχή. Εἰ τοίνυν ἀπὸ τότε ἡ γυνὴ ὑπετάγη ἐκ προστάγματος θεοῦ τῷ ἀνδρὶ, καὶ ἀκολούθως ὁ ἀπόστολος καθυποτάσσει ταύτην, οὐκ ἀντιθέτως τῷ ποιήσαντι τὸν ἄνθρωπον καὶ τὴν γυναῖκα θεῷ, αὐτὸς κελεύων δείκνυσιν ἐξάπαντος ὅτι τοῦ αὐτοῦ θεοῦ ὑπάρχει ὁ ἀπόστολος νομοθέτης θεοῦ, οὗ καὶ ὁ νόμος ἦν καὶ ἡ πᾶσα παλαιὰ διαθήκη, καὶ τοῦ αὐτοῦ ἡ καινὴ διαθήκη, τουτέστιν αἱ δύο διαθῆκαι, αἱ τὴν γυναῖκα τότε καὶ νῦν καθυποτάξασαι τῷ ἀνδρὶ, δι' εὐσεβῆ καὶ ἀντίρροπον εὐταξίαν.*

*ις' καὶ κδ' Σχόλ. Περὶ ἀναστάσεως νεκρῶν. Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν. Καὶ ὅτι, Εἰ Χριστὸς οὐκ ἐγήγερται, μάταιον, καὶ τὰ ἑξῆς. Οὕτως κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε, ὅτι Χριστὸς ἀπέθανε, καὶ ἐτάφη, καὶ ἐγήγερται* [61] *τῇ τρίτῃ ἡμέρᾳ. Ὅταν δὲ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος, Κατεπόθη* [62] *ὁ θάνατος.*

*ις' καὶ κδ' Ἔλεγχ. Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν. Εἰ εὐηγγελίσατο, καὶ αὐτὸ πάλιν γνωρίζει, οὐκ ἄλλοθεν εὐαγγέλιον, οὔτε ἄλλη γνῶσις μετὰ τὴν μίαν καὶ τὸ* [63] *ἓν ὅπερ ἓν τυγχάνει διὰ τῶν τεσσάρων εὐαγγελίων καὶ τῶν ἀποστόλων· ἵνα ἐλέγξῃ τὸν Μαρκίωνα τὸν μετὰ τοσαῦτα ἔτη ἥκοντα, μετὰ χρόνους τοῦ καλουμένου Ἀνικήτου, τοῦ Ῥωμαίων ἐπισκόπου, τοῦ κατὰ διαδοχὴν ἐνάτου γενομένου ἀπὸ τῆς τῶν ἀποστόλων Πέτρου καὶ Παύλου τελειώσεως. Διὸ ἐπασφαλιζόμενος ὁ αὐτὸς ἀπόστολος ἔλεγε, Κἂν τε ἡμεῖς, ἢ ἄγγελος εὐαγγελίσηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω, γινώσκων πνεύματι ἁγίῳ ὅτι μέλλει Μαρκίων καὶ οἱ κατ' αὐτὸν διαστρέφειν τὴν ὁδὸν τὴν καλῶς ἑδραιωμένην. Ὅθεν οὐκέτι εἶπεν, Εὐαγγελίζομαι ὑμῖν, ἀλλὰ, Γνωρίζω ὑμῖν τὸ εὐαγγέλιον, οὐκ ἄλλο ὂν, ἀλλὰ ὃ ἤδη εὐηγγελισάμην ὑμῖν, οὗ τὴν ὑπόμνησιν ὑμῖν ποιοῦμαι. Γνωρίζω*
pag. 365. *ὑμῖν, Τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε. Εἰ μὴ γὰρ κατέχετε, ὡς ἐκήρυξα ὑμῖν, χωρὶς αὐτοῦ εἰκῇ ἐπιστεύσατε. Εὐηγγελισάμην γὰρ ὑμῖν, Ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφὰς, καὶ ὅτι τῇ τρίτῃ ἡμέρᾳ ἐγήγερται κατὰ τὰς γραφὰς, καὶ οὐ κατὰ μῦθον, καὶ οὐδὲ κατὰ τὴν διδασκαλίαν τῶν μελλόντων ἀφ' ἑαυτῶν λαλεῖν ἃ μὴ γέγραπται. Οἱ μὲν γὰρ Ἰουδαῖοι ἀφ' ἑαυτῶν λέγουσι μὴ ἐγηγέρθαι, Μαρκίων δὲ καὶ οἱ ἄλλοι λέγουσιν ἀφ' ἑαυτῶν δοκήσει πεπονθέναι καὶ* [64] *τεθάφθαι. Ἐγὼ δὲ κατὰ τὰς γραφὰς ἀσφαλίζομαι ὑμᾶς. Εὐθὺς γὰρ ἐπιφέρει, λέγων, Οὕτως κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε, ὅτι Χριστὸς ἀπέθανε καὶ ἐτάφη, καὶ ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ· καὶ εὐθὺς, Εἰ νεκροὶ*

61. τῇ *abest supra.*
62. *Supra* ὁ θάνατος εἰς νῖκος.
63. ἓν ὅπερ ἓν τυγχάνει *scripsi ex emendatione Petavii. Libri enim, plane corrupti, habent:* ἐν ᾧπερ ἐντυγχάνει. *Cornarius vertit:* neque alia notitia post

illo tempore deinceps mulier divino mandato viro subiecta esse coeperit, et id secutus apostolus eandem subiecerit, nec illi deo, qui virum feminamque condidit contrarium quidam praeceperit, plane istud indicat, eiusdem se dei apostolum ac legislatorem esse, a quo lex ipsa vetusque est testamentum omne derivatum, cui novum etiam, adeoque utrumqne testamentum tribui oporteat, quod mulierem ut olim, ita et nunc, ob piam atque aequabilem moderationem viro subditam esse praecipiat.

Schol. XVI et XXIV. De resurrectione mortuorum: *Notum autem vobis facio, fratres, evangelium, quod praedicavi vobis.* Item, *Si Christus non resurrexit, inanis etc. Sic praedicamus, et sic credidistis: Quoniam Christus mortuus est et sepultus, et resurrexit tertia die. Cum autem mortale hoc induerit immortalitatem, tunc fiet sermo, qui scriptus est: Absorpta est mors in victoria.* 1. Cor. 15, 1.

Refut. XVI et XXIV. *Notum autem vobis facio, fratres, evangelium, quod praedicavi vobis.* Si aliquando praedicavit, et idipsum notum facit, nullum aliunde derivatum evangelium est, aliave cognitio praeter unam illam, unumque illud, quod in quatuor evangeliis et apostolis omnibus unicum est. Ex quo Marcio refellitur, qui tanto intervallo prodierit; nimirum post Aniceti Romani pontificis tempus, qui ab apostolorum Petri ac Pauli passione nonus ordine numeratur. Quocirca ut nos idem praemuniret apostolus, aiebat: *Etiamsi nos, aut angelus evangelizaverit vobis praeter quam quod accepistis, anathema sit.* Sancti quippe spiritus instinctu noverat venturum aliquando cum discipulis Marcionem, qui egregie munitam viam niterentur pervertere. Quare non iterum dixit: *Evangelizo vobis*, sed, *Notum vobis facio evangelium*, non aliud ab eo utique quod iam praedicavi vobis ac denuo vobis in memoriam revoco. *Notum vobis facio quanam ratione evangelizaverim vobis, si retinetis; nisi forte frustra credidistis.* Nisi enim retinetis quemadmodum praedicavi vobis, sine illo frustra credidistis. Hoc enim nuntiavi vobis, Christum pro peccatis nostris secundum scripturas obiisse mortem, ac secundum easdem tertia die resurrexisse, non secundum fabulam aliquam, vel eorum doctrinam qui ex sese quae minime scripta sunt proferent. Etenim Iudaei ex sese Christum surrexisse negant, Marcio ac ceteri perinde ex sese specie tenus esse passum, ac sepultum praedicant. Ego vero ex scripturarum vos auctoritate confirmo. Ac subinde scribit: *Si praedicamus, et sic credidistis: Quoniam Christus mortuus est et sepultus, et resurrexit tertia die.* Et paulo post: *Si* Gal. 1, 8.

unam et illud in quo colloquitur per quatuor evangelia et apostolos.

64. τεθάπται *edit. princ. Vitium ex cod. Vatic. sustulit Petavius.*

οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· καὶ εἰ Χριστὸς οὐκ ἐγήγερται, μάταιον τὸ κήρυγμα ἡμῶν· καὶ μετὰ ταῦτα πάντα, Δεῖ γὰρ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν, καὶ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν. Καὶ οὐκ εἶπε, Τὸ θνητὸν τοῦτο χωρῆσαι τὴν ἀθανασίαν, ἤ, Τὸ φθαρτὸν τοῦτο χωρῆσαι τὴν ἀφθαρσίαν, ἀλλά, Τὸ θνητὸν καὶ [65] φθαρτὸν ἐνδύσασθαι ἀφθαρσίαν καὶ ἀθανασίαν. Ποῖον δέ ἐστι θνητόν, ἀλλ' ἢ τὸ σῶμα τὸ οὐ χωρῆσαν ἐν αὐτῷ μόνον ἀθανασίαν, ἀλλὰ καὶ [66] οἰκῆσαν, καὶ μέλλον ἐνδύεσθαι τὴν ἀθανασίαν, οὐ τοῦ σώματος ἀποβαλλομένου καὶ τῆς ψυχῆς, τῆς μὴ ἀποθνησκούσης, ἐνδυομένης ἀθανασίαν, ἀλλὰ τοῦ θνητοῦ ἐνδυομένου τὴν ἀθανασίαν, καὶ τοῦ φθαρτοῦ ἀφθαρσίαν, τουτέστι τοῦ σώματος; αὐτοῦ γὰρ καὶ θάνατός ἐστι καὶ φθορὰ πρόσκαιρος, διὰ τὴν λύσιν τὴν ἐπενεχθεῖσαν αὐτῷ διὰ τῆς τοῦ Ἀδὰμ παρακοῆς. Ὅτι δὲ περὶ τῶν μελλουσῶν φησιν ἐν αὐτῷ τελειοῦσθαι εὐεργεσιῶν διὰ τῆς ὑποσχέσεως, τὸ πληροῦσθαι [67] ἐνσημαίνει λέγων, Τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος, Κατεπόθη ὁ θάνατος εἰς νῖκος· ἵνα σημάνῃ τὴν τότε μέλλουσαν ἔσεσθαι νεκρῶν ἀνάστασιν. Ἐπειδὴ κατεπόθη ὁ θάνατος ἀπὸ μέρους ἐν τῇ τοῦ Χριστοῦ ἀναστάσει, καὶ τῶν σὺν αὐτῷ ἀναστάντων. Ἀνέστη γὰρ πολλὰ σώματα τῶν ἁγίων, ὥς φησι τὸ εὐαγγέλιον, καὶ συνεισῆλθον αὐτῷ εἰς τὴν ἁγίαν πόλιν. Τότε δὲ εἰς νῖκος καταπίνεται, ὅτε ἀπὸ πάντων καθολικῶς ἀφαντοῦται.

pag. 366. ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΔΕΥΤΕΡΑΣ.

Αὕτη δὲ τρίτη κεῖται παρὰ τῷ Μαρκίωνι. Μετηλλαγμένως δέ, διὰ τὸ πρώτην παρ' αὐτῷ τετάχθαι τὴν πρὸς Γαλάτας.

α' καὶ κε' Σχόλ. [68] Πᾶσαι γὰρ αἱ ἐπαγγελίαι θεοῦ ἐν αὐτῷ τὸ Ναί· διὸ καὶ δι' αὐτοῦ τὸ Ἀμὴν τῷ θεῷ.

α' καὶ κε' Ἔλεγχ. Διάνοιξον τοὺς ὀφθαλμούς σου καὶ σώθητι, ὦ Μαρκίων. Εἰ δὲ σὺ οὐκέτι δύνασαι, τετελεύτηκας γάρ, οἱ ἀπὸ σοῦ ἀπατηθέντες ἀνοιξάτωσαν τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ φυγέτωσαν ἀπὸ σοῦ ὡς ἀπὸ ἑρπετοῦ δεινοῦ καὶ λυμαινομένου τοὺς ἐγγίζοντας. Εἰ γὰρ ὅσαι ἐπαγγελίαι θεοῦ ἐν αὐτῷ τὸ Ναί, ἐπαγγελίας δὲ θεοῦ οἶδεν ὁ ἀπόστολος διὰ τοῦ νόμου καὶ τῶν προφητῶν, ἄρα γε ἐν Χριστῷ τὸ Ναὶ τῶν ἐπαγγελιῶν τοῦ πληρώματος ἐβεβαιοῦτο. Οὐκ ἀλλότριος οὖν ὁ Χριστὸς τοῦ παλαιοῦ νόμου καὶ τῶν προφητῶν, οὐδὲ τοῦ θεοῦ τοῦ λαλήσαντος ἐν τῷ νόμῳ, καὶ ἐν Χριστῷ τὰς αὐτοῦ ἐπαγγελίας πεπλη-

65. *Libri editi mendose* ἄφθαρτον.

66. *Cornarius vertit:* sed etiam habitatione excipit.

67. ἐνσημαίνει *ego. Libri habent* μεσημαίνει. *Cornarius vertit:* Quod autem de perficiendis in ipso beneficentiis per

*mortui non resurgunt, neque Christus resurrexit. Et si Christus non resurrexit, inanis est praedicatio nostra.* Tum post haec omnia: *Oportet enim mortale hoc induere immortalitatem, et corruptibile hoc induere incorruptionem.* Nec ita dixit: Mortale hoc capere immortalitatem, aut corruptibile hoc capere incorruptionem, sed mortale et corruptibile induere incorruptionem et immortalitatem. Quod est autem mortale illud nisi corpus, quod immortalitatem non induat modo, sed in ea etiam habitet, quod immortalitatem, inquam, illam sic induat, ut non reiecto corpore anima sola quae mortis est expers, immortalitatem induat, sed ut idipsum quod mortale est immortalitatem, et corruptibile incorruptionem induat, hoc est corpus ipsum, cuius propria mors est ac temporaria illa corruptio dissolutioque ob Adami contumaciam ac scelus inflicta? Iam vero de futuris olim beneficiis, quae in corpus derivanda sunt, apostolum loqui ex eo patet quod pollicitationis formula id quod eidem contingere debet expresserit. *Tunc*, inquit, *fiet sermo, qui scriptus est: Absorpta est mors in victoria.* Quibus verbis futuram tunc mortuorum resurrectionem significat. Quandoquidem ex aliqua parte in Christi resurrectione, eorumque qui cum Christo sunt ad vitam excitati, absorpta mors est. *Multa enim sanctorum corpora surrexerunt*, ut in Matth. 27, 52.
evangelio proditum est, *et cum eo ingressa sunt in sanctam civitatem.* Sed tum absorbetur in victoria, cum ab omnibus omnino depulsa corporibus evanescit.

## EX EPISTOLA II. AD CORINTHIOS.

Hanc Marcio tertiam ordine collocavit, idque commutata serie. Quae enim ad Galatas scripta est, eam primo loco posuit.

Schol. I et XXV. *Quotquot enim promissiones dei sunt in illo,* 2.Cor.1,20.
*Est: ideo et per ipsum Amen dei.*

Refut. I et XXV. Aperi oculos et salvare, Marcio! Quod si facere istud modo non potes, eo quod obieris, illi saltem aperiant, quos tu in errorem impulisti, teque, ut venenatum serpentem et appropinquantibus noxium devitent. Nam si, *Quotquot promissiones dei sunt, in illo, Etiam*, promissiones porro dei eas apostolus intelligit quae lege ac prophetis continentur, sequitur etiam illud implendarum prophetiarum proprium in Christo confirmatum fuisse. Quare nec a veteri lege nec a prophetis alienus est Christus, nec a deo, qui et in lege locutus est, et sua in Christo promissa perfecit. Sed

promissionem dicat, indicat per hoc quod dicit *cett. Interpunctio verborum in utraque Graeca editione est:* εὐεργεσιῶν, διὰ τῆς ὑποσχήσεως τὸ πληροῦσθαί με σημαίνει λέγων *cett.*

68. *Supra* Ὅσαι γὰρ ἐπαγγελίαι.

ρωκότος. Ἀλλ' οὐδὲ ἀντίθετος ὁ Χριστὸς τῷ θεῷ τῷ δεδωκότι νόμον καὶ προφήτας. Διὰ γὰρ τὸ ἐν αὐτῷ τὰς ἐπαγγελθείσας ὑποσχέσεις [69] Ναὶ γίνεσθαι, διὰ τοῦτό φησι, Καὶ δι' αὐτοῦ τὸ Ἀμὴν τῷ θεῷ· θεοῦ μὲν πατρὸς ἐπαγγειλαμένου, Χριστοῦ δὲ τοῦ καὶ βεβαιοῦντος καὶ κυρίου τὸ Ἀμὴν περιποιουμένου δι' αὐτοῦ ἐν τοῖς δι' αὐτοῦ τῇ ἐπαγγελίᾳ βεβαιωθεῖσι [70] καὶ ἐπιγνωσθεῖσι τὸν πατέρα αὐτοῦ ἐν νόμῳ λελαληκότα, καὶ ἐν εὐαγγελίῳ τοῖς πεπιστευκόσι δεδωρημένον τὰ σωτήρια τῶν λεγόντων δι' αὐτοῦ λέγοντος Χριστοῦ, Ναὶ, ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο ἡ εὐδοκία ἐνώπιόν σου.

β' καὶ κς' Σχόλ. Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, [71] ἀλλὰ Χριστὸν Ἰησοῦν, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ [72] Ἰησοῦ· ὅτι θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι.

β' καὶ κς' Ἔλεγχ. Οὐ κηρύσσουσιν ἑαυτοὺς οἱ ἀπόστολοι, ἀλλὰ Χριστὸν Ἰησοῦν κύριον. Διὸ οὐκ ἔνι αἵρεσις, οὐδὲ ἐκκλησία εἰς ὄνομα ἀποστόλων ἀνηγορευμένη. Οὐδέποτε γὰρ ἠκούσαμεν ἢ Πετρίους, ἢ Παυλίους, ἢ Βαρθολομαίους, ἢ Θαδδαίους, ἀλλὰ ἀπαρχῆς ἓν κήρυγμα
pag. 367. πάντων τῶν ἀποστόλων, οὐκ αὐτοὺς κηρύσσον, ἀλλὰ Χριστὸν Ἰησοῦν κύριον. Διὸ καὶ ὄνομα τῆς ἐκκλησίας οἱ πάντες ἔθεντο ἕν, οὐχ ἑαυτῶν, ἀλλὰ τοῦ κυρίου αὐτῶν Ἰησοῦ Χριστοῦ, ἀπὸ Ἀντιοχείας ἀρξαμένων Χριστιανῶν καλεῖσθαι· ὅπερ ἐστὶν ἡ μόνη Καθολικὴ Ἐκκλησία, οὐκ ἄλλο τι ἔχουσα, ἀλλὰ Χριστοῦ, Χριστιανῶν οὖσα ἐκκλησία, οὐ Χριστῶν, ἀλλὰ Χριστιανῶν τοῦ μὲν ἑνὸς ὑπάρχοντος, τῶν δὲ ἀπὸ τοῦ ἑνὸς Χριστιανῶν καλουμένων. Μετὰ ταύτην δὲ καὶ τοὺς αὐτῆς κήρυκας πᾶσαι οὐκέτι τοῦ αὐτοῦ χαρακτῆρος φαινόμεναι διὰ τῶν ἐπιθέτων ὀνομάτων Μανιχαίων, καὶ Σιμωνιανῶν, καὶ [73] Οὐαλεντίνων, καὶ Ἐβιωναίων, ὧν εἷς καὶ σὺ, Μαρκίων, ὑπάρχεις, καὶ σοῦ τὸ ὄνομα ἐπικέκληνται οἱ ὑπὸ σοῦ ἠπατημένοι, ὡς σεαυτὸν κηρύξαντος, καὶ οὐχὶ Χριστόν. Εἶτά φασιν ὅτι, Ὁ θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι. Ὁ θεὸς δὲ ποῖος, ἀλλ' ὁ εἷς ὁ ἐν τῷ προφήτῃ δείξας ἐκ σκότους φῶς, τουτέστιν ἀπὸ τῆς τῶν ἀνθρώπων ἀπιστίας καὶ ἀγνωσίας φῶς καὶ γνῶσιν ἐν Χριστῷ [74] λάμψαι ἐν ταῖς καρδίαις ἡμῶν τῶν ποτε ἐθνῶν εἰδωλολατρούντων, [75] λατρευόντων νῦν δὲ θεὸν τὸν τότε ἐν τῷ προφήτῃ προεπαγγειλάμενον τὸ φῶς ἑαυτοῦ ἐν τῷ κόσμῳ λάμψαι; ὡς οὐκ ἀλλοτρίου ὄντος παλαιᾶς καὶ καινῆς διαθήκης, ὡς ἡμῖν ἔθος γέγονε

69. *Scripsi* Ναὶ *pro* εἶναι, *quod libri habent, quodque uncinis notasse acquievit Petavius.*

70. καὶ ἐπιγνωσθεῖσι, *quod desideratur in edit. princ., ex cod. Vaticano restituit Petavius.*

71. *Supra* ἀλλὰ κύριον Ἰησοῦν Χριστόν.

72. *Supra* Ἰησοῦ Χριστοῦ.

73. *Reponendum puto* Οὐαλεντινιανῶν. *Vitium in hisce libris admodum crebrum.*

74. λάμψαι *scripsi pro* λάμψαν, *quod libri tenent. Petavius ariolatus est* λάμψας, *sed deesse aliquid suspicatus.*

75. λατρευόντων, *quod exciderat, quodque in omnibus libris desideratur, repetivi ex eo quod praecedit vocabulo* εἰδωλολατρούντων. *Cornarius totum hoc lemma*

neque deo illi qui legem ac prophetas dedit idem ille Christus adversatur. Nam pro eo quod illius pollicitationes in ipso repraesentatae sunt, *Et per ipsum*, inquit, *Amen dei.* Deus enim pater promisit, Christus vero dominus rata illa fecit, et Amen adhibuit illis quos illa promissio confirmavit, quique patrem illum suum agnoverunt qui in lege locutus est ac credentibus salutaria dona contulit. His enim ille verbis usus est: *Ita pater, quia ita placitum est ante te.* Matth. 11, 26.

Schol. II et XXVI. *Non enim nos ipsos praedicamus, sed Christum Iesum, nos ipsos vero servos vestros per Iesum. Quoniam deus qui dixit de tenebris lucem splendescere.* 2. Cor. 3, 5.

Refut. II et XXVI. Non seipsos, sed Iesum Christum dominum nostrum praedicant apostoli. Quare neque secta est ulla, nec ecclesia apostolorum insignita nomine. Nec unquam Petraeos ullos, aut Paulianos, aut Bartholomaeos, aut Thaddaeos audivimus, sed una iam tum initio fuit apostolorum omnium praedicatio, quae non ipsosmet illos, sed dominum Iesum Christum tantummodo celebraret. Ob id ecclesiae nomen unum omnes imposuerunt: non suum utique, sed Christi Iesu, cum Antiochiae primum appellari Christiani coeperunt. Quod quidem solam ad catholicam ecclesiam convenit, quae nullo alio quam Christi nomine praedito Christianorum ecclesia, non Christorum, dicitur: adeo ut cum unus ille sit, plures tamen ab eo Christiani nominentur. Ab hac ecclesia eiusque praeconibus ubi discesseris, reliquae omnes haud eadem nota constant, quae adiunctis nominibus atque epithetis vocantur, Manichaeorum videlicet, Simonianorum, Valentinorum, Ebionaeorum, quibus et tu, Marcio, annumerandus es, cuius nomen inscribunt ii sibi, quos tute in errorem induxeris, utpote qui teipsum, non Christum, praedicaveris. Tum demum inquiunt, *Deus qui dixit de tenebris splendescere lucem.* Quis hic deus est nisi unus ille, qui apud prophetam e tenebris lumen ostendit? hoc est ex hominum, infidelitate et inscitia, per Christum lucem ac scientiam in cordibus nostris excitavit. Qui cum olim inter gentes numeraremur simulacris addictas, deum illum modo veneramur qui per prophetam lucem suam illaturum sese mundo promiserat, ut intelligas eundem neque a veteri, neque a novo testamento dissidere, id quod certis tibi rationibus suadere, Marcio, solemus,

*convertit ita:* „— lucem ac cognitionem, quae in Christo illuxit in cordibus nostris, qui aliquando gentes et simulacrorum cultores eramus, nunc autem Deum cognovimus, qui tunc in propheta promisit, lucem *cett.*

*πείθειν σε, ὦ Μαρκίων, ἀφ' ὧν ἔχεις γεγραμμένων λειψάνων τοῦ εὐαγγελίου, καὶ μὴ ὑπὸ σοῦ ἀπατᾶσθαι.*

*γ' καὶ κζ' Σχόλ. Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως καὶ ἡμεῖς πιστεύομεν,* [76] *διὸ καὶ λαλοῦμεν. Ἐξέκοψε δὲ τὸ, Κατὰ τὸ γεγραμμένον.*

*γ' καὶ κζ' Ἔλεγχ. Οὐ δοθήσεταί σοι τόπος ἐν οἷς ἂν τολμήσειας. Κἄν τε γὰρ ἐκκόψῃς τὸ, Κατὰ τὸ γεγραμμένον, φαίνεται ἡ τῆς προγεγραμμένης λέξεως ἀκολουθία. Ἀπὸ τοῦ γὰρ, Ἐπίστευσα, διὸ καὶ ἐλάλησα, εὐθὺς τὰ ἴσα ἐπενέγκας ὁ ἀπόστολος ἔφη, Ἔχοντες τὸ αὐτὸ πνεῦμα τῆς πίστεως καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. Παντὶ δέ τῳ σαφές ἐστι τοῦτο, ὅτι ἐν τῷ ἑκατοστῷ πεντεκαιδεκάτῳ ψαλμῷ ἐν τῷ τὴν ἐπιγραφὴν* [77] *Ἀλληλουΐα ἔχοντι, τῆς δὲ τοῦ Δαβὶδ βίβλου ὄντι καὶ ὑπ' αὐτοῦ προπεφητευμένῳ, ὁ λόγος τοῦ Ἐπίστευσά ἐστι γεγραμμένος. Ὅθεν καὶ ὁ ἀπόστολος ἔλαβε τὸ ῥητὸν, καὶ ὁμοίως ἔφη*
pag. 368. *τὸ, Διὸ πιστεύομεν καὶ ἡμεῖς καὶ λαλοῦμεν, εἷς ὢν τοῦ ἀριθμοῦ τῶν ἀποστόλων. Ὅθεν οὐ λέγει, Διὸ καὶ ἐπίστευσα καὶ ἐλάλησα, ἀλλὰ, Ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν, ἵνα ἑαυτὸν μετὰ τῶν ἄλλων ἀποστόλων συνάψῃ. Καί φησιν, Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα, ἵνα δείξῃ τὸ ἐν τῷ Δαβὶδ λαλῆσαν πνεῦμα τὸ αὐτὸ ὂν πνεῦμα καὶ ἐν τοῖς ἀποστόλοις, ἀφ' οὗπερ τότε ἐκεῖνος προφητεύων ἐπίστευεν· ἐν ᾧ πνεύματι καὶ αὐτοὶ ὄντες πιστεύουσι καὶ λαλοῦσι. Πολλὴ δὲ ἀδικία καὶ πλεονεξία, ὡς εἰπεῖν,* [78] *διανοημάτων. Τοῦ γὰρ ἀποστόλου ἓν καὶ τὸ αὐτὸ πνεῦμα φάσκοντος, πῶς ἡ τοῦ Μαρκίωνος ἄνοια ὁμολογοῦσα τοῦτον τὸν λόγον τὸν ἅγιον ἀπόστολον εἰρηκέναι τολμᾷ λέγειν ἄλλο εἶναι τότε τὸ πνεῦμα, καὶ ἄλλο τὸ ἐν τοῖς ἀποστόλοις.*

## ΤΗΣ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΤΕΤΑΡΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

*Οὕτως γάρ ἐστι παρὰ τῷ Μαρκίωνι κειμένη, ἵνα μηδὲν ὀρθὸν παρ' αὐτῷ εἴη.*

*α' καὶ κη' Σχόλ. Ὅσοι ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται, καὶ ὅσοι* [79] *ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. Οὐ γὰρ οἱ ἀκροαταὶ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ νόμου δικαιωθήσονται.*

*α' καὶ κη' Ἔλεγχ. Εἰ ὅσοι ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται, σωτηρίας ὁ νόμος παραίτιος φυλαττόμενος, καὶ μὴ ἐῶν τοὺς φυλάττοντας ἀπόλλυσθαι. Καὶ εἰ οἱ διὰ νόμου ἁμαρτήσαντες διὰ νόμου κριθήσονται, ἄρα κριτὴς τῶν παραβάσεων ὁ νόμος, οὐκ ἀπωλείας*

76. διὸ *supra abest.*
77. ἀλλήλας *edit. princ., quod vitium ex cod. Vatic. correxit Petavius.*

ex illis ipsis evangelii reliquiis quae apud te scriptae reperiuntur, neque fraude tua vos circumveniri patimur.

Schol. III et XXVII. *Habentes autem eundem spiritum fidei et nos credimus, propter quod et loquimur.* Ubi voces illas sustulit: *Sicut scriptum est.* 2. Cor. 3, 13.

Refut. III et XXVII. Quocumque audaciam tuam converteris, nullum quo te inseras aditum invenies. Sive enim illa verba, *Sicut scriptum est*, deleas, antecedentium verborum ipsa series apparet. Post haec enim verba, *Credidi propter quod locutus sum*, subinde aequalia subiungens ait apostolus, *Habentes eundem spiritum fidei et nos credimus, propter quod loquimur.* Nemo autem illud ignorat e psalmo CXV., cui inscriptum est *Alleluia*, quique in Davidis libro legitur et inter eius oracula censetur, verba illa esse deprompta, *Credidi etc.* Unde et apostolus eiusmodi sententiam transtulit, ac similiter expressit: *Propter quod credimus et nos et loquimur:* ille inquam Paulus, qui ex apostolorum numero unus extitit. Idcirco non dixit, *Propter quod et credidi, et locutus sum*, sed, *Nos credimus propter quod et loquimur*, ut se cum reliquis apostolis coniungeret. Quare ita scripsit: *Habentes eundem spiritum;* ut ostenderet illum ipsum qui per Davidem loquebatur per apostolos quoque spiritum esse locutum, cuius ille quondam impulsu vaticinans credidit, et ad eundem pertinentes isti modo credunt ac loquuntur. Versatur autem in hoc loco intelligendi ac disputandi perversa quaedam ac fraudis plena ratio. Nam cum apostolus unum eundemque spiritum esse definiat, qua fronte vecors ille Marcio, qui illam germanam apostoli orationem esse non negat alium tunc spiritum fuisse quam qui apostolis deinceps affuerit ausus est profiteri?

EX EPISTOLA AD ROMANOS, QUAE EST ORDINE IV.

Hoc enim ordine a Marcione ponitur; ne quid rectum apud illum ac germanum reperiatur.

Schol. I et XXVIII. *Quicumque sine lege peccaverunt, sine lege et peribunt, et quicumque in lege peccaverunt, per legem iudicabuntur. Non enim auditores legis iusti apud deum, sed factores legis iustificabuntur.* Rom. 2, 12.

Refut. I et XXVIII. Si quicumque sine lege peccarunt sine lege perituri sunt, profecto lex salutem observata conciliat, nec eos qui servant perire permittit. Item si qui in lege peccarunt per legem iudicandi sunt, iudex igitur transgressionum lex est, quae non inte-

78. *Vulgo* διὰ νοημάτων. 79. *Supra* ἐννόμως.

ὢν, ἀλλὰ δικαιοκρισίας, ὁσίως κρίνων τοὺς παραβεβηκότας. Οὐ γὰρ οἱ ἀκροαταὶ νόμου δίκαιοι παρὰ θεῷ, ἀλλ' οἱ ποιηταὶ νόμου δικαιωθήσονται. Εἰ δὲ ποιούμενος ὁ νόμος δικαιοῖ τὸν ποιήσαντα, οὐκ ἄδικος ὁ νόμος, οὔτε φαῦλος, δι' ὃν οἱ τελοῦντες τὸν νόμον δίκαιοι καθίστανται. Ἐκ δὲ τοῦ νόμου ἐστὶ καὶ ἡ εἰς Χριστὸν [80] προφητευομένη πίστις, χωρὶς οὗ οὐ δικαιωθήσεται οὐδεὶς, καὶ ἐν ᾧ πιστεύσας παρὰ τὴν τοῦ νόμου προφητευομένην μαρτυρίαν οὐ δύναται πάλιν δικαιοῦσθαι [81] δίκαιος, ὡς πληρώματος ὄντος τοῦ Χριστοῦ τοῦ νόμου κατὰ τὸ
pag. 369. παρὰ τῷ ἀποστόλῳ εἰρημένον ὅτι, Πλήρωμα νόμου Χριστὸς εἰς δικαιοσύνην, δεικνύντι ὅτι ἄνευ νόμου καὶ Χριστοῦ οὐκ ἔνι δικαιοσύνη. Οὔτε γὰρ Ἰουδαῖοι ἄνευ Χριστοῦ δικαιωθήσονται μὴ λαβόντες Χριστὸν, οὔτε σὺ, Μαρκίων, δικαιωθήσῃ ἀπαρνούμενος τὸν νόμον.

β' καὶ κθ' Σχόλ. Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς, ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονεν.

β' καὶ κθ' Ἔλεγχ. Εἰ ἀποφαίνεται ὁ ἅγιος ἀπόστολος τὴν περιτομὴν ὠφελήσειν, τίς ἐν τοῖς ὠφελοῦσι μῶμον θήσειεν, ἀλλὰ εἰ ἄρα ὅμοιος τῷ ὄφει γενήσεται; Ἔοικας γὰρ τούτῳ, ὦ Μαρκίων. Κἀκεῖνος γὰρ ἀντιστρέφων τὰ παρὰ θεοῦ εἰρημένα παρέπειθε τὴν Εὔαν λέγων, Οὐ θανάτῳ ἀποθανεῖσθε. Νόμον γὰρ τῇ περιτομῇ συνέδησε, καὶ τὴν περιτομὴν τῷ νόμῳ συμπρέπουσαν ἐπέδειξε, καὶ τοῦ αὐτοῦ θεοῦ τὸ πρόσταγμα ὑπάρχειν ὑπέφηνε τοῦ τὴν περιτομήν ποτε δεδωκότος, καὶ νόμον εἰς βοήθειαν δεδωκότος ἀφ' οὗπερ Χριστὸς πιστευόμενος τὰ τέλεια τοῖς πιστεύουσι λαλεῖν τε καὶ ποιεῖν παρέχεται.

γ' καὶ λ' Σχόλ. Ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ.

γ' καὶ λ' Ἔλεγχ. Εἰ ἡ γνῶσις μόρφωσιν ἔχει, ἀπὸ δὲ τῆς μορφώσεως τὸ εἶδος φαίνεται, οἱ δὲ τὴν γνῶσιν καὶ τὴν ἀλήθειαν ἔχοντες ἀπόστολοι καὶ οἱ τούτων μαθηταὶ οἴδασιν ἀπὸ τῆς μορφώσεως τοῦ νόμου τὸ εἶδος κεκτῆσθαι, τουτέστι τὴν γνῶσιν καὶ τὴν ἀλήθειαν, οὐκ ἄρα ἀλλότριος ὁ νόμος [82] τῆς γνώσεως καὶ τῆς ἀληθείας. Διὰ γὰρ τῆς ἐν αὐτῷ μορφώσεως ἐπέγνωσαν οἱ κήρυκες τῆς ἀληθείας τὴν γνῶσιν καὶ τὴν ἀλήθειαν.

δ' καὶ λα' Σχόλ. Ἔτι γὰρ Χριστὸς ὄντων ἡμῶν ἀσθενῶν, ἔτι κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανεν.

δ' καὶ λα' Ἔλεγχ. Τὸ Ἔτι καὶ Ἀπέθανεν οὐ δοκήσεως, ἀλλὰ ἀληθείας ἐστὶ σημαντικόν. Εἰ γὰρ δόκησις ἦν, τίς χρεία τοῦ Ἔτι λέγε-

80. *Sic ed. Petav. ex cod. Vatic.* προφητευμένη *edit. princ.*

81. δίκαιος *reponere conatus sum pro* ὃ καὶ, *quod libri habent, quodque quomodo interpreteris non habes. Est corruptela. Petavius illud* ὃ καὶ *uncinis no-*

ritum affert ex sese, sed legitimum iudicium exercet, deque iis qui mandata violarint iustam cognitionem instituit. *Non enim auditores legis iusti apud deum, sed factores legis iustificabuntur.* Iam vero cum lex factis praestita factorem ipsum iustificet, non iniusta, neque poenitenda lex erit, propter quam iusti fiunt qui ei obtemperant. Ceterum ad legem attinet fides etiam in Christum in eadem lege praedicta, sine quo iustificari nemo potest, et ei insuper quicumque crediderit absque legis illo testimonio iustificari nequit; quoniam Christus legis complementum est, ut apostolus his verbis declarat: *Plenitudo legis Christus est ad iustitiam.* Rom. 10, 4. Quibus illud indicat, sine lege atque Christo nullam esse iustitiam. Neque enim Iudaei, qui Christum repudiant, sine eo iustificabuntur, neque tu iustificabere, Marcio, qui legem abnegas.

Schol. II et XXIX. *Circumcisio enim prodest si legem facias: si autem praevaricator sis legis, circumcisio tua praeputium facta est.* Rom. 2, 25.

Refut. II et XXIX. Quandoquidem profuturam circumcisionem apostolus pronuntiat, quis fructuosis rebus calumniam struere audeat? Hunc quidem serpentis similem oportet esse, a quo neque tu abhorres, Marcio. Siquidem ille dei verba detorquens Evam persuasione sua decepit, ita compellans: *Nequaquam moriemini.* Gen. 3, 4. Etenim apostolus legem ad circumcisionem adstrinxit, et circumcisionem legi consentaneam esse monstravit, eiusdemque mandatum esse dei qui et circumcisionem olim instituit, et legem praesidii caussa tulit, cuius beneficio creditus Christus credentibus perfecta quaeque dicere ac facere concedit.

Schol. III et XXX. *Habentes informationem cognitionis, et veritatis in lege.* Rom. 2, 20.

Refut. III et XXX. Si cognitio informationem continet, forma vero ab informatione oritur, apostoli porro cognitione ac veritate praediti ex legis informatione formam ipsam obtinent, hoc est cognitionem ac veritatem, sequitur legem a cognitione et veritate minime alienam videri. Per legis enim informationem veritatis praecones cognitionem ac veritatem sunt adepti.

Schol. IV et XXXI. *Adhuc enim Christus cum essemus infirmi, adhuc in tempore pro impiis mortuus est.* Cap. 5, 6.

Refut. IV et XXXI. Vocabula haec, *Adhuc*, et, *Mortuus est*, non nudam speciem, sed veritatem arguunt. Si enim sola species

*tavit, Cornarius vertendo plane neglexit.* 82. τῆς γνώσεως, *quod sententia postulabat, reposui ex coniectura Cornarii et Petavii, pro* τοῦ νόμου, *quod in libris extat.*

σθαι; δυναμένου τοῦ Χριστοῦ πάντοτε καὶ νῦν δοκήσει φαίνεσθαι, καὶ μὴ λέγεσθαι, Ἔτι ὄντων ἡμῶν ἀσθενῶν. Ἀπὸ τοῦ γὰρ Ἔτι τὸ τότε θανεῖν ἀπέδωκε, καὶ ἐδικαίωσε τῷ θανάτῳ, ἵνα μηκέτι χρείαν ἔχῃ θανεῖν ὁ ὑπὲρ ἁμαρτωλῶν ἅπαξ ἀποθανὼν, καὶ [83] δι' ἑαυτὸν μηκέτι ἀποθνήσκων.

pag. 370. ε' καὶ λβ' Σχόλ. Ὥςτε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή.

ε' καὶ λβ' Ἔλεγχ. Συντίθεται τῷ νόμῳ τὸ ἅγιον αὐτὸν εἶναι, καὶ τῇ ἐν αὐτῷ ἐντολῇ γενομένῃ, τρισὶ μαρτυρίαις ἀσφαλισάμενος ταύτην, ἁγίαν αὐτὴν λέγων καὶ δικαίαν καὶ ἀγαθὴν, ἵνα ἐλέγξῃ σὲ, Μαρκίων, καὶ ἡμᾶς διδάξῃ τοῦ ἁγίου εἶναι τὸν νόμον οὗ καὶ ἡ ἐντολὴ ἁγία, καὶ αὐτὸν τὸν ἅγιον εἶναι καὶ ἀγαθόν. Διὸ ἀγαθοῦ οὖσα ἐντολὴ ἀγαθὴ καλεῖται, καὶ ἁγίου οὖσα ἁγία ἐστὶ, καὶ δικαίου ὑπάρχουσα δικαία ἐντολὴ καλεῖται, ἑνὸς ὄντος τοῦ τότε καὶ νῦν, τοῦ ὄντος ἁγίου καὶ δικαίου καὶ ἀγαθοῦ. Διὸ καὶ ἡ αὐτοῦ ἐντολὴ, ἡ ἀπὸ τότε καὶ νῦν ἐν νόμῳ καὶ ἐν καινῇ διαθήκῃ, ἁγία ὑπάρχει καὶ δικαία καὶ ἀγαθή.

ϛ' καὶ λγ' Σχόλ. Ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν.

ϛ' καὶ λγ' Ἔλεγχ. Εἰ ἐν τοῖς ἀποστόλοις καὶ ἐν ἡμῖν τὸ δικαίωμα τοῦ νόμου πληροῦται, πῶς σὺ, ὦ Μαρκίων, τολμᾷς λέγειν τὸν νόμον ἀλλότριον τῶν κατὰ τὸ πλήρωμα τοῦ νόμου δικαιουμένων ἀποστόλων τοῦ θεοῦ;

ζ' καὶ λδ' Σχόλ. Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.

ζ' καὶ λδ' Ἔλεγχ. Εἰ εἰς δικαιοσύνην Χριστὸς ἐλήλυθε παντὶ τῷ πιστεύοντι, οὐ τοῦ νόμου τελειουμένου εἰ μὴ Χριστὸς τελειώσῃ τῇ ἑαυτοῦ παρουσίᾳ, οὐκ ἄρα τελειωθήσεσθε, ὦ Ἰουδαῖοι, ἐν νόμῳ μένοντες, ἐὰν μὴ Χριστὸν ἐνδημήσαντα πιστεύσαντες ὑποδέξησθε. Ἀλλὰ οὐδὲ σὺ, Μαρκίων, δυνήσῃ σωθῆναι ἐν Χριστῷ, τοῦ κηρύγματος τὴν ἀρχὴν καὶ τὴν ῥίζαν ἀποβαλλόμενος, ὅπερ ἐστὶ νόμος, ἀφ' οὗπερ Χριστὸς γινωσκόμενος τελειοῖ τὸν μὴ τὸν νόμον βδελυσσόμενον ὡς ἀλλότριον Χριστοῦ ὑπάρχοντα.

η' καὶ λε' Σχόλ. Ὁ γὰρ ἀγαπῶν τὸν πλησίον νόμον πεπλήρωκε.

η' καὶ λε' Ἔλεγχ. Εἰ διὰ τοῦ ἀγαπᾶν τὸν πλησίον νόμος πληροῦται, οὐκ ἀλλότριος Χριστοῦ καὶ θεοῦ πατρὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ θεοῦ ὁ νόμος, ὁ κελεύων ἀγαπᾶν τὸν πλησίον. Διότι ὁ

83. δι' ἑαυτῶν, mendose, utraque edit. Petaviana.

extitisset, quid eam particulam, *Adhuc*, exprimere opus erat, cum omni tempore, adeoque nunc specie tenus possit apparere Christus, neque tamen adiicere necesse sit, *Cum adhuc infirmi essemus?* Hac enim voce, *Adhuc*, tum illum mortem obiisse significat, ac morte sua iustificasse, ne amplius mori necesse sit illum qui pro peccatoribus semel est mortuus, ac per sese non amplius moriatur.

Schol. V et XXXII. *Ideo lex sancta et mandatum sanctum et iustum et bonum.* Rom. 7, 12.

Refut. V et XXXII. Legi hoc apostolus tribuit, ut sancta sit, eiusdemque mandato, quod triplici testimonio confirmat, sanctum esse praedicans, et iustum, et bonum, ut te, Marcio, condemnet, nos vero ipsos edoceat legem auctoris esse sancti, cuius mandatum sanctum sit, eundemque qui sanctus est esse bonum. Propterea cum mandatum a bono profectum fuerit, bonum dicitur; et a sancto, sanctum, et a iusto derivatum, iustum etiam appellatur; cum unus idemque modo sit qui quondam extitit, sanctus, iustus ac bonus. Unde et mandatum ipsius tam quod olim quam quod modo est editum, in utroque videlicet testamento, sanctum, iustum ac bonum existimandum est.

Schol. VI et XXXIII. *Ut iustificatio legis impleatur in nobis.* Cap. 8, 4.

Refut. VI et XXXIII. Si in apostolis et in nobis iustificatio legis impletur, qua istud fronte pronuntiare audes, Marcio, legem ab apostolis dei, qui ex legis complemento iustificantur, alienam videri?

Schol. VII et XXXIV. *Finis enim legis Christus ad iustitiam omni credenti.* Cap. 10, 4.

Refut. VII et XXXIV. Si ad credentium omnium iustitiam Christus advenit, ita ut perfici lex aliter nequeat, nisi eam Christus suo adventu perficiat, perfici vos, Iudaei, nullo modo potestis, si in lege maneatis, nisi Christum, qui iam venit, credentes in eum velitis recipere. Sed nec tu, Marcio, salutem in Christo potes adipisci, cum fidei principium ac radicem abieceris, nimirum legem, e qua cognitus Christus eum perficit qui legem minime ut alienam a Christo repudiat.

Schol. VIII et XXXV. *Qui enim diligit proximum, legem implevit.* Cap. 13, 8.

Refut. VIII et XXXV. Cum per amorem proximi lex impleatur, non est a Christo et deo patre domini nostri Iesu Christi abalienanda lex, quae diligere proximum iubet. Quoniam *deus cari-* 1. Ioann. 4, 8.

*θεὸς ἀγάπη ἐστὶ, καὶ πάντα τὰ ὑπ' αὐτοῦ κηρυττόμενα ὁμοίως ἀεὶ κηρύττεται, καὶ τότε καὶ νῦν, καὶ ἐν παλαιᾷ καὶ καινῇ διαθήκῃ.*

pag. 371. *Τῆς πρὸς Θεσσαλονικεῖς, πέμπτης ἐπιστολῆς (οὕτω γὰρ κεῖται ἐν τῷ Μαρκίωνι, ὀγδόης δὲ οὔσης παρὰ τῷ ἀποστόλῳ) τὰ πάντα τοῦ Μαρκίωνος διεστραμμένως ἀπ' αὐτῆς ἔχοντος οὐδὲν ἐξ αὐτῆς παρεθέμεθα.*

*Τῆς πρὸς Θεσσαλονικεῖς δευτέρας, ἕκτης δὲ κειμένης παρὰ τῷ Μαρκίωνι, ἐνάτης δὲ οὔσης παρὰ τῷ ἀποστόλῳ, ὁμοίως διαστραφείσης ὑπ' αὐτοῦ τοῦ Μαρκίωνος, πάλιν οὐδὲν ἐξεθέμεθα.*

## ΤΗΣ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ, ΕΒΔΟΜΗΣ ΟΥΣΗΣ ΠΑΡΑ ΤΩΙ ΜΑΡΚΙΩΝΙ, ΠΕΜΠΤΗΣ ΔΕ ΠΑΡΑ ΤΩΙ ΑΠΟΣΤΟΛΩΙ ΚΕΙΜΕΝΗΣ ΤΑΔΕ.

*α' καὶ λς' Σχόλ.* [84] *Μνημονεύετε ὑμεῖς ποτε τὰ ἔθνη, οἱ λεγόμενοι ἀκροβυστία, ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτῳ,* [85] *ὅτι ἦτε τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ· νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἵ ποτε ὄντες μακρὰν ἐγενήθητε ἐγγὺς* [86] *τῷ αἵματι αὐτοῦ. Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη* [87] *ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα* [88] *ἓν, καὶ τὰ ἑξῆς.*

*α' καὶ λς' Ἔλεγχ. Τὸ Μνημονεύετε καιροῦ σημαίνει τὸ εἶδος, καὶ Οἱ λεγόμενοι ἀπὸ τῆς λεγομένης, τῶν πραγμάτων τοὺς τύπους σημαίνει. Καὶ τὸ Ἐν σαρκὶ, ἵνα δείξῃ τὸν τύπον τὸν ἐν τῇ σαρκὶ ἀπεκδεχόμενον τὸν τοῦ πνεύματος καιρόν· ἵνα τὰ ἐντελέστερα ἀπὸ τοῦ τύπου δείξῃ. Χωρὶς γὰρ Χριστοῦ πολιτείας τοῦ Ἰσραὴλ ἡ ἀκροβυστία ἀπηλλοτρίωτο, ἀπηλλοτριωμένη δὲ ξένη ἦν ἐπαγγελίας καὶ διαθήκης, καὶ οἱ ἀπὸ ταύτης ὁρμώμενοι ἐλπίδα οὐκ εἶχον, ἀλλ' ἄθεοι ἦσαν ἐν τῷ κόσμῳ, ὡς ἀποδέδεικται ἀπὸ τῶν τοῦ ἀποστόλου ῥημάτων. Ἀλλὰ σὺ, Μαρκίων, οὔτε ὁρᾷς, οὔτε ἀκούεις· ἐπεὶ ἂν ἐνόεις πόσων ἀγαθῶν παραίτιον τὸν νόμον φάσκει ὁ ἅγιος ἀπόστολος, τῶν ἐν τῷ νόμῳ πρὸς τὸν τότε καιρὸν πεπολιτευμένων. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οἱ ποτὲ μακρὰν νῦν ἐγγὺς ἐν τῷ αἵματι αὐτοῦ. Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν. Εἰ δὲ τὰ ἀμφότερα ἐποίησεν ἓν, καὶ οὐ τὸ μὲν ἀνεῖλε, τὸ δὲ ἕτερον συνεστήσατο, ἆρά γε οὐδὲ τὸ πρότερον ἀλ-*
pag. 372. *λότριον αὐτοῦ, οὐδὲ τὸ δεύτερον διεῖλεν ἀπὸ τοῦ πρώτου, ἀλλὰ τὰ ἀμφότερα εἰς ἓν συνήγαγεν, οὐχ ἁπλῶς, οὐ δοκήσει, ἀλλὰ ἐναργῶς ἐν τῷ αἵματι αὐτοῦ, ὡς ἡ ἀσφαλὴς τοῦ ἀποστόλου ὑποδείκνυσι διδασκαλία.*

84. *Supra* Μνημονεύοντες.
85. ὅτι *abest supra.*
86. *Supra* ἐν τῷ.
87. *Supra* ὑμῶν.

*tas est*, et quae ab ipso praedicantur, omnia eodem perpetuo modo praedicantur, iam tum olim scilicet, et nunc, et in veteri novoque testamento.

Ex epistola ad Thessalonicenses, quam Marcio septimo loco ponit, ut apostolus octavo, nihil idcirco selegimus quod integra illa a Marcione depravata sit.

Quemadmodum neque ex secunda ad Thessalonicenses epistola, quam Marcio ordine sextam collocat, apostolus vero nonam excerpsimus, eo quod penitus ab eodem illo corrupta sit.

EX EPISTOLA AD EPHESIOS, QUAE EST MARCIONI VII., APOSTOLO VERO V., ISTA COLLEGIMUS.

Schol. I et XXXVI. *Memores estote quod aliquando vos gentes,* Eph. 2, 11.
*qui dicimini praeputium, ab ea quae dicitur circumcisio in carne manufacta, quia eratis illo in tempore sine Christo, alienati conversatione Israel, et hospites testamentorum promissionis, spem non habentes, et sine deo in hoc mundo. Nunc autem in Christo Iesu, vos qui aliquando eratis longe, facti estis prope in sanguine ipsius. Ipse enim est pax nostra, qui fecit utraque unum etc.*

Refut. I et XXXVI. Vox illa, *Memores estote,* speciem habet temporis. Tum ista, *Qui dicimini, et quae dicitur,* rerum figuras exprimunt. Item illud, *In carne,* eo spectat, ut inustam carni notam atque imaginem ostendat, quae venturi spiritus tempus expectaret, ut ex figura perfectiora significet. Etenim sine Christo procul ab Israelis conversatione separatum erat praeputium, ac proinde a promissione ac testamento peregrinum. Ac qui illa conditione censebantur, omni spe carebant, et sine deo erant in hoc mundo, ut apostoli verba declarant. Sed nihil vides, nihil audis, Marcio; alioqui illud animadverteres quanta ab lege bona manasse dicat apostolus, quae singulari dei providentia illis temporibus administrata sunt. Nam *in Christo Iesu, qui olim longe erant, nunc prope sunt, in sanguine illius. Ipse enim est pax nostra qui fecit utraque unum.* Quod si unum utraque fecit, adeo ut altero destructo minime alterum constituerit, non igitur prius a se alienum extitit, neque posterius a priore separavit, sed in unum ambo illa conflavit, non quoquo modo, vel specie tenus aliqua, sed perspicue *in sanguine suo,* quemadmodum certa ac solida apostoli doctrina demonstrat.

88. Ἐν *omissum est in edit. Petav.*

β' καὶ λζ' Σχόλ. Διὸ λέγει, Ἔγειρε ὁ καθεύδων, [89] καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.

β' καὶ λζ' Ἔλεγχ. Πόθεν τῷ ἀποστόλῳ τὸ Διὸ καὶ λέγει, ἀλλὰ ἀπὸ τῆς παλαιᾶς δῆλον διαθήκης; τοῦτο δὲ ἐμφέρεται παρὰ τῷ Ἠλίᾳ. πόθεν δὲ ὁρμᾶτο ὁ Ἠλίας; ἀλλὰ εἷς ἦν τῶν προφητῶν, τῶν κατὰ νόμον πεπολιτευμένων, ἀπὸ νόμου καὶ προφητῶν ὁρμώμενος. Εἰ δὲ ἐν Χριστῷ προεφήτευσε τὸ, Ἔγειρε ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστὸς, ἄρά γε τὸ πρωτότυπον διὰ Λαζάρου καὶ τῶν ἄλλων ἐπεπλήρωτο· περὶ ὧν οἱ [90] αὐτοῦ ἀμφέβαλλον, Μάρθα καὶ Μαρία, λέγουσαι, Ἤδη ὄζει, τεταρταῖός ἐστι· καὶ τῶν τοῦ ἀρχισυναγώγου λεγόντων, Μηκέτι σκύλλετε τὸν διδάσκαλον, καὶ αὐτοῦ λέγοντος, Μὴ φοβεῖσθε, οὐ γὰρ ἀπέθανεν, ἀλλὰ καθεύδει. Σαφῶς γὰρ ἔκτοτε τὸ κήρυγμα ἐκάλει ἀνάστασιν διὰ Χριστοῦ ἔσεσθαι· καὶ τὸ ἐξουσιαστικὸν τῆς εὐχερείας ὑπεδείκνυεν, ἵνα τὸ δυνατὸν τοῦ Χριστοῦ ὑποδείξῃ, ὅτι ὡς τῷ ἀνθρώπῳ εὐχερὲς, οὐ τὸν ἀποθανόντα, ἀλλὰ τὸν καθεύδοντα διὰ φωνῆς ἐγεῖραι, οὕτως καὶ τῷ Χριστῷ ἦν ἑτοιμότατα τὸ εἰπεῖν, Λάζαρε δεῦρο ἔξω, καὶ τὸ, Κουμὶ, κουμὶ ταλιθὰ, τουτέστιν Ἀνάστηθι ἡ παῖς· [91] καὶ δι' ὧν ἐναργῶν ἀποδείξεων ἐσήμανεν ὁ λόγος τὴν ἡμῶν κτῆσιν, ἀπὸ νεκρῶν ἔργων καὶ ὕπνου βαρέως ἡμῶν τῶν ποτε καθευδόντων ἀνεγείροντα τὸν Χριστὸν καὶ διὰ τῆς κλήσεως φωτίζοντα ἡμᾶς· ἥτις γέγονε δευτέρα αὕτη σχέσις. Τὸ δὲ τέλειον καὶ καθολικὸν προσδοκώμενον, ὅταν ὁ αὐτὸς ὁ λέγων, Ἐγώ εἰμι ἡ ἀνάστασις, πάντας καλέσῃ καὶ ἐγείρῃ σώματι καὶ ψυχῇ, καὶ φωτίσῃ ἐν τῇ αὐτοῦ μελλούσῃ παρουσίᾳ.

γ' καὶ λη' Σχόλ. Ἀντὶ [92] τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ κολληθήσεται τῇ γυναικὶ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν, παρὰ τὸ, Τῇ γυναικί.

γ' καὶ λη' Ἔλεγχ. Ἀποδέδεικται πολλάκις μὴ ἀλλότρια εἶναι τὰ
pag. 373. ἐν τῷ νόμῳ τοῖς ἀπὸ τοῦ ἀποστόλου διδασκομένοις, κἂν τε σὺ, ὦ Μαρκίων, παρακόψῃς τὸ Γυναικί. Ἀπὸ τοῦ γὰρ, Ἔσονται εἰς σάρκα μίαν, δήλη σου ἔσται ἡ πᾶσα ῥᾳδιουργία.

## ΤΗΣ ΠΡΟΣ [93] ΚΟΛΟΣΣΑΕΙΣ ΟΓΔΟΗΣ ΠΑΡΑ ΤΩΙ ΜΑΡΚΙΩΝΙ ΚΕΙΜΕΝΗΣ, ΠΑΡΑ ΔΕ ΤΩΙ ΑΠΟΣΤΟΛΩΙ ΕΒΔΟΜΗΣ ΚΕΙΜΕΝΗΣ.

α' καὶ λθ' Σχόλ. Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει, ἢ ἐν πό-

89. Verba καὶ ἀνάστα ἐκ τῶν νεκρῶν desiderantur supra.

90. Restitui αὐτοῦ. Vulgo enim extat αὐτοί.

91. καὶ, ab omnibus libris iudatum, uncinis notavit Petavius. Non intellexit videlicet attractionem in verbis δι' ὧν ἐναρ-

Schol. II et XXXVII. *Ideo dicit, Surge qui dormis, et resurge a mortuis, et illuminabit te Christus.* Eph. 5, 4.

Refut. III et XXXVI. Undenam illa verba, *Ideo dicit*, deprompsit apostolus? Non aliunde utique quam ex testamento vetere. Haec enim apud Eliam leguntur. Iam vero quo ex grege Elias extitit? Nonne e prophetis unus, qui ex legis praescripto vixerunt, ut et ille legi ac prophetis inhaesit? Quod si ita in Christo vaticinatus est: *Surge qui dormis, et resurge a mortuis, et illuminabit te Christus*, plane ipsum exemplar, quod figuris illis adumbratum est, in Lazaro, ceterisque id genus impletum est. De Lazaro quidem Martha ac Maria dubitantes ita locutae sunt: *Iam foetet, quatriduanus est.* Ioann. 11, 39. At synagogae principis comites. *Nolite*, inquiebant, *fatigare magistrum.* Sed dominus ista subiecit: *Nolite timere; non enim mortuus est, sed dormit.* Marc. 5, 39. Iam tum enim futura per Christum resurrectio divini verbi praeconio celebrabatur. Sed et potestatem illius agendique facilitatem expressit, ut quam potens esset Christus ostenderet, ex eo quod uti homini facillimum est non mortuum, sed dormientem voce suscitare, ita Christo promptissimum erat dicere, *Lazare, veni foras*, tum, *Kumi, Kumi Talitha*, hoc est *Surge, puella.* Iisque manifestissimis argumentis dei verbum vocationem indicabat nostram, Christumque dominum ab operibus mortuis et altissimo quo tenebamur somno nosmetipsos excitantem, ac vocatione sua collustrantem, quae quidem secunda fuit habitudo. Nam perfectum ac generale illud expectandum est, cum nimirum ille ipse qui dixit, *Ego sum resurrectio*, universos evocaverit, et corpore ac mente pariter excitarit, atque in futuro adventu sua luce perfuderit.

Schol. III et XXXVIII. In eo quod scriptum est, *Relinquet homo patrem suum et matrem, et adhaerebit uxori, et erunt duo in carnem unam*, vocabulum, *Uxori*, sustulit. Eph. 5, 31.

Refut. III et XXXVIII. Saepenumero docuimus haud aliena esse quae in lege sunt ab iis quae apostolus tradidit, etsi, Marcio, nomen uxoris expunxeris. Etenem illa ipsa verba, *Erunt in carnem unam*, fraudem tuam satis superque detegunt.

## EX EPISTOLA AD COLOSSENSES, QUAM OCTAVAM MARCIO COLLOCAT, APOSTOLUS VERO VII.

Schol. I et XXXIX. *Nemo ergo vos iudicet in cibo, aut in* Col. 2, 16.

γῶν ἀποδείξεων, *quae nos post* κλῆσιν *incidere iubet, et accusativos* ἐγείροντα τὸν Χριστὸν *pendere ab* ὑποδείκνυεν.

92. τούτου *restitui pro* τοῦ, *quod vulgo extat.*

93. ΚΟΛΟΣΣΕΙΣ *edit. Petav.*

*σει, ἢ ἐν* [94] *ἑορτῇ, ἢ ἐν νεομηνίᾳ καὶ σαββάτῳ, ὅ ἐστι σκιὰ τῶν μελλόντων.*

*α' καὶ λθ' Ἔλεγχ. Οὐδαμόθεν ὑποπίπτει σκιὰ, ὦ Μαρκίων, ἀλλ' ἢ ἀπὸ σώματος καὶ σῶμα οὐ δύναται εἶναι, σκιᾶς ἀπ' αὐτοῦ μὴ φαινομένης. Ὅθεν πεισθῆναι ὀφείλουσιν οἱ ἀπὸ σοῦ ἠπατημένοι διὰ τῶν ἔτι παρὰ σοῦ φυλαττομένων τῆς ἀληθείας τῶν θείων γραφῶν λειψάνων ὅτι μελλόντων ἀγαθῶν ἀποκαλύπτεσθαι οὐκ ἀλλότρια ἦν τὰ τότε δικαιώματα προςκαίρως προςτεταγμένα περὶ βρώσεως καὶ πόσεως καὶ μέρους ἑορτῶν καὶ νεομηνιῶν καὶ σαββάτων. Ὧν ἀγαθῶν σκιὰ ἦσαν τὰ προειρημένα δι' ὧν σκιῶν τὸ σῶμα κατειλήφαμεν τῶν ἐνεστώτων ἀγαθῶν, ἐν νόμῳ μὲν σκιαγραφηθέντων, ἐν Χριστῷ δὲ τελειωθέντων.*

## ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΝΑΤΗΣ.

*Οὕτως γὰρ παρὰ τῷ Μαρκίωνι κεῖται, παρὰ δὲ τῷ ἀποστόλῳ ἐσχάτη κεῖται· ἐν τρισὶ δὲ ἀντιγράφοις τριςκαιδεκάτη πρὸ τῆς πρὸς Ἑβραίους, τεσσαρεςκαιδεκάτης, τέτακται. Ἄλλα δὲ ἀντίγραφα ἔχει τὴν πρὸς Ἑβραίους δεκάτην πρὸ τῶν δύο τῶν πρὸς Τιμόθεον καὶ Τίτον, καὶ Φιλήμονα. Πάντα δὲ τὰ ἀντίγραφα τὰ σῶα καὶ ἀληθῆ τὴν πρὸς Ῥωμαίους ἔχουσι πρώτην, οὐχ, ὡς σὺ Μαρκίων τὴν πρὸς Γαλάτας ἔταξας πρώτην. Ὅμως ἀπὸ ταύτης τῆς πρὸς Φιλήμονα οὐδὲν παρεθέμεθα, διὰ τὸ ὁλοσχερῶς αὐτὴν διαστρόφως παρ' αὐτῷ κεῖσθαι.*

## ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΔΕΚΑΤΗΣ.

pag. 374. *Οὕτως γὰρ κεῖται παρὰ τῷ Μαρκίωνι ἐσχάτη καὶ δεκάτη, παρὰ δὲ τῷ ἀποστόλῳ ἕκτη. Ὡςαύτως οὐδὲ ἀπ' αὐτῆς, διὰ τὸ διαστρόφως παρ' αὐτῷ κεῖσθαι, οὐδὲν ἐξελεξάμεθα.*

*Αὕτη πεπλήρωται ἡ τοῦ Μαρκίωνος σύνταξις ἀπὸ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου καὶ τοῦ ἀποστόλου σωζομένων λειψάνων, λόγων τε ὑποθέσεως· ἀφ' ἧς ἀναλεξάμενοι τὰ κατ' αὐτοῦ ἀπὸ τῶν παρ' αὐτοῦ σωζομένων τοὺς ἐλέγχους παρεθέμεθα. Προςέθετο δὲ ἐν τῷ ἰδίῳ ἀποστολικῷ καλουμένῳ, καὶ τῆς καλουμένης πρὸς Λαοδικέας.*

*α' καὶ μ' Σχόλ. Εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Χριστὸς, εἷς θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν.*

*α' καὶ μ' Ἔλεγχ. Συνᾳδόντως μὲν τῇ πρὸς Ἐφεσίους, ὦ Μαρκίων, καὶ ταύτας τὰς κατὰ σοῦ μαρτυρίας ἀπὸ τῆς λεγομένης πρὸς Λαοδικέας συνήγαγες* [95] *[κατὰ σοῦ μαρτυρίας]· ἵνα ἐπὶ τῷ τέλει τοῦ*

94. μέρει ἑορτῆς, ἢ νεομηνίας καὶ σαββάτων *legitur supra; quod hic quoque restituere suadent verba in Refutatione repetita.*

*potu, aut in festo, aut in neomenia, et sabbato, quae est umbra futurorum.*

Refut. I et XXXIX. Neque aliunde quam a corpore umbra spargitur, neque corpus esse potest, quin ab eo umbra promanet. Quamobrem ex illis ipsis veritatis ac sacrarum literarum reliquiis, quas apud te retines, discere circumventi abs te homines debent, ab iis bonis quae retegenda olim erant, mandata illa nequaquam abhorruisse quae de cibo ac potu, festis ac neomeniis et sabbatis pro temporis ratione praescripta sunt, quarum nos umbrarum beneficio praesentium bonorum, ut ita dicam, corpus adepti sumus, quae in lege adumbrata postremo in Christo perfecta sunt.

DE EPISTOLA IX., QUAE EST AD PHILEMONEM.

Hoc illam ordine Marcio collocavit, cum apostolus ultimo loco posuerit. Sed in nonnullis codicibus XIII. ante epistolam ad Hebraeos, quae est XIV., numeratur. Alia rursus exemplaria epistolam ad Hebraeos decimam ponunt, ante I. et II. ad Timotheum, ad Titum, et Philemonem. Sed quicquid est integrorum ac fide dignorum codicum primam ad Romanos epistolam collocat, non eam quae ad Galatas est, quam tu primam esse, Marcio, voluisti. Ceterum nihil ex epistola ad Philemonem adnotavimus, quod apud illum omnino depravata legitur.

EX EPISTOLA AD PHILIPPENSES X.

Haec enim apud Marcionem decima est et ultima, apud apostolum sexta. Ab hac, quod vitiata penitus esset ac corrupta, nihil seligendum duximus.

Hactenus Marcionis opus ex evangelii Lucae et apostoli scriptorum ac denique sacrorum voluminum reliquiis contextum. Ex quibus ab eo relictis particulis quae ad illum convincendum facere poterant delegimus. Praeter haec vero ex ea quae ad Laodicenses inscripta est epistola quaedam in eum librum quem Apostolicum vocat transtulit.

Schol. I et XL. *Unus dominus, una fides, unum baptisma,* Eph. 4, 5.
*unus Christus, unus deus et pater omnium, qui super omnia, et per omnia, et in omnibus.*

Refut. I et XL. Consentiunt cum iis quae in epistola ad Ephesios, leguntur quae ex epistola ad Laodicenos (sic enim inscribitur) contra te testimonia protulisti; ut in fine tandem quae ad te perti-

95. *Haec verba plane abundant.*

σφραγίσματος μάθωμεν ἀναγνόντες τὰ παρὰ σοὶ, καὶ γνόντες τὰ κατὰ σὲ, καταγνῶμεν τῶν διὰ σοῦ ἀλλοτρίως ἐπινενοημένων τριῶν ἀνάρχων ἀρχῶν διαφορὰς πρὸς ἀλλήλας ἐχουσῶν. Οὐχ οὕτως γὰρ ἔχει ἡ τοῦ ἁγίου ἀποστόλου ὑπόθεσις καὶ ἠσφαλισμένον κήρυγμα, ἀλλὰ ἄλλως παρὰ τὸ σὸν ποιήτευμα. Σαφῶς γὰρ ἔφη ἕνα κύριον, μίαν πίστιν, ἓν βάπτισμα, ἕνα θεὸν, τὸν αὐτὸν πατέρα πάντων, τὸν αὐτὸν ἐπὶ πάντων, καὶ ἐν πᾶσι διά τε νόμου καὶ προφητῶν, καὶ ἐν πᾶσιν ἀποστόλοις, καὶ ἐν τοῖς καθεξῆς.

λει καταλιμπάνεις, ἄρα γοῦν κριτὴς [1] προὐκάθισας, οὐχ ἑρμηνευτὴς τῶν νόμων, ἀλλὰ ἐκλογεὺς τῶν οὐ κατὰ τὸν νοῦν σου γραφέντων, ἀλλὰ ὄντων μὲν ἀληθινῶν, παρὰ σοὶ δὲ μεταποιηθέντων ψευδῶς, καὶ κατὰ τὸν νοῦν τῆς σῆς ἀπάτης καὶ τῶν ὑπὸ σοῦ ἠπατημένων. Εἰ δὲ καὶ ὅλως κακὸς ποιητὴς τὰ ἐνταῦθα εἰργάσατο, φημὶ δὲ τὸν κόσμον, τίνος ἕνεκα ἦλθεν ὁ ἀπὸ ἀγαθοῦ πατρὸς εἰς τόνδε τὸν αἰῶνα; Καὶ εἰ μὲν ἵνα σώσῃ ἀνθρώπους, ἄρα τῶν ἰδίων ἐπεμελήσατο, καὶ οὐκέτι ἄλλος εἴη ὁ δημιουργός· εἰ δὲ οὐ τῶν ἰδίων προενόει, βούλεται δὲ ἐν τοῖς ἀλλοτρίοις ἐπεμβαίνειν καὶ τὰ οὐκ ὄντα αὐτῷ διασώζειν, ἢ κόλαξ ἐστὶ τοῖς ἀλλοτρίοις προςλιπαρῶν, ἢ κενόδοξος, ἵνα κρείττων τοῦ κτιστοῦ φανῇ, πρὸς τὰ ἀλλότρια ἃ διασώζειν πειρᾶται τῶν ἰδίων μὴ ἐφιέμενος, καὶ οὐκέτι ἔσται ἀληθινός. Ἢ ὅτι μέτριός ἐστι κατὰ σὲ, ὦ ἀγύρτα, [2] καὶ, μὴ ἔχων κτίσιν ἑαυτοῦ, τὰ ἀλλότρια ἐπιθυμῶν ταῦτα συλᾶν πειρᾶται, ἀπὸ τῶν ἀλλοτρίων ἑαυτῷ περιποιούμενος ψυχὰς τὰς οὐκ οὔσας αὐτοῦ καὶ τοῦ αὐτοῦ πατρός. Εἰ δὲ αὐτοῦ μὲν εἰσιν αἱ ψυχαὶ, καὶ ἄνωθεν ἐλθοῦσαι φαίνονται, ἄρα εἰς ἀγαθὸν κόσμον ἀπεστάλησαν παρὰ τοῦ ἄνωθεν κατὰ σὲ ἀγαθοῦ θεοῦ, καὶ οὐκ εἰς πονηρὸν ἔργον. Εἰ δὲ ἀπεστάλησαν διά τινα μὲν χρῆσιν, ἣν τάχα μυθοποιεῖς, εἰςελθοῦσαι δὲ μετέπεσον εἰς ἑτέραν, τουτέστιν ἵνα δίκαιόν τι πράξωσι, πονηρὸν δὲ εἰργάσαντο, ὀφθήσεται ὁ ἐπιστείλας αὐτὰς πρόγνωσιν ἂν μὴ ἔχων, ἐπειδὴ γὰρ ἀπέστειλεν αὐτὰς δι' ἕτερον, καὶ ἕτερόν τι εὑρέθησαν ἐργασάμεναι. Ἢ πάλιν ἐὰν εἴπῃς ὅτι οὐ κατὰ τὴν αὐτοῦ βούλησιν ἐληλύθασιν, ἀλλὰ κατὰ τυραννίδα τοῦ ἀφαρπάζοντος, ἄρα ἰσχυρός ἐστιν ὁ κτισθεὶς ὑπὸ τοῦ ἀγαθοῦ θεοῦ πονηρὸς δημιουργὸς παρὰ τὸν ἀγαθὸν θεὸν, ὅτι τὰ αὐτοῦ ὑπάρχοντα ἀφαρπάξας ἐχρήσατο. Πόθεν δὲ οὐ διελεγχθήσῃ, αὐτοῦ τοῦ σωτῆρος φάσκοντος ὅτι, Ἐξουσίαν ἔχω τὴν ψυχήν μου θεῖναι, καὶ λαβεῖν αὐτὴν, ὡς αὐτοῦ μὲν ψυχὴν εἰληφότος, καὶ θέντος, καὶ πάλιν λαβόντος, οὐκ ἀλλοτρίαν εἶναι τὴν ψυχὴν, καὶ ἑτέρου δημιουργοῦ; Πάλιν δὲ εὑρεθήσεται ἀγαθὸν σῶμα φορῶν. Οὐ
pag. 286. γὰρ ἂν πεισθήσεται ἀγαθός τις χρῆσθαι πονηρῷ ἔργῳ· ἵνα μὴ ἀπὸ τοῦ μετέχειν μέρους τοῦ πονηροῦ καὶ αὐτὸς χρανθήσεται τῇ τῆς ἐπιμίξεως πονηρίᾳ. Εἰ δὲ καὶ αὐτὸς ἀνέστησε, λέγε μοι, τί ἵνα ποιήσῃ μετὰ ἀνάστασιν καὶ αὐτὸ πάλιν καταλέλοιπε μερίσας τοῖς τέσσαρσι στοιχείοις, τῷ θερμῷ τὸ θερμὸν, καὶ τῷ ψυχρῷ τὸ ψυχρὸν, καὶ τῷ ξηρῷ τὸ ξηρὸν, καὶ τῷ ὑγρῷ τὸ ὑγρόν; Εἰ γὰρ ἤγειρεν αὐτὸ, ἵνα πάλιν αὐτὸ λύσῃ, ἄρα δραματουργίας τὸ ἔργον τοῦτο εἴη, καὶ οὐκ ἀληθείας. Ἤγειρε δὲ αὐτὸ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ συμπαρέλαβεν ἑαυτῷ ὅπερ ἀνεπλάσατο εἰς ἑαυτὸν σῶμα σὺν ψυχῇ καὶ πάσῃ ἐνανθρωπήσει

Cap. V. — 1. προὐκάθισας *dedi ex emendatione Cornarii atque Petavii. Vulgo* προκαθίσας.
2. *Fortasse* κεὶ.

cias, plane iudicem te legum, non interpretem, facis, ac delectorem omnium quae ex animi tui sententia minime scripta sunt; quae etsi verissima sint, falso a te nihilominus commutantur, et ad tuum ac tuorum errorem accommodantur. Quod si malus quidam artifex inferiora haec, ac mundum adeo istum molitus est, cur a bono patre missus huc ille descendit? Si ut hominum genus eriperet, horum scilicet tamquam suorum curam suscepit, nec alius iam conditor esse putandus est. Sin alienos curavit, eaque quae nihil ad se pertinebant usurpare ac servare voluit, aut adulatorem fuisse necesse est, qui alienis adhaeserit, aut gloriae cupidum, qui ut conditore se praestantiorem ostenderet, prae alienis, quae servare instituerat, suorum minime desiderio teneretur; ex quo verus ac sincerus esse desinet. Sed neque moderatione animi praeditus, qui cum creatam rem nullam propriam habeat, aliena concupiscit et intervertere studet, hoc est animas, quae nihil ad se vel parentem suum pertinent, contra ius fasque vindicare. Quod si propriae sunt eius animae, atque e coelo delapsae videntur, consequens est eas a supremo bonoque deo missas, et in bonum mundum introductas fuisse. Atque ut missas illas ad usum aliquem fateare, quem tute confinxeris, ubi autem ingressae sunt aliorsum deflexisse, puta, ut iuste aliquid agerent immissas, sceleris quippiam perpetrasse, qui eas allegavit nihil omnino praevidisse videbatur, cum alterius rei gratia miserit, eae vero contraria omnia praestiterint. Sin eo confugias, ut illius iniussu ac raptoris tyrannide coactas venisse pronunties, plane creatus ille a Bono deo Malus artifex Bono ipso deo fortior censendus est, qui quae ad illum pertinebant violenter erepta ad usus suos transtulit. Verum nonne te vox ipsa salvatoris evidenter coarguit: *Potestatem habeo ponendi animam meam, et sumendi illam?* quasi animam ille sumpserit, ac posuerit, denuoque receperit, ut non aliena esse anima aut alteri opifici tribuenda videatur. Illud etiam sequitur, bonum illud habuisse corpus. Neque enim persuaderi bono cuipiam potest, malum ut opus ad usum adhibeat, ne dum mali fit particeps, improbitatis ac nequitiae contagione polluatur. Iam vero, si ipsemet corpus excitavit suum, cedo quid eo post resurrectionem facere decreverat? aut cur iterum illud reliquit, atque in quatuor elementa partitus est, adeo ut calidum calido, frigido frigidum, sicco siccum, humidum humido restitueret? Nam si illud excitabat ideo ut iterum dissolveret, per ludum hoc fecisse, non serio ac bona fide, videbitur. Enimvero dominus Iesus Christus idipsum excitavit, corpus, inquam, ipsum, quod formarat sibi una cum anima ceterisque quibus

τελειωτάτως, ἐπειδὴ γὰρ συνεκάθισε, κατὰ τὸν ἀποστολικὸν λόγον, ὅτι ὁ Θεὸς ἤγειρε, καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις· ὡς μαρτυροῦσιν οἱ δύο οἱ ἐν ἐσθῆτι λαμπρᾷ ὀφθέντες ἀποστόλοις, ὡς λέγουσιν, Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἀτενίζοντες εἰς τὸν οὐρανόν; [3] οὗτος ὁ Ἰησοῦς ὁ ἀφ' ὑμῶν ἀναληφθεὶς εἰς τὸν οὐρανὸν οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν ἀναλαμβανόμενον.

Κεφ. ς'. Καὶ ἵνα μὴ πάλιν δοθῇ σοι πρόφασις πονηρίας κατὰ τῆς ἀληθείας, μετὰ χρόνον πολὺν τῆς τοῦ σωτῆρος ἡμῶν ἀναλήψεως, Στέφανος ὁ ἅγιος τοῦ Θεοῦ [1] μάρτυρ λιθαζόμενος ὑπὸ τῶν Ἰουδαίων ἀπεκρίνατο λέγων, Ἰδού, ὁρῶ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα ἐκ δεξιῶν τοῦ πατρός· ἵνα δείξῃ αὐτὸ τὸ σῶμα ἐν ἀληθείᾳ εἰς πνευματικὸν [2] ἀναστὰν σὺν θεότητι τοῦ μονογενοῦς, ὅλον εἰς πνευματικὸν ἑνωθὲν καὶ εἰς θεότητα συνηνωμένον. Ἄνω δὲ αὐτὸ τὸ ἅγιον σῶμα σὺν τῇ θεότητι ὅλος Θεός, εἷς υἱὸς ὁ ἅγιος τοῦ Θεοῦ, καθεζόμενος ἐν δεξιᾷ τοῦ πατρός, ὡς ἔχει καὶ τὸ τοῦ Μάρκου εὐαγγέλιον καὶ τῶν ἄλλων εὐαγγελιστῶν, Καὶ ἀνῆλθεν εἰς οὐρανούς, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρός. Καὶ πανταχόθεν διαπεσεῖταί σου καὶ τῶν ὑπὸ σοῦ πεπλανημένων ὁ ἀγύρτης λόγος.

Καὶ περὶ νεκρῶν ἀναστάσεως ἄκουε τοῦ ἀποστόλου λέγοντος ὅτι, Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. Εἰ μὴ γὰρ ἔμελλε τὸ θνητὸν ἐνδύσασθαι ἀθανασίαν, καὶ τὸ φθαρτὸν ἐνδύσασθαι ἀφθαρσίαν, οὐκ ἂν ὁ ἀθάνατος
pag. 287. θανεῖν ἦλθεν ἵνα ἐν αὐτῷ πάθῃ, καὶ κοιμηθεὶς τὸ τριήμερον ἀναστῇ, καὶ συνανενέγκῃ ἐν [3] ἑαυτῷ τῇ θεότητι καὶ τῇ αὐτοῦ δόξῃ, ἵνα ἐκ τῆς αὐτοῦ ἀγαθῆς πρὸς ἡμᾶς ἐνδημίας τὴν πᾶσαν ἐλπίδα κατάσχωμεν ἐν ἀληθείᾳ, ὑποδεικνὺς ἑαυτὸν τύπον ἡμῖν καὶ ἀρραβῶνα εἰς ἐλπίδα τῆς πάσης ζωῆς πραγματείας.

Κεφ. ζ'. Τούτων δὲ οὕτως ἐχόντων καὶ ῥηθέντων, τίς ἔτι μοι χρεία ἐστὶ κατατρίβεσθαι περὶ τούτου τοῦ ζωπύρου σφηκίου καὶ οὐδενὸς ὄντος ἀνατροπῆς ἕνεκα, ἢ ἄλλης τινὸς πραγματείας; Ἀφ' ἑαυτοῦ γὰρ τὸ κέντρον ἀπώλεσε, καὶ ἀπαράλλακτον αὐτοῦ τὸ τῆς πλάνης παραπεποιημένον δόγμα καὶ ἀγυρτῶδες δέδεικται. Φασὶ γὰρ τὸ ὀδυνηρὸν σφηκίον, ὃ ζώπυρόν τινες κεκλήκασιν, ἔχειν μὲν κέντριον ἰοβόλον βραχύ, περιωδυνίαν πολλὴν οὐ κεκτημένον, ἀλλὰ κατὰ τὴν αὐτοῦ δύναμιν ἰοβόλον ὄν. Ἐπὰν δέ τις διερχόμενος τὸν αὐτοῦ φωλεὸν ἢ καλιὰν καθέλοι, — ἐν γὰρ [1] θάμνοις βοτανῶν ποιεῖται καὶ κηρίου δίκην ἑαυτῷ

3. Verba οὗτος ὁ Ἰησοῦς ὁ ἀφ' ὑμῶν ἀναληφθεὶς (cod. Vatic. ἀναλαφθεὶς) εἰς τὸν οὐρανόν, quae vulgo desiderantur, adieci ex auctoritate cod. Vaticani.
Cap. VI. — 1. μάρτυς edit. princ.

hominis natura constat perfectissime rursus assumpsit. Cum, ut apostolus loquitur, consederit, quandoquidem, *Deus illum revocavit* Eph. 2, 6.
*ad vitam, et in coelestibus consedit,* id quod ambo illi, qui in veste splendida apostolis videndos sese praebuerant, hisce verbis testati sunt: *Viri Galilaei, quid statis aspicientes in coelum? Sic veniet,* Act. 1, 11.
*quemadmodum vidistis eum ascendentem.*

Atque ut omnis tibi calumniandae veritatis occasio praecludere- Cap. VI.
tur, diu post ascensionem domini sanctus ille dei martyr Stephanus, cum a Iudaeis lapidibus obrueretur, ita locutus est: *Video coelum* Act. 7, 55.
*apertum, et filium hominis stantem a dextris patris,* ut ostenderet corpus ipsum surrexisse, vere in spiritale mutatum, ac cum unigeniti divinitate coniunctum. Quod idem sacrosanctum in coelo corpus cum ipsa divinitate totus deus est, et unus sanctusque dei filius, ad patris dextram considens, quemadmodum tam Marci quam ceterorum evangelia testantur: *Et ascendit in coelos, et sedit in dextera patris.* Marc. 16, 19.
Ita tua illa tuorumque falsissima sententia ex omni parte convellitur. Luc. 24, 51.

Quod vero mortuorum ad resurrectionem spectat, audi quid apostolus dicat: *Oportet,* inquit, *corruptibile hoc induere incorruptio-* 1. Cor. 15, 53.
*nem, et mortale hoc induere immortalitatem.* Nisi enim quod mortale est immortalitatem indueret aliquando, et incorruptionem quod est corruptibile, nunquam ad obeundam mortem immortalis accessisset, ut corpore suo poenas expenderet, ac defunctus tertia die resurgeret, et cum divinitate sua ac gloriae splendore pariter illud efferret, ut ex benigno illo convictu praesentiaque sua, quam nobis hactenus impertierat, veram spem solidamque conciperemus, cum sese nobis ad eam vitae immortalitatisque fiduciam corroborandam velut exemplar et arrhabonem praebuisset.

Haec cum ita sese habeant, eoque a nobis modo disputata sint, Cap. VII.
quid attinet in vilissimo illo crabrone, quem zopyrum vocant, profligando, vel aliter occupando ingenio haerere diutius? Suum enim per sese aculeum perdidit, ac confictum velut a circulatore dogma, nec ab aliorum somniis diversus error abunde demonstratus est. Ferunt enim molestissimum illud crabronis genus, quod zopyrum appellant, aculeo quodam armatum esse, venenato illo quidem, sed exiguo, quique haud multum doloris incutiat, et ex suo nihilominus genere sit venenatus. Ac si quis forte praetereundo latebras illius nidumque diruat, quem inter frutices ac densiores herbas favi instar

2. ἀναστὰν cod. Vatic. ἀνιστᾶν libri editi.

3. αὐτῷ ed. Petav.

Cap. VII. — 1. τάμνοις ed. princ.

σίμβλους τινάς, ἐν οἷς σίμβλοις ἐγκατατίθεται τὴν αὐτοῦ γονὴν, καὶ ποιεῖται ἑαυτῷ τὰ γεννήματα. — εἰ δέ τις διερχόμενος ῥάβδῳ ἢ ξύλῳ νύξας τὸ κηρίον, ὡς ἔφην, καταβάλοι, ἐξέρχεται θυμούμενον αὐτὸ δὴ τὸ δεινὸν μὲν, βληχρὸν δὲ σφηκίον, καὶ ἐὰν εὕρῃ πέτραν πλησίον ἢ ξύλον, ἀπὸ τοῦ ἐμπλήσαντος αὐτὸν θυμοῦ ῥοίζῳ μὲν ἐφίσταται καὶ ὁρμᾷ καὶ παίει τὴν πέτραν. Καὶ τὴν μὲν πέτραν οὐδὲν ἀδικεῖ, οὔτε τὸ ξύλον, οὔτε μὴν τὸν ἄνθρωπον· κἄν τε δάκοι, ἀλλὰ πρὸς ὀδύνην ὀλίγην, οὐδὲν ἀδικεῖ, μάλιστα τὴν πέτραν, ἀλλὰ τὸ μὲν κέντρον ἀπόλλυσι, καὶ οὕτω φθείρεται, ἡ δὲ πέτρα οὐδὲν ἀδικηθήσεται ὑπὸ τοῦ τοιούτου. Οὕτω καὶ αὕτη ἡ σφηκιώδης ζωπύρου δίκην μικρὰν ἔχουσα τὴν περιωδυνίαν ἀνατραπήσεται τῇ πέτρᾳ συντυχοῦσα, τουτέστι τῇ ἀληθείᾳ, καὶ τὸ κέντρον ἀπολέσασα. Ταύτην δὲ διελθὼν ἐπὶ τὰς ἑτέρας πάλιν βαδιοῦμαι, κατὰ τὴν θεοῦ ἐλπίδα πιστεύων ὅτι τὸ ἐπάγγελμα ἐν θεῷ πληρωθήσεται.

pag. 388.

## ΚΑΤΑ *ΣΕΥΗΡΙΑΝΩΝ,

### εἰκοστὴ πέμπτη, ἡ καὶ τεσσαρακοστὴ πέμπτη.

Κεφ. α'. *Τούτοις καθεξῆς ἕπεται, ἤτοι σύγχρονος, ἤτοι παρὰ τὸν χρόνον· οὐκ ἔχω γὰρ περὶ τοῦ χρόνου [1] αὐτῶν ἀσφαλῶς λέγειν, πλὴν σύνεγγυς ἀλλήλων ἦσαν, ὡς δὲ τὰ εἰς ἡμᾶς ἐλθόντα διηγήσομαι.*

Σευῆρός τις ἀνέστη, ἐξ οὗπερ οἱ Σευηριανοὶ καλούμενοι, καθεξῆς συνεπόμενος τῷ προειρημένῳ [2] Ἀπελλῆτανῷ. Τὰ δὲ παρ' αὐτῷ μυθολογήματα ταῦτά ἐστιν· ἅτινα μέλλω λέγειν. Βούλεται [3] δὲ καὶ αὐτὸς Ἀρχαῖς τε καὶ Ἐξουσίαις προςάπτειν τὴν καθ' ἡμᾶς κτίσιν, εἶναί τε ἐν ἀκατονομάστῳ τινὶ ἀνωτάτῳ τε οὐρανῷ καὶ Αἰῶνι ἀγαθόν τινα θεόν. Τὸν δὲ διάβολον υἱὸν εἶναι φάσκει τοῦ μεγάλου Ἄρχοντος τῆς τῶν Ἐξουσιῶν τάξεως, ᾧ ὄνομα τίθεται, πῇ μὲν Ἰαλδαβαώθ, πῇ δὲ Σαβαώθ· τοῦτον δὲ γεννηθέντα ἐξ αὐτοῦ εἶναι ὄφιν, ἀπὸ δὲ τῆς ἄνω δυνάμεως καταβεβλῆσθαι εἰς τὴν γῆν, καὶ κατεληλυθότα [4] ὀφιοείκελον ὄντα εἰς οἶστρον ἐληλακέναι καὶ τῇ γῇ μεμίχθαι ὥςπερ γυναικὶ, καὶ ἀπ' αὐτοῦ [5] τὸ σπέρμα ἀποσπερματίσαντος τῆς γονῆς τὴν ἄμπελον βεβλαστηκέναι· διὸ δὴ μυθολογῶν εἰς παράστασιν τῆς αὐτῶν ληρῳδίας τὸ ὀφιοείκελον [6] τῆς ἀμπέλου περιφερὲς ἐκτυποῦν, λέγων διὰ τὸ [7] σκαλη-

* Σεβηριανῶν *cod. Rhedig.*

Cap. I. — 1. *Cornarius vertit* ipsius, αὐτῆς (*nam* αἵρεσις *subiectum repetendum est ex inscriptione ad verbum* ἕπεται) *pro* αὐτῶν *coniectans. Sed coniectura ea non necessaria est.*

2. *Sic codd. Venet. Rhedig. et libri tam scripti quam editi. Cornarius et Petavius coniecerunt* Ἀπελλεῖ. *Equidem sub illo vocabulo* Ἀπελλῆτανῷ *duo nomina latere arbitror, et Epiphanium scripsisse non* Ἀπελλεῖ, *sed* Ἀπελλεῖ ἢ Λου-

tamquam in alveari construit, ibique semine immisso foetus excludit, sed si quis viator baculo vel virga favos, uti diximus, demoliatur, furens illico prorumpit acer ille quidem, sed imbecillus crabro. Tum vicinum aliquod saxum lignumve nactus ira exaestuans eo cum impetu fertur, ac silicem tundit aut lignum. Quibus cum noceat nihil, ac ne homini quidem, quantumvis pungat, aliud praeter levissimum dolorem inferat, saxum vero nihil oblaedat, aculeum sibi interim excutit, itaque moritur. Sic illa simillima zopyri crabronis haeresis, levi dolore inflicto in petram, hoc est veritatem, incurrens et aculeum infringens enecabitur. Hanc igitur praetergressus ad alias orationem conferam, certa dei fiducia fretus, institutum me opus ad exitum esse perducturum.

## CONTRA SEVERIANOS,
### quae est haeresis XXV., vel XLV.

Qui superioribus illis proxime a me subiiciendus est, vel iisdem temporibus vixit, vel salutem est aetate suppar; neque enim tempus ipsum accurate commemorare possum, nisi quod vicini sibi invicem extiterunt. Quae vero ad memoriam nostram pervenerunt, quam fidelissime complectar. Cap. I.

Severus quidam, a quo Severianis nomen inditum est, post Apellem illum prodiit. Cuius haec sunt fabulis ac mendaciis referta dogmata. Mundi originem Principiis nescio quibus ac Potestatibus tribuit. Esse vero praeterea supremo in coelo ac seculo, quod nominari non potest, Bonum quendam deum. Diabolum magni principis filium esse, qui Potestatibus praesidet, cuius nomen partim Ialdabaoth, partim Sabaoth appellat. A quo genitus ille serpens primum fuit, inde ab coelesti Virtute deiectus in terram ac delapsus, serpentis forma, libidinis stimulis percitus cum terra ceu muliere quadam coiit. Quo ex satu vitis pullulavit. Unde ad conciliandam nugis suis fidem sinuosos vitium flexus ac rotundos, et cuiusmodi serpentium spirae sunt, obliquos, ad illud significandum referunt.

χιανῷ, *vel* Ἀπελλεῖ καὶ Λουκιανῷ.

3. *Scripsi* δὲ *pro* τε, *quod in libris vulgo reperitur.*

4. ὀφιείκελλον *ed. princ., quomodo haer.* 51, 35. *etiam* μακροείκελλος.

5. *Sententia postulabat ut scriberetur* τὸ σπέρμα *pro* τοῦ σπέρματος, *quod in libris omnibus reperitur.*

6. *Rescribendum videtur* τὸ τῆς ἀμπέλου *cett.*

7. σκαλεινὸν *legitur in editis.*

νὸν τοῦ φυτοῦ εἶναι αὐτὸ ὄφεως δίκην, καὶ τὴν μὲν λευκὴν εἶναι ὡς ὄφιν, τὴν δὲ μέλαιναν ὡς δράκοντα. Εἶναι δὲ καὶ τὰς [8] ῥᾶγας τῆς ἀμπέλου ὥςπερ ἰοῦ ῥαθάμιγγας, εἶτουν σταγόνας, [9] διὰ τὸ κυκλοειδὲς, ἢ τὸ μείουρον καὶ διαμφὲς ἑκάστου ῥωγὸς στρογγυλώσεως· τὸν δὲ οἶνον ἐκ τῆς ὑποθέσεως ταύτης ὄντα τὸν νοῦν θολοῦν τῆς ἀνθρωπότητος, καὶ πῂ μὲν εἰς θέλξιν ἀφροδισίων ἄγειν, πῂ δὲ εἰς οἶστρον ἐγείρειν, ἢ δ' αὖ πάλιν ὀργὴν ἐμποιεῖν, διὰ τὸ κεπφοῦσθαι τὸ σῶμα ἐκ τῆς ἀπὸ τοῦ οἴνου δυνάμεως καὶ τοῦ ἰοῦ τοῦ προειρημένου δράκοντος. Ὅθεν ἀπέχονται οἴνου παντελῶς οἱ τοιοῦτοι.

Κεφ. β'. Φάσκουσι δὲ καὶ τὴν γυναῖκα εἶναι ἔργον τοῦ Σατανᾶ, καθάπερ
pag. 369. καὶ οἱ Ἀρχοντικοὶ τοῦτο ἔφασαν. Διὸ τοὺς γάμῳ πλησιάζοντας τοῦ Σατανᾶ τὸ ἔργον πληροῦν λέγουσιν· ἀλλὰ καὶ τοῦ ἀνθρώπου τὸ μὲν ἥμισυ εἶναι τοῦ θεοῦ, τὸ δὲ ἥμισυ τοῦ διαβόλου. Ἀπ' ὀμφαλοῦ γὰρ καὶ ἀνωτάτω εἶναι τῆς τοῦ θεοῦ δυνάμεως λέγει τὴν πλάσιν, ἀπὸ δὲ ὀμφαλοῦ καὶ κατωτάτω τῆς πονηρᾶς ἐξουσίας τὴν πλάσιν. Διόπερ φησὶ πάντα καθ' ἡδονὴν καὶ οἶστρον καὶ ἐπιθυμίαν ἀπ' ὀμφαλοῦ καὶ κατωτάτω γίνεσθαι. Ἀλλὰ καὶ αἱ ἄλλαι αἱρέσεις τοῦτο ἔφασαν εἶναι.

Κεφ. γ'. Ὅθεν καὶ οὗτος ἁλίσκεται κατὰ πάντα τρόπον τοῖς ἄλλοις ἐπακολουθῶν ἀγύρταις, τοῖς τὰ δηλητήρια τῷ βίῳ κατασκευάσασιν. Ἀνατραπήσεται γὰρ ῥᾳδίως· οὐ γὰρ [1] παμπόλλου ἐπιδεηθήσεται καμάτου ἡ πρὸς αὐτὸν ἀνατροπή. Ὅλον γὰρ τὸ σῶμα συγκεκραμένον τοῖς καλῶς ἐν αὐτῷ γεγονόσιν ἐκ θεοῦ, φημὶ δὲ ὀρέξεσιν, οὐ δι' ἀτοπίαν ἐκ θεοῦ γενομέναις, ἀλλὰ διὰ χρῆσιν ἀγαθὴν καὶ ἀναγκαίας χρείας τάξιν· λέγω δὲ τὸ ὀρέγεσθαι ὕπνου, βρωτῶν, πόματος, ἐνδύσεως, καὶ τῶν ἄλλων πάντων τῶν εἰς τὰ ἴδια καὶ θεῷ εὐάρεστα ἡμῖν συμβαίνοντα, ὡς καὶ αὐτὴν τὴν ὄρεξιν τῆς κατὰ τὸ σῶμα ἐπιθυμίας οὐκ ἄτοπον οὖσαν παραστήσαιμ' ἄν. Ἔστι γὰρ πρὸς παιδοποιΐαν ἐν σεμνότητι δοθεῖσα, καὶ εἰς δόξαν τοῦ ποιήσαντος τὰ πάντα, καθάπερ τῇ γῇ τὰ σπέρματα εἰς ἐπίχυσιν πλήθους τῶν ὑπὸ θεοῦ ἐκτισμένων καλῶν, γεννημάτων τέ φημι καὶ ἀκροδρύων, οὕτως καὶ τῇ ἀνθρωπότητι εἰς τὸ πληρῶσαι τὸ, Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν.

Κεφ. δ'. Κέχρηνται δὲ οἱ τοιοῦτοι καὶ ἀποκρύφοις τισὶν, ὡς ἀκηκόαμεν· ἀλλὰ καὶ ἐν μέρει ταῖς ῥηταῖς βίβλοις, λεξιθηρῶντες ἐκεῖνα μόνα ἅτινα κατὰ τὸν νοῦν αὐτῶν παραπλέκοντες ἑτέρως μεταχειρίζονται. Οὔτε γὰρ ἡ ἄμπελος ἐκ διαβόλου πεφύτευται, οὔτε ἐξ ὄφεως ἔσχε τὴν σποράν, ὡς παντί τῳ δῆλόν ἐστι. Πῶς γὰρ ἔστι τοῦτο; αὐτοῦ τοῦ κυρίου ἐπιμαρτυροῦντος καὶ λέγοντος ὅτι, Οὐ μὴ πίω ἐκ τοῦ γενήματος τῆς ἀμπέλου ταύτης, ἕως ἂν πίω αὐτὸ καινὸν μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τῶν

8. *Vulgo* ῥάγας.
9. *Cornarius vertit:* propter rotunditatem aut desinentiam in angustam tenui-

Nam albam sane vitem serpentis similitudinem exprimere, nigram draconis, acinos porro tamquam veneni guttas ac stillas esse, propter rotunditatem, ac singulorum discrimina, adeo ut orbiculi ipsi a se invicem avulsi separatique cernantur. Indidemque et vinum hominum perturbare mentes ac partim veneris illecebra concitare, partim furoris agitare stimulis, partim denique ad iracundiam provocare; quod ea vini vi, hoc est draconis illius veneno, leve fiat efferaturque corpus. Quam ob caussam qui hanc sectam profitentur ab omni usu vini penitus abstinent.

Mulierem praeterea Satanae opus esse dicunt, id quod et Archonticis placuit; ideoque qui se nuptiis copulant, Satanae opus perficere. Imo et hominis alteram partem dei, alteram diaboli esse confirmant. Nam quod ab umbilico sursum porrigitur, divinae molitionis esse, quod infra umbilicum, a mala potestate conditum statuunt. Ob id inquiunt, voluptatum titillationes omnes ac libidines ab umbilico atque inferioribus partibus excitantur. Idem et aliarum haereseon dogma fuit. Cap. II.

Ex quo liquet nihil hunc nisi planorum ceterorum inhaesisse vestigiis, qui perniciosa ac letifera venena in hominum genus effuderunt. Sed nullo plane negotio, nec operoso admodum labore confutabitur. Corpus enim universum ex iis quae a deo recte fabricata sunt, hoc est naturalibus est appetitionibus conflatum, quas non absurdum aliquem ad usum, sed honestum ac necessarium deus indidit; nimirum ut et somnum appetamus, et cibum ac potum, vestitum ac ceteras opportunitates, quae quidem deo haud ingratae nobis usuveniunt; adeo ut vel ipsam a ratione minime abhorrere veneris cupiditatem demonstrare liceat. Est enim ad honestam sobolis propagationem, et ad conditoris omnium decus et honorem concessa, quemadmodum semina ad eorum bonorum quae deus creavit, germinum videlicet ac fructuum ubertatem ac copiam instituta sunt. Sic humano generi ad illud praestandum: *Crescite, et multiplicamini, et replete terram*, insiti sunt illi ipsi voluptatis aculei. Cap. III. Gen. 1, 28.

Ceterum apocryphis quibusdam libris uti illos accepimus, ac partim etiam publicis ac receptis, ex quibus ea sola deligunt quae pro animi sui libidine commutata adulterataque depravant. Enimvero vitis nequaquam est e diabolo consita, neque ex serpentis semine procreata, uti facile quivis intelligit. Qui enim fieri posset istud, cum aperte salvator ipse contraria omnia testetur iis verbis: *Non bibam hoc de genimine vitis istius, donec bibam illud novum in* Cap. IV. Matth. 26, 29.

tatem et sequestrationem uniuscuiusque acini.

Cap. III. — 1. παμπόλλου *cod. Vatic.* πολλοῦ *libri editi.*

οὐρανῶν. Καὶ ἐπειδὴ ἡ ἀλήθεια, τὰς ἑαυτῆς ἀκτῖνας ἀποστίλβουσα εἰς τὸ παντελὲς κατὰ πρόγνωσιν θεοῦ τῶν ἐπιφερομένων κακῶν, εἰς
pag. 390. ἔλεγχον προετύπου τοὺς αὐτῆς λόγους, πανταχοῦ προεθέσπισε τὸ θεῖον γράμμα τὴν ἀναίρεσιν τῶν μελλόντων κατὰ τῆς ἀληθείας ἐπεγείρεσθαι. Ὡς διαῤῥήδην αὐτός που ὁ κύριος εἰς ἔλεγχον τοῦ ἐλεεινοῦ καὶ πεπλανημένου Σευήρου φάσκει αὐτὸς ἑαυτὸν τὴν ἄμπελον, λέγων, Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή. Εἰ δὲ ὅλως ψεκτὸν ἦν τὸ τῆς ἀμπέλου ὄνομα, οὐκ ἂν τοῦ ὀνόματος εἰς ἑαυτὸν ἐποιεῖτο τὴν ὁμοιότητα. Ἀλλὰ καὶ οἱ ἀπόστολοί φασιν ἐν τῇ [1] Διατάξει τῇ καλουμένῃ ὅτι, Φυτεία θεοῦ καὶ ἀμπελὼν ἡ καθολικὴ ἐκκλησία. Ἀλλὰ καὶ αὐτὸς ὁ κύριος πάλιν ἐν τῷ εὐαγγελίῳ ποιούμενος τὴν τοῦ ἀμπελῶνος παραβολὴν ὅτι, Ἀνήρ τις οἰκοδεσπότης εἶχεν ἀμπελῶνα, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἔπεμψε ζητῶν καρπὸν, καὶ οὐκ ἔδωκαν· ἀλλὰ καὶ πάλιν, Ἀνήρ τις οἰκοδεσπότης ἔχων ἀμπελῶνα, ἐξῆλθε ζητῶν ἐργάτας εἰς τὸν ἀμπελῶνα, καὶ ἐπὶ τρίτην ὥραν, καὶ ἕκτην, καὶ ἐννάτην, καὶ ἑνδεκάτην· ὡς ἐξάπαντος τὸ τῆς ἐπιτηδεύσεως σκευώρημα καὶ τούτου τοῦ ἀπατεῶνος πανταχόθεν ἔχειν τὸ τιτρώσκεσθαι λόγῳ τῆς ἀληθείας. Κἄν τε γὰρ ἐπιφαίνεται τὸ σκότος φωτὸς μὴ παρόντος, δι' ὀλίγου σπινθῆρος ἡ αὐτοῦ ἀφάντωσις τῆς ἀνατροπῆς γενήσεται. Συντόμως δὲ κέχρημαι τῇ αἱρέσει, διὰ τὸ ἤδη ἐξειπεῖν ὅτι εὐάλωτος ὑπάρχουσα οὐ πολλῆς δεῖται ἐργασίας, πρὸς σύστασιν τῆς κατ' αὐτῆς ἀληθείας· μάλιστα δὲ, ὅτι τάχα οἶμαι καὶ μηκέτι ἐκ ταύτης ὑπάρχειν τινὰς, ἀλλ' εἰ ἄρα σπανίως ἐν ἀνωτάτω μέρεσιν.

Ἀπὸ ταύτης δὲ παρελθόντες, ὥςπερ σκορπίον δεινὸν καταπατήσαντες, ἀθρόως τὰς ἑξῆς διασκοπήσομεν, θεοῦ τὴν δύναμιν ἐπικαλούμενοι εἰς βοήθειαν, τοῦ τε τὸ ἀληθὲς εἰπεῖν, καὶ τοῦ αὐτὸν ἐμὲ μὴ βλάπτεσθαι, μάλιστα περὶ τῆς τοιαύτης δεινῆς καὶ ὀλετηρίου τῶν δογμάτων μέλλοντα ὑποφαίνειν κακοτροπίας.

## ΚΑΤΑ ΤΑΤΙΑΝΩΝ,

### εἰκοστὴ ἕκτη, ἡ καὶ τεσσαρακοστὴ ἕκτη.

Κεφ. α'. Τατιανός τις ἀνέστη τούτους διαδεξάμενος, ἤτοι κατὰ τοὺς αὐτῶν
pag. 391. χρόνους ὢν, ἢ μετ' αὐτοὺς, πάλιν τὴν ἑαυτοῦ τῆς κενοφωνίας διδασκαλίαν προστησάμενος. Καὶ τὰ μὲν πρῶτα, οἷα δὴ ἀπὸ Ἑλλήνων παιδείας ὑπάρχων, συνακμάζει Ἰουστίνῳ τῷ φιλοσόφῳ, ἀνδρὶ ἁγίῳ καὶ φίλῳ θεοῦ, [1] τῷ ἀπὸ Σαμαρειτῶν εἰς Χριστὸν πεπιστευκότι. Οὗτος

CAP. IV. — 1. *Constit. Apostol. lib. I. prooem.* (*tom. I., p.* 199. *Patrum Apostol. ed. Cler.*): Θεοῦ φυτεία ἡ καθολικὴ ἐκκλησία, καὶ ἀμπελὼν αὐτοῦ ἐκλεκτὸς *cett.*

CAP. I. — 1. *In edit. princ. extat* τοῦ

*regno coelorum.* Et quoniam veritas suos ubique radios diffundens pro ea quam deus habet imminentium malorum notitia sermones suos ad convincendos errores accommodavit, inde factum est, passim ut sacrae literae eorum qui contra veritatem insurgerent occasum atque interitum praedixerint. Sic enim aperte quodam in loco dominus, ut infelicem illum et impostorem Severum argueret, vitem se esse pronuntiat. *Ego sum,* inquit, *vitis vera.* Atqui si vituperanda pror- Ioann. 15, 1.
sus vitis esset appellatio, nunquam huius ad se similitudinem transferret. Quin et apostoli in eo libro qui *Διάταξις*, hoc est Constitutio, vocatur dei stirpem ac vineam esse catholicam ecclesiam produnt. Et, quod amplius est, dominus ipse rursum in evangelio idem expressit, ubi illam vineae parabolam proposuit: *Homo quidam* Luc. 20.
*paterfamilias habebat vineam, et locavit illam agricolis, et misit quaerens fructum, et non dederunt.* Item: *Homo quidam paterfamilias ha-* Matth. 20.
*bens vineam exiit quaerens operarios in vineam, et circa tertiam horam, et sextam, et nonam, et undecimam.* Ut ex omni parte vafri hominis fraus et improbitas veritatis oratione saucietur. Nam ut absente luce utcumque appareant tenebrae, simulatque vel minima scintilla micare coeperit, evanescunt illae continuo, penitusque dissipantur. Ego vero ideo leviter hanc haeresim percurri, quod cum, ut initio monui, refutatu sit facilis, non magno labore contraria possit veritas affirmari. Accedit et illud, quod vel nullae hodie supersint illius sectae reliquiae, vel exiguae admodum superioribus in provinciis relictae.

Quamobrem nos ea praetermissa, velut scorpio quodam subito proculcato, ceteras aggrediamur. Sed divinum ante omnia implorandum auxilium, quo et vera possimus eloqui, neque nobis ipsis fraudi sit earum rerum tractatio, praesertim cum tam nefariam et atrocem pestiferorum dogmatum improbitatem persequi studeamus.

## CONTRA TATIANOS,
## quae est haeresis XXVI., sive XLVI.

Tatianus quidam post illos extitit: qui sive eodem penitus tem- Cap. I.
pore, sive paulo post emerserit, novam vanissimae doctrinae scholam instituit. Is primum, utpote Graecis eruditus artibus, Iustini philosophi sanctissimi ac religiosissimi viri consuetudine est usus, qui e Samaritanis ad Christi fidem transierat. Iustinus enim genere Sa-

ἀπὸ Σαμαρειτῶν εἰς Χριστὸν πεπιστευκότος, *quod vitium Petavius ex cod. Vatic. correxit.*

γὰρ ὁ Ἰουστῖνος Σαμαρείτης ἦν τὸ γένος, εἰς Χριστὸν πεπιστευκὼς καὶ μεγάλως ἐξασκηθεὶς, ἀρετῆς τε βίον ἐνδειξάμενος, τὸ τέλος ὑπὲρ Χριστοῦ μαρτυρήσας τελείου στεφάνου καταξιοῦται, ἐπὶ τῆς Ῥωμαίων, ἐπὶ Ῥωστικοῦ ἡγεμόνος καὶ Ἀδριανοῦ βασιλέως, ἐτῶν τριάκοντα ὑπάρχων ἐν καθεστώσῃ ἡλικίᾳ. Τούτῳ ὁ προειρημένος Τατιανὸς συνακμάσας τὰ πρῶτα καλῶς φερόμενος καὶ τῇ πίστει ἐρρωμένος ἐτύγχανεν, ὅσον ἦν σὺν τῷ ἁγίῳ Ἰουστίνῳ τῷ μάρτυρι, ὅτε δὲ ἐτελεύτα Ἰουστῖνος ὁ ἅγιος, ὥςπερ τυφλὸς χειραγωγούμενος [2] ὃς ὑπὸ τοῦ χειραγωγοῦ καταλειφθείη, καὶ καταλειφθεὶς ἐπὶ κρημνὸν ἑαυτὸν ἐκδοὺς διὰ τὴν προςοῦσαν αὐτῷ τύφλωσιν καταφέρεται ἀνεπισχέτως, ἕως εἰς θάνατον κατενεχθείη, οὕτω καὶ αὐτός. Καὶ ἦν μὲν Σύρος τὸ γένος, ὡς ἡ εἰς ἡμᾶς ἐλθοῦσα γνῶσις περιέχει· τὸ δὲ αὐτοῦ διδασκαλεῖον προεστήσατο ἀπ' ἀρχῆς μὲν ἐν τῇ Μέσῃ τῶν Ποταμῶν, ὡς περὶ τὸ δωδέκατον ἔτος [3] Ἀντωνίνου τοῦ Εὐσεβοῦς Καίσαρος ἐπικληθέντος. Ἀπὸ Ῥώμης γὰρ μετὰ τὴν τοῦ ἁγίου Ἰουστίνου τελείωσιν διελθὼν ἐπὶ τὰ τῆς ἀνατολῆς μέρη, καὶ ἐκεῖσε διατρίβων, κακῇ διανοίᾳ περιπεσὼν Αἰῶνάς τινας κατὰ τοὺς μύθους Οὐαλεντίνου, καὶ Ἀρχάς τινας καὶ Προβολὰς καὶ αὐτὸς εἰςηγήσατο. Τὸ δὲ πλεῖστον τοῦ αὐτοῦ κηρύγματος ἀπὸ Ἀντιοχείας τῆς πρὸς Δάφνην, καὶ ἐπὶ τὰ τῶν Κιλίκων μέρη, ἐπὶ πλεῖον δὲ ἐν τῇ Πισιδίᾳ ἐκράτυνεν. Ἀπὸ τούτου γὰρ κατὰ διαδοχὴν οἱ Ἐγκρατῖται λεγόμενοι τοῦ ἰοῦ μετεσχηκότες ὑπάρχουσι. Λέγεται δὲ τὸ διὰ τεσσάρων [4] εὐαγγέλιον ὑπ' αὐτοῦ γεγενῆσθαι ὅπερ, Κατὰ Ἑβραίους τινὲς καλοῦσι.

Κεφ. β'. Τὰ αὐτὰ δὲ ταῖς παλαιαῖς αἱρέσεσι καὶ οὗτος δογματίζει. Καὶ πρῶτον μὲν φάσκει μὴ σώζεσθαι τὸν Ἀδάμ. Ἐγκράτειαν δὲ οὗτος κηρύττει· τὸν δὲ γάμον πορνείαν καὶ φθορὰν ἡγεῖται, φάσκων μηδὲν διαλλάττειν πορνείας τὸν γάμον, ἀλλὰ τὸ αὐτὸ εἶναι. Ὅθεν ἐν τῷ
pag. 392. προσχήματι τῆς ἐγκρατείας, καὶ τοῦ ἐγκρατητικοῦ ἤθους κυβερνητὴν ἔσχε τὴν ἀγωγὴν, ὡς λύκος ἅρπαξ ἐνδυόμενος προβάτου κῴδιον, καὶ πλανῶν τῷ προςκαίρῳ προσχήματι τοὺς ἀπατωμένους. Μυστηρίοις δὲ ὡσαύτως κέχρηται, κατὰ μίμησιν τῆς ἁγίας ἐκκλησίας, ὕδατι δὲ μόνῳ χρώμενος ἐν τοῖς αὐτοῖς μυστηρίοις. Πεσεῖται δὲ καὶ οὗτος κατὰ πάντα τρόπον, ἀσύστατον ἔχων τὸ κήρυγμα· ἤδη δὲ καὶ οὗτος κατασβεσθεὶς, οἶμαι, ἔληξε, καὶ τὸ τούτου διδασκαλεῖον. Πόθεν γὰρ οὐκ ἐλεγχθήσεται ὁ τοιοῦτος; Πρῶτον μὲν γὰρ κατὰ τὰ ἄνω ἡμῖν προδεδηλωμένα, καὶ πρὸς τὰς οὕτω φασκούσας αἱρέσεις, ὅτι ἀδύνατον εἶναι πολλὰς Ἀρχὰς γεννητικὰς τῶν κατὰ διαδοχὴν γεννωμένων. Αἱ γὰρ οὖσαι πολλαὶ καὶ μία ἐκ τῆς μιᾶς ὑπάρχουσαι ἐκ τῆς οὔσης μιᾶς αἰτίας τῶν [1] πα-

2. ὃς *in libris desideratur omnibus. Cornario et Petavio magis placuit et particulam addi.*

3. *Libri habent* Ἀντονίνου.

maritanus, cum in Christum credidisset, multa virtutum exercitatione perpolitus, vitaque ad omnem honestatem instituta, tandem pro Christo martyrio perfunctus perfectissimam coronam adeptus est Romae, sub Rustico praefecto, Adriano imperante, in ipso flore iuventutis, anno videlicet aetatis tricesimo. Huic cum se Tatianus initio dedidisset, quamdiu cum sancto martyre vixit, cum ceteris in rebus honestissime se gessit, tum egregia fuit ac constanti fide praeditus. Sed illo mortuo perinde ac si caecus ab altero deductus a ductore destituatur, in praeceps sese committens prae caecitate deorsum ita fertur, ut cohibere lapsum nequeat, donec in exitium ruat, ita Tatiano contigit. Erat hic, quemadmodum accepimus, natione Syrus. Qui primum in Mesopotamia novam sectam condere aggressus est, circa annum XII. Antonini cognomento Pii. Quippe post sancti Iustini martyrium Roma profectus in orientem, et ibidem habitans in absurdas opiniones incidit, ac nescio quos Aeonas e Valentinianis fabulis, et principia quaedam ac propagationes commentus est. Sed Antiochia praesertim, quae ad Daphnen est, illius dogma derivatum in Cilicia ac Pisidia cumprimis coaluit. Hinc enim Encratitarum orta successio est, quibus venenum illud aspersum. Ferunt opus illud quod ex IV evangeliis contextum est, quodque secundum Hebraeos nonnulli vocant, ab eo esse conscriptum.

Ceterum eadem fere cum antiquis haeresibus defendit. Ac primum Adamum negat esse salvum. Deinde continentiam caelibemque vitam praedicat. Nuptias adulterium esse merum ac corruptelam existimat, nec ab illo discrepare penitus, sed idem et unum esse. Qua quidem continentiae ac pudicitiae specie, velut illecebra proposita, homo vafer obrepsit, tamquam rapax quidam lupus pellem ovis induens, eoque cultu, quem ad tempus susceperat, miseros homines in fraudem pelliciens. Similiter et mysteria quaedam ad ecclesiae sanctae imitationem instituit, sed ad ea tamen nihil praeter aquam adhibuit. Verum ne ille quidem poterit ratione ulla consistere, cuius tam imbecillum minimeque cohaerens est dogma. Ac nisi fallor hoc tempore cum omni schola sua extinctus intercidit. Quid enim ad illum refutandum afferri non potest? Sed illud valet inprimis, quod adversus similes haereses antea proposuimus, fieri omnino non posse plura ut Principia sint eorum quae successione generantur. Plura siquidem illa et unum ab uno profecta ab una omnium caussa manasse Cap. II.

4. εὐαγγέλιον *emendatio est Ios. Scaligeri. Libri habent* εὐαγγελίων.

Cap. II. — 1. *Correxi* πασῶν. *Petavius voluit* πάντων. *Libri habent* παθῶν.

σῶν εὑρεθήσονται, καὶ οὐκέτι πολλαὶ ἀρχαὶ, ἀλλ' ἡ μία ἡ τούτων αἰτία γεγονυῖα, καὶ ἀναχθήσεται πάντα εἰς τὴν μίαν μοναρχίαν, καὶ διέπεσεν ἡ τοῦ τοιούτου πιθανολογία, καὶ οὐκ ἀλήθεια, οὔτε τὴν πιθανολογίαν δυναμένη ἔχειν. Μωρὸν γὰρ τὸ ὅλον κήρυγμα. Καὶ εἰ ὁ Ἀδὰμ οὐ σώζεται, [2] τὸ φύραμα, οὐδέ τι τοῦ φυράματος σώζεται. Εἰ γὰρ ὁ πρωτόπλαστος καὶ ἐξ ἀθίκτου γῆς γενόμενος σωτηρίας οὐ μεθέξει, πῶς τὰ ἐξ αὐτοῦ γεγενημένα μεθέξει σωτηρίας;

Κεφ. γ'. Κατὰ γὰρ δύο τρόπους εὑρεθήσεται καθ' ἑαυτοῦ λέγων. Φάσκει γὰρ τὸν γάμον εἶναι οὐκ ἐκ τοῦ θεοῦ, ἀλλὰ πορνείας εἶναι αὐτὸν καὶ μῦσος, καὶ ἑαυτὸν γάμου ὑπάρχοντα, καὶ ἐκ γυναικὸς γεγεννημένον, καὶ ἐκ σπορᾶς ἀνδρῶν ἡγεῖται σώζεσθαι. Ἄρα οὖν πάλιν ἀνέλυσε τὴν αὐτοῦ κατὰ τοῦ γάμου βλασφημίαν. Εἰ γὰρ οὗτος ἐκ γάμων ὑπάρχων σωτηρίαν ἕξει, ἄρα οὐ βδέλυγμα ὁ γάμος, ὁ γεννῶν τοὺς τῆς σωτηρίας μετέχοντας, οἵῳ δ' ἂν θέλοι τρόπῳ λέγειν. Εἰ δὲ συσταίη κατ' [1] αὐτὸν λόγος, ὅτι ἀθέμιτός ἐστιν ὁ γάμος, ἄρα μᾶλλον ὁ Ἀδὰμ σωθήσεται, μὴ ἀπὸ γάμου ὁρμώμενος, ἀλλ' ἐν χειρὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος πεπλασμένος, κατὰ τὸ [2] εἰρημένον ὑπ' αὐτοῦ τοῦ ἁγίου πατρὸς πρὸς τὸν υἱὸν ὅτι, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. Πῶς δὲ οὐ σώζεται ὁ Ἀδὰμ ὁ παρὰ σοὶ ἀπελπιζό-
pag. 383. μενος, ὁπότε αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐλθὼν εἰς τὸν κόσμον νεκροὺς μετὰ τὴν τελευτὴν ἐγείρει ἐν αὐτῷ τῷ σώματι, ὡς τὸν Λάζαρον, καὶ υἱὸν τῆς Χήρας, καὶ τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου. Καὶ εἰ αὐτὸς οὐκ ἦν ὁ τὸν Ἀδὰμ πλάσας ἐκ χοὸς ἀπ' ἀρχῆς, πῶς πτύσας χαμαὶ ἐποίησε πηλὸν καὶ ἐπέθετο ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ τοῦ ἐκ γενετῆς, καὶ ἐποίησεν αὐτὸν βλέπειν, [3] εἰ μὴ ἵνα δείξῃ ἑαυτὸν μὲν εἶναι τὸν πλάστην σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, καὶ τὸ ἐλλιπὲς μέρος ἐν τῷ ἀπὸ γενετῆς γεγεννημένῳ τυφλῷ διὰ τοῦ πηλοῦ προςτιθεὶς τῷ λείποντι τόπῳ; Διορθώσεως γὰρ ἕνεκεν τοῦ λείποντος μέρους φαίνεται τοῦτο πεποιηκέναι. Εἰ δὲ πάλιν αὐτός ἐστιν ὁ κύριος Ἀδὰμ πλάσας, καὶ αὐτὸν τὸν πρωτόπλαστον ἀπολλύει, τοὺς δὲ ἄλλους σώζει, ὦ πολλή σου ματαιοφροσύνη Τατιανέ. Ἀδυναμίαν γὰρ τῷ κυρίῳ κατὰ δύναμιν προςάπτεις, τῷ δυναμένῳ τὸν πρωτόπλαστον αὐτοῦ διὰ μίαν παρακοὴν ἐκβεβλημένον τοῦ Παραδείσου καὶ παιδείας οὐ τῆς τυχούσης μετασχόντα, ἐν ἱδρῶτι καὶ καμάτῳ διατετελεκότα, καὶ κατέ-

2. „Deest repetitum οὐ σώζεται, vel leg. οὐδὲ τὸ φυράματος σώζεται" *annotavit Petavius in marg. suae edit. T. Gatakero Advers. Miscell. cap.* 36. *p.* 809. *Opp. Crit. placuit* ἀφ' οὗ τὸ φύραμα *cett. Nihil muto.*

Cap. III. — 1. *Correxi* αὐτὸν, *pro quo vulgo* αὐτῶν, *praeter sententiam. Et Cornarius iam vertit:* Si vero constiterit ipsius sermo. *Ceterum mallem* συσταίη ὁ κατ' αὐτὸν λόγος.

2. *Libri* γεγραμμένον, *quod Cornarii*

reperiemus. Ita non iam multa Principia, sed unum erit, a quo cetera dependent, et ad unius imperium universa referentur; sicque fallax ac fucosa illius oratio concidet, nihil ipsa quidem veritatis habens, ac vel omni probabilitate destituta. Stulta quippe tota haec est opinio. Nam si Adamus salutem minime est adeptus, hoc est ipsa quodammodo generis massa, nec ulla massae huius particula servari poterit. Si enim qui primus omnium conditus est, et ex integra adhuc terra formatus, salutis minime est particeps, quae ab eodem orta sunt quo tandem pacto salutem obtinebunt?

Quamobrem duobus modis secum ipse pugnat, quod et nuptias Cap. III.
auctori deo tribuendas negat, easque flagitium et adulterium nominat, et seipsum nihilominus e muliere prognatum atque ex virili satu procreatum servari posse confidit. Qua quidem ratione priorem illam, quam nuptiis imposuerat, contumeliam rescidit. Si enim ille ipse originem trahens e nuptiis salutem consequitur, non igitur detestandae sunt nuptiae, quae eos gignant, quibus salus tribuenda sit, quamcumque demum partem eligant. Quod si vera sit eorumdem sententia, ut illicitae sint nuptiae, tanto magis Adamum ipsum par est salutis compotem fieri, qui nullis propagatus nuptiis patris ac filii et spiritus sancti manu est effictus, quemadmodum scriptura testatur, cum ita pater filium alloquens introducitur: *Faciamus hominem ad* Gen. 1, 26.
*imaginem, et similitudinem nostram.* Qui porro convenit Adamum, quem pro desperato habes, a salute alienum esse, cum dominus ipse Iesus Christus in hunc mundum veniens vita iam defunctos homines Ioann. 11.
corpore ipso suscitarit, uti Lazarum, ac viduae filium, et synagogae Luc. 7. Marc. 5.
principis filiam. Nam si is nequaquam Adamum initio de terra formasset, cur in humum despuens lutum faceret, eiusque qui caecus natus fuerat oculis illineret, eique visum redderet? Quo facto conditorem se esse cum patre ac spiritu sancto manifeste declaravit, cum partem illam, quae caeco nato deerat, adsperso luto, mutilato corporis membro restituit. Ut enim mancum istud membrum corrigeret, hoc egisse videtur. Iam vero si Adamum dominus ipse fabricavit, ac primum illud suum opus nihilominus exterminat, dum reliquos interim servat, quanta haec, Tatiane, stultitia est? Imbecillitatem enim domino, quantum in te est, affingis; qui cum hominem, quem ante omnes effinxerat, ob unicum violati mandati crimen e Paradiso depulsum, nec mediocri animadversione castigatum, ut aeta-

*atque Petavii emendationem secutus non dubitavi in* εἰρημένον *mutare.*

3. *Libri habent* βλέπειν, ἵνα *cett. Reposui* βλέπειν, εἰ μὴ ἵνα *cett. Vocularum videlicet* εἰ μὴ, *quas hic desiderat ratio structurae, literae* ε̄ *et* ῑ *et* μ̄ *latebant in syllaba* ε̄ῑν̄ *verbi quod praecedit* βλέπειν, *et literam* η̄ *absorpsit litera* ῑ *vocabuli* ἵνα, *quod sequitur.*

*ναντι τοῦ Παραδείσου κατῳκηκότα, ὅπως μνημονεύοι τῆς ἀγαθῆς, διὰ τῆς εἰς μνήμην μετανοίας σώζειν, ἢ δυναμένῳ μὲν, μὴ ἐλεοῦντι δὲ,* [4] *δι' ἣν που νῦν αἰτίαν ἄχρι τῶν καταχθονίων Χριστὸς κατῆλθε. Τίνι τῷ λόγῳ τὸ τριήμερον κοιμηθεὶς πεπονθὼς ἀνέστη; Πῶς δὲ πληροῦται, Ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ; Ποίων δὲ ζώντων καὶ νεκρῶν, ἀλλ' ἢ τῶν χρῃζόντων τῆς αὐτοῦ ἄνω καὶ κάτω ἐπικουρίας; Πῶς δὲ ἔσται τὰ ἀπὸ φυράματος ἅγια, εἰ αὐτὸ τὸ φύραμα οὐκ ἔστι ἅγιον, ὡς καὶ παρὰ τῷ ἁγίῳ ἀποστόλῳ ἐμφέρεται; Φάσκει γὰρ καὶ περὶ Εὔας ὁ αὐτὸς ἀπόστολος ὅτι, Σωθήσεται διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ δικαιοσύνῃ.*

Κεφ. δ'. *Καὶ πολλὰ ἔστι περὶ τούτων λέγειν, ὡς παντὶ τῷ σύνεσιν κεκτημένῳ φανήσεται ἡ πρόχειρος βλασφημία καὶ ἐσκοτωμένη διάνοια τοῦ Τατιανοῦ καὶ τῶν ἀπ' αὐτοῦ Τατιανῶν καλουμένων. Περὶ ὧν συντόμως διεξελθόντες τὰ κατ' αὐτοὺς βλαβερὰ καὶ κωνώπων δίκην δήγματα ἐλαίου ἰκμάδα τῆς τοῦ κυρίου διδασκαλίας τοῖς δεδηγμένοις ὑπὸ τῶν* pag. 394. *Τατιανοῦ λόγων ἐπιθέμενοι ἰασάμεθα διὰ τῆς τοῦ κυρίου ἀληθείας καὶ δυνάμεως, αὐτοῦ λέγοντος ὅτι, Οὐκ ἦλθον εἰ μὴ εἰς τὸ πρόβατον τὸ πεπλανημένον οἴκου Ἰσραήλ. Διὸ καὶ ἐν παραβολαῖς ἔλεγεν ὅτι, Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, ὃν δὴ καὶ λῃσταῖς περιπεσεῖν διηγεῖτο, ἵνα δείξῃ τὸ πρόβατον καὶ τὸν ἀπὸ Ἱερουσαλὴμ καταβεβηκότα, τὸν ἀπὸ τῆς δόξης τῆς μείζονος εἰς ἐλάττωσιν κατενεχθέντα καὶ τὸν ἀπὸ τῆς μιᾶς ἐντολῆς τοῦ ἰδίου ποιμένος ἀποσπασθέντα καὶ πεπλανημένον. Ὅθεν καὶ τὸν ἅγιον Ἀδὰμ τὸν πατέρα ἐν ζῶσι πεπιστεύκαμεν· δι' ὃν καὶ τοὺς ἀπ' αὐτοῦ ἡμᾶς πάντας Χριστὸς ἦλθε, τοῖς μὲν πάλαι αὐτὸν γινώσκουσι καὶ μὴ πλανηθεῖσιν ἀπὸ τῆς αὐτοῦ θεότητος, ἕνεκεν δὲ σφαλμάτων ἐν Ἅιδῃ κατεσχημένοις, ἀμνηστίαν χαρίσασθαι, τοῖς μὲν ἔτι ἐν κόσμῳ διὰ μετανοίας, τοῖς δὲ ἐν Ἅιδῃ δι' ἐλέους καὶ σωτηρίας.*

Κεφ. ε'. *Διὸ καὶ θαυμάσαι ἔστι τὸν εἰδότα, ὡς καὶ ἐν βίβλοις ηὑρήκαμεν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ Γολγοθᾷ ἐσταυρῶσθαι, οὐκ ἄλλῃ που, ἀλλ' ἢ ἔνθα ἔκειτο τὸ τοῦ Ἀδὰμ σῶμα. Ἐξελθὼν γὰρ ἐκ τοῦ Παραδείσου, καὶ κατῳκηκὼς κατέναντι αὐτοῦ πολλῷ τῷ χρόνῳ, καὶ διὰ πολλῶν τῶν ἡμερῶν διελθὼν, ὕστερον ἦλθε καὶ ἐν τῷ τόπῳ τούτῳ, Ἱεροσολύμων δέ φημι, τὸ χρεὼν ἀποδεδωκὼς καὶ ἐκεῖσε ἐτάφη ἐν τῷ τόπῳ τῷ Γολγοθᾷ. Ὅθεν εἰκότως τὸ ἐπώνυμον ὁ τόπος ἔσχε, Κρανίου ἑρμηνευόμενος τόπος, ἧς ὀνομασίας τὸ σχῆμα τοῦ τόπου ἐμφέρειάν τινα οὐχ ὑποδείκνυσιν. Οὔτε γὰρ ἐν ἄκρᾳ τινὶ κεῖται, ἵνα*

4. *Rescripsi* δι' ἣν που νῦν, *cum libri omnes haberent* δι' ἣν τοῦ νῦν. *Verte:* qua nempe causa (*intell.* τοῦ ἐλεεῖν) Christus ad inferos usque descendit. *Cornarius vertit:* Ob quam igitur causam Christus usque ad inferna descendit?

tem suam perpetuo sudore ac labore transigeret, atque e Paradisi regione degeret, quo ex felicis domicilii recordatione vehementer eum poeniteret, hunc inquam servare minime potuerit, aut ut potuerit misericordiam ei nullam adhibuerit. Quid enim caussae fuit cur Christus ad inferos usque descenderet, aut triduo sepultus post passionem resurgeret? Qui porro istud impletur: *Ut mortuis vivisque dominetur?* Act. 10, 42. Qui sunt vivi illi mortuique, nisi qui tam infra quam supra terram ope illius indigebant? Possunt vero quae ex massa illa decerpta sunt esse sancta, nisi massa ipsa sit sancta, ut apud apostolum legimus? Qui de Eva loquens, *Salvabitur*, inquit, *per liberorum generationem, si in fide ac iustitia permanserint.* 1.Tim.2, 15.

Cap. IV. Innumera sunt quae de eodem argumento disputari possunt, ex quibus prudenti cuilibet comperta esse potest Tatiani Tatianorumque temeraria blasphemandi licentia animique caecitas. De quibus ita breviter disseruimus, ut illorum velut culicum noxiis morsibus, adhibita iis qui icti fuerant domini doctrina, tamquam olei cuiusdam illitu medicinam fecerimus, illius veritate ac potentia freti qui dixit, *Non veni nisi ad oves quae perierant domus Israel.* Matth. 15, 24. Unde et in parabola dixit: *Homo quidam descendit ab Hierusalem in Iericho*, quem in Luc. 10, 30. latrones incidisse narrabat; ut et ovem et hominem qui ab Hierusalem in Iericho descenderat illum ipsum doceret esse qui ab ampliori dignitate ceciderat, et ab uno pastoris sui mandato divulsus erraverat. Ex quo sanctum Adamum parentem nostrum inter vivos numeramus; propter quem et nos omnes eius posteros Christus advenit, ut iis qui ipsum olim cognoverant, nec a divinitate eius aberraverant, et ob nonnulla delicta sua apud inferos detinebantur, iniuriarum oblivionem concederet, eamque et adhuc venientibus per poenitentiam et apud inferos degentibus per misericordiam ac salutem tribueret.

Cap. V. Est profecto quod intelligenti mirum videatur, id quod e librorum monumentis didicimus, dominum nostrum Iesum Christum in Golgatha esse crucifixum, nimirum in eo potissimum loco, in quo Adami corpus iaceret. Hic enim e paradiso digrediens diu ex adverso illius habitavit. Deinde longo postea tempore in illum quem dixi Hierosolymorum locum secessit, ubi et vita functus in Golgotha sepultus est. Qua ex re merito locus ipse nomen accepit, ut Calvariae interpretando diceretur. Cuius appellationis nulla in eo loco similitudo cernitur. Nam nec in clivo aliquo situs est, ut propterea

*A quo Petavius tacite, ut solet, suam quam in margine proposuit coniecturam mutuatus: Διὰ τίνα δὲ αἰτίαν cett.*

κρανίον τοῦτο ἑρμηνεύηται, ὡς ἐπὶ σώματος κεφαλῆς τόπος λέγεται, [1] οὔτε σκοπιᾶς· καὶ γὰρ οὔτε ἐν ὕψει κεῖται παρὰ τοὺς ἄλλους τόπους. Ἄντικρυς γάρ ἐστι τὸ τοῦ Ἐλαιῶνος ὄρος ὑψηλότερον, καὶ ἀπὸ σημείων ὀκτὼ ἡ [2] Γαβαὼν ὑψηλοτάτη. Ἀλλὰ καὶ ἡ ἄκρα ἥ ποτε ὑπάρχουσα ἐν Σιὼν, νῦν δὲ τμηθεῖσα, καὶ αὐτὴ ὑψηλοτέρα ὑπῆρχε τοῦ τόπου. Πόθεν οὖν ἡ ἐπωνυμία τοῦ κρανίου; ἀλλ' ἐπειδὴ τοῦ πρωτοπλάστου ἀνθρώπου ἐκεῖ τὸ κρανίον ηὕρηται, καὶ ἐκεῖ τὸ λείψανον ἐναπέκειτο, τούτου ἕνεκα Κρανίου τόπος ἐπεκέκλητο· ἐφ' οὗ σταυρωθεὶς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ τοῦ ῥεύσαντος ἀπ' αὐτοῦ ὕδατος καὶ αἵματος διὰ τῆς νυχθείσης αὐτοῦ πλευρᾶς αἰνιγματωδῶς ἔδειξε
pag. 395. τὴν ἡμῶν σωτηρίαν, ἀπὸ τῆς ἀρχῆς τοῦ φυράματος ἀρξάμενος ῥαντίζειν τὰ λείψανα τοῦ προπάτορος, ἵνα καὶ ἡμῖν ὑποδείξῃ τὸν ῥαντισμὸν τοῦ αὐτοῦ αἵματος εἰς κάθαρσιν τῆς ἡμῶν κοινώσεως καὶ ψυχῆς μετανοούσης, καὶ εἰς ὑπόδειγμα φυράσεως καὶ καθαρισμοῦ ῥύπου τῶν ἡμετέρων ἁμαρτημάτων γενόμενον, τὸ ἐκχυθὲν ὕδωρ ἐπὶ τὸν ὑποκείμενον τῷ τόπῳ καὶ τεθαμμένον εἰς ἐλπίδα αὐτοῦ τε καὶ ἡμῶν τῶν ἐξ αὐτοῦ γεγεννημένων. Διὸ καὶ ἐνταῦθα ἐπληροῦτο τὸ εἰρημένον, [3] Ἔγειρε ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Εἰ γὰρ καὶ περὶ ἡμῶν λέγει τῶν νενεκρωμένων τοῖς ἔργοις καὶ τῶν καθευδόντων ἐν βάθει ὕπνου τῆς ἀγνωσίας, ἀλλ' οὖν γε ἐκεῖθεν ἡ ἀρχὴ [4] ἡ τῆς αἰνίξεως περιέχει τὸν τρόπον, καὶ οὐχ ἁπλῶς, οὐδὲ ἀργῶς. Ἀνέστη γὰρ, φησὶ, πολλὰ σώματα τῶν ἁγίων, ὡς ἔχει τὸ εὐαγγέλιον, καὶ εἰςῆλθον σὺν αὐτῷ εἰς τὴν ἁγίαν πόλιν, καὶ τὰ ἑξῆς.

Πανταχόθεν τοίνυν ἀποκρουσάμενος τοῦ κώνωπος τούτου τὰ δήγματα δι' ἐλαίου τῆς τοῦ Θεοῦ φιλανθρωπίας καὶ κυρίου ἡμῶν ἐνδημίας καὶ φωτὸς τοῦ εὐαγγελίου τῆς ἀληθείας ἐπὶ τὰς ἑξῆς κατὰ τὸ εἴωθὸς πάλιν προελθεῖν ἐν τῇ τοῦ Θεοῦ δυνάμει σπουδάσωμεν.

ΤΕΛΟΣ ΤΟΥ ΤΡΙΤΟΥ ΤΟΜΟΥ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.

CAP. V. — 1. *Intell.* ἐμφέρειάν τινα ὑποδείκνυσιν, *quod de superioribus repetendum. Cornarius vertit:* Neque speculae interpretationem facere potest.

2. *Vulgo* Γαβαώμ.

3. *Fortasse* Ἔγειραι. *Saepissime enim*

calvariae vocabulo nominetur, cuiusmodi capitis in humano corpore sedes est, neque figuram habet editae cuiuspiam speculae, ac ne ceteris quidem circumiacentibus locis altius consurgit. Quippe ex adverso est Oliveti mons editior; sed inprimis arduus est Gabaonis mons octavo inde lapide distans. Postremo clivus etiam ille qui in Sione quondam extitit, sed excisus hodie est, fuit Golgothae illo loco sublimior. Undenam igitur Calvariae nomen obtinuit? Quod nimirum primi hominis illic calvaria reperta sit, eiusque reliquiae defossae, ob id Calvariae locus appellatus est. In quo dominus noster Iesus Christus sublatus in crucem per aquam illam et sanguinem ex eius perforato latere profluentem, velut imaginem quandam, totum salutis nostrae negotium adumbravit, dum primi parentis reliquias ab ipso massae principio rigare coepit, ut ad detergendam labem foeditatemque nostram ac poenitentis animae repurgationem sui sanguinis aspersionem ostenderet, atque ad subactionem quandam commistionemque significandam, ac nostrarum sordium, hoc est scelerum, expiationem, aquam illam in subiectum hominem ibidemque sepultum destillasse monstraret, ac tam ipsum quam nos eius posteros ad spem consequendae salutis erigeret. Quocirca illic scripturae dictum illud impletum est: *Surge qui dormis, et excitare a mortuis, et* Eph. 5, 14.
*illuminabit te Christus.* Licet enim ad nos istud pertineat, qui et malis factis mortui sumus, et altissimo ignorantiae somno consopiti, nihilominus illinc figuratae huius sententiae arcessendum est initium, ut non temere nec otiose pronuntiata videatur. *Surrexerunt enim* Matth. 27, 52.
*multa corpora sanctorum* (ut in evangelio scriptum est), *et introierunt cum ipso in sanctam civitatem etc.*

Cum igitur culicis istius morsus divinae misericordiae oleo, ac domini nostri salvatoris adventu, et veritatis evangelicae luce propulsaverim, ad alias haereses, divina, pro eo ac soleo, fretus ope patrocinioque progrediar.

LIBRI PRIMI TOMUS TERTIUS DESINIT.

*diphthongus* αι *et vocalis* ε *in veteribus libris commutatae.*

4. ἡ, *quod in libris non legitur, quod vero necessarium est, repetii ex vocabulo praegresso* ἀρχῇ.

Jenae, typis Friderici Frommann.

Corporis haereseologici.